CLV. 1356. 8. September ind. 10. Χρυσόβουλλος ὁρισμὸς desselben Kaisers, welcher dem Kl. Vatopedi das Recht ertheilt, ein Schiff von 700 Modien zu haben. Inc. Ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον ὁρισμὸν αὐτῆς ἀπολύει etc.

CLVI. 1356. 8. September ind. 10. Chrysob. desselben Kaisers über verschiedene Besitzungen des Kl. Vatopedi. Fragm.

CLVII. 1357. April ind. 10. Chrysob. des K. Johannes I. Paläologus für das Kloster „τῶν ῥαβδούχων“ auf dem Athos.

CLVIII. 1357. August ind. 10. Chrysob. desselben Kaisers über eine Besitzung des Kl. Esphigmenu auf Longos. Inc. Ἐπεὶ οἱ ἐνασκούμενοι ἐν τῇ κατὰ τὸν ἄθω etc.

CLIX. 1357. 25. August ind. 10. Chrysob. desselben Kaisers über die Besitzungen des Kl. Iviron.

CLX. 1358. Ἀφιερωτικόν. Die „πιγκέρνισσα“ Anna Tornikina vermacht die Hälfte ihrer Besitzung im Dorfe Velzista in der Nähe des Athos dem Kloster „τοῦ σωτῆρος χριστοῦ“. Fragm.

CLXI. 1358. Februar ind. 11. Γράμμα des Bischofs Matthäus von Stephaniakus an das Kl. Esphigmenu über das Metochion des h. Georg am Strymon. Inc. Μέγα ἀγαθὸν ἀγάπη etc.

CLXII. 1359. December ind. 13. Γράμμα des Metropoliten von Serres, Jakob,

an das Kl. Esphigmenu über dasselbe Metochion. Inc. Ἐπεὶ ὁ τιμιώτατος καθηγούμενος etc.

CLXIII. Bitte des Patriarchen Kallistus an den Kaiser, dass der Eteriarch Trachaniotes dem Kl. Dochiariu die Besitzung in Ermylia, die dasselbe von der Sirmurina gekauft, nicht wegnehmen solle. Inc. Κράτιστε, θεόσεπτε, θεοδοξότατε, θεοπρόβλητε etc.

CLXIV. 1363. Testament des Jakob Prikari, Hegumenos der Lavra.

CLXV. 1363. Testament des „μέγας πριμμικήριος" Johannes, Gründers des Kl. Pantokratoros. Inc. Ὁ μὲν παρὼν καιρὸς ἐργασίας ἐστὶν etc.

CLXVI. 1363. April ind. 1. Urkunde über die Uebergabe des Kl. Kazari an das Kl. Russiko. Inc. Ἐπειδὴ διὰ τὴν γενομένην φθορὰν καὶ ἀπώλειαν etc.

CLXVII. 1364. December ind. 3. Σιγίλλιον des K. Alexius Komnenus III. von Trapezunt, gegeben dem Kloster der heiligen Jungfrau Maria auf dem Berge Sumelas bei Trapezunt. Inc. Πᾶσιν, οἷς τὸ παρὸν ἡμῶν εὐσεβὲς ἐπιδείκνυται σιγίλλιον[42].

CLXVIII. 1365. August ind. 3. Δικαιωτήριον γράμμα des Metropoliten von Serres über ein Metochion des Kl. Esphigmenu im Dorfe Zinzi. Fragm. Inc. Προκαθεζομένου τοῦ παναγιωτάτου δεσπότου ἡμῶν.

CLXIX. 1366. August ind. 4. Chrysob. des K. Johannes I. Paläologus, gegeben dem Kloster „τοῦ Προδρόμου" beigenannt „νέα Πέτρα" auf dem Athos über Besitzungen auf der Insel Lemnus.

CLXX. 1367. Februar ind. 5. Σιγίλλιον des Patriarchen Philotheus. Er übergiebt dem Kl. Lavra das Metochion „τῆς ζωοποιοῦ πηγῆς" in Konstantinopel. Inc. Καὶ τοῖς μὲν ἄλλοις πᾶσιν ἁγίοις etc.

CLXXI. 1367. December ind. 6. Σιγιλλιῶδες γράμμα des „μέγας χαρτουλάριος" über ein Grundstück des Grossdomestikus Alexius Laskaris Metochita in der Nähe von Thessalonich. Inc. Ἐπεὶ ἐδωρήσατο ὁ κραταιὸς etc.

CLXXII. 1369. Juni ind. 7. Ἀφιερωτικὸν γράμμα. Der Grossdomestikus Alexius Laskaris Metochita vermacht sein Grundstück in der Nähe von Thessalonich dem Kl. Vatopedi. Inc. Καὶ τῇ παλαιᾷ ἐκείνῃ etc.

CLXXIII. 1373. August ind. 11. Ἁπλῆ πρᾶσις. Urkunde über den Verkauf der Besitzung Marianna an das Kl. Dochiariu. Inc. Μεγάλη δομεστίκισσα καντακουζηνὴ etc.

CLXXIV. 1375. Ἀφιερωτικόν. Alexius Paläologus überlässt das ihm gehörige Dorf Anzista dem Kl. Russiko. Inc. Ἐπειδὴ ἀπελύθη θεῖος καὶ βασιλικὸς ὁρισμὸς etc.

CLXXV. 1375. September ind. 13. Chrysob. des K. Alexius Komnenus III. von Trapezunt über die Gründung des Kl. St. Dionys. Inc. Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ etc.[43]

CLXXVI. 1376. December ind. 15. Ἀφιερωτικὸν γράμμα. Theodora Palaeologina vermacht dem Kl. Philotheus das in der Nähe von Serres gelegene Dorf St. Georg mit den Teichen und Viehweiden.

CLXXVII. 1378. November ind. 2. Chrysob. des Andronikus Paläologus, durch welches er dem Radoslav und dessen Kindern die zwei in der Nähe von Thessalonich gelegenen Dörfer Avramita und Neochori schenkt. Inc. Ἐπεὶ σάμπιας ὁ ῥαδόσλαβος ἀνέφερεν etc.

---

[42] Edidit Fallmerayerus sub C, 8 laud. [43] Edidit Fallmerayerus sub C, 9 laud.

CLXXVIII. 1381. 27. October ind. 5. Ἀφιερωτικόν. Der Mönch Symeon vermacht sein Haus in Thessalonich dem Kl. Dochiariu.

CLXXIX. 1386. October ind. 10. Σιγίλλιον des Patriarchen Nilus über die Besitzungen des Kl. Kutlumusi. Fragm.

CLXXX. 1387. Mai ind. 10. Δικαιωτήριον γράμμα des Logotheten von Serres, Xenophon, über das Metochion St. Georg am Strymon.

CLXXXI. 1393. Februar. Κρίσεως γράμμα des Metropoliten von Serres, Matthäus, über das Dorf Achiara am Strymon. Fragm.

CLXXXII. 1394. Jänner ind. 2. Chrysob. des K. Manuel Paläologus über verschiedene Besitzungen des Kl. Pantokratoros. Fragm. Inc. Οἱ ἐν τῇ κατὰ τὸ ἅγιον ὄρος.

CLXXXIII. 1394. Mai ind. 2. Τυπικὸν, welches das Verhältniss der einzelnen Klöster des heiligen Berges zu dem Protos festsetzt, entworfen von einer Synode, welche unter Vorsitz des Metropoliten von Thessalonich, Gabriel, auf dem Athos abgehalten wurde. Bestätigt ist diese Urkunde von dem Patriarchen Antonius. Inc. Τιμιώτατοι πατέρες, οἱ τὴν ἀγγελικὴν πολιτείαν διάγοντες etc.

CLXXXIV. 1395. Juni ind. 3. Σιγίλλιον des Patriarchen Antonius. Er verleiht dem Kl. Kutlumusi „σταυροπηγιακὰ δίκαια“.

CLXXXV. 1396. Jänner ind. 4. Chrysob. des K. Manuel Paläologus über eine Besitzung des Kl. Pantokratoros auf Lemnus. Inc. Ἐπειδὴ ὁ μοναχοί.

CLXXXVI. 1396. Februar ind. 4. Copie eines Σιγίλλιον des Patriarchen Antonius über die Besitzungen des Kl. Pantokratoros. Inc. Καὶ ναῶν μὲν κατασκευαὶ etc.

CLXXXVII. 1399. Mai. Ἐννάξεως γράμμα über das Kl. Livadogeni auf dem Athos. Fragm.

CLXXXVIII. 1403. September ind. 12. Σιγίλλιον des Patriarchen Matthäus über die Abgrenzung der Besitzungen von St. Paul und St. Dionys. Inc. Φθάνουσι πρὸ τινων ἤδη χρόνων.

CLXXXIX. 1404. August ind. 12. Chrysob. des K. Johannes Paläologus II. des Jüngern. Als seine Gemahlin das Kl. Lavra besucht, befreit er einige Besitzungen dieses Klosters von der Entrichtung des Zehents. Inc. Ἐπεὶ μὲν ἀπ' ἀρχῆς ἐτήρει τοῦ υἱοῦ τὴν ἐντολὴν ἄνθρωπος.

CXC. 1405. 1. Juni ind. 13. Ἀφιερωτικόν. Radoslav Sabia vermacht dem Kl. St. Paul die Hälfte der Einkünfte seiner Dörfer Avramita und Neochori.

CXCI. 1405. Juni ind. 13. Chrysob. des K. Johannes Paläologus II. des Jüngern über die von Radoslav dem Kloster St. Paul geschenkten Dörfer Avramita und Neochori.

CXCII. 1406. Juni ind. 14. Τυπικὸν, welches K. Manuel den Athosmönchen gab. Inc. Καὶ ἰατροὶ δὲ ἄρα λοιμοῦ τοῖς σώμασιν ἐπισκήψαντες etc.

CXCIII. 1407. Chrysob. des K. Manuel Paläologus über das Kl. Skamandrina auf dem Athos[44].

CXCIV. 1407. Πρόσταγμα des Despoten Andronikus (?) über ein Grundstück des Kl. Russiko auf der Insel Lemnus. Inc. Οἱ κύριοι τῆς βασιλείας μου etc.

CXCV. 1407. Februar ind. 15. Chrysob. des K. Johannes II. Paläologus. Er ertheilt den fünf Klöstern: Pantokratoros in Konstantinopel, Lavra, Vatopedi,

---

[44] Aliud ejusdem Imp. chrysobullum de restaurando monasterio Castamonitu laudatur apud Montfaucon Palaeogr. gr. p. 498.

Xeropotamus und St. Paul das Recht, den Zehent von den kaiserlichen Besitzungen auf Kassandra zu erheben. Inc. *Ὁ τῆς μεγάλης πόλεως ἄρχων ὅλως ἀγαθῶς ὤν, ἐδημιούργησεν ἄνθρωπον ὡς ἀθάνατον* etc. In vier Exemplaren in den genannten Klöstern.

CXCVI. 1407. Juni ind. 15. Chrysob. desselben Kaisers über die dem Kloster St. Paul gehörige Besitzung Paläochori auf Kassandra. Inc. *Ἐπειδὴ πρὸ καιροῦ τινος ἐδωρήσατο ἡ βασιλεία μου* etc.

CXCVII. 1407. Juni ind. 15. Urkunde über die Abgrenzung eines dem Kl. Russiko gehörigen Grundstückes auf Lemnus, vorgenommen von Georg Janupi und Anton Kalothetus.

CXCVIII. 1408. August ind. 1. Chrysob. des K. Johannes II. Paläologus über ein Metochion des Kl. St. Dionys. Inc. *Ἐπεὶ οἱ εἰς τὸ μονύδριον τοῦ κυρίου διονυσίου* etc.

CXCIX. 1409. *Βασιλικὸν πρόσταγμα* über eine auf Kassandra gelegene Besitzung des Klosters St. Paul. Inc. *Οἱ ἐνασκούμενοι τῇ κατὰ τὸ ἅγιον ὄρος* etc.

CC. 1409. Mai ind. 2. *Πρακτικὸν* des Paul .... und Georg .... über die Besitzungen des Kl. Dochiariu.

CCI. 1414. August ind. 7. Chrysob. des K. Manuel Paläologus über die dem Kl. Vatopedi gehörige Besitzung Chavili auf der Insel Lemnus. Inc. *Ὁ τιμιώτατος ἐν μοναχοῖς κῦρ ἀθανάσιος.*

CCII. 1414. December ind. 8. *Πρόσταγμα* über die dem Kl. Dochiariu gehörige Besitzung Amariana. Inc. *Οἱ ἐνασκούμενοι τῇ σεβασμίᾳ μονῇ τοῦ δοχειαρίου* etc.

CCIII. 1418. December ind. 12. *Γράμμα* des Stephan Dukas Rendinus und Johannes Rendinus über ein dem Kl. Dochiariu gehöriges Metochion in Perigardiki. Inc. *Οἱ ἐν τῇ κατὰ τὸ ἅγιον ὄρος τοῦ ἄθω* etc.

CCIV. 1419. Mai ind. 12. Grenzbestimmungsurkunde über ein dem Kl. Russiko gehöriges Grundstück auf Kassandra, bestätigt von Stephan Dukas Rendinus.

CCV. 1419. September ind. 13. *Πρόσταγμα* des Despoten Johannes über die dem Kl. St. Paul gehörigen Besitzungen Avramita und Neochori.

CCVI. 1419. December ind. 13. *Ἀφιερωτικὸν γράμμα.* Theodora, die Ehefrau des Comes Bartholomäus, vermacht dem Kl. Dochiariu ein Feld bei dem Dorfe Ermylia. Inc. *Ἡ σύζυγος τῷ περιόντι ἄρχοντι* etc.

CCVII. 1422. Urkunde des Stephan Dukas Sarandinus und Konstantin Paläologus über die Abgrenzung eines dem Kl. St. Dionys gehörigen Grundstückes auf Kassandra. Inc. *Ἐπειδὴ κατὰ τὸ ἅγιον ὄρος* etc.

CCVIII. 1428. Mai. *Σιγίλλιον* des Patriarchen Joseph über die Vereinigung des Kl. Alypius mit dem Kl. Kutlumusi. Fragm.

CCIX. 1436. September ind. 15. Chrysob. des K. Johannes II. Paläologus über die Besitzungen des Kl. St. Paul auf der Insel Lemnus. Inc. *Αἱ κατὰ τὸ ἅγιον ὄρος σεβασμίαι μοναὶ* etc.

CCX. Mai ind. 8. *Γράμμα* des Johannes Dukas „*τοῦ μεγάλου διοικητοῦ*" über die Uebergabe des Dorfes Atulva in der Nähe von Revenikia an das Kl. Dochiariu. Inc. *Ἐπειδὴ ἐδεξάμην θεῖον καὶ προσκυνητὸν πρόσταγμα* etc.

CCXI. Mai ind. 6. *Σιγιλλιῶδες γράμμα* über die dem Kl. Dochiariou gehörigen Dörfer Diavolokampus und Russeon. Inc. *Ἐπειδὴ ἐδεξάμην θεῖον καὶ προσκυνητὸν πρόσταγμα.*

CCXII. September ind. 13. Γραφὴ des Protovestiarius ... über eine Besitzung des Kl. Dochiariu. Inc. Ἔφθασεν ὁ Χαρεγὴς ἐν τῷ ποιεῖν etc.
CCXIII. September ind. 12. Πρόσταγμα über ein dem Kl. Esphigmenu gehöriges Grundstück von 2000 Modien in der Nähe von Rendina. Inc. Ἐπειδὴ οἱ μοναχοὶ τῆς κατὰ τὸ ἅγιον ὄρος διακειμένης σεβασμίας μονῆς.
CCXIV. Σεκρετικὴ ἔγγραφος διάγνωσις καὶ ἀπόφασις des Metropoliten von Apro, Joseph, über ein dem Kl. Esphigmenu gehöriges Grundstück in der Nähe von Rendina.

F.

Josephus Muellerus ad calcem tractatus supra laudati tum ex Codicibus Vindobonensibus tum ex descriptione itineris ad montem Athonem a Gregorovicio Barskio a. 1744 suscepto, quam MS. Grigorovicius professor Kasanensis possidet, documenta nonnulla historiam montis Athonis illustrantia edidit, inter quae primum est chrysobullum Imp. Romani Lacapeni ex apographo Barskii. Hoc, quum Muelleri tractatus absoluto demum opere in manus meas pervenerit, in ipsa Novellarum collectione repraesentari non potuit. Itaque in fine prolegomenon illud edere visum est, una cum aurea bulla Imp. Alexii Comneni, in lib. III Alexiados[45] servata, quae vel ipsa collectioni meae inserenda fuisset.

I.
Imp. Romani senioris
aurea bulla pro monasterio Xeropotami in monte Athone.
(A. 924.)

Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.
Ῥωμανὸς πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων.

Ὁ πάντων τῶν ἀγαθῶν παρασχεὺς καὶ τῆς ὁρατῆς καὶ ἀοράτου κτίσεως τεχνουργὸς κατ᾽ ἀρχὰς ἔπλασε τὸν ἄνθρωπον ὡς ἀθάνατον· αὐτὸς γὰρ ὁ τούτῳ σκοπὸς, ἵν᾽ οὗτος, σύνθετος ὢν, ἐν ὁμοίῳ τῶν ἁπλουστέρων ἀγγέλων εὑρίσκηται καὶ δοξάζῃ τὸν εὐεργέτην, οὐχ ὅτι δόξης ὁ πλάστης ἐδεῖτο παρὰ τοῦ πλάσματος, ἀνενδεὴς γὰρ, ἀλλ᾽ ἵνα τὸ πλάσμα δόξαν ὀφειλομένην ἐπιτρέπον τῷ πλάστῃ δικαίας πληρωθῇ δόξης καὶ τοῖς ἀγγέλοις ὅμοιον γένηται. ἀλλ᾽ ἐπειδὴ τῆς οὐρανίου ἄντυγος ἐπεπτώκει ὁ πρώτως δημιουργηθεὶς, ὁ τέως τῇ ἁπλότητι χαίρων, οὐκ ἀνέσχετο βλέπειν τῇ αὐτῇ ἁπλότητι σεμνύνεσθαι τὸν ἄνθρωπον καὶ πλασάμενος ἀντιστρόφους αἰτίας ὑποψιθυρίσας

[45] Edit. Paris. p. 83. Anna Comnena verba chrysobulli refert „τὰς τοῦ γραφέως μόνον κομψείας περιελοῦσα".

αὐτὸν γενέσθαι θεὸν διὰ τοῦ ξύλου τῆς γνώσεως ὑποσκελίσας ἔῤῥιψεν εἰς γῆν. καὶ ὁ πεσὼν ἐλεεινὸν ἔκειτο πτῶμα καὶ λύπης ἄξιον οὐ σμικρᾶς, ὡς τούτῳ μήτε δύναμις ἦν ἐπανορθώσεώς ποτε. τριῶν γὰρ ἐδεῖτο μέσων ἐλθεῖν εἰς τὸ πρῶτον ἀξίωμα, ταπεινώσεως μὲν ἀντὶ προτεραίας ἀλαζονείας, ὑπακοῆς δὲ πάλιν ἀντὶ προτεραίας παρακοῆς, καὶ τελευταῖον τοῦ θανεῖν ἑτοίμως ὑπὲρ τοῦ γένους, καθ' οὗ πρότερον αὐτὸς ἀπατηθεὶς ἔπραξεν· ὁ δὲ δρᾶν οὐ μόνον[46] αὐτὰ, ἀλλ' οὐδ' ἀποστῆναι τῆς ἁμαρτίας ἠδύνατο. δι' ὅπερ ὁ κατ' ἀρχὰς αὐτὸν πλάσας θεὸς τρισυπόστατος πάλιν αὐτοῦ ἐς ὕστερον ἐμνημόνευσε καὶ κατελθὼν αὐτὸς ὁ τοῦ θεοῦ μονογενὴς υἱὸς ἐκ τῶν πατρικῶν ἀπεριγράπτων κόλπων ὑπὲρ ἀνθρώπων ἄνθρωπος γίνεται. ᾧ καὶ παντὶ τῷ εὐσεβοῦντι χρέος ἐστὶν ἀπαραίτητον τὴν λατρευτικὴν ἀπονέμειν προσκύνησιν καὶ παντοίαις ἀμείβεσθαι δωρεαῖς κατὰ δύναμιν στόματι καὶ ψυχῇ καὶ καρδίᾳ· στόματι μὲν ὁσημέραι καὶ κοινῇ καὶ ἰδίᾳ ὑμνεῖν, εὐλογεῖν καὶ δοξάζειν τὴν πρὸς τὸ ἀνθρώπειον φῦλον μακροθυμίαν τε καὶ κηδεμονίαν, ψυχῇ δὲ τοῦτον ἀδιαλείπτως ὡς θεὸν λατρεύειν, καὶ καρδίᾳ τὸ κάλλιστον ὧν ἔχει καὶ τιμιώτατον αὐτῷ αὐτοπροαιρέτως προσάγειν, ὡς τῶν ἀγαθῶν ἁπάντων μόνῳ αἰτίῳ καὶ χορηγῷ. διὰ τοῦτο καὶ ὁ σοφὸς τοῦ πάλαι ἰσραὴλ ἔλεγε νομοθέτης· „ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου καὶ ἐν ταῖς χερσί σου“ καὶ πάλιν „ὡς ἐκ προσώπου τοῦ θεοῦ οὐκ ὀφθήσῃ ἐνώπιόν μου κενὸς“[47], δηλῶν ὡς διὰ τούτων ἀνάγκη τὸν θεὸν δοξάζεσθαι, ἐπεὶ καὶ τούτων αὐτὸς μόνος ἀλάθητος ἐξεταστής. τοιγαροῦν εἴπερ τουτὶ χρέος εὐσεβέσιν ἅπασιν ἀπαραίτητον, πολλῷ μᾶλλον τοῖς δι' αὐτοῦ βεβασιλευκόσι, καὶ ταῦτα δυοῖν ἕνεκα, τῷ μὲν ὡς πολυπλασίους ὀφείλουσι χάριτας τῷ τῶν ἁπάντων δεσπότῃ, ἅτε καὶ τῶν ἄλλων εἰς πλάτος παρ' αὐτοῦ τιμωμένοις[48], τῷ δὲ καὶ ὡς τῶν ἄλλων ἐσομένοις ἀρετῆς κανόνες καὶ εὐσεβείας ὑπογραμμοί. τοῖς αὐτοῖς δὲ καὶ τὴν αὐτοῦ ὑπεράγνον μητέρα καὶ παρθένον τὴν θεοτόκον μαρίαν τιμᾶσθαι χρεὼν, ὡς πάντων οὖσαν πρόξενον σωτηρίας· ἀλλὰ δὴ καὶ μετ' αὐτὴν τὸ τοῦ ζωοποιοῦ σταυροῦ πανσεβάσμιον ξύλον τιμητέον τε καὶ προσκυνητέον· περὶ τούτου καὶ γάρ φησιν ὁ προφητάναξ δαυὶδ „ὑψοῦτε κύριον τὸν θεὸν ὑμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιόν ἐστιν“[49].

---

[46] Videtur addendum esse οὐκ. [47] Exod. XXIII, 15. XXXIV, 20. [48] Müller: τιμουμένοις. [49] Psalm. CXVIII, 5.

α. Διὰ ταῦτα δὴ καὶ ἡ εὐσεβὴς βασιλεία μου, κηδομένη τοῦ ὑπηκόου καὶ τῶν περὶ αὐτὴν ἁπάντων ποιουμένη πρόνοιαν, ἐπεὶ νόμος Ἕλληνι καὶ βαρβάρῳ παντὶ μέχρις αἵματος ὑπὲρ τῶν ὁμοφύλων ἀγωνίζεσθαι, νόμος δὲ θεοῦ πάλιν τούτου θεοειδέστερος καὶ λαμπρότερος ἕκαστον ἑαυτὸν παρακελευόμενος ὑπὲρ ἑτέρου διδόναι· ηὐδόκησεν ἡ βασιλεία μου ὑπὲρ τῶν ἀξιωτάτων τῆς περὶ τῷ ἄθω σεβασμίας μονῆς τῆς ἀοιδίμου βασιλίδος πουλχερίας τῆς παρθένου ἀνανεώσασθαι τὰ τείχη· καὶ γὰρ εὗρον αὐτὴν τοσοῦτον κατηδαφισμένην καὶ πάντη διαλελυμένην, ὡς τὰ ἐν ὕδασι τείχη φαινόμενα· τοιαύτη τε ἦν καὶ ἡ τῶν θεοσέπτων ἀθλητῶν ἁγίων μου τεσσαράκοντα σεβασμία μονή, ἡ ἔκπαλαι μὲν τοῦ χειμάῤῥου, νῦν δὲ ξηροποτάμου ἐπικαλουμένη, ὥστε μηδὲ ὁμοίωμα τείχους φαίνεσθαι πρὸς τῆς παλαμναίας χειρὸς ἰσμαηλίτιδος. ἀλείπτῃ δὲ καὶ συνεργῷ εἰς τοῦτο χρησαμένη ἡ ἐμὴ βασιλεία τῷ ὑπάτῳ τῶν φιλοσόφων παύλῳ τῷ ὁσιωτάτῳ ἐπιλεγομένῳ ξηροποταμηνῷ, θεοῦ συνάρσει καὶ χάριτι ᾠκοδόμησα ναὸν παμμεγέθη τε καὶ περικαλλῆ, καὶ ἐνδύτας χρυσοϋφάντους καὶ πολλὰ χρυσόπαστα ἀμφία καὶ ἱερὰ καλύμματα καὶ ἐκ χρυσοῦ ἅγια δισκοπότηρα ἐν αὐτῷ ἀπεχαρισάμην· καὶ περὶ αὐτὸν οἴκους εὐμεγέθεις, ξενῶνας δηλαδὴ καὶ κραββατοστρώσια διὰ τοὺς εἰσερχομένους, ἔτι δὲ καὶ τείχη ὑψιπετῆ καὶ πύργους καὶ προμαχῶνας πολλούς, οὐκ ἐν ὁμοίῳ τῶν πάλαι, ἀλλὰ πολὺ βελτίονα καὶ θαυμασιώτερα, ὥστε εἶναι μοναχοῖς καὶ εὐσεβέσιν ἀνδράσιν ἀσφάλεια· μεγαλοπρεπῆ μὲν τῇ θέᾳ, τῇ δὲ ἀκοῇ ἀτεχνῶς χαριέστατα διὰ τὴν ἐν αὐτοῖς εὐδοκιμοῦσαν ἀρετήν. μάνδρα καὶ γὰρ χριστοῦ ἐστιν, ἧς οἱ αἰσθητοὶ καὶ νοητοὶ λύκοι ἀδυνατοῦσι σπαράξαι τὰ ἐν αὐτῇ πρόβατα, ὑπὸ τοῦ ῥηθέντος ὁσιωτάτου παύλου μοναχοῦ καὶ πρεσβυτέρου εὐσεβῶς ποιμαινόμενα, καὶ ὑπὸ τῆς τοῦ χριστοῦ τοῦ θεοῦ ἀντιλήψεως αὐλιζόμενα εἰς τὸν ἱερὸν καθ' ἑτέραν ἐπιβολὴν μελιττῶνα τοῦτον περιβομβεῖν ἐμμελέστατα, τὸν τῆς ἀρετῆς ἐργαζόμενα καρπὸν ὑπὲρ μέλι γλυκάζοντα, καὶ ἐπὶ τὰ τῆς ὑπερουσίου θεότητος κρίματα ἐξεγειρόμενα καὶ ὁσίας χεῖρας ἐν ταῖς νυξὶ ἐπαίροντα, χωρὶς ἐνθυμήσεων πονηρῶν καὶ ματαίων διαλογισμῶν „τὸν χοῦν κενοῦντα, τὸν νοῦν πτεροῦντα, τῷ πνεύματι ζέοντα, τῷ κυρίῳ δουλεύοντα, τῇ ἐλπίδι χαίροντα, τῇ θλίψει ὑπομένοντα, τῇ προσευχῇ προσκαρτεροῦντα, ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντα, τὴν φιλοξενίαν διώκοντα“ κατὰ τὰ ἱερὰ λόγια[50].

[50] Ep. ad Rom. XII, 12.

ἔτι δὲ γηροτροφεῖά τε καὶ νοσοκομεῖα μετὰ καὶ δύο καὶ δέκα παρεκκλησιῶν συνέστησα, καὶ ἀναθήμασι πολλοῖς ὡς εἰκὸς τὴν ῥηθεῖσαν μονὴν τῆς βασιλείας μου κατεπλούτισα. ἀλλὰ καὶ μετὰ πατριαρχικῆς παρουσίας[51] τὸν ἐγκαινιασμὸν αὐτῆς ἐδόξασα.

β'. Ἐπεὶ δὲ μετὰ τὸν ἐγκαινιασμὸν καὶ τὴν καθιέρωσιν τοῦ ἁγίου ναοῦ καὶ τὴν ἐπάνοδον τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Θεοφυλάκτου, ποθεινοτάτου υἱοῦ τῆς βασιλείας μου καὶ τοῦ πνευματικοῦ μου πατρὸς, τὸ κατὰ θυμὸν ἐκπληρῶσαι εὐλόγως διενοήθην, ἐπειδὴ ταῖς τούτου θεοπειθέσιν εὐχαῖς πρότριτα ὑγιάσθην καὶ κλινήρης ὢν ἀνέλαβον ἐμαυτὸν, ὃ πρὸ μικροῦ τὸν οὐδὸν ἐπιβὰς τοῦ ᾅδου διεκρίνατο[52] ποιητέον, εἰσῆλθον μετά τινων τῆς συγκλήτου ἐν τῷ θησαυροφυλακίῳ τῆς κραταιᾶς μου βασιλείας καὶ τῶν τιμίων ξύλων τοῦ ζωοποιοῦ σταυροῦ τὸ μέγιστον πάντων καὶ θαύματος ἄξιον εὑρὼν (φέρει καὶ γὰρ εἰσέτι ἐν ἑαυτῷ τὰ τοῦ δεσποτικοῦ πάθους μνημόσυνα, μίαν τῶν ἥλων ὀπὴν, ἀφ' ὧν ἡ τεθεωμένη σὰρξ τοῦ κυρίου μου περιεπάρη καὶ τὸ καθάρσιον τῶν ἁμαρτιῶν ἡμῶν ἐδωρήσατο[53] ἤτοι ἡ λιβὰς τοῦ παναγίου κατεκενώθη αἵματος), ὕψος ἔχον μετὰ τῶν ἐγκαρσίων καὶ τοῦ ἱστοῦ ὡσεὶ ἑνὸς πήχεως καὶ μιᾶς παλαιστῆς, πλάτος δὲ ὡσεὶ δύο δακτύλων καὶ βάθος ὡσεὶ ἑνὸς δακτύλου, ὁλκὴν δὲ τὸ πᾶν αὐτοῦ ὡσεὶ δραχμὰς ἑκατόν· καὶ ἀνὰ χεῖρας λαβὼν τοῦτον τὸν ἅγιον θησαυρὸν, τὴν φρικτὴν σημαίαν τοῦ ἐπουρανίου βασιλέως, τὸ ἐν οὐρανῷ φανησόμενον σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου τοῦ μέλλοντος ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς· τοῦτο δὴ (τὸ) θειότατον ὄργανον τῆς σωτηρίας ἡμῶν εὐλαβῶς ἐπέθηκα ταῖς τοῦ ὁσιωτάτου παύλου τοῦ ξηροποταμηνοῦ ἁγίαις χερσὶν, ὅπως εἴη ἕως ἀνέλθῃ κύριος ἀναφαίρετον ἀνάθημα τῇ ῥηθείσῃ σεβασμιωτάτῃ μονῇ τῆς βασιλείας μου, ἐφοδιάσαντες αὐτὸ μετὰ ἐκκλησιαστικῆς καὶ στρατιωτικῆς προπομπῆς, ἵνα ἀποθέσωσι τοῦτο ἐν τῷ τῆς μονῆς ἁγίῳ βήματι πρὸς ἁγιασμὸν καὶ στηριγμὸν τῆς αὐτοκρατορικῆς ἡμῶν μονῆς. ἀλλ' ἐπειδὴ τούτου χάριν ἱκανῶς ἥ τε σύγκλητος καὶ ἅπαν τὸ δημόσιον ἐδέετο ταύτης μὴ ἀποτυχεῖν τῆς χάριτος τῆς οὐρανίου, ἐδιόρισεν ἡ βασιλεία μου, ἵνα κατὰ πᾶσαν τριετίαν ἀποστέλλωνται παρὰ μὲν τῆς κραταιᾶς βασιλείας τῶν ῥωμαίων δύο σεκρετάριοι[54] μυστικοὶ μετὰ καὶ ἑνὸς ἑκατοντάρχου,

---

[51] Müller: *παῤῥουσίας*. [52] Legendum videtur *διέκρινα*. [53] Forte: *ἐδωρήθη*. [54] In apographo Grigorovicii erat: *σεκρεποίριοι*, quod emendavit Müller.

παρὰ δὲ τῆς συνόδου τοῦ οἰκουμενικοῦ πατριάρχου δύο κληρικοί· καὶ δημοσίως αὐτὸ μεταστέλλεσθαι μετὰ στρατιωτικῆς δορυφορίας καὶ προπομπῆς συγκλητικῶν ἀρχόντων κατὰ τὴν πρώτην τοῦ αὐγούστου μηνὸς, καὶ μεταπέμπεσθαι τοῦτο μετὰ καὶ τῶν ἐγκρίτων μοναχῶν τῆς ἡμετέρας σεβασμίας μονῆς τοῦ ξηροποτάμου, χάριν τῆς αὐτοῦ προσκυνήσεως καὶ παγκοσμίου ὑψώσεως, εἶθ᾽ οὕτω συστέλλεσθαι καὶ μετακομίζεσθαι πρὸς τὴν ῥηθεῖσαν μονὴν μετὰ τῆς προσηκούσης προπομπῆς καὶ εὐλαβείας. τούτου χάριν κελεύει τὸ κράτος τῆς βασιλείας μου, δίδοσθαι ἐτήσιον σολέμνιον τοῖς ξηροποταμηνοῖς πατράσι ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας διὰ τὴν τῶν ἐνοικούντων ἐπ᾽ ἀρετῇ διαβεβοημένων μοναχῶν δαπάνην τῶν ἀναγκαίων, τῶν πατέρων ἐκ τούτων ἀποζώντων· εἰ γὰρ τοὺς ἐν τῷ ὀλύμπῳ καὶ τῷ κυμινᾷ καὶ τῷ τοῦ λάτρους[55] μοναστὰς διὰ χρυσοβούλλων ἡ ἐμὴ ἐλέησε βασιλεία, πολλῷ μᾶλλον χρεωστικῶς τῶν οἰκείων εὐχετῶν εἰς ἀεὶ τὴν κηδεμονίαν ποιήσει.

ν΄. Ὅθεν καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ ῥηθείσῃ μονῇ, δι᾽ οὗ εὐδοκεῖ καὶ θεσπίζει, ἵνα τῇ τούτου ἐμφανείᾳ οἱ τῆς μονῆς ταύτης μοναχοὶ τοῦ ὁσιωτάτου παύλου τοῦ ξηροποταμηνοῦ διὰ τὸ προνόμιον τοῦ ζωοποιοῦ τιμίου ξύλου λαμβάνωσιν ἐκ τοῦ ταμείου τῆς κραταιᾶς τῶν ῥωμαίων βασιλείας κατὰ πᾶν ἔτος ἀνὰ χιλίους ὀκτακοσίους χρυσοῦς τῆς ἐμῆς χαραγῆς, διά τε τοὺς ῥηθέντας ξενῶνας καὶ τὰ νοσοκομεῖα, καὶ διὰ τὸ ἑορτάζειν πανηγυρικῶς μετὰ φιλοτιμίας καὶ παννύχου στάσεως τρεῖς ἐτησίους ἑορτάς· τὰ τῆς θεοτόκου ἐν ναῷ τῷ νομικῷ ἅγια εἰσόδια, κλῆρος καὶ γὰρ αὐτῇ ἄνωθεν ἐδόθη τὸ ἁγιώνυμον ὄρος· τὴν τῆς παγκοσμίου ὑψώσεως τοῦ τιμίου ξύλου τοῦ παναγίου σταυροῦ, ὅτι παρὰ τοῦ κράτους τῆς εὐσεβοῦς ἡμῶν βασιλείας ταύτην πεπλούτικε χάριτα· καὶ τὸ μαρτύριον τῶν ἁγίων θεοσέπτων μεγάλων μαρτύρων μου τεσσαράκοντα, ὅτι πάντα τὰ τῶν ἁγίων τούτων σεβάσμια λείψανα ἐν τῇ μονῇ ταύτῃ διὰ χρυσοβούλλου τεθησαύρισται παρὰ τῆς πρώτης κτητορίσσης ἐκείνης τῆς ἀοιδίμου βασιλίσσης πουλχερίας τῆς παρθένου, καθ᾽ ὃν χρόνον αὐτῇ τῇ μακαρίᾳ βασιλίδι κατ᾽ ὄναρ οἱ μεγαλομάρτυρες χριστοῦ ἅγιοι τεσσαράκοντα ἐνεφανίσθησαν. πρὸς τούτοις δὲ προσεκληρώθησαν καὶ ἀφιερώθησαν ὡς ἀδιάσπαστα μετόχια καὶ οἱ ἐν τῇ βασιλευούσῃ τῶν πόλεων εὐαγεῖς τρεῖς οἶκοι, ὅ τε ἐν τῷ νεωρίῳ ἐκ βάθρων

---

[55] Monasteria in Asia minori sita.

ἀνεγερθεὶς ἅγιος ναὸς τῆς ὑπεραγίας θεοτόκου παρὰ τῆς βασιλείας μου, καὶ τὸ συγκείμενον αὐτῷ παλάτιόν μου τὸ πατρικὸν μετὰ τῶν πέριξ ἐργαστηρίων καὶ τῆς λοιπῆς περιοχῆς, ἤτοι τὸ μυρέλαιον, καὶ ὁ ἐν κωνσταντινιαναῖς περιώνυμος ναὸς τῶν ἁγίων μου τεσσαράκοντα μετὰ καὶ τῶν ἐνοικειῶν[56] αὐτοῦ ὁσπητίων καὶ ἐργαστηρίων, ἵνα δεσπόζωνται καὶ κυριεύωνται παρὰ τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου, ἕως ὁ ἥλιος ὑπὲρ γῆν ἐφορᾷ· οὗτος καὶ γὰρ ἔκπαλαι μητρικὸν κτῆμα ἦν τοῦ ὁσιωτάτου παύλου τοῦ πνευματικοῦ πατρὸς τῆς βασιλείας μου, υἱοῦ χρηματίσαντος ἐκείνης τῆς ἀοιδίμου αὐγούστης προκοκοπίας, θυγατρὸς νικηφόρου καὶ συζύγου μιχαὴλ τῶν ἀειμνήστων καὶ ὀρθοδόξων βασιλέων τῶν πρὸ ἡμῶν. ὁ τοίνυν πειραθησόμενος ἀνατρέψαι τὴν ἐν τῷ παρόντι μου πρᾶξιν καὶ ἀποστερῆσαι τοῦ ῥηθέντος σολεμνίου τὴν ἐμὴν μονὴν, ἢ καταδηλῶσαι ἢ ὑποτάξαι αὐτήν τινι ἀξιωματικῷ προσώπῳ, ἢ καὶ ἀποξενῶσαι τῆς ῥηθείσης μονῆς τῆς βασιλείας μου τὸ προσκυνητὸν καὶ πανάγιον ξύλον τοῦ ζωοποιοῦ σταυροῦ, τὸ τοῦ οὐρανίου βασιλέως ἅγιον ὑποπόδιον, εἰς ὃ παρεγγυᾷ ἡμῶν ὁ προφητάναξ δαυῒδ προσκυνεῖν λέγων „εἰσέλθωμεν εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ"[57]· ὁ τοιοῦτος ὡς ἱερόσυλος εὐπορήσαιτο τῆς ἀσθενείας τοῦ κάϊν καὶ τῆς γεζῆ λέπρας καὶ τῆς τοῦ ἰούδα ἀγχόνης, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τῶν σταυρωσάντων τὸν κύριον τῆς δόξης. τῇ γοῦν ἰσχύει καὶ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου ὀφείλει λαμβάνειν ἀκωλύτως ἡ δηλωθεῖσα σεβασμία μεγίστη μονὴ τῆς βασιλείας μου ἡ ἐπικεκλημένη ξηροποτάμου ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς τὸ ῥηθὲν σολέμνιον παρὰ τοῦ ταμείου τῆς κραταιᾶς βασιλείας τῶν ῥωμαίων, ἵνα ποιῇ λειτουργίαν κατὰ πᾶν σάββατον ὑπὲρ τῆς μακαρίας ψυχῆς τῆς ἐρασμιωτάτης μοι ἀοιδίμου αὐγούστης βασιλίσσης θεοδώρας, ἔχῃ δὲ καὶ τὴν δεσποτείαν, ἐπικαρπίαν τε καὶ πᾶν εἰσόδημα τῶν ῥηθέντων τριῶν ἁγίων περιωνύμων ναῶν ὡς ἴδια αὐτῆς κτήματα καὶ μετόχια, διατηρουμένη καθάπαξ ἐκ παντὸς βασιλικοῦ τε καὶ πατριαρχικοῦ ἢ καὶ κοσμικοῦ ἀξιώματος ἀτελής τε καὶ ἀνεπηρέαστος.

Εἰς γοῦν μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν τούτου ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς εὐσεβοῦς ἡμῶν βασιλείας, ἀπολυθεὶς κατὰ μῆνα φευρουάριον τῆς ἐνισταμένης

---

[56] Malim: ἐνοικιακῶν. [57] Psalm. CXXXI, 7.

[ιβ'] ἰνδικτιῶνος τοῦ ἔτους ͵ςφλβ', ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ῥωμανὸς ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ ῥωμαίων.

II.

Imp. Alexii Comneni aurea bulla, qua matri plenam imperii administrandi potestatem tribuit. (A. 1081.)

Τὰ τοῦ χρυσοβούλλου τοῦ γεγονότος περὶ τῆς διοικήσεως τῶν κοινῶν τῇ μητρὶ τοῦ βασιλέως.

Οὐδὲν ἰσοστάσιον μητρὸς συμπαθοῦς καὶ φιλόπαιδος, οὔτε ταύτης ἰσχυρώτερον φυλακτήριον, κἂν κίνδυνος προορᾶται κἂν ἄλλο τὶ τῶν ἀπευκταίων ἐλπίζοιτο[59]. εἰ γὰρ βουλεύσεται αὕτη, πάγιον ἔσται τὸ βούλευμα· εἰ ἐπεύξεται, στήριγμα ἔσονται αἱ εὐχαὶ καὶ φύλακες ἀκαταγώνιστοι· τοιαύτη γοῦν καὶ τῇ βασιλείᾳ μου ἐφάνη ἐξ αὐτῆς τῆς ἀτελοῦς ἡλικίας πρακτικῶς ἡ ἡγιασμένη μήτηρ αὐτῆς καὶ δέσποινα, τὰ πάντα μοι γεγονυῖα καὶ τροφὸς καὶ ἀναγωγός. καὶ γὰρ τῷ συγκλητικῷ καταλόγῳ αὐτῆς συνούσης μητρὸς πόθος προέδραμε καὶ υἱοῦ πίστις ἀκεραία συνετηρήθη· μία ψυχὴ ἐν διῃρημένοις σώμασι διεγνώσθη, καὶ χάριτι χριστοῦ καλῶς διετηρήθη μέχρι τοῦ νῦν, οὐ τὸ ἐμὸν ἢ τὸ σὸν (τὸ ψυχρὸν τοῦτο ῥῆμα) ἐῤῥήθη. καὶ τὸ δὴ μεῖζον, ὅτι αἱ αὐτῆς εὐχαὶ τὸν πάντα χρόνον πληθυνόμεναι εἰς τὰ ὦτα κυρίου εἰσέδυσαν καὶ εἰς τόδε τὸ ἔτος τῆς βασιλείας ἡμᾶς ἀνήγαγον. ἀλλ' ἐπεὶ καὶ μετὰ τὸ ἐπιλαβέσθαι τῶν τῆς βασιλείας σκήπτρων οὐκ ἔφερε μὴ συμπονουμένη ἐπίσης τῇ βασιλείᾳ μου, καὶ τοῦ συμφέροντος αὐτῇ ἀντεχομένη καὶ τοῦ κοινοῦ· ἑτοιμαζομένη δὲ ἤδη ἡ βασιλεία μου σὺν θεῷ πρὸς τὴν κατὰ τῶν ἐχθρῶν τῆς ῥωμανίας ἐξέλευσιν διὰ φροντίδος μὲν πολλῆς ποιεῖται καὶ τὴν τοῦ στρατιωτικοῦ συλλογήν τε καὶ διευθέτησιν, οὐκ ἐλάχιστον δὲ ταύτῃ νενόμισται καὶ ἡ περὶ τῆς τῶν σεκρετικῶν τε καὶ πολιτικῶν πραγμάτων διοικήσεως φροντίς· εὗρε γοῦν οἷον ἀριστοκρατίας ἀνεπιβούλευτον ὀχύρωμα, ὡς ἂν τῇ ἡγιασμένῃ καὶ πανεντιμοτάτῃ μητρὶ αὐτῆς ἀνατεθῇ ἡ τῶν ἁπάντων διοίκησις.

α'. Διορίζεται γοῦν ἡ βασιλεία μου καθαρῶς διὰ τοῦ παρόντος χρυσοβούλλου, ἵνα δι' ἣν ἔχει πολυπειρίαν περὶ τὰ βιωτικὰ πράγματα, εἰ καὶ τέλεον τούτων καταπεφρόνηκεν, ἅπερ ἂν

[59] Al. λογίζοιτο.

ἐγγράφως διορίσηται, κἂν παρὰ τοῦ προεστῶτος τῶν σεκρέτων ἀναφέρωνται ἢ τῶν ὑπ᾽ αὐτὸν σεκρετικῶν ἢ τῶν ἄλλων ἁπάντων, ὧν αἱ ὑπομνήσεις ἢ αἰτήσεις ἢ κρίσεις ἑτοιμασθήσονται ἐπὶ συμπαθείαις δημοσιακαῖς ὀφλημάτων, τὸ κῦρος ἕξουσι μόνιμον ὡς παρὰ τοῦ γαληνίου κράτους τῆς βασιλείας μου οἰκονομούμενα καὶ ἐξ αὐτοῦ τοῦ στόματος αὐτῆς τὰ γραφέντα ἀποστοματιζόμενα. οἷαι γὰρ ἂν λύσεις παρ᾽ αὐτῆς ἀποφανθήσονται ἢ καὶ προστάξεις ἔγγραφοι ἢ ἄγραφοι, κἂν εὔλογοι κἂν ἀνεύλογοι, σφραγῖδα φέρουσαι αὐτῆς τὴν μεταμόρφωσιν καὶ τὴν κοίμησιν, ὡς αὐτῆς τῆς βασιλείας μου λογισθήσονται· τὸ[60] δὲ „μηνὶ" τοῦ κατὰ τὴν ἡμέραν διοικοῦντος τὰ σέκρετα. ἀλλὰ καὶ ἐπὶ προβολῶν καὶ διαδοχῶν τῶν σεκρέτων καὶ τῶν θεμάτων καὶ ἐπὶ τοῖς ἀξιώμασι καὶ ὀφφικίοις καὶ δωρεαῖς ἀκινήτων βασιλικῶν ἡ ἁγία μήτηρ αὐτῆς ἕξει ἄδειαν ὃ δόξει ταύτῃ ποιεῖν. ἀλλὰ καὶ εἴ τινες προβληθήσονται εἰς τὰ σέκρετα ἢ καὶ εἰς θέματα καὶ διαδεχθήσονται, τιμηθήσονται δὲ καὶ ἐν μεγίστοις ἀξιώμασι καὶ μέσοις καὶ ἐλαχίστοις, ἔσονται εἰς τὸ ἑξῆς ἀμετακίνητοι καὶ ἀμετάπτωτοι. ἀλλὰ καὶ αὐξήσεις ῥογῶν καὶ προσθήκας δόσεων, καὶ συμπαθείας τῶν λεγομένων συνηθειῶν, καὶ σχιδευμοὺς καὶ ἀποσχιδευμοὺς προστάξει αὕτη ἀνενδοιάστως. καὶ περιεκτικῶς εἰπεῖν οὐδὲν ἀσυντελὲς λογισθήσεται, ὅπερ αὐτὴ κελεύσει ἐγγράφως τε καὶ ἀγράφως· τὰ γὰρ ῥήματα ταύτης καὶ τὰ προστάγματα ὡς τῆς βασιλείας μου λογισθήσονται, καὶ οὐδὲν τούτων ἀθετηθήσεται, ἀλλὰ καὶ κύρια καὶ μόνιμα ἔσονται εἰς τοὺς ἑξῆς χρόνους. καὶ οὔτε εὐθύνην οὔτε ἡντιναοῦν ἀνάκρισιν ὑποπτεύσει νῦν ἢ εἰς τὸ μετέπειτα παρ᾽ οὑτινοσοῦν τῶν ἁπάντων οὔτε τὶς τῶν ἐξυπηρετουμένων αὐτῇ ἢ αὐτὸς ὁ κατὰ τὴν ἡμέραν λογοθέτης τῶν σεκρέτων, κἂν εὔλογα κἂν παράλογα τὰ πραχθησόμενα δόξῃ· τὸ γὰρ παντελῶς ἀλογοπράγητον ἕξουσιν ἐσαεί, ὁποῖα ἂν καὶ εἴη, τῷ παρόντι χρυσοβούλλῳ λόγῳ στηριζόμενα.

---

[60] Vulgo: τῷ.

NOVELLAE CONSTITUTIONES

IMPERATORUM

POST JUSTINIANUM

QUAE SUPERSUNT

COLLATAE ET ORDINE CHRONOLOGICO DIGESTAE.

COLLATIO PRIMA.

Novellae constitutiones annorum 566—866.

NOV. I.

Imp. Justini

de remissione reliquorum publicorum. (A. 566.)[1]

Περὶ συγχωρήσεως λοιπάδων δημοσίων.

Ὅσην περὶ τὰ κοινὰ τῶν πραγμάτων εὐθὺς ἐκ προοιμίων τῆς ἡμετέρας βασιλείας ἐποιησάμεθα πρόνοιάν τε καὶ σπουδὴν τῆς παραδοθείσης ἡμῖν ἐκ θεοῦ πολιτείας κηδόμενοι, ἐξ ὧν ἤδη πεπράχαμεν φανερὸν κατεστήσαμεν ἅπασι. τὸ γὰρ δημόσιον χρέεσι πολλοῖς καταπεφορτισμένον εὑρόντες καὶ πρὸς τὴν ἐσχάτην ἀπορίαν ἐλάσαν[2], εἰς ἑαυτοὺς ἡμεῖς ἀνεδεξάμεθα τὸ ὄφλημα, βάρους τε καὶ δυσχερείας πολλῆς ἀπαλλάξαντες τοῦτο. καὶ τὸ στρατιωτικὸν δὲ παραῤῥυὲν ἤδη τῇ τῶν ἀναγκαίων ἀπορίᾳ, ὡς τὸ πολίτευμα ταῖς τῶν βαρβάρων ἐφόδοις τε καὶ ἐπιδρομαῖς ἀμέτροις καταβλάπτεσθαι, καθ' ὅσον γέγονεν ἡμῖν δυνατὸν τῆς δεούσης ἐπανορθώσεως ἠξιοῦμεν*. πλὴν ἀλλ' οὐκ ἄχρι τούτων καὶ μόνων δεῖν ᾠήθημεν τὴν περὶ τοὺς ὑπηκόους στῆναι βοήθειαν, ἀλλὰ καί τινος ἄλλης μεταδοῦναι φιλανθρώπου γνώμης τοῖς ὑποτελέσι νενομίκαμεν χρῆναι, ἐλευθέρους αὐτοὺς τῶν παρ' αὐτῶν ἐλλειμμάτων ὀφειλομένων τῷ δημοσίῳ ποιήσαντες.

---

[1] Haec Novella in collectione Novellarum Justini in Codice Marciano prima est, sed etiam in Collectione 168 Novellarum tanquam Nov. 148 habetur. Hinc eam primi ediderunt Haloander et Scrimgerus, quorum ille Bononiensi hic Palatino codice usus est. Epitomen praestant Athanasius et Theodorus in suis Novellarum commentariis. — Inscriptio Novellae apud Athanasium haec est: Ἰουστῖνος Αὔγουστος. Ἔδικτον. — Interpretationi hujus Novellae subserviunt Nov. Justiniani 147, et infra Nov. XI. [2] Hal. ἐλασθέν. * Vulgo ἀξιοῦμεν.

Hal. 217
Gr. 422/3
Lat. Ubs II Test. 9.
245

α΄. Κοινὴν τοίνυν καὶ ταύτην ἡμῶν τὴν εὐεργεσίαν εἰς ἅπαντας ἐπεκτείνοντες συγχωροῦμεν τοῦ προλαβόντος χρόνου μέχρι τῆς octavας ἐπινεμήσεως καὶ αὐτῆς τοῦ ἐνεστῶτος κύκλου[3] τὰ ὀφειλόμενα παρὰ τῶν ὑποτελῶν ἐλλείμματα τῷ δημοσίῳ, καὶ θεσπίζομεν, μηδεμίαν εἴσπραξιν γενέσθαι τῶν ἐν λοιπάσιν ὀφειλομένων ἄχρι τῆς εἰρημένης ἐπινεμήσεως, εἴτε τὴν γενικήν, εἴτε τὴν ἰδικὴν τράπεζαν τῆς σῆς ἐνδοξότητος ταῦτα ὁρᾷ, ἢ τὴν ἀρχὴν τῶν παρὰ ἰλλυρίοις ἱερῶν πραιτωρίων, ἢ τοῦ ἐνδοξοτάτου ἰουστινιανοῦ[4] ἐπάρχου τῶν ἐπὶ μυσίας καὶ σκυθίας στρατιωτικῶν καταλόγων, ἢ καὶ τῶν θείων ἡμῶν θησαυρῶν, ἢ τοῦ ἱερωτάτου ἡμῶν ταμιείου, ἢ τοῦ θείου πατριμωνίου, ἢ τοῦ μεγαλοπρεπεστάτου κουράτωρος τῶν οἰκιῶν[5]· ἀλλὰ πᾶν, ὅσον ἔν τε χρυσίῳ καὶ ἀργύρῳ καὶ ἑτέροις εἴδεσι κεχρεωστημένον εἴη, τοῦτο πᾶσι τοῖς ὀφείλουσι συγχωρείσθω, ὥστε οὐδὲ γεωργοί, οὐδὲ μισθωταί, οὐδὲ ἐμφυτευταί, οὔτε μὴν οἱ κεκτημένοι εἰσπραχθήσονται τὰ ὀφειλόμενα τῷ δημοσίῳ ἐλλείμματα τῶν ἄχρι τῆς εἰρημένης ἐπινεμήσεως καὶ αὐτῆς χρόνων.

β΄. Ἐξαιροῦμεν δὲ ταύτης ἡμῶν τῆς φιλοτιμίας τάς τε στρατιωτικὰς καὶ φοιδερατικὰς διακουσσίωνας. ταύτας γὰρ τῶν ὑποτελῶν οὐδὲ ὅλως καθάπτεσθαι συμβαίνει, ἢ[6] ἐκείνων καὶ μόνων τῶν ἐκ τοῦ δημοσίου χρήματα χορηγηθέντων, εἰς κέρδος τε οἰκεῖον ἀπενεγκαμένων τὰ τοῖς στρατιωτικοῖς τάγμασιν ἢ φοιδερατικοῖς ἐπιδοθέντα παρὰ τοῦ δημοσίου. ἔπειτα καὶ εἴ τινα[7] παρὰ τοῖς λεγομένοις ὑποδέκταις ἢ ἀπαιτηταῖς ἢ ἐκλήπτορσιν ἢ ἐν χρυσίῳ ἢ ἐν ἀργύρῳ καὶ τῶν ἄλλων τῶν ἐν εἴδει τελουμένων εὑρεθεῖεν παρὰ τῶν ὑποτελῶν καταβληθέντα, εἰσπραχθήσονται καὶ αὐτὰ καὶ καταβληθήσονται οἷς προσήκει τῶν εἰρημένων ἡμῖν ἀρχόντων. τὸν ὅμοιόν τε τρόπον καὶ τοὺς ἄλλους ἅπαντας τοὺς λαβόντας τῶν ἡμετέρων συντελῶν χρυσίον ἢ ἕτερόν τι ἐκ τῶν εἰρημένων ἡμῖν ἐπινεμήσεων, καὶ τοῦτο μὴ καταθέντας εἰς τὸ δημόσιον, εἰ καταθεῖναι προσῆκον ἦν, ἐξαι-

---

[3] i. e. usque ad Kalendas Septembr. anni 560. [4] Biener et Mortreuil de Justiniano imperatore cogitaverunt. Propius ad veritatem accesserunt Schneider et Osenbrüggen (cf. edit. C. J. Kriegel III. p. VI). Scilicet intelligitur „*Justinianus quaestor exercitus,*" de quo cf. Athanas. IV, 12. [5] Hal. *οἰκείων*. Athanas. Epit. Nov. ed. Heimb. p. 177: *οἰκιῶν*. [6] Hombergk *πλὴν ἐκείνων*, Osenbrüggen *εἰ μὴ ἐκ* legi vult. [7] Hal. *εἰ δέ τινα*. Scrimg. *εἰρημένα καὶ εἴ τινα*. Hinc ego conjeci: *ἔπειτα καὶ*, ut mox *τὸν ὅμοιον δὲ τρόπον*. Sed forte legendum: *ἐξαιροῦμεν καὶ εἴ τινα*. Osenbrüggen conjecturam proposuit: *εἴγε μὴν καί τινα*.

ροῦμεν τῆς παρούσης ἡμῶν δωρεᾶς, ὥστε τοῦτο[8] ἐπὶ τὸ δημόσιον ἢ καὶ οἷς ἂν ἁρμόζῃ τὰ τοιαῦτα καταβαλεῖν. τοὺς γὰρ ὑποτελεῖς ἐλεοῦντες τῆς παρούσης ἠξιώσαμεν φιλανθρωπίας, οὐ μὴν τοὺς παρ᾽ αὐτῶν τὰ δημόσια προλαβόντας χρήματα, ἀποστερεῖν τε τὸ δημόσιον βουλομένους ἤγε ἐκείνους, ὅπου ἂν ἐκτεταγμένοι τύχοιεν ὄντες. πρόδηλον δέ, ὡς εἴ τινες ταύτης ἡμῶν προαισθόμενοι τῆς φιλοτιμίας ὑπὲρ τῶν συγχωρουμένων ἐλλειμμάτων κατά τινα περίνοιαν ἐκ τῶν ὑποτελῶν ὁμολογίας ἢ ἀντιφωνήσεις εἰλήφασιν, ἢ καὶ εἰς ἰδιωτικὰ μετατεθείκασι χρέα, ἢ ἄλλο τι πρὸς περιγραφὴν τοιοῦτό τι μελετήσαντες ἢ πράξαντες φανεῖεν, οὐδὲν ἐξ αὐτῶν ὄφελος ἕξουσιν, ἀναδώσουσι δὲ τὰς ὁμολογίας παρ᾽ ὧν ἐκομίσαντο ταύτας. ἅπαντες δὲ χάριτας θεῷ τε καὶ ἡμῖν ὁμολογήσουσιν, οἱ μὲν ὀφείλοντες τὰ ἐλλείμματα τῆς τούτων συγχωρήσεώς τε καὶ φιλανθρωπίας ἀξιωθέντες, οἱ δὲ οὐδὲν ὑπὲρ ἐλλειμμάτων ὀφείλοντες ἀπηλλαγμένοι φροντίδος τῆς τῶν ἀποδεξαμένων ἕνεκα παραφυλακῆς, ὡς μὴ τούτους[9], οἷα[10] παρεμπίπτει πολλάκις, ὑπὲρ τῶν αὐτῶν ἐνοχλεῖσθαι χρόνων· πάλιν δὲ ζυγοκλεπτήσαντες[11] παρίτωσαν ἄχρι τῆς ὀγδόης ἐπινεμήσεως ἔχοντες τὸ ἀμέριμνον, ὡς εἰς πάντας εἰκότως τὴν παροῦσαν ἡμῶν διανομεῖν[12] δωρεάν.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου ἡμῶν πραγματικοῦ[13] νόμου δηλούμενα ἡ σὴ ἐνδοξότης γράμμασι χρωμένη κατὰ τήνδε τὴν βασιλίδα πόλιν ἅπασι φανερὰ καταστήσει[14].

---

[8] Legerim τούτους. [9] Legerim τούτοις, hoc sensu: *ut sibi caveant a perceptoribus, ne ab his super iisdem temporibus inquietentur.* [10] Sic lego. Scrimg. οἷς. Haloander longe aliter: ὡς μὴ τούτους παρεμπίπτειν καὶ ὑπὲρ κτλ. [11] Fortasse a ζυγόν et κλέπτω (licet ζυγοκλοπήσαντες rectius inde effingeretur) hoc sensu: *rursus autem jugum furati* i. e. *metu liberati usque ad* VIII *indictionem securitatem habentes degant.* [12] Scrimg. διανέμειν. Forte διαμένειν. [13] Deest apud Hal. [14] Biener Gesch. der Novv. p. 528 hanc Novellam ind. XIV vel XV i. e. anno 566 vel 567 tribuit. (Quae Bienerus l. l. p. 96 protulit, non quadrant, sicuti recte monuit Osenbrüggen in praef. p. VI ad P. III. Corp. Jur. Kriegel.) Apud Athanasium nulla subscriptio est. Theodorus: ἐξεφωνήθη ἐν τοῖς χρόνοις βασιλείας ἰουστινιανοῦ. Equidem illam anno 566 (sive anno I imperii Justini) vindicaverim, tum quod regia hujusmodi donatio initio imperii apprime convenit, tum quod collectio Novellarum Justini in Codice Marciano, quae ordinem chronologicum sequitur, hanc nostram primo loco posuit Novellam.

NOV. II.

Imp. Justini

ut consensu matrimonium solvi possit. (A. 566.)[1]

Ὥστε δύνασθαι κατὰ συναίνεσιν λύειν τὸν γάμον.

Γάμου[2] *σεμνότερον ἀνθρώποις οὐδέν ἐστιν, ἐξ οὗ παῖδες καὶ τῶν ἐφεξῆς γενῶν διαδοχαί, χωρίων τε καὶ πόλεων οἰκήσεις, καὶ πολιτείας ἀρίστης σύστασις. διὸ τοὺς γάμους εὐτυχεῖς εἶναι τοῖς συμβάλλουσιν οὕτως εὐχόμεθα, ὡς μή ποτε σκαιοῦ δαίμονος ἔργον τούτους γενέσθαι, μηδὲ τοὺς γήμαντας ἀπ' ἀλλήλων χωρίζεσθαι δικαίαν τῆς τοῦ γάμου λύσεως οὐκ ἔχοντας πρόφασιν. ἀλλ' ἐπειδήπερ δύσκολον εἰς πάντας ἀνθρώπους τοῦτο φυλάττεσθαι (ἐν γὰρ πλήθει τοσούτῳ μὴ καί τινας παρεμπίπτειν ἀλόγους δυσμενείας τῶν ἀμηχάνων καθέστηκε), προσήκειν ἐνομίσαμεν τούτου ἐξευρεῖν τινα θεραπείαν, καὶ μάλιστα ἔνθα τὰ τῆς μικροψυχίας εἰς τοσοῦτον ἀρθείη, ὡς καὶ μῖσος ἀδιάλλακτον ἐγγενέσθαι τοῖς συνοικοῦσι. τὸ μὲν οὖν παλαιὸν ἐξῆν ἀκινδύνως τοὺς τοιούτους ἀπ' ἀλλήλων χωρίζεσθαι, κατὰ κοινὴν γνώμην τε καὶ συναίνεσιν τοῦτο πράττοντας, ὥστε καὶ νόμους κεῖσθαι πολλοὺς τοῦτο λέγοντάς τε καὶ διορίζοντας, καὶ* bona gratia *τὴν οὕτω προϊοῦσαν λύσιν τῶν γάμων τῇ πατρίῳ καλοῦντας φωνῇ. ὕστερον δὲ τῷ τῆς θείας λήξεως γενομένῳ ἡμῶν πατρί, εὐσεβείᾳ τε καὶ σωφροσύνῃ τοὺς πώποτε βεβασιλευκότας ἅπαντας ὑπερβαλομένῳ, πρὸς τὴν ἑαυτοῦ χρηστήν τε καὶ βεβαίαν ἀποβλέψαντι προαίρεσιν, οὐ μὲν τῆς τῶν ἄλλων ταλαιπώρου τε καὶ μικροψύχου γνώμης στοχασαμένῳ, γέγραπται νόμος*[3]*, εἴργων κατὰ συναίνεσιν λύεσθαι τοὺς γάμους, ὃν ἠβουλόμεθα καὶ ἡμεῖς σφόδρα κρατεῖν καὶ μένειν ἐφ' ἑαυτοῦ. πολλοὶ δὲ προσῆλθον ἡμῖν τὸν πρὸς ἀλ-*

[1] Ex collectione Novellarum Justini primus edidit Scrimgerus. Sed et in Collectione 168 Novellarum No. 140 recepta erat, eamque tractaverunt Athanasius in Epitome et Theodorus in Breviario Novellarum. Particulam ejus refert Scholiasta ad Synopsin in edit. Leunclaji p. 303. Versionem antiquam ex Codice, qui nunc est Paris. 4568, L. Miraeus in editione Juliani p. 190 adjecit. Caeterum conferas ad hanc Justini Novellam infra Nov. XXX. Abrogavit eam Basilius: cf. Prochiron XI, 4. Epan. XXI, 4 schol. f. Proinde in Basilica non est recepta. Videsis Schol. ad Syn. l. l. Basil. XXVIII, 7, 8 schol. 2. Bals. ad Photii Nom. XIII, 4. [2] In versione antiqua praecedit inscriptio: *Imp. Caesar Fl. Justinus Alamannicus Gotthicus Francicus Alanicus Vandalicus Africanus pius felix gloriosus victor ac triumphator semper colendus Augustus Juliano Pf. U. Constantinopolitanae.* Apud Athanasium est: *ὁ αὐτοκράτωρ Ἰουστῖνος Ἰουλιανῷ ἐπάρχῳ πόλεως.* [3] Nov. Justiniani 117.

λήλους γάμον μισοῦντές τε καὶ ἀποστρεφόμενοι, πολέμους τε καὶ μάχας οἴκοι διὰ τοῦτο γενομένους αἰτιώμενοι (τοῦτο ὅπερ λίαν ἐπώδυνον καὶ ἄλλως ἀνιαρὸν καθέστηκε), διαλύειν τε τοῦτον δεόμενοι, κἂν αἰτίας οὐκ εἶχον λέγειν, ἐξ ὧν ἀδεῶς ὁ νόμος ἐδίδου τοῦτο ποιεῖν αὐτοῖς. τὴν δὲ περὶ ταῦτα τούτων ἐπιθυμίαν τε καὶ σπουδὴν ἐπί τινα χρόνον ἀνεβαλλόμεθα, ποτὲ μὲν παραινοῦντες ποτὲ δὲ καὶ ἀπειλοῦντες παύσασθαι τοῦ κατ᾽ ἀλλήλων ἀλόγου μίσους, πρὸς ὁμόνοιάν τε χωρεῖν καὶ τῆς καλλίονος γίνεσθαι γνώμης. ἐπράττομεν δὲ πλέον οὐδὲν, ἐπεὶ δύσκολον διαλλάξαι τοὺς ἅπαξ ἀλογίστῳ πάθει τε καὶ μίσει κεκρατημένους. ἐνίους γὰρ τούτων συμβέβηκε καὶ πρὸς ἐπιβουλὰς χωρῆσαι κατ᾽ ἀλλήλων, δηλητηρίοις τε καί τισιν ἄλλοις εἰς θάνατον ἄγουσι χρήσασθαι, ὥστε μηδὲ παῖδας αὐτοῖς γενομένους πολλάκις ἰσχύειν εἰς μίαν καὶ τὴν αὐτὴν τούτους γνώμην συνάπτειν.

α΄. Ταῦτα τοίνυν ἀλλότρια τῶν ἡμετέρων εἶναι κρίναντες χρόνων ἐπὶ τὸν παρόντα θεῖον εἴδομεν νόμον, δι᾽ οὗ θεσπίζομεν, ἐξεῖναι κατὰ τὸ παλαιὸν τὰς ἐκ συναινέσεως διαλύσεις ἐπὶ τῶν γάμων ποιεῖσθαι, κρατεῖν δὲ μηκέτι τὰς τεταγμένας ποινὰς τῇ διατάξει[4] τοῦ ἡμετέρου πατρὸς ἐπὶ τῶν κατὰ συναίνεσιν τοὺς γάμους διαλυόντων. εἰ γὰρ ἀμοιβαδὸν ἡ διάθεσις τοὺς γάμους συνίστησιν, εἰκότως ἐναντία γνώμη τούτους κατὰ συναίνεσιν διαλύει τῶν ταύτην δηλούντων στελλομένων διαζυγίων[5]. πρόδηλον δὲ, ὡς τὰ ἄλλα πάντα, ὁπόσα τοῖς νόμοις καὶ διαφερόντως ταῖς θείαις ἡμῶν* διατάξεσι τοῦ ἡμετέρου πατρὸς διηγόρευται περί τε τῶν γάμων καὶ τῶν παίδων καὶ τῶν αἰτιῶν, ἐξ ὧν ἐπιτέτραπται διαλύειν τὸν γάμον, ἢ καὶ λόγου χωρὶς, οὐ κατὰ κοινὴν μέντοι γνώμην καθάπερ ὁ παρὼν ἡμῶν διατάττει θεσμὸς τοῦτο πραττόντων, καὶ τῶν διωρισμένων αὐταῖς ποινῶν κρατήσει καὶ ἐκ τοῦ παρόντος ἡμῶν νόμου καὶ διὰ πάντων ἕξει τὴν ἰδίαν ἰσχύν.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦ παρόντος θείου δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης τῷ συνήθει τρόπῳ φανερὰ πᾶσι γενέσθαι προσταξάτω κατὰ τὴν βασιλίδα ταύτην πόλιν. *Dat. XVIII. Kal. Octob. Chalcedone Imp. DN. Justini PP. Aug. ann. I. indict. XV.*[6]

---

[4] Pro τῇ διατ. scholiasta Synopseos διὰ legit. Sed versio antiqua: „*in constitutione nostri patris.*" * Deleverim. [5] Idem: τῶν ταύτῃ δηλονότι στελλομένων διαζύγιον, quam lectionem comprobat Leunclav. Notat. in Otto thesaur. III. p. 1560. [6] Ita est subscriptio in versione antiqua. Scrimg.: „Dat. XVII—CP — anno I."

NOV. III.

Imp. Justini
de iis qui in Mesopotamia et Osroëne et Euphratensi illicitas nuptias contraxerunt. (A. 566.)[1]

Περὶ τῶν ἐν ὀσροηνῇ καὶ μεσοποταμίᾳ γάμους ἀθεμίτους συναλλαξάντων.

Ὁ αὐτὸς βασιλεὺς πέτρῳ κόμητι τοῦ θείου ταμείου.

Τῇ τῶν νόμων ἀκριβείᾳ καὶ βασιλικὴν ἐγκαταμῖξαι φιλανθρωπίαν ἔστιν ὅτε τῶν προσηκόντων καθέστηκε, καὶ μάλιστα ἡνίκα τοὺς ὑπηκόους πολλῆς ζημίας τε καὶ βλάβης ἐξαιρεῖται τοῦτο πραττόμενον, ὁποῖον κατὰ τὸ παρὸν τῷ ἡμετέρῳ ποιεῖν ἔδοξε κράτει. τῷ γὰρ ἡμετέρῳ πατρί, μετὰ τῶν ἄλλων ἀγαθῶν καὶ σωφροσύνης ἀντεχομένῳ πολλῆς, νόμος[2] γέγραπται, τοὺς ἀθεμίτοις ὁμιλοῦντας γάμοις κολάζων τε καὶ ζημιῶν, καὶ πρὸς τὸ δέον ἐπανάγων ὡς μὴ τῆς φύσεως αὐτῆς ἐπιθυμεῖν ὑπερόρια. καὶ καλὸς ὁ νόμος καὶ σφόδρα ἡμῖν ἀρέσκων, ὥστε καὶ κύριον ἡγούμεθα τοῦτον καὶ κρατεῖν κελεύομεν πάντως. ἀλλὰ προσῆλθον ἡμῖν πολλοὶ ἐκ μεσοποταμίας τε καὶ ὀσροηνῆς καὶ εὐφρατησίας τῶν ἐπαρχιῶν (οὐ πολὺ δὲ τοὺς* περσῶν ταύτας διεστάναι) διδάσκοντες, τινὰς μὲν ἀγνοίᾳ τοῦ νόμου, τινὰς δὲ νικηθέντας τῷ πάθει τῆς ἐπιθυμίας τῇ τῶν περσῶν ἐπιμίξει καὶ τῶν ἐπ' αὐτοῖς σαρακηνῶν παρανόμοις συναφθῆναι γάμοις, ὥστε τούτων ἐνίοις παῖδάς τε καὶ ἐγγόνους γενέσθαι. ταύτην τε πρόφασίν τινας μὲν τῆς σφῶν αὐτῶν πλεονεξίας λαβόντας, βραχύ τι καταβάλλειν καθ' ἕκαστον ἔτος ἐπὶ τὴν τῆς σῆς ἐνδοξότητος ἀρχὴν καὶ προστάξεις κομίζεσθαι ἀναζητεῖν τὰ τοιαῦτα καὶ ἐκδικεῖν βουλομένας· τοὺς δὲ ἐπιτετραμμένους ταῦτα ποιεῖν αἰσχροῦ κέρδους ἕνεκα συκοφαντίαις τοὺς πολλοὺς ἀδικεῖν, ἐπηρεάζειν καὶ πράγματα τοῖς ἀνευθύνοις παρέχειν. καὶ τελευτησάντων πολλάκις τῶν ἀθεμίτως συναφθέντων ἀλλήλοις τοὺς ἐκείνων παῖδάς τε καὶ ἐγγόνους καὶ ἐπεγγόνους οὐδὲν ἡμαρτηκότας εἰσπράττειν δίκας, ὑπὲρ ὧν οἱ τούτων γονεῖς καὶ πρόγονοι συνῆλθον εἰς γάμον ἀλλήλοις. καὶ ταῦτα λέγοντες τῆς τοῦ ἡμετέρου κράτους ἠξίουν φιλανθρωπίας τυχεῖν.

Athanas.: *Δατ.* XVIII *Ὀκτωβρίων ἐν Χαλκηδόνι βασιλείας καὶ ὑπατείας Ἰουστίνου Αὐγούστου εἰς ια'* (Heimb. legi vult *τὸ α'*). Theodor.: *ἐξεφωνήθη ἐπὶ τοῦ πρώτου ἔτους ἰουστινιανοῦ τοῦ εὐσεβεστάτου.*

[1] In collectione Novellarum Justini est Nov. III: inde primus edidit Scrimgerus.
[2] Nov. Justiniani 154. * Malim *τῶν*.

α΄. Ἡμεῖς τοίνυν τὰς τούτων δεήσεις προσιέμενοι θεσπίζομεν, μηδένα καθάπαξ ἐν ταῖς τρισὶν ἐπαρχίαις τῶν ἀθεμιτογαμίαις περιπεσόντων ἄχρι τῆς ἡμέρας, καθ᾽ ἣν ὁ θεὸς τὴν τῶν ῥωμαίων ἡμῖν ἐχαρίσατο βασιλείαν, πολυπραγμονεῖσθαι, ἢ διὰ τοῦτο δυσκολίαις τε καὶ ζημίαις ὑπάγεσθαι. τὸ γὰρ παρελθὸν ἄχρι τότε συγχωροῦμεν ex speciali beneficio, κἂν τὸ ἱερώτατον ἡμῶν ταμεῖον ζημιοῦται καὶ στερεῖται[3] τῶν ἐκ τοῦ νόμου κατὰ ταύτην αὐτῷ διδομένων τὴν πρόφασιν. τοῦτο δὲ πράττομεν, οὐχ ὡς ἀμελοῦντες τῆς σωφροσύνης ἢ τοῦ περὶ ταύτης τεθέντος νόμου, ἀλλὰ τοῖς ἐπὶ μικροῖς ἐκλαμβάνουσιν ἐκ τοῦ φίσκου τὰ τοιαῦτα, βίους τε καὶ οὐσίας πολλῶν ἐν ταῖς εἰρημέναις ἐπαρχίαις διασείουσι καὶ κοινὰς ἀπεργαζομένοις συμφορὰς πᾶσαν πλεονεξίας ἀναιροῦντες πρόφασιν. ὅθεν τὸν νόμον κρατεῖν κελεύομεν καὶ τὰ διωρισμένα τούτῳ κατὰ τῶν ἀθεμιτογαμούντων ἐπιτίμια πανταχόσε τῆς ἡμετέρας πολιτείας, ἔν τε ταῖς μικρῷ πρόσθεν εἰρημέναις ἐπαρχίαις ἐξ ἀρχῆς τῆς ἡμετέρας βασιλείας. φιλανθρωπίας γὰρ ἅμα καὶ συγγνώμης ὑπὲρ τοῦ φθάσαντος ἐκείναις μεταδεδώκαμεν, ὡς τῶν ἐν αὐταῖς οἰκούντων πέρσαις πλησιαζόντων καὶ τοῖς ὑπ᾽ αὐτοὺς τελοῦσι βαρβάροις σαρακηνοῖς, καί τι καὶ παθόντων ἀνθρώπινον, καὶ μιμησαμένων ἐκείνους, καὶ τῶν τῆς φύσεως πρατῆσαι παθῶν οὐ δυνηθέντων.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα τύπου ἡ σὴ ἐνδοξότης καὶ ὁ κατὰ καιρὸν τῆς αὐτῆς ἡγησόμενος ἀρχῆς ἔργῳ καὶ πέρατι παραδοῦναι καὶ παραφυλάξαι σπευσάτω. *Dat. Kal. Jan. Constant., Imp. DN. Justini PP. Aug. anno I.*

NOV. IV.

Sacra Justini Imperatoris pro privilegiis concilii Vizaceni et ut nullus episcoporum audeat navigare sine consensu primatis. (A. 568.)[1]

Imperator Justinus Augustus, spes in Deum, viro beato archiepiscopo Vizacenae provinciae.

Quum et privatis hominibus donata privilegia pietas nostra observare curavit, hoc ipsum multo magis et in sanctis ecclesiis

---

[3] Scrimg. στερῆται.

[1] Haec ex bibliotheca P. Pithoei prodiit in editione Juliani. Basil. 1576. p. 240.

custodiri necessarium esse putamus. Petivit igitur tua beatitudo per Evasium reverendissimum diaconum, divinas regulas atque privilegia data sancto concilio tuo vel ecclesiae tuae inviolata custodiri: ut si quando contra clericos accusatio processerit, quae pertineat[2] ad divinas regulas, non aput judices civiles aut militares causae examinatio procedat, sed ad tuam beatitudinem, sicut et pater noster[3] per divinos apices constituit.

1. Quapropter sancimus secundum divinarum regularum tenorem atque dispositionem patris nostri, episcopos sive omnes clericos subjectos tuae beatitudini, si accusantur ab aliquo, sub tua audientia satisfacere in his quae ad regularem ordinem pertinent: quia nostra pietas haec ipsa[4] atque privilegia data sancto concilio tuo praevidit confirmare.

2. Super haec petisti, ut quando opus fuerit ad nostram pietatem tuos responsales dirigere, nullus eos prohibeat navigare: quod et nobis placuit, ut nihil necessariorum lateat nostras aures. Unde licentiam tuae beatitudini damus, ut quando opus fuerit aut ecclesiae tuae aut communi provinciae ad serenitatem nostram aliquem transmittere docturum causas necessarias, sine aliquo impedimento dirigere[5] eum, ut veritatem audientes quicquid oportet fieri statuamus. Alios vero episcopos illius provinciae si necessariae causae emerserint ad nos dirigere aut ad nostram venire pietatem, cum voluntate primatis hoc faciant.

Haec ergo tua beatitudo effectui tradere observareque procuret. *Legi. Dat. Kal. Majas Constantinop. imperii Domini Iustini PP. Aug. Ann. III.* [*post*] *Cons. ejusdem II.*

NOV. V.

Imp. Justini
ut gratis fiant provinciarum praesides. (A. 569.)[1]

Περὶ τοῦ προῖκα τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας γίνεσθαι ἐκ δεήσεως τῶν τε θεοφιλεστάτων ἐπισκόπων καὶ κτη-

---

[2] Editus liber legit: *pertinent.* [3] Cf. duae illae jussiones Justiniani Imp. pro privilegio concilii Vizaceni. [4] Forte: *hunc ipsum* sc. ordinem. [5] Oratio *ἀνακόλουθος.* Fortasse paulo ante *si quando* pro *ut quando* legendum.

[1] Est in collectione Novellarum Justini quarta, unde Scrimgerus edidit. In collectione 168 Novellarum Nov. 149 locum obtinet. Athanasio incognita fuit, a Theodoro autem epitomata est.

τόρων καὶ οἰκητόρων τῶν ἐπαρχιῶν πρὸς τὸν εὐσεβέστατον βασιλέα, ἐφ' ᾧ τὸν ὀνομαζόμενον τὸ δημόσιον ἀσφαλίζεσθαι. εἰ δὲ ὑπέρθωνται τοῦτο πρᾶξαι, μηδενὶ προσιέναι κατὰ τοῦ ἄρχοντος ὁτιοῦν πράττοντος προφάσει τῶν δημοσίων.

Τῆς παρὰ τοῦ θεοῦ δεδομένης ἡμῖν πολιτείας κηδόμενοι καὶ ἐν πάσῃ δικαιοσύνῃ ζῆν τοὺς ἡμετέρους σπουδάζοντες ὑπηκόους, ἕνα σκοπὸν ἐξ ἀρχῆς τοῦτον ἐθέμεθα, ἅπαν εἴ τι πρῴην ἀτελὲς ἦν καὶ συγκεχυμένον ὑπῆρχε, τοῦτο καὶ ἐπανορθῶσαι καὶ τέλειον ἀποφῆναι. μεριμνήσαντες τοίνυν, ὅπως τό τε δημόσιον τό τε ὑπήκοον ἀβλαβές τε καὶ ἀζήμιον διατελοίη, διενοήθημεν ὅτι δὴ τοῦτο ῥᾳδίως ἕξομεν, εἰ τοὺς ἡγουμένους τῶν ἐπαρχιῶν προῖκα τὰς ἀρχὰς παραλαμβάνοντας καὶ τὸ δημόσιον ἀσφαλιζομένους ὀρθῶς τε καὶ νομίμως ἅπασι χρῆσθαι παρασκευάζωμεν, παντὸς ἀπεχομένους[2] τοῦτο μὲν ἀδικήματος τοῦτο δὲ καὶ λήμματος αἰσχροῦ τε καὶ ἄλλως ἀπηγορευμένου.

α'. Ἵνα τοίνυν μὴ ξένοι τινὲς ἐπεισπηδῶντες ταῖς ἐπαρχίαις ἀδικοῖεν αὐτάς, ἡμεῖς τε συχναῖς ταῖς κατ' αὐτῶν ἐνοχλοίμεθα προσελεύσεσι, προτρέπομεν τοὺς ἑκάστης ἐπαρχίας ὁσιωτάτους ἐπισκόπους, κτητόρων τε καὶ οἰκητόρων τοὺς ἄγοντας τὰ πρωτεῖα, διὰ κοινῆς δεήσεως ἀναφέρειν ἐπὶ τὸ ἡμέτερον κράτος τοὺς αὐτοῖς ἐπιτηδείως ἔχειν πρὸς τὴν ἀρχὴν τῆς αὐτῶν ἐπαρχίας νομιζομένους. τούτοις γὰρ τὰ σύμβολα τῆς ἀρχῆς δόσεως χωρὶς παρέξομεν ἀσφαλιζομένοις[3] τὸν δημόσιον εἰσάγειν κανόνα, παρεγγυῶντες αὐτοῖς τῶν νόμων ἐναντίον μηδὲν διαπράττεσθαι, ἢ μηδέ τινα βιάζεσθαι παρὰ τῶν ὑποτελῶν, ἀρκούμενοι[4] σιτήσεσιν ἐπαγρυπνεῖν τῇ τῶν δημοσίων φόρων εἰσπράξει, καὶ τοῖς μὲν περὶ τὰς εὐσεβεῖς εἰσφορὰς εὐγνωμονοῦσι πρᾴως τε ἅμα καὶ πατρικῶς προσφέρεσθαι, τοὺς δὲ ἀγνωμονοῦντας εἰσπράττειν σφοδρότερον, μηδὲν ὑπὲρ τούτου κέρδος οἰκεῖον παντάπασιν ἀποφερομένους. δεήσει δὲ αὐτοὺς οὐδὲν ἧττον καὶ τοῖς δικαζομένοις ἅπασι τὸν[5] ἴσον τε καὶ δίκαιον νέμειν, σὺν τάχει τε τούτους ἀπαλλάττειν βλέποντας πρὸς

---

[2] Scrimg. *ἀπεχόμενοι,* quod emendavit Agylaeus. [3] Scrimg. *ἀσφαλιζομένης.* Correxit Hombergk. [4] Hombergk *παρὰ* delendum et *ἀρκουμένους* legendum censet, ut nulla lacuna sit. Osenbrüggen vult legi: *διαπρ. μηδέ τινα βιάζεσθαι παρὰ τῶν ὑποτελῶν, ἀλλ' ἀρκουμένους.* Forte *τινὰ βιάζεσθαι παρὰ τ. ὑ.* significat „aliqua extorquere a tributariis", et ita sufficiet *ἀρκουμένους* scribere ut oratio procedat. [5] Malim *τό.*

τοὺς νόμους, ὡς μὴ καὶ δαπάναις καὶ χρόνοις μακροῖς αὐτοὺς ἐπιτρίβεσθαι· ἐπεξιέναι δὲ καὶ τοῖς ἁμαρτάνουσι, καὶ πρὸς τὸν νόμον ἐπάγειν τὰς τιμωρίας αὐτοῖς, καὶ πᾶσαν ἐπιδείκνυσθαι δικαιοσύνην.

β΄. Οὐ μόνον δὲ αὐτοῖς ταῦτα προαγορεύομεν, ἀλλὰ καὶ τοῖς ἀρχῆς ἑκάστης παρέδροις καὶ τοῖς ἄλλοις ὑπηρετουμένοις αὐταῖς. εἰ γάρ τις αὐτῶν ἢ περὶ τὴν τῶν δημοσίων εἴσπραξιν ῥαθυμίᾳ χρήσηται, ἢ ζημίαις ἢ ἐπηρείαις περιβάλοι τοὺς ἡμετέρους ὑποτελεῖς, τῆς τε οὐσίας ἐκπεσεῖται καὶ μεγίσταις ὑπαχθήσεται τιμωρίαις. ἡμῖν γὰρ ἡγουμένου θεοῦ μία τίς ἐστιν αὕτη σπουδὴ, τὰς ἐπαρχίας εὐνομεῖσθαί τε καὶ ἀσφαλῶς οἰκεῖσθαι, καὶ τῆς τῶν ἀρχόντων ἀπολαύειν δικαιοσύνης, τούς τε δημοσίους ἀμέμπτως εἰσάγεσθαι φόρους. οὐ γὰρ ἄλλως ἔνεστι τὸ πολίτευμα διασώζεσθαι μὴ τῶν εὐσεβῶν εἰσαγομένων τελεσμάτων, ἐξ ὧν τὸ μὲν στρατιωτικὸν τὰ τεταγμένα τούτῳ κομιζόμενον τοῖς τε πολεμίοις ἀντικαθίσταται καὶ ἐκ τῆς τῶν βαρβάρων ἐπιδρομῆς τε καὶ κακίας ἐξαιρεῖται τοὺς ὑποτελεῖς, φρουρεῖ δὲ καὶ τοὺς ἀγροὺς καὶ τὰς πόλεις ἐκ τῆς τῶν λῃστῶν καὶ τῶν ἄλλως ἄτακτον βίον ἐπανῃρημένων ἐπηρείας τε καὶ ἐφόδου, ἀπολαύει δὲ καὶ τὰ λοιπὰ τῶν ταγμάτων τῶν αὐτοῖς ἀπονεμηθέντων, τείχη τε καὶ πόλεις ἐπανορθοῦνται, δημοσίων τε βαλανείων ἐκπυρώσεις προΐασι, θεάτρων τε ἐπιμέλεια καὶ τῶν ἄλλων, ὁπόσα πρὸς θεραπείαν τῶν ὑπηκόων ἐξεύρηται· ὥστε τὰ παρ᾽ αὐτῶν συντελούμενα τὰ μὲν εἰς αὐτούς, τὰ δὲ καὶ δι᾽ αὐτοὺς δαπανᾶσθαί τε καὶ ἐπιδίδοσθαι, ἡμῖν δὲ καθάπαξ οὐδὲν ἐντεῦθεν ἢ τὰς ὑπὲρ τούτων ἔχειν συμβαίνει φροντίδας, πλὴν ἀλλ᾽ οὐδὲ ταύτας ἀμίσθους, τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ τῷ μεγέθει τῆς αὐτοῦ φιλανθρωπίας πολλοῖς ἡμᾶς καὶ διὰ τοῦτο τοῖς ἀγαθοῖς ἀμειβομένου.

γ΄. Ταῦτα μὲν οὖν ἡμεῖς τοῖς ἐν ταῖς ἐπαρχίαις ἅπαντα προκηρύττοντες, καὶ ταύτῃ δεικνύντες, ὅση τὶς ἡμῖν ἐστὶ περὶ τοὺς ὑπηκόους φιλανθρωπία, ἵλεώ τε καὶ εὐμενῆ τὸν θεὸν μᾶλλον ἕξομεν τῆς τῶν ὑποτελῶν ἀβλαβείας τοσαύτην τιθέμενοι πρόνοιαν. εἰ δὲ ταύτης ἡμῶν τῆς καλοκἀγαθίας ἐπιτυχόντες ὑπὲρ τὴν τῶν ἀρχόντων αἵρεσιν διαμάρτοιεν, οὐδένα παντελῶς ἢ σφᾶς αὐτοὺς αἰτιάσονται. εἰ δὲ καὶ ἀναβάλλοιντο τούτους ἐπιλέγεσθαι καὶ εἰς ἡμᾶς ἀναφέρειν, οὐκ ἔτι[6] δικαίως τοὺς

---

[6] Omnino legendum *οὐκ εἰ.*

ἐντεῦθεν ἐκπεμπομένους ἐν ταῖς ἐπαρχίαις διὰ τὴν τῶν δημοσίων συλλογὴν ἅπαντα πράττειν προαιρουμένους ἐπιμέμψοιντο, τοῦ λοιποῦ ἀνεξόμεθα προσιόντων αὐτῶν καὶ τούτους αἰτιωμένων. οἱ γὰρ τὴν ἐξουσίαν παρ' ἡμῶν λαβόντες τῆς τῶν ἀρχόντων ἐπιλογῆς, ἵνα τὰς ἀρχὰς προῖκα λαμβάνοντες τοὺς δημοσίους εἰσάγοιεν φόρους, αὐτοί τε παρ' αὐτῶν μηδαμῶς ἀδικοῖντο, ῥᾳθυμοῦντες οὗτοι περὶ τὴν τούτων ἐπιλογὴν ἀνεκτοὶ καθάπαξ οὐκ ἔσονται μεμφόμενοι τούτοις καὶ ταῖς κατ' αὐτῶν προσελεύσεσιν ἡμῖν ἐνοχλοῦντες. ἀναβολῇ δὲ χρήσεται καθάπαξ οὐδεὶς πρὸς τὴν ἐπικειμένων αὐτῷ δημοσίων φόρων καταβολὴν, οὐ θεῖος οἶκος, οὐχὶ ἁγιωτάτη ἐκκλησία, οὐκ εὐαγὲς πτωχεῖον ἢ μοναστήριον, ἀλλ' οὐδὲ μεῖζον ἢ ἔλαττον πρόσωπον. οὔτε δὲ πολιτευομένους οὐδὲ τοὺς λεγομένους ἐκλήπτορας, οὔτε μὴν τοὺς ἄλλους οἷς ἐπίκειται ἡ τῶν δημοσίων φόρων φροντὶς, ἐξαιροῦμεν τοῦ ἐντεῦθεν κινδύνου. τὰ γὰρ κοινῇ πᾶσι λυσιτελοῦντα προκρίνομεν τῆς ἀδίκου προαιρέσεως τῶν εἰς τὸ δημόσιον ἀγνωμονεῖν ἐθελούντων.

Ὥστε δὲ τὰ καλῶς ἡμῖν παραστάντα φανερὰ πᾶσι γενέσθαι, κελεύομεν τὴν σὴν ὑπεροχὴν κατά τε τὴν εὐδαίμονα ταύτην πόλιν καὶ μὴν καὶ ἐν ταῖς ἐπαρχίαις τὸ παρὸν θεῖον ἔδικτον προθεῖναι εἰς τοὺς περιφανεῖς ἑκάστης πόλεως τόπους, ὥστε μηδένα διαλαθεῖν τὴν ἐξηυρημένην πρόνοιαν τοῖς γαληνοτάτοις ἡμῖν[7] *ὑπέρ τε τοῦ δημοσίου καὶ τῆς τῶν ὑποτελῶν ἀβλαβείας. Dat. XV. Kal. Febr. Constantinop. Imp. DN. Justini PP. Aug. ann. IV*[8]*, post cons. ejusdem ann. III.*

NOV. VI.

Imp. Justini
de filiis adscriptitiorum et liberarum. (A. 570.)[1]

Imp. Caesar Flavius Justinus, fidelis in Christo, mansuetus, maximus benefactor, Alamannicus, Gotthicus, Francicus, Germanicus, Anticus, Vandalicus, Africanus, pius, felix, inclytus, victor ac triumphator, semper Augustus, Theodoro.

Die noctuque pro utilitate reipublicae subtiliter cogitantes, illa

---

[7] An *τῆς γαληνότητος* sive *τῇ γαληνότητι ἡμῶν*? [8] Scrimg. *ann. VIII.* Theodorus: *ἐξεφωνήθη μηνὶ φεβρουαρίῳ ἔτει δ' τῆς βασιλείας ἰουστινιανοῦ* (l. *ἰουστίνου*) *μετὰ τὴν ὑπατείαν αὐτοῦ τὸ β'.*

[1] Hanc Novellam e Codice Ranconeti, qui nunc est Paris. 4568, primus edidit

properamus renovare, quanta in locis opportunis sunt necessaria, et maxime pro tributis atque reditibus, sine quibus impossibile est aliquid agere prosperum. Suggessit autem tua magnitudo, maximam partem possessorum Africanae provinciae precibus suis intimare desolatos agros remansisse, quum divina lex[2] promulgata fuisset, constituens creatos ex libera matre et adscriptitio marito liberos esse (quod contrarium est legibus antiquis, quum illae manifeste decreverunt, talem sobolem adscriptitiam esse): ex hac enim licentia filii * adscriptitiorum praedia, in quibus nati sunt, dimittentes, et in aliis habitantes locis, tam fiscum quam dominos praediorum minuere. Et haec dicentes supplicaverunt corrigere hoc capitulum apud illam provinciam, sicut et pater noster praedictae legis lator in Illyricianam provinciam fecit, constituens[3] filios, qui nascuntur ex libera matre atque adscriptitio patre, liberos esse cum suis rebus, sed tamen colonos, ut non liceat terrulas, ubi nati sunt, relinquere et alienas colere.

1. His igitur nostrae serenitati suggestione tua relatis, necessarium esse perspeximus possessores subjectos nostros atque functiones publicas adjuvare. Unde sancimus, in Africana provincia filios ex libera matre et adscriptitio patre productos liberos quidem esse et res proprias habere, in ordine tamen colonorum esse, et non posse eos dimittere praedia, in quibus nati sunt, et excolere aliena, sed vicos ipsos, in quibus orti sunt, cum libertate colere; sic etenim nec fiscus, nec possessor laeditur, neque praedicti minuuntur, terras, ubi nati sunt, excolentes.

Theodore parens carissime atque amantissime. Quae igitur per hanc divinam pragmaticam sanctionem nostra sanxit aeternitas[4], tam tua magnitudo, quam qui post te eandem administrationem adepti fuerint, una cum officio suo effectui mancipare observareque procurent. *Dat. Kal. Mart. Constant. imp. DN. PP. Aug. Justini anno V. Indict. III. Et subscriptio imperialis: Vale Theodore parens carissime atque amantissime. Et: Quaestor legi. Dat. Kal. Mart. Const. imp. DN. Justino PP. Aug. anno V. post cons. eiusdem DN. anno IV*[5].

Cujacius Observ. IV, 28, deinde pleniorem Miraeus in calce Juliani. — Caeterum respicit ad hanc Novellam quae infra est Nov. XIII. [2] Sc. l. 24 C. *de agricolis et censitis.* * Forte: *filios.* [3] Videsis constitutionem Justiniani de his, qui ex adscriptitio patre et libera matre procreantur, ad Illyriorum praefectum datam, quam Miraeus primus edidit et editiones Corporis Juris fere sub finem Novellarum praestant. [4] Lege: *serenitas.* [5] Alii II.

NOV. VII.

Imp. Justini de Samaritanis. (A. 572.)[1]

Περὶ σαμαρειτῶν.

Ὁ αὐτὸς βασιλεὺς Διομήδει ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων[2].

Τὴν ἀσεβῆ τῶν σαμαρειτῶν αἵρεσιν καὶ τὴν παράλογον τούτων μανίαν πολλάκις ὅ τε τῆς εὐσεβοῦς λήξεως ἡμῶν πατὴρ καὶ ἡμεῖς αὐτοὶ διὰ σπουδῆς ἐθέμεθα πρὸς τὸ κάλλιον μεταγαγεῖν, καὶ τὰς αὐτῶν ἐλευθερῶσαι ψυχὰς τῆς ἐπικρατούσης αὐτὰς νόσου. ἀλλ᾽ οὐκ ἰσχύσαμεν ἐπὶ τοῖς πολλοῖς τούτων τὸ ἐσπουδασμένον ἡμῖν καὶ τοῖς πάλαι[3] πράξασθαι. κεχωρήκασι γὰρ εἰς τοσοῦτόν τινες αὐτῶν μανίας, ὥστε δὴ καὶ τοῦ σωτηριώδους τυχόντες βαπτίσματος πάλιν ἐπανῆλθον ὅθεν ἐξῆλθον κακοῦ, [καὶ][4] ταὐτὰ σαμαρείταις τιμῶντές τε καὶ λυττῶντες διηλέγχθησαν. ἔδοξε τοίνυν ἡμῖν ὀρθῶς ἔχειν τὸν πάλαι καὶ πρότερον κατ᾽ αὐτῶν τεθέντα παρὰ τοῦ ἡμετέρου πατρὸς νόμον[5] ἀνανεώσασθαι.

α΄. Καὶ διὰ τοῦτο θεσπίζομεν μὴ κληρονομεῖν αὐτοὺς ἐκ διαθηκῶν ἢ τούτων χωρίς, μηδὲ πρεσβεῖα λαμβάνειν, ἢ κατὰ δωρεᾶς τρόπον κομίζεσθαι[6] πρᾶγμα, ἀλλὰ μηδὲ κατὰ τὴν ἐξ ἀδιαθέτου κλῆσιν διαδόχους ἔχειν σαμαρείτας ἢ ὅλως αἱρετικούς, μηδὲ σχηματιζομένους μὲν τὴν ὀρθὴν τῶν χριστιανῶν προσδέχεσθαι πίστιν ταῖς δὲ ἀληθείαις οὐχ οὕτω φρονοῦντας ἢ πράττοντας τὰ ταύτῃ[7] συμβαίνοντα, μηδὲ μὴν διαθήκας αὐτοὺς[8] γράφειν ἢ ληγάτα καταλιμπάνειν ἢ δωρεῖσθαι, πλὴν εἰ μὴ ὀρθόδοξοι εἶεν καὶ πίστει καὶ ἔργοις οἱ ταῦτα[9] ληψόμενοι. εἰ γὰρ μηδεὶς τούτων ᾖ, τῷ ἱερωτάτῳ ταμιείῳ τὰς τούτων περιουσίας μετὰ τελευτὴν προσήκειν κελεύομεν. ὥστε καὶ ὁ πρῴην φιλοτιμηθεὶς τούτοις παρὰ τοῦ ἡμετέρου πατρὸς θεῖος

---

[1] Haec Novella tum in collectione 168 Novellarum tamquam Nov. 144, tum in collectione Novellarum Justini servata est, et inde a Haloandro et Scrimgero edita. Eandem commentati sunt Athanasius et Theodorus: Athanasii epitome transiit in Collectionem constitutionum ecclesiasticarum. Denique in Basilicis posita est lib. I. tit. 1. cap. 56 ed. Heimbach. I p. 31. [2] Athanasius: *Αὐτοκράτωρ Ἰουστινιανὸς* (l. *Ἰουστῖνος*) *Διομήδει ἐπάρχῳ πραιτωρίων.* [3] Hal. *κατὰ τοῦτο πάλαι.* Scrimg. *καὶ τὸν τὸ πάλαι.* Emendavit Hombergk. [4] Ex conjectura addo. [5] Sc. Nov. 129 Justiniani. [6] Sic Hal. et Basil. Scrimg. *ἐποιεῖσθαι.* [7] Sic Hal. Basil. *τὰ αὐτῆς.* Scrimg. *ταῦτα.* [8] Omnes *εἰς αὐτούς,* sed Hal. praepositionem delendam esse vidit. [9] Verba *οἱ ταῦτα* Scrimg. non habet.

τύπος[10], *νόμου τάξιν ἐπέχων, διδοὺς αὐτοῖς κληρονομεῖν τε καὶ κληρονομεῖσθαι, καὶ τιμᾶσθαι ληγάτοις, ἢ καταλιμπάνειν πρεσβεῖα, σχολάσει τὸ λοιπὸν καὶ καθάπαξ*[11] *ἰσχὺν οὐδεμίαν ἕξει. τῆς γὰρ ἐκ τούτου φιλανθρωπίας ἀναξίους ἑαυτοὺς ἀποδείξαντες εἶναι οἱ τὰ σαμαρειτῶν μαινόμενοι, οὐχ ἕτερον ἢ σφᾶς αὐτοὺς ἐπιμέμψονται, ἀλλοτριούμενοι μὲν τῆς ἐκ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ φιλανθρωπίας, ἐκπίπτοντες δὲ καὶ τῶν πρώην αὐτοῖς ἐκ τῆς ἡμετέρας δοθεισῶν βασιλείας φιλοτιμιῶν πρὸς τὸ τῆς ἀμείνονος γενέσθαι γνώμης, οὐ μὴν ἵνα μέχρι παντὸς ἐπὶ τῆς οἰκείας διαμένοιεν κακοδοξίας.*

β΄. Ἐξαιροῦμεν δὲ τοῦ παρόντος νόμου τοὺς τὰ σαμαρειτῶν πρεσβεύοντας γεωργούς, (οὐκ αὐτῶν χάριν, ἀλλὰ διὰ τὴν τῶν παρ᾽ αὐτῶν γεωργουμένων χωρίων σύστασιν, καὶ διὰ τοὺς ἐκεῖθεν εἰσαγομένους[12] *φόρους τε καὶ προσόδους,) ἐξ ἀγροικίας τε πλανωμένους. τούτοις γὰρ γράφειν ἐφίεμεν κληρονόμους τε καὶ ληγαταρίους τοὺς αὐτῶν ἀνιόντας τε καὶ κατιόντας, καὶ τοὺς ἐκ πλαγίου αὐτῶν συγγενεῖς, κἂν εἰ σαμαρειτικῇ πλάνῃ κρατοῖντο*[13], *γεωργοῦντας μέντοι τὰ γήδια, ὡς τῆς ἐντεῦθεν εὐπορίας εἰς τοὺς τὰ χωρία κεκτημένους φερομένης καὶ δι᾽ αὐτῶν εἰς τὸ δημόσιον. καὶ διαθηκῶν δὲ χωρὶς οἱ προῤῥηθέντες ἐπὶ τὸν ἀλλήλων ἥξουσι κλῆρον διὰ τὴν αὐτὴν πρόφασιν. ἐπεὶ καὶ μηδενὸς τούτων εὑρισκομένου, τὸν κύριον τοῦ χωρίου ἐν ᾧ γεωργὸς ἦν ὁ τελευτήσας τὰ παρ᾽ ἐκείνου καταλειφθέντα λαμβάνειν βουλόμεθα, καὶ τὴν τοῦ ταμιείου τάξιν ἔχειν αὐτόν, οἷα δὴ καὶ τοὺς δημοσίους φόρους ὑπὲρ ἐκείνου πληροῦντα. σαμαρείτην δὲ στρατεύεσθαι παντελῶς οὐ συγχωροῦμεν, ἀλλ᾽ οὐδὲ πολιτικὸν μετιένει φρόντισμα, οὐδὲ μὴν συνηγορεῖν ἢ συνεδρεύειν ἢ τοῖς λογιωτάτοις συνίστασθαι ῥήτορσιν ὅλως ἢ νέους παιδεύειν. εἰ δὲ καί τινες ἐκ τούτων τυχόντες τοῦ σωτηριώδους βαπτίσματος φανεῖεν ἐπὶ τὴν προτέραν πλάνην ἐπανελθόντες, τὰ σάββατα παραφυλαττόμενοι ἢ ἄλλα τινὰ*[14] *πράττοντες τὰ διελέγχοντα αὐτοὺς ὑποκρίσει τὸ ἅγιον παραλαβεῖν βάπτισμα, δημεύεσθαι τούτους κελεύομεν καὶ πρὸς ἐξορίαν διηνεκῆ παραδίδοσθαι. ταῖς δὲ αὐταῖς ὑπάγομεν ποιναῖς καὶ τοὺς ἀσεβῆ προστασίαν κατὰ τῆς ὀρθῆς τῶν χριστιανῶν πίστεως τοῖς τοιούτοις ἀπονέμοντας. καλῶς δὲ ἔχειν δοκεῖ τὸ μηδὲ προχείρως*

---

[10] Nov. 129 laudata. [11] Scrimg. *σχολάσαι τὸ λοιπὸν καθάπαξ.* [12] Hal. addit *τῷ δημοσίῳ.* [13] Idem: *κἂν ἡ σαμαρειτικὴ πλάνη κρατῇ, τοὺς γ.* [14] Sic Basil. Scrimg. *ἢ καὶ πρ.* Hal. *ἢ τὰ ἄλλα τινὰ πρ.*

αὐτοὺς εἰσδέχεσθαι τῷ ἀχράντῳ προστρέχοντας βαπτίσματι, ἀλλὰ μετά τινος παραφυλακῆς καὶ κατηχήσεως ἐν ἀρκοῦντι χρόνῳ γινομένης. φαμὲν δὴ τοὺς μὲν μετὰ χρηστῆς διδασκαλίας ὅλως αἰσθανομένους ἐπὶ ἐνιαυτοὺς δύο κατηχεῖσθαι, μανθάνειν τε τὰς γραφὰς κατὰ τὸ δυνατὸν, καὶ τότε προσφέρεσθαι τῷ τῆς ἀπολυτρώσεως βαπτίσματι[15], τῇ μετανοίᾳ τοῦ τοσούτου χρόνου καρπουμένους τὴν ὡς ἀληθῶς ἀπολύτρωσιν. τοὺς δὲ νέους σφόδρα καὶ διδασκαλίας οὐ συνιέντας ἐφίεμεν καὶ τῆς παρατηρήσεως ταύτης χωρὶς ἀξιοῦσθαι τοῦ ἁγίου βαπτίσματος. σαμαρείτης δὲ οὐδεὶς οἰκέτην χριστιανὸν ἕξει, ἀλλ᾽ ἅμα τῷ κτήσασθαι τοῦτον εὐθέως εἰς ἐλευθερίαν ἁρπάζεσθαι. εἰ δὲ καὶ τῆς ὁμοίας αὐτῶν κακοδοξίας ὁ οἰκέτης ἐστίν, ἐξέστω αὐτῷ τὴν τῶν χριστιανῶν ἀσπαζομένῳ δόξαν εὐθὺς καὶ τῆς ῥωμαϊκῆς ἀπολαύειν ἐλευθερίας.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦ παρόντος δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης προτιθεῖσα κατὰ τοὺς συνήθεις τόπους ἔργῳ καὶ πέρατι παραδοθῆναι προσταξάτω. *Dat. XV. Kal. Iun. Imp. Iustini ann. VII. post cons. eiusdem ann. VI.*[16]

NOV. VIII.[1]

Imp. Tiberii
de heredibus. (A. 574.)[2]

Περὶ κληρονόμων[3].

Θεοῦ τε καὶ δικαιοσύνης μεῖζόν ἐστιν οὐδέν. τούτων γὰρ χωρὶς οὐκ ἄν τι τῶν δεόντων πραχθείη ποτὲ καὶ διαφερόντως ἐν τῷ καθ᾽ ἡμᾶς πολιτεύματι. ἐντεῦθεν καὶ βασιλεύειν ἐστὶν ὀρθῶς καὶ τοὺς ὑπηκόους εἰς εὔνοιάν τε καὶ πᾶσαν εὐγνωμοσύνην ἐφέλκεσθαι. διὸ καὶ ἡμεῖς ἐκ θεοῦ τε καὶ δικαιοσύνης

---

[15] Basil. τῷ τῆς ἀπολουτρώσεως ἁγίῳ βαπτ., et mox rursus ἀπολούτρωσιν. Non male. [16] Scrimg. *anno* III. Theodorus: ἐξεφωνήθη ἐπὶ τοῦ ζ' ἔτους βασιλείας ἰουστινιανοῦ (l. ἰουστίνου). Cf. Biener Gesch. d. Novv. p. 527.

[1] Possis hoc loco intercalare auream bullam Justini, cujus mentio fit in Coll. II. Nov. 117. [2] Est in Collectione 168 Novellarum Nov. 164, quo loco a Theodoro tractata est atque primum edita ab Haloandro. In collectione Novellarum Tiberii, cujus memoriam servavit Cod. Marcianus, secundo loco posita erat. Particula ejus recepta est in Basil. XLV, 3, 9, et exinde repetita apud Michaelem Attalensem in Leuncl. JGR. II. p. 37. [3] Theod. Περὶ κληρονομιῶν ἰουστίνου καὶ τιβερίου.

τὰ σκῆπτρα παραλαβόντες, εἰ καὶ πολλαῖς περιελόμεθα ταῖς φροντίσιν, ὅπως ῥωμαῖοι μὲν ταῖς ἀρεταῖς αὐξηθεῖεν, βάρβαροι δὲ νικηθέντες ἐφυποκλιθεῖεν, ὅμως οὐκ ἔξω φροντίδος γεγόναμεν, ὡς ἂν καὶ περὶ τῶν ἰδίᾳ λυσιτελούντων τοῖς ὑπηκόοις ἡ δέουσα γένηται πρόνοια. πολλὰ μὲν οὖν τῶν πρῴην συγκεχυμένων διορθώσαντες, προσήκειν ἡγησάμεθα καὶ τὸ περὶ τῶν διαδόχων ἠμελημένον ἐκ πλείστου πρὸς τὴν ἀρέσκουσαν θεῷ πρᾶξιν ἐπαναγαγεῖν. ἔγνωμεν γάρ, ὥς τινες περινοστοῦντες τὰς τῶν τελευτώντων περιουσίας διαταράττουσιν, ἀλλ' οὔτε διαθήκας ἐῶσι κρατεῖν οὔτε μὴν τὰς ἐξ ἀδιαθέτου διαδοχὰς χώραν λαμβάνειν, τοῖς μὲν κινητοῖς πράγμασι σφραγῖδας ἐπιβάλλοντες, τοῖς δὲ ἀκινήτοις σανίδας ἐπιτιθέντες, ὡς ταύτῃ τῆς ἐκείνων διαδοχῆς ἐπαύξειν τε καὶ τὴν πρέπουσαν λαβεῖν τάξιν. ἐπειδὴ δὲ οὐχ οἷόν τε τὸ καθ' ἕκαστον τῶν ἐπὶ τοῖς τοιούτοις συμβαινόντων ἐν πλήθει τοσούτῳ μανθάνειν ἀκριβῶς, γενικῷ ταῦτα διατυπῶσαι νόμῳ καλῶς ἔδοξεν ἡμῖν ἔχειν.

α΄. Διὸ θεσπίζομεν, ἅπαντας ἀφθόνως τῶν οἰκείων ἀπολαύειν πραγμάτων τε καὶ δικαίων καὶ ταῦτα παραπέμπειν ἐπὶ τοὺς σφῶν κληρονόμους, ἐπιέναι δὲ τῶν πάντων μηδένα καθάπαξ ταῖς ἐκείνων περιουσίαις ἢ τοὺς τούτων διαδόχους ζημίαις περιβάλλειν ἢ τίτλους ἢ σφραγῖδας ἐπιτιθέναι τοῖς πράγμασι παρὰ τὸ τοῖς ἡμετέροις νόμοις δοκοῦν. καὶ τὰς ἐξ ἀδιαθέτου γὰρ κλήσεις ἐπὶ ταῖς τούτων διαδοχαῖς βεβαιοῦμεν, καὶ τὰς τελευταίας τούτων βουλήσεις νομίμως προϊούσας[4] οὐκ ἀναιροῦμεν. εἰ γὰρ ἀγρυπνοῦμεν ἀεὶ καὶ μεριμνῶμεν διὰ τὴν τῶν ὑποτελῶν εὐνομίαν τε καὶ τῆς αὐτῶν θεραπείας πολλή τις τῷ ἡμετέρῳ κράτει καθέστηκε φροντίς, πῶς οὐκ ἂν καὶ περὶ τοῦτο τὸ μέρος προνοήσαιμεν αὐτῶν καὶ τῆς ἡμετέρας προθύμως μεταδοίημεν εὐεργεσίας; ταῦτα γὰρ θεῷ ἀρέσκειν πεπείσμεθα, καὶ ταύτην δικαιοσύνην εἶναί φαμεν, καὶ τὴν βασιλείαν ἡμῖν ἐκ τούτων ἀσφαλῆ τε καὶ ἀτάραχον ἔσεσθαι πεπιστεύκαμεν[5]. συναριθμείσθω τοίνυν καὶ οὗτος ἡμῶν ὁ νόμος τοῖς ἄλλοις ἡμῶν κατορθώμασι, καὶ τὸ ὑπήκοον τῶν πρῴην λυπηρῶν ἀπηλλαγμένον καὶ τοσαύτης ἠξιωμένον παρὰ τοῦ ἡμετέρου κράτους προνοίας θεῷ τε καὶ μετ' ἐκεῖνον ἡμῖν χάριτας ὁμολογοίη[6], τὸ θεῖον εὐχαῖς ἐξιλεούμενον, ἵνα καὶ τῶν πολεμίων κρατήσαντες πολλῆς αὐτῶν ἄλλης μεταδοίημεν ἀσφαλείας.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου νόμου

---

[4] Sic Basil. Hal. περιουύσας. [5] Hal. πεπείσμεθα. [6] Attal. ὁμολογείτω.

δηλούμενα φυλαξάτωσαν οἵ τε ἐνδοξότατοι κουράτωρες τῶν θείων οἴκων, οἵ τε τὰς μεγίστας ἢ καὶ ἐλάττους ἀρχὰς ἰθύνειν ἐπιτετραμμένοι κατά τε τὴν εὐδαίμονα πόλιν ταύτην καὶ μὴν καὶ ἐν ταῖς ἐπαρχίαις, δήμευσίν τε καὶ κεφαλικὴν ὑφορώμενοι τιμωρίαν εἰ παραβαῖεν τὰ παρ᾽ ἡμῶν θεσπισθέντα. ἡ σὴ τοίνυν ἐνδοξότης τὸν παρόντα θεῖον ἡμῶν νόμον ἐν τοῖς ἐπισήμοις τόποις τῆς εὐδαίμονος ταύτης πόλεως προθήσει, στελεῖ δὲ καὶ κατὰ τὰς ἐπαρχίας ταῖς συνήθεσι χρωμένη περὶ τούτου προστάξεσι[7].

NOV. IX.

Imp. Tiberii de praesidibus. (A. 574.)[1]

Περὶ τῶν ἀρχόντων.

Οὐ τὸ νομοθετεῖν τὰ πρέποντα μόνον ἐστὶν ἀγαθὸν μέγιστον, ἀλλὰ καὶ τὸ τὰ θεσπισθέντα φυλάττειν ἀκριβῶς καὶ πρὸς ἔργον ἄγειν, καὶ τοὺς παραβαίνοντας ταῖς ἁρμοδίαις ὑποβάλλειν ποιναῖς. τί γὰρ ὄφελος ἔσται τῶν νόμων, εἰ μέχρι γραμμάτων εἶεν οὗτοι, καὶ μὴ τὸ χρήσιμον διὰ τῶν πραγμάτων αὐτῶν καὶ τῶν ἔργων τοῖς ἀρχομένοις παρέχοιεν; ἴσμεν τοίνυν τὴν βασιλείαν σφόδρα τῶν ὑποτελῶν κηδομένην προῖκα τὰς ἀρχὰς τοὺς τῶν ἐπαρχιῶν ἡγουμένους λαμβάνειν πολλάκις διορίσασαν[2], ἵνα καὶ αὐτοὶ καθαρῶς χρώμενοι ταύταις τοῖς ἀρχομένοις τὸ δίκαιόν τε καὶ ἴσον νέμοιεν, τὸ δὲ δημόσιον εὐποροίη τῇ τῶν ὑποτελῶν ἀβλαβείᾳ. ἀλλὰ ταῦτα μὲν κατὰ μικρὸν εἰς λήθην ἦλθε, τῇ πλεονεξίᾳ τῶν τὰς ἀρχὰς πριαμένων μᾶλλον ἢ παρειληφότων νικηθέντα.

α΄. Ἡμεῖς δὲ τοὺς περὶ τούτων ἀνανεούμενοι νόμους θεσπίζομεν ἄρχειν μὲν ἐκείνους τοὺς ἐξ ἀγαθῆς γνωριζομένους δόξης καὶ πλείστην τοῦ δικαίου φροντίδα τιθεμένους, δώρων τε[3] καὶ πάσης δόσεως χωρὶς παραλαμβάνειν τὰς ἀρχάς. καὶ τοὺς μὲν

---

[7] Apud Theodorum subscriptio est: *ἐξεφωνήθη μηνὶ δεκεμβρίῳ ἰνδ. η΄ ἐπὶ τῆς βασιλείας ἰουστίνου τιβερ΄ου καίσαρος,* i. e. anno 574

[1] In collectione 168 Novellarum est Nov. 161, ibique primum edita ab Haloandro, et epitomata a Theodoro: in collectione Novellarum Tiberii tertia erat. In Basilicis posita est lib. VI. tit. 3. cap. 9. 12. 46. 47. [2] Videsis e. g. Nov. V Justini paulo ante positum. Cf. etiam Novellas Justiniani 8. 17. 128. [3] Sic Bas. Hal. *δῶρον.*

ὑποτελεῖς ἀβλαβεῖς τε καὶ ἀζημίους διαφυλάττειν, τοὺς δὲ δημοσίους ἐπιμελῶς διανύειν φόρους, μήτε δὲ[4] αὐτοὺς ἢ τοὺς αὐτῶν παρέδρους ἢ καγγελλαρίους ἢ δομεστικοὺς ἤ τινα τῶν αὐτοῖς προσηκόντων λαμβάνειν τὶ παρὰ τῶν ἀρχομένων, πλὴν εἰ μὴ κατὰ τὸ τετραπλάσιον (ὥς οἱ νόμοι φασὶ) τὸ παρ᾽ αὐτῶν ληφθὲν ἐκτίσαι βούλονται[5], ἀλλ᾽ ἀρκεῖσθαι τοῖς ἐκ τοῦ δημοσίου καὶ τοῦ νόμου διωρισμένοις. παυσομένους τῆς ἀρχῆς τὰς νενομισμένας πεντήκοντα προσεδρεύειν αὐτοὺς ἡμέρας δημοσιεύοντας, καὶ τοῖς ἐνάγειν βουλομένοις ἀπολογεῖσθαι· μὴ περαιωθείσης[6] δὲ τῆς δίκης εἴσω τῶν πεντήκοντα ἡμερῶν, χρηματικῆς μὲν οὔσης, διδότω προκουράτωρα, ἐγκληματικῆς δὲ, μέχρι πέρατος μενέτω τῆς ὑποθέσεως, τῶν δικαζόντων, εἴτε ἄρχοντές εἰσιν εἴτε παρὰ τῶν ὑπάρχων ἐδόθησαν, εἰ μὴ ἐντὸς ἡμερῶν εἴκοσι τοῦ ἀρχθῆναι τὴν δίκην ταύτην περαιώσουσι, δέκα χρυσίου λιτρῶν προστιμωμένων, τῆς δίκης κατὰ τὰ προειρημένα προϊούσης. εἰ γάρ τινες τούτων κακῷ τῷ συνειδότι βαλόμενοι[7] λαθόντες φύγοιεν ἢ καὶ ἱεροῖς προσδράμοιεν[8] οἴκοις, τῆς οὐσίας ἐκπεσοῦνται, τοῖς ἠδικημένοις πρὸς τὸν νόμον καὶ τὸ τῶν ἀδικημάτων μέτρον ταύτης διαιρεθησομένης. καὶ καθάπερ ἂν ἡ περὶ τούτου προϊοῦσα πρᾶξις[9] καὶ ἐκ μιᾶς μοίρας κατὰ τὸ πρώην νενομοθετημένον παραστήσειε[10], τὰ εἰσαχθέντα ὑπὲρ τῶν ὑποτελῶν διαμενέτω βέβαια, μενόντων δηλονότι καὶ τῶν ἄλλων βεβαίων, ὅσα πρὸς τὴν τῶν ὑποτελῶν λυσιτέλειαν περὶ τῶν ἀρχόντων καλῶς παρὰ τῆς βασιλείας νενομοθέτηται. ὥσπερ δὲ τοὺς ταῦτα πλημμελοῦντας κολάζομεν, οὕτω καὶ τοὺς κατὰ ταύτην τὴν πρόφασιν λαμβάνοντάς τι τῶν κεκωλυμένων παρ᾽ αὐτῶν τῇ[11] τοῦ τετραπλασίου καθυποβάλλομεν ἀποδόσει.

β΄. Καὶ ταῦτα νομοθετεῖν ὑπῆλθεν[12] ἡμῖν τὴν τῶν ὑπηκόων εὐπορίαν τε καὶ θεραπείαν περὶ πολλοῦ ποιουμένοις, οὐ μὴν τῶν ἐντεῦθεν εἰσαγομένων τῇ βασιλείᾳ πόρων. συναιροῦμεν[13] γὰρ ταῖς τῶν ἀρχόντων δόσεσι καὶ τὰ παρ᾽ αὐτῶν προσαγόμενα τῷ βασιλικῷ λόγῳ σουφφράγια, εἰς πλεῖστον ὄγκον ἀναφερόμενα χρημάτων, ἵνα καὶ ταύτῃ πως τὸ δημόσιον εὔροιαν ἔχοι, καὶ πρὸς εὐπορωτέραν τάξιν ἐπανέλθοι ἀπηλλαγμένον

---

[4] Idem δὲ, quod similiter e Basil. emendavi. [5] Basil. addunt: τουτέστι τὸ μὲν διπλοῦν τῷ δημοσίῳ, τοῖς δὲ ζημιωθεῖσι τὸ ἕτερον. [6] Bas. περατωθ. [7] Bas. βαλλόμενοι πρὸ τοῦ πληρῶσαι τὰς ν΄ ἡμέρας λαθ. [8] Bas. προσφύγοιεν. [9] Sic Bas. Hal. διάταξις. [10] Bas. κατὰ τὰ προειρημένα παραστήσοι. [11] Hal. τῇ non habet. [12] Basil. ἐπῆλθεν. [13] Bas. συναιρεῖται, ubi Heimbach conjicit συναναιρεῖται. Forte συναναιροῦμεν.

τῶν ἐπινενοημένων τισὶν ἀπὸ χρόνου τινὸς πρὸς βλάβην τούτου τελῶν. τῷ γὰρ ἡμετέρῳ κράτει μία τίς ἐστιν αὕτη σπουδὴ, τὰς ἐπαρχίας εὐνομεῖσθαί τε καὶ ἀσφαλῶς οἰκεῖσθαι καὶ τῆς τῶν ἀρχόντων ἀπολαύειν δικαιοσύνης, τούς τε δημοσίους ἀμέμπτως εἰσάγεσθαι φόρους. οὐ γὰρ ἄλλως ἔνεστι τὸ πολίτευμα διασώζεσθαι, μὴ τῶν εὐσεβῶν εἰσαγομένων τελεσμάτων, ἐξ ὧν τὸ μὲν στρατιωτικὸν τρεφόμενον τοῖς πολεμίοις ἀνθίσταται[14], φρουρεῖ δὲ τούς τε ἀγροὺς καὶ τὰς πόλεις, ἀπολαύει δὲ τὰ λοιπὰ τάγματα τῶν ἀπονεμηθέντων αὐτοῖς, τείχη τε καὶ πόλεις ἐπανορθοῦνται, καὶ τὰ ἄλλα πάντα πρόεισιν, ὅσα βλέπει πρὸς τὸ κοινῇ συνοῖσον τοῖς ὑπηκόοις.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης κατὰ τὴν εὐδαίμονα πόλιν ἐν τοῖς εἰωθόσι τόποις προθήσει, στελεῖ δὲ καὶ κατὰ τὰς ἐπαρχίας τοῖς συνήθεσι χρωμένη προστάγμασιν, ἵνα πάντες ἴδοιεν, ὅση τὶς ἡμῖν ἐστι τοῦ τε δημοσίου τῆς τε τῶν ὑπηκόων ἡμῶν ἀβλαβείας φροντίς[15].

NOV. X.
Imp. Tiberii
de primitiis praedae.
Περὶ τῶν ἀκρολείων[1].
Non extat.

NOV. XI.
Imp. Tiberii
de relevatione publicorum. (A. 575.)[1]
Περὶ κουφισμῶν δημοσίων.

Μέγιστα τῶν ἐν ἀνθρώποις ἐστὶν ἀγαθὰ δικαιοσύνη τε καὶ φιλανθρωπία, ἡ μὲν τὸ ἴσον ἑκάστῳ νέμουσα καὶ τῶν ἀλ-

---

[14] Bas. *ἀντικαθίσταται.* [15] Theodorus subscriptionem habet: *ἐξεφωνήθη μηνὶ δεκεμβρίῳ ἰνδ. η' ἐπὶ τῆς βασιλείας τιβερίου,* h. e. anno 574.

[1] Haec quartae Novellae Tiberii rubrica est in indice collectionis Novellarum Tiberii, quem Marcianus Novellarum Codex hodiedum praestat. Ibi tamen *ἀκρολίων* scribitur, quod inauditum est. Emendavi *περὶ ἀκρολείων* i. e. *de primitiis praedae.* Fortassis hac Novella determinatum erat, quanta pars praedae fisco reservanda sit. Videatur Ecloga tit. XVIII.

[1] Est Nov. 163 in Coll. 168 Novellarum, quinta in Coll. Novellarum Tiberii. Primum edita est ab Haloandro: epitomen ejus continet Theodori Breviarium.

λοτρίων οὐκ ἐφιεμένη, ἡ δὲ πρὸς ἔλεον τρέχουσα καὶ χρεῶν τοὺς δεομένους ἐλευθεροῦσα δυσκόλων. ταῦτα τὴν βασιλείαν οἶδε κοσμεῖν καὶ ἀσφαλεῖν, καὶ τὸ πολίτευμα διασώζειν, καὶ τὸν ἀνθρώπινον καλῶς διακυβερνᾶν βίον. ὅθεν καὶ ἡμῖν ἐκ θεοῦ τὰ σκῆπτρα λαβοῦσι γίνεται περισπούδαστον ἐκ τούτων δὴ τῶν ἀγαθῶν διαφαίνεσθαι πράξεων, ἵνα τὸ χρήσιμον τοῖς ὑπηκόοις παρέχοντες τὴν ἐξ ἀρετῆς τε καὶ δόξης ἔχοιμεν ἀμοιβήν. ἴσμεν τοίνυν τὰς ἐπαλλήλους τε καὶ πολυτρόπους τῶν ἀνθρώπων φθορὰς εἰς τοσοῦτον τὰς κτήσεις καταγαγεῖν ἀπορίας, ὡς μηδὲ προσόδους εἰσάγειν δύνασθαι τοῖς κεκτημένοις, μηδὲ μὴν τοὺς τῶν δημοσίων αὐταρκῶς εἰσκομίζειν φόρους, καὶ ταῦτα στρατιωτικῆς τε καὶ τῆς ἄλλης κατὰ τὸ ἀναγκαῖον προϊούσης ἐπικειμένης δαπάνης, καὶ σφόδρα συνωθούσης ἡμᾶς πολλοῖς περιῤῥεομένους πολέμοις συχνὰς ποιεῖσθαι χρημάτων τὰς ἐπιδόσεις. ἐμεριμνήσαμεν οὖν ἱκανῶς, πῶς ἂν γένοιτο καὶ τὴν χρείαν πληρῶσαι καὶ τῶν ὑπηκόων τὴν ἔνδειαν θεραπεῦσαι, πρὸς πολλά τε μεριζομένης ἡμῖν τῆς περὶ ταῦτα γνώμης, ἐκράτησεν ὅμως τὸ μᾶλλον πρὸς φιλανθρωπίαν ἰδεῖν, καὶ τῆς ἀρεσκούσης θεῷ μεταδοῦναι τοῖς ὑποτελέσι βοηθείας, τὸ δὲ λοιπὸν[2] τοῖς κοινοῖς δαπανήμασιν ἐκ τῶν βασιλικῶν ἀντεισαγαγεῖν θησαυρῶν.

α΄. Ἀναθέντες τοιγαροῦν καὶ ταύτην ἡμῶν τὴν φροντίδα τῷ δεσπότῃ χριστῷ, καὶ πρέποντα πράττοντες ταῖς παρούσαις τῆς μεγάλης ἑορτῆς ἡμέραις τοῦ σωτηριώδους πάθους καὶ τῆς ἁγίας αὐτοῦ ἀναστάσεως, προσάγομεν ὑπὲρ πολιτεύματος εἰκότως αὐτῷ καὶ τὴν ἐπὶ τοῦ παρόντος δωρεάν, δι᾽ ἧς concedimus γεωργοῖς τε καὶ συντελεσταῖς ἅπασι (ταὐτὸν δέ ἐστιν εἰπεῖν τοῖς τῶν χωρίων κυρίοις) integrum unum canonem τῶν δημοσίων φόρων, αὐτῆς εἰς quadriennium διαιρουμένης, τουτέστι τῆς μὲν εἰσελευσομένης ἐννάτης ἐπινεμήσεως τετάρτην τούτου μοῖραν, τῆς δὲ μετὰ ταύτην δεκάτης τοσοῦτον ἕτερον μέρος, ὁμοίως καὶ τῆς ἑνδεκάτης[3] ἐπινεμήσεως ἀνὰ τετάρτην μοῖραν, συναπομειοῦντες καὶ τὰς ὁπωσοῦν ὑπὲρ τούτων παρεχομένας τισὶ συνηθείας.

β΄. Ἀφίεμεν δὲ τούτοις καὶ τὰ ἐλλείμματα τοῦ φθάσαντος χρόνου μέχρι πέρατος τῆς ἄρτι περιελθούσης* quintae ἐπινεμήσεως, καὶ θεσπίζομεν μηδεμίαν εἴσπραξιν γενέσθαι τῶν παρ᾽ ἡμῶν φιλοτιμηθέντων εὐσεβῶν τελεσμάτων, εἴτε τὴν μεγίστην

[2] Malim λεῖπον. [3] Adde καὶ δωδεκάτης, suadente Theodoro. * Lege παρελθ.

ἀρχὴν ὁρᾷ ταῦτα τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων, εἴτε τὴν παρ' ἰλλυρίοις ἐπαρχότητα, ἢ τὴν ἀρχὴν τῶν νήσων καὶ τῶν ἐπὶ σκυθίας τε καὶ μυσίας στρατιωτικῶν ταγμάτων, ἢ τὰς θείας ἡμῶν λαργιτίονας, ἢ καὶ ἄλλην ἀρχήν· ἀπαγορεύοντες βουλευταῖς τε καὶ ἐκλήπτορσι, σκρινιαρίοις τε καὶ ταξεώταις, παλατίνοις τε καὶ ἀνυταῖς, ἔτι γε μὴν καὶ ὑποδέκταις, καὶ παντὶ δημοσίων ἀπαίτησίν τε καὶ ὑποδοχὴν ποιησαμένῳ τε καὶ ποιουμένῳ περινοίαις χρῆσθαι κατὰ τῶν γεωργῶν τε καὶ ὑποτελῶν, ἢ καὶ τοὺς τῶν χωρίων δεσπότας, ὡς διαφόρους[4] ἐκ τῶν συγκεχωρημένων ἐλλειμμάτων προβάλλουσιν ὑπὲρ αὐτῶν ἢ καὶ ἀντιφωνήσεις ἢ ἐγγύας καὶ ὁμολογίας λαβοῦσι δολερῶς. ἀκυροῦμεν γὰρ πᾶσαν κατὰ τῆς ἡμετέρας φιλοτιμίας γενομένην ἢ καὶ γενησομένην περιγραφὴν, ἐκείνου δήλου ὄντος, ὡς εἴ τι φθάσαντές τινες τῆς ἡμετέρας δωρεᾶς εἰσέπραξαν ἐκ τῶν μέχρι τῆς πέμπτης ἐπινεμήσεως ἐλλειμμάτων καὶ τοῦτο μὴ καταθέντες φανείησαν, τοῖς δημοσίοις αὐτὸ τρόποις ἅπασιν εἰσκομιοῦσι λογισμοῖς. τοὺς γὰρ ὑποτελεῖς εὐεργετοῦντες τῆς παρούσης αὐτοῖς μεταδεδώκαμεν φιλανθρωπίας, οὐ μὴν καὶ τοῖς τὰ δημόσια τέλη λαβοῦσιν εἰς κέρδος οἰκεῖον ἀπενέγκασθαι βουλομένοις τήνδε τοῦ ῥηθέντος ἐγκαίρου κανόνος συγχώρησιν ἐποιησάμεθα· τῆς ἐτησίας ἐμβολῆς κατ' οὐδένα τρόπον ἐλαττουμένης. δεῖ γὰρ τὸ μέτρον ἅπαν τοῦ τε σίτου καὶ τῶν ἄλλων εἰδῶν καὶ συντελεσθῆναι καὶ εἰσκομισθῆναι κατὰ τὸ εἰωθός τε καὶ νενομισμένον, τῶν τιμημάτων τῆς συγκεχωρημένης παρ' ἡμῶν καθ' ἕκαστον ἔτος τετάρτης μοίρας ἐπὶ τὸν τετραέτη χρόνον κατὰ τὴν δημοσίαν τράπεζαν λογιζομένων τοῖς ὑποτελέσι τοῖς ἄλλοις τοῖς παρ' αὐτῶν ἐν χρυσίῳ συντελουμένοις ἤτοι καταβαλλομένοις ἐκ τοῦ δημοσίου. ταὐτὸ δὲ τοῦτο ἐν ὀσροηνῇ καὶ τῇ μέσῃ τῶν ποταμῶν πραχθήσεται χάριν τῶν ἐν εἴδεσι συντελουμένων ὑπέρ τε τῶν ἀποθέτων καὶ τῆς στρατιωτικῆς δαπάνης. ὁμοίως δὲ καὶ ἐπὶ τοῖς λεγομένοις τῶν εἰδῶν πλωΐμοις, γινομένοις ἐπί τε τῆς λαζῶν χώρας καὶ βοσπόρου καὶ χερσοννήσου[5]. λήψονται γὰρ τὰ τούτων ἐκ τοῦ δημοσίου τιμήματα κατὰ τὸ τεταγμένον ἐπὶ ταῖς τραπέζαις τῶν ὑπάρχων ὅθεν εἰσάγεται ταῦτα, ὥστε καὶ αὐτοὺς τῆς ἡμετέρας ἀπολαύειν κατὰ τοῦτο φιλανθρωπίας. τὴν γὰρ τῶν αὐτῶν εἰδῶν εἰσκομιδὴν ῥαθυμεῖσθαι παντελῶς

[4] Nisi quid desit, quod Haloandro et Hombergkio visum est, legendum: ἢ καὶ τοῖς τῶν χωρίων δεσπόταις, ὡς ἄρα φόρους — προκαταβάλλουσιν. Cf. supra Nov. V. c. 2. [5] Hal. πλωΐμοῖς — βόσπορον καὶ χερσόννησον.

οὐκ ἔστιν ἀσφαλὲς, τῆς δαπάνης ἀπαραιτήτου καθεστηκυίας καὶ τὰ κοινὰ συνιστώσης ὡς εἰπεῖν πράγματα. πιστευόμεθα δὲ καὶ ἐκ ταύτης ἡμῶν τῆς δωρεᾶς μεγάλας ἔσεσθαι τῇ πολιτείᾳ προσθήκας, τοῦ θεοῦ πάντα αἴσια ἡμῖν διὰ τῶν τοιούτων παρεχομένου πράξεων. τῶν παραβαίνειν τολμώντων τὰ παρ' ἡμῶν ὑπὲρ τῆς τῶν ἀρχομένων ὠφελείας διατυπωθέντα περί τε τὴν οὐσίαν καὶ τὴν σωτηρίαν αὐτὴν κινδυνευόντων.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ παρόντος δηλούμενα θείου νόμου ἡ σὴ ἐνδοξότης προγράμμασι χρωμένη κατά τε τὴν εὐδαίμονα πόλιν καὶ μὴν καὶ τὰς ὑπ' αὐτῆς ἐπαρχίας φανερὰ πᾶσι ποιήσεται, ὡς μηδένα τῆς ἡμετέρας διαλαθεῖν φιλοτιμίας[6].

NOV. XII.

Imp. Tiberii de divinis domibus. (Inter 578—582.)[1]

Περὶ τῶν θείων οἰκιῶν.

Ἐν ὀνόματι τοῦ δεσπότου ἰησοῦ χριστοῦ τοῦ θεοῦ ἡμῶν αὐτοκράτωρ καῖσαρ φλάβιος τιβέριος κωνσταντῖνος πιστὸς ἐν χριστῷ ἡμερώτατος μέγιστος εὐεργέτης εἰρηνικὸς ἀλαμανικὸς γοτθικὸς φραγγικὸς γερμανικὸς ἀλανικὸς οὐανδαλικὸς ἀφρικὸς εὐσεβὴς εὐτυχὴς ἔνδοξος νικητὴς τροπαιοῦχος ἀεισέβαστος αὔγουστος τῇ ἱερωτάτῃ συγκλήτῳ.

Βασιλείας γνώρισμα θεῷ τε πρέπον ἀνθρώποις τε συγγενὲς[2] ἡγούμενοι τοὺς δεομένους εὖ ποιεῖν, τὰς ἀδικίας τε ἐκκόπτειν, ὅσα τε τοῖς ὑπηκόοις χρήσιμα βουλεύεσθαί τε καὶ πράττειν, ἡμέρας ὡς εἰπεῖν ἁπάσης καὶ νυκτὸς οὐδὲν ἔμπροσθεν τῆς περὶ ταῦτα πεποιήμεθα σπουδῆς, ἐξ οὗ τῆς πολιτείας ἡμῖν τὸ κράτος δέδωκεν ὁ θεός. ἔνθεν τοι πολλῶν ἡμῖν

---

[6] Apud Theod. subscriptio est: ἐξεφωνήθη μηνὶ ἀπριλίῳ ἰνδ. η' ἐπὶ τῆς βασιλείας τιβερίου, i. e. anno 575.

[1] Haec Novella in Coll. Novellarum Tiberii primo loco posita est, sed inscriptione teste eo demum tempore edita, quo Tiberius, Justino defuncto, solus imperaret. Scrimgerus primus eam edidit. Fabrotus et Bienerus in Basil. VII, 11, 1 Novellae nostrae vestigium reperire sibi visi sunt. [2] Osenbrüggen conjecit εὐγενές.

διαφόρως προσεληλυθότων, τῶν τε ἐπὶ τῆς ἐνδόξου ταύτης πόλεως οἰκούντων, τῶν τε ἐξ ἁπασῶν σχεδὸν τῶν ὑπηκόων ἐπαρχιῶν, κτήσεις τινὰς ἢ οἰκήσεις βασιλικὰς περὶ τῶν οὔσας[3] ἐχόντων, πράγμασί τε ἑτέροις καὶ δίκαις περιβεβλημένων, ποικίλων ἀδικημάτων προσαγγελλόντων τρόπους παρά τε προνοητῶν καὶ χαρτουλαρίων καὶ μισθωτῶν καὶ τῶν ἄλλως προσηκόντων ταῖς βασιλικαῖς οἰκίαις κατ᾽ αὐτῶν ἁμαρτάνεσθαι· τῶν φέρεσθαι δυναμένων πραγμάτων, ἔστι δὲ ὅπη κτήσεως καὶ γηδίων καὶ γεωργῶν ἀφαιρέσεις ὀδυρομένων· τῷ* δὲ ἐνεργολαβεῖσθαι παρ᾽ αὐτῶν προστασίαν ἄλογον τοῖς ἀλλοτρίοις χωρίοις τε καὶ ἀγροῖς ἀπονεμόντων, σανίδας τε βασιλικὰς ἢ σήμαντρα ἐπιτιθέντων, καὶ ἁπλῶς εἰπεῖν τὰ μὴ προσήκοντα οἰκειουμένων· τάς τε πρὸς ἑτέρους ἀμφισβητήσεις παραλόγους[4] ἀναδεχομένων, καὶ τούς τε ἀνάγειν[5] βουλομένους μηδὲ τῶν οἰκείων ὀφλημάτων ἀπολαύειν συγχωρούντων, τοῖς τε ἐναγομένοις δίκης χωρὶς καὶ σὺν βίᾳ τὰς ἀπαιτήσεις ἐπαγόντων ἀκρίτως· τινὰς δὲ καὶ χρεῶν συγγραφὰς εἰς τὰς αὐτὰς θείας οἰκίας συνθεῖναι στρεβλουμένους παρασκευαζόντων, συμβολαίοις τε ἀλλοτρίοις ὠνῶν ἢ δωρεῶν εἰ τύχοι παρεμβαλλόντων εἰς τὴν τῶν ἑτέροις ὀφειλομένων περιγραφήν· τὰ μὲν, ὅσα εἰς ἡμετέρας ἦλθεν ἀκοὰς, εὖ διατεθείκαμεν, τοῖς μὲν ἀποδοθῆναι τὰ ἀφῃρημένα κελεύσαντες, τάς τε ἀλόγους προστασίας εἴρξαντες, τοῖς δὲ τὰς εὐθύνας ἀφέντες, καὶ τὰ γραμματεῖα τῶν χρεῶν ἄκυρα καταστήσαντες, τάς τε ἐπὶ τοῖς συναλλάγμασι γενομένας περινοίας κεκωλυκότες, τοῖς νόμοις καὶ τῷ δικαίῳ τῆς ἡμετέρας εὐσεβείας σκοπῷ καὶ τοὺς τῶν βασιλικῶν οἴκων προνοητὰς ἀκολουθῆσαι προστεταχότες. ἐπειδὴ δὲ οὐχ οἷόν τε ἦν καὶ τοὺς ἔξω καὶ πόῤῥωθεν ἅπαντας εἰς ταὐτὸν ἐνθάδε συνελθεῖν, ἡμῖν τε ἕκαστα ἁπανταχοῦ κατὰ τοῦτον πεπραγμένα τὸν τρόπον φανερὰ καταστῆσαι, νόμῳ σαφεῖ τὰ περὶ τούτων διορίσαι συνείδομεν, ὡς μὴ μόνον τοῖς ἐφ᾽ ἡμῖν, ἀλλὰ καὶ τοῖς ἐς ὕστερον ἀνθρώποις τὰ τῆς ἡμετέρας δικαιοσύνης γενέσθαι κατάδηλα, καὶ ὡς οὐδὲ τῶν βασιλικῶν ἡμῶν οἴκων ἢ τῶν τούτοις ἐφεστώτων εἴ τί περ ἀδικοῖεν φειδόμεθα, εὐπορίαν τε καὶ εὐδαιμονίαν ἡμετέραν ἡγούμεθα τὴν τῶν ὑπηκόων εὐπάθειαν,

---

[3] Agylaeus legit: *περὶ κτήσεις — βασιλικὰς τὰς ἑαυτῶν οὐσίας ἐχόντων, qui prope possessiones — imperatorias praedia et bona sua haberent.* Mihi vero pro his *περὶ τῶν οὔσας* legendum videtur *περὶξ αὐτῶν οὔσας, qui praedia vel domus imperatorias circumjacentes s. vicinas habent:* c. 1 in fine indicio est, quemadmodum hic locus intelligendus sit. * Editi *τῶν*. [4] Malim *παραλόγως*. [5] Omnino legendum *ἐνάγειν*.

οὐδέν τε τὰς αὐτῶν περιουσίας, ὅσα γε εἰς πρόνοιαν, τῶν βασιλικῶν διεστάναι, ἐπεὶ μηδὲ τὰ τῶν θείων οἴκων πράγματα μόνοις ἡμῖν, κοινὰ δὲ τοῦ καθ' ἡμᾶς πολιτεύματος ἐννοεῖσθαι προσήκει.

α΄. Θεσπίζομεν τοίνυν, μηδένα τῶν ἐνδοξοτάτων ἢ μεγαλοπρεπεστάτων κουρατώρων τῶν θείων ἡμῶν ἢ τῆς εὐσεβεστάτης βασιλίδος[6] *οἴκων, οἷς συναριθμητέον τήν τε πατριμωναλικὴν τήν τε τῶν νέων ἐκκλησιῶν προεστῶσαν βασιλικὴν οἰκίαν, ἢ χαρτουλαρίων αὐτῶν ἢ προνοητῶν ἢ μισθωτῶν ἢ ἄλλων τῶν ταῖς θείαις αὐταῖς προσηκόντων οἰκίαις θαῤῥεῖν τοῦ λοιποῦ σανίδας τὴν ἡμετέραν προσηγορίαν φερούσας ἢ εἰκόνας ἢ χαρακτῆρας βασιλικοὺς ἀλλοτρίοις οἴκοις ἢ χωρίοις ἐπιτιθέναι ἢ σήμαντρα κινητοῖς πράγμασι τελευτώντων ἢ περιόντων, ἢ γεωργοὺς ἑτέρων ὑποδέχεσθαι, ἢ καταθέσεις τινὰς παρασκευάζειν ποιεῖσθαι εἰς τὴν βασιλικὴν οἰκίαν αὐτοὺς ἢ καὶ τὰς αὐτῶν προσόδους μεταφερούσας, μηδὲ εἰ μοῖράν τινα συμβαίη τῶν αὐτῶν οἰκήσεων ἢ χωρίων ἢ πραγμάτων ἢ γεωργῶν τοῖς τῶν θείων οἴκων προσήκειν δικαίοις, ὡς ἂν μὴ ταύτην ἔχοιεν τῆς κατὰ τῶν συγκεκτημένων ἐπηρείας τὴν πρόφασιν.*

β΄. Ἀλλὰ καὶ εἴ τινας γεωργοὺς ὑπὸ τὴν ἑτέρων τυγχάνοντας νομὴν νῦν ἔχοντες φανεῖεν ἢ καταθέσεις οἵας ἔφαμεν εἰληφότες, καὶ αὐτοὺς ἀποδοθῆναι τοὺς γεωργοὺς καὶ τὰς καταθέσεις αὐτῶν ἀκύρους καταστῆναι κελεύομεν. εἰ δὲ περὶ τούτων ἢ καί τινων συμβολαίων πρὸς ἑτέρους ἐναγωγὴν ἔχειν λέγοιεν, μηδαμῶς τὸν ἐναγόμενον παρ' αὐτοῖς ἕλκειν δικαστάς τε τῶν οἰκείων ὑποθέσεων καθεδεῖσθαι (τοῦτο ὅπερ τῶν ἀτοπωτάτων τε καὶ παρανομωτάτων ἡγούμεθα), ἐξῇ δὲ αὐτοῖς ὑπὸ τῷ προσφόρῳ δικαστῇ, ὑφ' ὃν ἂν οἱ τὰς εὐθύνας ὑφιστάμενοι τελοῖεν, τὴν δίκην κινεῖν καὶ τῶν δικαίων τυγχάνειν. εἰ δὲ καὶ αὐτοὺς τοὺς ἐνδοξοτάτους καὶ μεγαλοπρεπεστάτους κουράτωρας ὀνόματι τῶν παρ' αὐτῶν προνοουμένων θείων οἴκων ὑφ' ἑτέρων ἐνάγεσθαι συμβαίη, εἰ μὲν ἐνθάδε τὰ τῆς ἐναγωγῆς κινοῖτο, κοινῇ γνώμῃ τοῦ τε ἐγκαλοῦντος καὶ τοῦ τῆς θείας οἰκίας κουράτωρος ἕνα τῶν ἐνδοξοτάτων ἡμῶν ἀρχόντων ἐπιλεγῆναι πρὸς τὴν τοῦ πράγματος ἐξέτασίν τε καὶ κρίσιν, καὶ ἀμφισβητήσεως οἷα εἰκὸς εἰς τοῦτο γινομένης τῆς βασιλείας δεῖσθαι καὶ τὸν ἐκεῖθεν διδόμενον προσδέχεσθαι δικαστήν· εἰ δὲ ἐπὶ χώρας, τὸν ταύτης ἡγούμενον τὴν τῆς ὑποθέσεως παραλαμβάνειν ἀκρό-

---

[6] Malim *βασιλίσσης*.

ασιν. εἰ δέ γε τῇ τῶν βασιλικῶν πραγμάτων προφάσει τῶν χαρτουλαρίων τὶς ἢ ἐμφυτευτῶν ἢ μισθωτῶν ἢ καὶ γεωργὸς ἐνάγοιτο, ἄδειαν ἔχειν τὸν ἐγκαλοῦντα εἴ γε βούλοιτο ὑπ' αὐτῷ τῷ τῆς θείας οἰκίας κουράτωρι, ἢ εἴπερ ὑπόπτως ἔχει πρὸς αὐτὸν, ἐν γοῦν ἑτέρῳ δικαστηρίῳ τῷ κοινῇ δοκοῦντι, ἢ καὶ τῇ θείᾳ κελεύσει αὐτῶν κἀνταῦθα κρατούντων[7]. εἴπερ ἐν ἐπαρχίαις τὰ τῶν ἀμφισβητήσεων τούτων κινοῖτο, τῆς κατὰ χώραν ἀρχῆς τὴν ἀκρόασιν παραλαμβανούσης. τῶν ἤδη[8] πεπορισμένων ταῖς αὐταῖς θείαις οἰκίαις προνομίων οὐκ ἐπὶ τούτοις, ἐπὶ δέ γε τοῖς τῶν δικῶν δαπανήμασι φυλαττομένων, ὑπέρ τε τῶν λεγομένων ἰνδουκέντων ἀναγνωσίμων τε ἐκδοσίμων καὶ τῶν ἄλλων τῶν περὶ τὰς δίκας δαπανημάτων, ὡς μηδένα θαῤῥεῖν τὸ τεταγμένον τούτων ὑπερβαίνειν μέτρον, ἀρκεῖσθαι δὲ τούτῳ τοὺς τῶν δικαστηρίων ὑπηρέτας. ἀδείας οὔσης καὶ τοῖς τὰς δίκας πρὸς τὰς αὐτὰς θείας οἰκίας ἢ τοὺς αὐτῶν κουράτωρας ἢ προνοητὰς ἢ μισθωτὰς ἢ χαρτουλαρίους ἢ γεωργοὺς λέγουσι ταῖς αὐταῖς προνομίαις χρῆσθαι, ὡς μηδὲ εἰς τοῦτο γοῦν πλεονεκτούμενοι φαίνοιντο, κατὰ τοῦτο δὴ τὸ τοῖς ἡμετέροις διωρισμένον νόμοις.

γ'. Ἐπειδὴ δὲ ἴσμεν καί τινας ἀποστερεῖν τῶν οἰκείων ὀφλημάτων βουλομένους πραγμάτων οἰκείων τοῖς χρεώσταις ὑποκειμένων ὠνὰς ἢ δωρεὰς ἢ ἕτερα συμβόλαια πρὸς ἐνίας τῶν ἡμετέρων οἰκιῶν ποιουμένους, καὶ διὰ μέσων αὐτῶν εἰς ἑτέρους τῶν συγγενῶν ἢ συνήθων παρασκευάζοντας κατά τινα συναλλάγματος μεταφέρεσθαι τρόπον, ὡς ταύτῃ τὰς ὑποθήκας ἐλεεινῶς τοῖς τὰ οἰκεῖα προϊεμένοις χρήματα σχεδὸν ἀναιρεῖσθαι, μηδὲ τοῦ προεστῶτος τῆς θείας οἰκίας δι' οὗ ταῦτα πεπρᾶχθαι λέγεται διὰ τὴν οὖσαν αὐτῷ δύναμιν τὴν ὑπὲρ τούτων ἐναγωγὴν ὑποδεχομένου, καὶ τοῦ τὸ πρᾶγμα εἰληφότος τὸ πρὸς θείαν οἰκίαν συνάλλαγμα προτεινομένου καὶ κατὰ τὴν δεδομένην αὐτῇ προνομίαν ἐγκαλεῖσθαι παρ' οὐδενὸς ἀξιοῦντος· τινὰς δὲ οἴκους ἢ τόπους ἢ καὶ ἐργαστήρια μιᾶς τῶν θείων οἰκιῶν ἐπὶ μείζονι ἢ καὶ τῷ τυχόντι μισθῷ παραλαμβάνοντας, τῇ ἐκεῖθέν τε ἰσχύϊ χρωμένους τοῖς χρησταῖς[9] ἢ καὶ τοῖς τὰς εὐθύνας αὐτοῖς ἐπάγουσιν ἐπηρεάζειν· εἴργοντες[10] καὶ ταύτῃ κελεύομεν, μηδένα τοῦ λοιποῦ τῇ κατὰ τῶν οἰκείων δανειστῶν περινοίᾳ χρῆσθαι

---

[7] Videtur hic integra linea excidisse. Ut enim oratio procedat, sic puta legendum: *ἢ καὶ τῷ θείᾳ κελεύσει διδομένῳ δικαστῇ τὴν ἐναγωγὴν κινεῖν· τούτων ἐνταῦθα κρατούντων, εἰ δὲ ἐν ἐπαρχίαις κτλ.* [8] Vide tit. C. *de privileg. domus Aug.* [9] Usitatius: *χρεώσταις* foret. [10] Scrimg. *εἴργοντας.*

τολμᾶν καὶ διὰ μέσης θείας οἰκίας πρὸς ἕτερον δωρεὰν ἢ συνάλλαγμα πράττειν, ὡς οὐδὲν τῆς οἰκείας πονηρίας ὠφεληθησόμενον, τοῦ πράγματος ἔνθα ἂν τύχοι καθεστῶτος εἴτε παρὰ τῇ θείᾳ οἰκίᾳ εἴτε παρ᾽ ἑτέρῳ τινὶ οὐδὲν ἧττον ἐκδικουμένου, πάντων τε ἐπ᾽ ἀκεραίῳ τῷ τὰς εὐθύνας ἢ καὶ ὑποθήκας ἔχοντι φυλαττομένων ὡς οὐδενὸς ἐπ᾽ αὐτῷ μεταξὺ προεληλυθότος· πρὸς τῷ καὶ εἴ τι ταύτης ἕνεκα τῆς περινοίας τῇ αὐτῇ θείᾳ οἰκίᾳ ἢ τῷ ταύτης προνοοῦντι θεραπείας τρόπῳ δεδόσθαι συμβαίη, ἐκπεσεῖν τούτου τὸν δόντα καὶ τῆς παρανομίας ταύτην εἰ καὶ τῆς ἀξίας ἧττονα λαβεῖν ἀμοιβήν.

δ΄. Ἀλλ᾽ οὐδ᾽ ἐνοίκους τῶν ταῖς βασιλικαῖς οἰκίαις προσηκόντων οἰκημάτων, οὐδὲ γεωργοὺς ἀλλοτρίους ἢ ἕτερόν τινα τῶν πάντων ἐνεργολαβεῖν τοὺς τῶν θείων οἴκων προεστῶτας καὶ προστασίαν αὐτοῖς ἀπονέμειν, ἢ τὸ λεγόμενον πατρωνίκιον[11] ἀπὸ χωρίων τινῶν ἐλευθερικῶν ἢ ἐξακτωρικῶν ἢ βουλευτικῶν ἢ ἑτέροις ὅλως προσηκόντων λαμβάνειν, ἀποστῆναι δὲ τούτων ἁπάντων. καὶ εἴ τινες ἤδη σανίδες ἢ χαρακτῆρες βασιλικοὶ τοιούτοις ἐπιτέθεινται χωρίοις ἢ οἴκοις ἢ ἐργαστηρίοις ἢ τόποις, ταῦτα καθελεῖν ἢ καὶ ὑφ᾽ ἑτέρων καθαιρουμένων μηδαμῶς ἀντιλέγειν, ὡς καθ᾽ ἡμετέραν τούτου κέλευσιν γινομένου. τὰς δὲ ἡσυχίας ἄγειν, καὶ συγχωρεῖν τὰς κατὰ τῶν ἐνοίκων τῶν τε ὁπωσοῦν ὑπευθύνων ἐναγωγὰς ἐν τοῖς προσφόροις κινεῖσθαι δικαστηρίοις, μηδεμίαν τε πάροδον ἔχειν πρὸς τὰς ἀλλοτρίας δίκας ἢ πράγματα ἢ δίκαια ἢ χωρία ἢ τοὺς τούτων γεωργούς, μηδὲ ἐκχωρεῖσθαι κατά τινων ἀγωγάς, ταύτας τε οἰκειοῦσθαι καὶ ἐγκαλεῖν ἑτέροις ὡς δὴ ὑπευθύνοις ταῖς τοιαύταις ἀγωγαῖς καθεστῶσι. καὶ τοῦτον γὰρ τὸν τρόπον τῆς ἀδικίας παντοίως ἀναιρεθῆναι κελεύομεν, εἰ καὶ δωρεᾶς τρόπῳ τὰς τοιαύτας ἀγωγὰς ὁ τούτων κύριος εἰς ἡμᾶς καὶ τὰς θείας ἡμῶν οἰκίας ποιούμενος φαίνοιτο, δίκαιά τε νενομισμένα ὀφλήματα ἔχειν λέγοιτο, ὡς ἂν μὴ τῇ σκήψει ταύτῃ καί τι παρανομίας ἐχόμενον καθ᾽ ἑτέρων ἀπαντήσῃ. ἡμῖν γὰρ οὐδὲ δωρεῶν τοιούτων μέλει, οὔτε συκοφαντίας δόξαν ἀποφέρεσθαι τοὺς τῶν θείων ἡμῶν οἴκων προνοητὰς βουλόμεθα, οἵ γε καὶ τὰ ἡμέτερα τοῖς ὑποτελέσι δωρούμενοι ἡμέρας ὡς εἰπεῖν ἑκάστης, κινητῶν τε καὶ ἀκινήτων πολλῶν πραγμάτων, χρημάτων τε πλῆθος σχεδὸν ἅπασι φιλοτιμούμενοι. ἀδείας οὔσης τῷ βουλομένῳ ἃς ἔχειν

---

[11] Patrocinii mercedem intelligi recte putat Agylaeus. Itaque legendum πατρωκίνιον.

φησὶν ἀγωγὰς τοῖς ὑπευθύνοις κατὰ τὴν ἐπὶ τούτῳ κρατοῦσαν ἀκόλουθον κινεῖν τάξιν, μηδενὸς τῶν ταῖς βασιλικαῖς οἰκίαις ἐφεστώτων παρεμβάλλοντος, ἡνίκα δὲ τὰ οἰκεῖα κατὰ τὸν νόμον ἀπολάβοι, ταῦτα καθ᾽ ὃν ἂν ἐθέλοι διατιθέναι τρόπον. αὐτὰς γὰρ τὰς τῶν ἀγωγῶν ἐκχωρήσεις περινοίας τε καὶ συκοφαντίας αἰτίαν ἐχούσας μισοῦμέν τε ἅμα καὶ ἀποστρεφόμεθα, ὥστε καὶ εἴ τινες τοιαῦται εἰς τοὺς αὐτοὺς θείους οἴκους ἤδη συγγεγράφαται, ταύτας ἀκύρους καθιστῶμεν, οὐδεμίαν ἀπαίτησιν ἔχειν αὐτὰς συγχωροῦντες, ἐλευθεροῦντές τε τῶν ἐντεῦθεν ἀγωγῶν τοὺς καθ᾽ οὓς γεγόνασι, ποινήν τε ταύτην ἐπιτιθέντες τοῖς τὰς ἐκχωρήσεις ταύτας πεποιηκέναι τεθαῤῥηκόσιν.

ε΄. Εἰ δὲ καὶ αὐτῶν τῶν βασιλικῶν οἴκων οἱ προεστῶτες ἢ χαρτουλάριοι ἢ ἐμφυτευταὶ ἢ μισθωταὶ ἢ διοικηταὶ ἢ ἄλλως αὐτοῖς διαφέροντες ὑπὲρ πραγμάτων ἰδίᾳ προσηκόντων αὐτοῖς ὑπό τινων ἐγκαλοῖντο τοῖς προσφόροις ἄρχουσιν, αὐτοὺς ἑτοίμως ὑπακούειν κελεύομεν, τάς τε εὐθύνας παρ᾽ αὐτοῖς ὑποδέχεσθαι κατὰ τὴν τοῦ νόμου προϊοῦσαν τάξιν καὶ τοῖς ἐκεῖθεν ἐκβιβασμοῖς εἴκειν ὡς οὐδὲν ταῖς θείαις οἰκίαις προσήκοντας, ὡς μὴ τῇ δυνάμει ταύτῃ τοῖς κατ᾽ αὐτῶν ἔχουσι τὰς ἐναγωγὰς ἐπηρεάζειν δοκοῖεν, ἀποστερεῖν τε τὰ παρ᾽ αὐτῶν ὀφειλόμενα. οὕτω δὲ ἄρα τῶν τοιούτων ἀδικημάτων τὰς θείας ἡμῶν οἰκίας ἀλλοτριῶσαι συνορῶμεν, ὅτι οὐδὲ τὰς ἤδη παρὰ τοῖς τούτων μεγαλοπρεπεστάτοις ἢ ἐνδοξοτάτοις κουράτωρσι κεκινημένας ὑποθέσεις εἴτε ἐν γράμμασιν εἴτε καὶ γραμμάτων χωρὶς ἔτι ποῤῥωτέρω[12] προβαίνειν συγχωροῦμεν, εἰ μὴ μέρος ἑκάτερον ἑκοντὶ τοῦτο πράττειν ἕλοιτο. θατέρου δὲ μὴ βουλομένου, ἕνα τῶν ἡμετέρων ἀρχόντων, ἐφ᾽ ᾧπερ ἂν τὰ μέρη συμβαῖεν ἢ καὶ ὃν ἂν ἡμεῖς ἀπονείμωμεν κατὰ τοῦτο δὴ τὸ παρ᾽ ἡμῶν ἀρτίως[13] διατεταγμένον, τὴν παρ᾽ ᾡτινιοῦν τούτων ἐξεταζομένην ὑπόθεσιν παραλαβεῖν, τά τε οἷα εἰκὸς ἐπ᾽ αὐτῇ πεπραγμένα, τῶν ἐφεξῆς τε ἀκροᾶσθαι καὶ τὰ νενομισμένα τυπῶσαι.

ϛ΄. Κἀκεῖνό γε μὴν διορίσαι συνείδομεν τὸ τῶν συνωνῶν τε καὶ μετάτων καὶ ἀγγαρειῶν καὶ ὁδοστρωσιῶν καὶ γεφυρῶν καὶ διαγραφῶν καὶ ἐπιβολῶν, ὡς ἂν μὴ καὶ ταῦτα ἀδιάκριτα μείνοι, ἀκόλουθός δέ τις τῷ ἡμετέρῳ δικαιοτάτῳ σκοπῷ καὶ ἐπ᾽ αὐτοῖς διατύπωσις προέλθοι. τῶν γὰρ προνομίων τῶν ἐκ παλαιοῦ ταῖς βασιλικαῖς οἰκίαις πεπορισμένων τούτων αὐτὰς ἐξαιρουμένων, ὀρθῶς ἡμῖν παρέστη χρειώδη τε καὶ ἀναγκαίαν ἐπι-

[12] Ita recte Agylaeus. Scrimg. ποῤῥωτάτω. [13] Sc. supra c. 2.

θεῖναι τῷ πράγματι τάξιν. εἰ μὲν γὰρ βασιλέως στρατευμάτων τῶν ἐπὶ βαρβάρους ἐκπεμπομένων πάροδον, ἢ καὶ καθ' ἡμετέραν κέλευσιν εὐετηρίας ἕνεκα τῆς ἐνδόξου ταύτης πόλεως ἢ καὶ ἑτέρων προφάσεων χάριν συνωνήν τινα εἰδῶν γενέσθαι συμβαίη, τούτοις ἅπασιν οὐ μόνον τοὺς ἄλλους ὑποτελεῖς, ἀλλὰ γὰρ δὴ καὶ τὰς τῶν βασιλικῶν οἴκων κτήσεις καὶ οἰκήσεις ὑποκεῖσθαι βουλόμεθα. τῶν δὲ αἰτιῶν τούτων χωρὶς οὐδὲ τὰς θείας οἰκίας οὐδὲ ἕτερόν τινα τῶν ὑποτελῶν ἐνοχλεῖσθαι κελεύομεν, οὐδὲ σὺν ἀνάγκῃ τοιοῦτό τι γενέσθαι συγχωροῦμεν.

NOV. XIII.

Imp. Tiberii

de filiis adscriptitiorum et liberarum. (A. 582.)[1]

In nomine domini Jesu Christi Imperator Caesar Flavius Tiberius Constantinus in Christo mansuetus maximus benefactor et Flavius Nob. Tiberius Mauritius felicissimus Caesar Alemannicus Gothicus Francicus Germanicus Anticus Alanicus Vandalicus Africanus pius felix inclytus victor ac triumphator semper Aug. Theodoro.

Consuetum et peculiare nostrae mansuetudinis remedium necessitatibus subiectorum nostrorum imponere cupientes, suggestionem viri beatissimi Publiani, antistitis Carthaginensium civitatis et possessorum eiusdem Africanae proconsularis provinciae libenter suscepimus, per quas pragmaticam sanctionem Justini divae memoriae patris nostri[2] pro conditione sobolis ab adscriptitio patre et ingenua matre ad Theodorum tunc praefecturam tuam agentem ante tempus emissam firmam illibatamque nostris etiam affatibus constitui supplicaverunt, ut cultura terrarum permaneat, nulla lege vel machinatione et ab ea separari[3] valitura.

Consulentes itaque collatoribus Africani tractus sancimus, eandem pragmaticam sanctionem et ejus dispositionem omnibus modis ex quo data est suas vires habere, et insertam[4] ei auctoritatem universis dominis terrarum opitulari, ut liberi procreati a matre ingenua et patre adscriptitio vel colono rusticitatem paternam cognoscant, et operibus suis consuetos reditus his, quibus suppositi sunt,

---

[1] Hanc e Cod. Ranconeti primus edidit Miraeus. Cf. Nov. IV not. 1. [2] Cf. supra Nov. VI. [3] Omissa particula *et* videtur legendum *ab ea separare*. [4] Ita edo ex conj. Osenbrüggen. Vulgo *incertam*.

subministrent, deterioris quidem conditionis alieni, ipsius autem cespitis, ubi nati sunt, recedere et in aliis quibuscunque locis degere non permissuri.

Theodore parens carissime atque amantissime. Illustris igitur et magnifica auctoritas tua hanc pragmaticam sanctionem in aeternum valituram edictis propositis omnibus habitatoribus Africanarum partium innotescat, ut omnibus pateat, qualem pro utilitate eorum providentiam gerimus. *Et subscriptio Imperialis. Divinitas te servet per multos annos parens carissime atque amantissime. Quaestor legi. Dat. III. Id. Aug. Constant., imp. DN. Tiberii Constantini PP. Aug. anno VIII., et post cons. ejus anno III.*[5], *et Nob. Fl. Tiberii Mauritii, felicissimi Caesaris, anno I.*

NOV. XIV.

Imp. Tiberii, ut videtur, de adjectione[1].

Θεῖος τύπος περὶ ἐπιβολῆς[2].

Non extat.

NOV. XV.

Imp. Tiberii, ut videtur, de militibus[1].

Περὶ στρατιωτῶν.

Non extat.

NOV. XVI.

Imp. Tiberii, ut videtur, de militibus altera[1].

Περὶ στρατιωτῶν.

Non extat.

---

[5] Mortreuil legendum censet: anno V. Male.

[1] Hae rubricae in indice generali Cod. Marciani 179 post rubricas Novellarum Tiberii enumerantnr sub inscriptione: *Εἰσὶν ἕτεραι διατάξεις πάντων μεταγενέστεραι.* Quum tamen subjiciantur rubricae aliarum Novellarum, inprimis Mauricii, recentissimae Tiberii Novellae indicari videntur. Cf. Biener Gesch. d. Novv. p. 619. Nonnulla ex Maieri schedis in his rubricis emendavi. [2] Vide Delineat. hist. JGR. a me editam p. 10. not. 10.

NOV. XVII.

Imp. Tiberii,

ut videtur[1].

Περὶ παρασποριτῶν[2].

Non extat.

NOV. XVIII.

Imp. Tiberii,

ut videtur, quod praesidatibus, non autem praesidibus imperator rescribit[1].

Ὅτι ταῖς ἀρχαῖς ἀλλ' οὐ τοῖς ἄρχουσιν ἀντιγράφει ὁ βασιλεύς.

Non extat.

NOV. XIX.

Imp. Mauricii,

ut metatoricae domus tollantur[1].

Ἔδικτον μαυρικίου τιβερίου προτεθὲν τοῖς κωνσταντινουπολίταις παρακελευόμενον ἀναιρεῖσθαι τὰς μετατορικὰς οἰκήσεις.

Non extat.

NOV. XX.

Imp. Mauricii

de his, qui lapidibus aliquem obruunt[1].

Μαυρικίου περὶ τῶν λιθοβολούντων.

Non extat.

---

[1] Cf. Nov. XIV not. 1. [2] Heimbach. in Richteri Jahrb. VI p. 964 legi vult *περὶ παρασπορίων*, quod ex Labbaei Glossis p. 5 interpretatur „de rebus castrensibus s. in castris acquisitis". Sed lectio *παρασποριτῶν*, quam ex Maieri schedis protuli, vel ipsa dubia est. Blumius legit: *περὶ παρα . . ηρινων.*

[1] Cf. Nov. XIV not. 1.

[1] Etiam has deperditarum Novellarum rubricas Marcianus Codex servavit. Cf. Biener l. l.

[1] Cf. Nov. XIV not. 1.

NOV. XXI.

Imp. Mauricii

rescriptum de eo, qui ex fluctibus salvatum interfecerat[1].

Μαυρικίου βασιλέως.

Εἰ τὸ φονεύειν ἀγαπᾷς καὶ τοῖς αἵμασιν ἔχαιρες, πῶς τοὺς πολεμίους ἐλάνθανες, ὅπου καὶ τὸ φονεύειν ἀκίνδυνον καὶ τὸ ἀποτολμᾶν ἐπαινέστατον; ἀλλὰ τὸν διασωθέντα τῆς ζάλης τῶν κυμάτων τοῦτον ἀπέκτεινας; ὦ δυσσεβέστατε· εἰ τὴν κεφαλήν σου ἀποτέμωμεν, οὐδὲν ἀντάξιον. τοιγαροῦν σὲ τὸν ζῶντα προστάττομαι τῷ νεκρῷ συνταφῆναι, ἵνα κἀκεῖ σὺν αὐτῷ εὑρεθῇς.

NOV. XXII.

Imp. Heraclii

de numero clericorum magnae ecclesiae. (A. 612.)[1]

Περὶ τοῦ ὡρισμένον εἶναι τὸν ἀριθμὸν τῶν κληρικῶν τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας κωνσταντινουπόλεως καὶ τῆς ἁγίας θεοτόκου ἐν βλαχέρναις τιμωμένης, ἔτι μὴν καὶ τῶν ἐν τοῖς ὀφφικίοις ἐξυπηρετουμένων τῇ τε εἰρημένῃ μεγάλῃ ἐκκλησίᾳ καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ[2].

Ἐν ὀνόματι τοῦ δεσπότου ἰησοῦ χριστοῦ τοῦ θεοῦ ἡμῶν αὐτοκράτωρ καῖσαρ φλάβιος ἡράκλειος πι-

---

[1] Hoc rescriptum passim reperitur in appendicibus manualium juris, v. c. in Paris. 1384, Marc. 172, Pal. 55. Primus edidi in calce Historiae JGR. delineationis.

[1] Quae sequuntur quatuor Heraclii Novellae Collectioni constitutionum ecclesiasticarum, quam vocant, in Codd. Mss. fere appendicis loco accedunt. De quibus Codicibus videatur Mortreuil I p. 235 not. 6. Hinc primum editae sunt in Leunclavii JGR. I p. 73—86, deinde in Voelli et Justelli Bibl. p. 1361—1376, nuperrime autem in Coll. canonum a Rhalli et Potli Athenis edita to. V p. 225—240. — Ordo, quo quatuor istae Novellae in appendice Collectionis constit. eccles. dispositae sunt, alius est atque chronologicus ille, quem nos sequimur; ibi prima est, quae nobis XXV: secunda, tertia, quarta, quae nobis XXII, XXIII, XXIV. — Caeterum Bonefidius Juris Orient. lib. I p. 1. 2 locos Zonarae et Cedreni affert, ubi sermo est de edictis, quae proposuerit Heraclius tam de fide quam de eo, ne Hebraeis intra tertium miliare Hierosolyma accedere liceret. [2] Cf. de hac Novella Photii Nomoc. I, 30 ibique comm. Balsamonis (ed. Rhalli I p. 69) et Zonaras ad syn. Trull. c. 16 (ed. Rhalli II p. 341).

στὸς ἐν χριστῷ ἡμερότατος μέγιστος εὐεργέτης εἰρηνικὸς ἀλαμανικὸς γοτθικὸς φραγγικὸς γερμανικὸς ἀντικὸς ἀλανικὸς οὐανδαλικὸς ἀφρικανὸς ἐρουλικὸς γηπεδικὸς εὐσεβὴς εὐτυχὴς ἔνδοξος νικητὴς τροπαιοῦχος ἀεισέβαστος αὔγουστος σεργίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ ταύτης τῆς εὐδαίμονος πόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Καὶ τοῖς ἄλλοις κατάλληλον καὶ ἁρμοδίαν ἐπάγεσθαι τάξιν χρήσιμόν τι καὶ ἐπαινούμενον, οἷα τῆς ἀμετρίας ἐπιθολούσης ἀεὶ καὶ τὰ καλῶς εἶναί τε καὶ κρατεῖν ὀφείλοντα ταραττούσης τε καὶ διαλυούσης, εἰς ἀπρεπῆ τε φερούσης σύγχυσιν, καὶ διαφερόντως τὴν ἱερὰν κατάστασιν, ἣν ἐπὶ σεμνότητι καὶ εὐταξίᾳ συνεστῶσάν τε καὶ ἐξ ἀρχῆς ἐκ θείας ἐξευρημένην προνοίας ἔξω τοῦ καθεστῶτος εἶναι οὐκ ἀσύμφορον μόνον ἀλλὰ καὶ σφόδρα παράλογον. οὐκοῦν εἰκότως καὶ τὰ νῦν δοκιμασθέντα παρὰ τῆς σῆς μακαριότητος, ὀρθῶς τῆς τε ἀκολούθου τάξεως ἐστοχασμένης καὶ τῶν πραγμάτων αὐτῶν καὶ σχεδόν που πρὸς τὸ περιφανὲς τῆς ἀμωμήτου πίστεως ἡμῶν φερομένης, οὐκ ἀπὸ τρόπου προσιέμεθα, ἐπεὶ καὶ ὁ πάντα σοφῶς καὶ καλὰ λίαν καταστήσας μέτρῳ τινὶ τὰ ὄντα παραγαγεῖν εὐδόκησεν, ὡς μηδὲ ἓν ἐνδεῖν τι τούτοις[3] μηδὲ προσθήκην ἑτέραν ἐπιδέχεσθαι. ἀνήγαγε γὰρ ἡμῖν, τοὺς ἐν τῷ κλήρῳ τῆς κατ' αὐτὸν ἁγιωτάτης μεγάλης ἐκκλησίας ἀναφερομένους, ὁρῶντας εἰς πολλὴν ἐξελθεῖν ἀμετρίαν τὸν τῶν εὐλαβῶν πρεσβυτέρων καὶ τῶν ἄλλων τῶν ἐν διαφόροις βαθμοῖς θεοφιλῶν κληρικῶν ἀριθμόν, ὥστε τῶν μὲν πρεσβυτέρων τὰς συνθρόνους στενοχωρεῖσθαι καθέδρας, ὥστε πολλάκις τινὰς καὶ πλείστους τῶν ἱερατεύειν ἐθελησάντων ὑπὸ τῶν πρὸ αὐτῶν ἐξωθουμένους ἐρυθριῶντας ἀπίεναι· καὶ τὴν στάσιν δὲ τῶν εὐλαβῶν διακόνων ὁμοίως τοῖς πλείοσιν οὐκ ἀρκεῖν· εἶτα δὲ καὶ λογιζομένους τὰ πράγματα τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας ἐπιδόσεσιν ὑπερβαλλούσαις πεφορτισμένα, μυρίαις μὲν διὰ τὴν ὥρας ἑκάστης γινομένην εὐσεβῆ χορηγίαν, ἑτέραις δὲ πάλιν ἐξ ἀπαραιτήτων συνθηκῶν καὶ διαθηκῶν ἄλλων τε καὶ διαφόρων αἰτιῶν προϊούσαις· ἐν γράμμασιν αὐτοὺς καὶ γραμμάτων χωρὶς δεηθῆναι τῆς σῆς μακαριότητος, ταύτην περιστεῖλαι τὴν ἄδειαν· αὐτήν τε τοῖς πράγμασι τῆς ἁγιωτάτης ἐκκλησίας εὕρουσαν οὐ μετρίαν τοῦτο συνεισάγειν βοήθειαν, εὐκοσμίαν τε μείζονα καὶ εὐταξίαν τῷ κλήρῳ προσγίνεσθαι, τὴν

---

[3] Apud Voell. ὡς μηδὲν δεῖν τούτοις.

καλῶς ἔχειν αὐτῇ δόξασαν διατύπωσιν ποιήσασθαι, οὔτε τὸν Ἰουστινιανοῦ τοῦ τῆς εὐσεβοῦς[4] λήξεως νόμον ἐκ χρόνων τινῶν διὰ τῆς ἐναντίας τῶν πραγμάτων σχολάσαντα χρήσεως, οὔτε τὸ ποσὸν τῶν νῦν ὄντων θεοφιλῶν [κληρικῶν][5] εἰς τὸν ἔπειτα χρόνον μεταδιώκουσαν. τέως μὲν γὰρ διατυπῶσαι, τοὺς ἐν ἑκάστῳ τάγματι τελοῦντας κατὰ τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν, ὁπόσους αὐτοὺς εἶναι συμβέβηκε, μένειν ἐφ᾽ ἧς ὑπάρχωσι νῦν τῶν προσώπων ποσότητος, μηδενὸς αὐτοῖς ὡς ἔτυχεν ἑτέρου προστιθεμένου, ἕως ἂν προκόπτοντος τοῦ χρόνου τὸν μὲν κατάλογον τῶν θεοφιλῶν πρεσβυτέρων εἰς π΄, τῶν δὲ διακόνων ἀῤῥένων μὲν εἰς ρν΄, θηλειῶν δὲ διακονισσῶν εἰς μ΄, καὶ τῶν ὑποδιακόνων εἰς ο΄, καὶ τῶν ἀναγνωστῶν εἰς ρξ΄, ψαλτῶν δὲ εἰς κε΄, καὶ πυλωρῶν εἰς οε΄ ἐξ οἱασοῦν περιστῆναι συμβαίη προφάσεως· μηδενὸς ἑτέρου πλὴν τῶν ἐν ἑκάστῳ τάγματι λεγομένων πριμμικηρίων τῶν μετὰ τὴν τεταγμένην τριετίαν τοῦ μείζονος ἀξιουμένων τούτοις ἐγκαταλεγομένου[6], πρὶν ἂν τὸ ῥηθὲν ἐλλείψοι μέτρον καθάπερ εἰκός ἐστιν ἐλαττούμενον. τηνικαῦτα γὰρ ἀκωλύτως αὐτοῖς ἀντεισάγεσθαι τοσοῦτον, ὅσον τὸ μνημονευθὲν μέτρον ἀναπληροῖ προστιθέμενον, καὶ τούτου πλέον οὐδέν· οὐδενὸς καθ᾽ οἱονδήποτε τρόπον προστιθεμένου, εἰ μή που τὶς δι᾽ ὑπερβάλλουσαν αὔξησιν τοῖς πράγμασι περιγενομένην τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας δι᾽ ὧν αὐτῇ προσνέμει πραγμάτων ἐν δωρεαῖς ἢ διαθήκαις μετὰ τῆς τῶν ἱερῶν κανόνων παρατηρήσεώς τινι τῶν προδηλουμένων συναριθμηθῇ ταγμάτων ἢ ἐφ᾽ ἑτέρῳ προσώπῳ τοῦτο γίνεσθαι παρασκευάσει. τούτου γὰρ προϊόντος, διά τε τὴν εὐσεβῆ πρόθεσιν καὶ τὸ τῆς ὠφελείας μέγεθος ἐφικτὸν εἶναι τὸ τεταγμένον πλεονάζεσθαι μέτρον· καὶ τούτου δὲ οὕτως ἔχοντος, καὶ τοῦ ἀριθμοῦ τῶν προσώπων ἔτι πλεονάζοντος, εἴ τις τοιαύτη γένηται πρόφασις, τὴν προσθήκην ἐπισχεῖν οὐκ ἀναγκαῖον ἡγήσασθαι. καὶ τῶν λεγομένων δὲ ἐπιταγμάτων οὐκ εἰς εὔθετον χωρησάντων τὸ[7] πλῆθος, δεῖν ἡγήσασθαι καὶ τοῦτο μηδαμῶς καταλιπεῖν ἀδιόρθωτον, τὴν κοινὴν τῶν εὐλαβῶν κληρικῶν γνώμην οὐχ ἧττον τῆς σῆς μακαριότητος εἰς τοῦτο συντρέχουσαν ἐπισταμένης[8]. ὅθεν καὶ τῶν ἐν τοῖς αὐτοῖς ἐπιτάγμασι προσώπων ἐφ᾽ οὗπερ εἰσὶν ἀριθμοῦ μενόντων, ἕτερον μὲν αὐτοῖς ἐξ οὐδεμιᾶς ἀφορμῆς

---

[4] Leuncl. εὐλαβοῦς. — Intelligitur Nov. Justiniani 3. [5] Voell. non habet. Apud Leuncl. lacunae signum est. [6] Leuncl. ἐγκατειλεγμένου. [7] Deest apud Voell. [8] Voell. ἐπισταμένην.

ἢ ἐπινοίας προσγίνεσθαι διατυπῶσαι· τοῦ χρόνου δὲ προϊόντος ἐπειδὰν συμβαίη τοὺς ἐν ἑκάστῃ τάξει τὴν εὖ ἔχουσαν ἀπολαβεῖν[9] συμμετρίαν, — ταὐτὸν δὲ φάναι, τοὺς μὲν θεοφιλεῖς συγκέλλους εἰς δύο τὸν ἀριθμὸν περιστῆναι[10], καγκελαρίους δὲ εἰς ιβ', ἐκδίκους δὲ εἰς ι', ῥεφερενδαρίους δὲ εἰς ιβ', νοταρίους δὲ εἰς μ', σκευοφύλακας δὲ, πρεσβυτέρους μὲν δ', διακόνους δὲ ς', ἀναγνώστας δὲ δύο, — τρόποις ἅπασιν ἐπὶ τῆς αὐτῆς ποσότητος διατελεῖν, μηδενὸς αὐτοῖς καθ' οἱονδήποτε προστιθεμένου τρόπον· πρόδηλον ὂν, ὡς τούτου κατὰ τὸ εἰκὸς ἐν τοῖς εἰρημένοις ἐπιτάγμασιν[11] ἐνδέοντος τοῦ μέτρου, τὰ πρὸς μόνην ἑκάστου τούτων ἀναπλήρωσιν ἀκωλύτως ἀντεισαχθήσεται πρόσωπα. καὶ περὶ τοῦ ἐν βλαχέρναις δὲ σεβασμίου οἴκου τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου μαρίας ὁμοίως συνιδεῖν καὶ ἐπ' ἐκείνῳ τὰ παραπλήσια διατυπῶσαι· ὥστε τοῖς νῦν οὖσι κατὰ τὸν εἰρημένον ἔνδοξον οἶκον τῶν κληρικῶν τάγμασι μηδεμίαν ἐπεισάγεσθαι προσθήκην· τῶν δὲ πρεσβυτέρων εἰς ιβ', καὶ διακόνων ἀῤῥένων μὲν εἰς ιη', θηλειῶν δὲ διακονισσῶν εἰς ς', ὑποδιακόνων εἰς η', ἀναγνωστῶν εἰς κ', ψαλτῶν εἰς δ', πυλωρῶν εἰς ς' τῷ χρόνῳ συντελουμένων, ἐν ἐκείνῳ λοιπὸν τῷ μέτρῳ μένειν τε καὶ διατελεῖν. ἐνδέοντος δὲ τούτου καθ' οἱανδήποτε πρόφασιν, (μόνης κἀκείνοις ἐπιτετραμμένης διὰ τὸ μεῖζον ὄφελος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας ἐπαυξήσεως,) τηνικαῦτα τὴν προσθήκην γίνεσθαι. ᾔτησέ τε ἡμᾶς ἡ σὴ μακαριότης, θείῳ πραγματικῷ τύπῳ τὰ οὕτω καλῶς τε καὶ θεοφιλῶς δοκιμασθέντα παρ' αὐτῆς βέβαια καταστῆναι.

α'. Ἐπειδὴ τοίνυν πρόδηλόν ἐστιν, ὡς οἱ τὰ τοιαῦτα θηρώμενοι οὐ ζήλῳ θείῳ, τοῦ δὲ πλείονος ὀρεγόμενοι ἐπεισπηδῶσι[12], καὶ πλειόνων εὐκτηρίων ὄντων κατὰ ταύτην τὴν βασιλίδα πόλιν, τὰ ἱερὰ καταπράττειν ἀξιοῦντες μόνου κέρδους ἀφορμὴν καὶ πρόφασιν τὴν εἰς τὸ θεῖον λειτουργίαν καὶ ὑπηρεσίαν ποιεῖσθαι σπουδάζουσι· θεσπίζομεν, τὰ καλῶς τε καὶ ἐπωφελῶς πρός τε τὸ τῆς ὀρθῆς ἡμῶν πίστεως περιφανὲς καὶ τὴν εὐκοσμίαν τῆς κατὰ τὴν μακαριότητα τὴν σὴν ἁγιωτάτης μεγάλης ἐκκλησίας δοκιμασθέντα τε καὶ ψηφισθέντα τὸ βέβαιον καὶ ἀῤῥαγὲς ἐπὶ πάντας τοὺς ἐφεξῆς χρόνους καὶ ἐκ τῶν παρουσῶν θείων ἡμῶν συλλαβῶν ἔχειν· καὶ πρὶν ἂν τοὺς μὲν πρεσβυτέρους εἰς π', διακόνους δὲ εἰς ρν', θηλείας δὲ διακονίσ-

---

[9] Sic omnino legendum. Leuncl. et Voell. ἀποβαλεῖν. [10] Leuncl. περιστάντας. [11] Voell. ἐν τοῖς τοιούτοις τάγμασιν. [12] Leuncl. ἐπιπηδ.

σας εἰς μ', ὑποδιακόνους εἰς ο', ἀναγνώστας εἰς ρξ', ψάλτας εἰς κε', πυλωροὺς εἰς οε' περιστῆναι τὸν ἀριθμὸν, πλὴν μόνων τῶν κατὰ καιρὸν πριμμικηρίων μηδένα τούτοις μηδαμῶς μηδὲ ἐντάττεσθαι μηδὲ χειροτονίαν γίνεσθαι, χωρὶς μεγάλης τινὸς ἀντεισαγωγῆς ἐκ διαθηκῶν ἢ δωρεῶν τοῦτο καταναγκαζούσης προελθεῖν, ἐπεὶ καὶ τοῦτο πρὸς τὸ χρήσιμον τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας ὁρᾷ. τοὺς δέ γε ἐν διαφόροις ὀφφικίοις ἢ τοῖς λεγομένοις ἐπιτάγμασι τελοῦντας θεσπίζομεν πρὸς τὰ παρὰ τῆς σῆς τυπωθέντα μακαριότητος τέως ἐφ' οὗ νῦν[13] εἰσὶ μένειν ἀριθμοῦ· ἐπειδὰν δὲ συμβαίη περιστῆναι τοὺς μὲν συγκέλλους εἰς δύο, καγκελαρίους δὲ εἰς ιβ', νοταρίους εἰς μ', σκευοφύλακας εἰς μὲν πρεσβυτέρους δ', εἰς δὲ διακόνους ἕξ, ἀναγνώστας β', ἐπὶ τούτου διαμένειν τοῦ μέτρου, μηδενὸς αὐτοῖς προστιθεμένου καθάπαξ πρὶν ἂν καὶ τοῦτο καθάπερ εἰκὸς ἐλλείψει τὸ μέτρον καὶ τῆς ἀναπληρούσης δεηθῇ προσθήκης· τηνικαῦτα γὰρ ἐξεῖναι τὸ ἐλλιπὲς ἀντεισάγεσθαι.

β. Ὥσπερ οὖν καὶ τοὺς ἐν τῷ σεπτῷ ναῷ τῆς ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου μαρίας ἐν βλαχέρναις[14] τὴν θείαν πληροῦντας λειτουργίαν κατὰ τὰ παρὰ τῆς σῆς καλῶς ὁρισθέντα μακαριότητος δεήσει μένειν μὲν ἐφ' ἧς καθεστᾶσι ποσότητος, μηδένα δὲ ταύτῃ παντελῶς ἐπεισάγεσθαι, πρὶν τοὺς μὲν πρεσβυτέρους εἰς ιβ', καὶ διακόνους ἄῤῥενας μὲν εἰς ιη', θηλείας δὲ διακονίσσας εἰς ϛ', ὑποδιακόνους εἰς η', ἀναγνώστας εἰς κ', ψάλτας εἰς δ', πυλωροὺς δὲ εἰς ϛ' περιενεχθῆναι συμβαίη. ἐφ' ἑκάστῳ δὲ τάγματι τούτου καθάπερ εἰκός ἐστιν ἐλλείποντος τοῦ μέτρου, μόνον δεῖ[15] προστίθεσθαι τὸ ἐνδέον. τούτων γὰρ οὕτως πραττομένων τε καὶ φυλαττομένων, οὐδὲ παρεγγράπτους ἢ τοὺς τυχόντας μόνου κέρδους ἕνεκεν ὀρεγομένους ὡς εἴρηται συμβήσεται τοῖς ἱεροῖς ἐπιπηδᾶν καὶ τὰ πρὸς εὐσέβειαν ἀπονεμηθέντα μάτην οὕτως καὶ χύδην ἑαυτοῖς περιποιεῖν, οὐδὲ ἐλάττωσίς τις εἰς τὴν θείαν ὑπουργίαν γενήσεται ἁπάντων πρὸς τὴν εὖ ἔχουσαν ἀποκαθισταμένων τάξιν, τῆς τε ἁγιωτάτης ἐκκλησίας τῇ θείᾳ λειτουργίᾳ ἡ προσήκουσα κατάστασις ἀποδοθήσεται.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα τύπου ἡ σὴ μακαριότης καὶ οἱ μετὰ σὲ τοῦ αὐτοῦ ἱερατικοῦ θρόνου προστησόμενοι ὅ τε εὐαγής σου κλῆρος

---

[13] Leuncl. non habet. [14] Voell. τοῦ (ex conj. τῷ) ἐν βλαχ. [15] Apud Voell. deest.

ἔργῳ καὶ πέρατι παραδοῦναι καὶ παραφυλάξαι σπευσάτωσαν. Divinitas te servet per multos annos[16] sancte ac beatissime pater. *Dat.* καλάνδαις μαΐαις ἐν κωνσταντινουπόλει ἐπινεμήσεως[17] ιε'.

NOV. XXIII.

Imp. Heraclii de numero clericorum magnae ecclesiae. (A. 619.)

Ὁ αὐτὸς βασιλεὺς σεργίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Καὶ τὰ καλῶς τοῖς ἀνθρώποις πολλάκις ἐπινενοῆσθαι δοκοῦντα περιστάσεις τινὲς ἴσως ἐπιγινόμεναι πρὸς ἀλλοιοτέραν μεταγίνεσθαι παρασκευάζουσι τάξιν. ὁποῖον δὴ καὶ νῦν συμβὰν ἐπὶ τὴν παροῦσαν ἡμᾶς ἰδεῖν προέτρεψε κέλευσιν. τῶν γὰρ ἐν τῷ κλήρῳ τῆς ἁγίας τοῦ θεοῦ μεγάλης ἐκκλησίας τῆς[1] ἐν ταύτῃ τῇ βασιλίδι πόλει τελούντων ἑωρακότων οὐ μετρίως τὰ αὐτῆς βαρεῖσθαι πράγματα, πολλῶν παρενοχλούντων τῇ ὑμῶν ἁγιωσύνῃ, ὥστε διάφορα πρόσωπα κατατάττειν ἐν αὐτῷ τῷ κλήρῳ καὶ ἐν τοῖς εὐκτηρίοις οἴκοις τῆς παναγίας μητρὸς τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ τοῦ θεοῦ τῷ ἐν βλαχέρναις καὶ τοῖς οὐρβικίου προσαγορευομένοις, ὡς ἐντεῦθεν εἰς πλῆθος ἐκταθῆναι τὴν ἐπιδιδομένην αὐτοῖς τῶν διαρίων ποσότητα, εἶτα αἰτούντων καί τινα τῶν ἐκκλησιαστικῶν ὀφφικίων ἑτέρους ἐγχειρίζεσθαι, ἐξ ὧν οὐκ ὀλίγη τοῖς τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας πράγμασιν ὠφέλεια προσεγένετο, καὶ τοῦτο πραττόμενον ἀξιωσάντων διορθώσεως τυχεῖν· ἔγνωμεν ἀρέσαι τῇ τε ὑμετέρᾳ ἁγιωσύνῃ καὶ τοῖς ὑπὸ τὸν εἰρημένον κλῆρον τελοῦσιν, ὥστε ῥητῶν προσώπων ἀριθμῷ περιστῆσαι τῶν λεχθέντων[2] εὐαγῶν οἴκων τοὺς κληρικοὺς καὶ τοὺς τὰ τῆς ἐκκλησιαστικῆς λειτουργίας ὀφφίκια μετερχομένους, ἑτέρου μηδενὸς δυναμένου ἐν[3] τοῖς εἰρημένοις κατατάττεσθαι κληρικοῖς ἢ διὰ[4] τῶν ἐκκλησια-

---

[16] Voell. *in multis annis.* Mox graece addit: τὸ θεῖόν σε φυλάξει ἐπὶ πολλοὺς χρόνους ἁγιώτατε καὶ μακαριώτατε πάτερ. [17] Voell. ιδ', h. e. ἰνδικτιῶνος. — Ind. XV, dum solus imperaret Heraclius, semel tantum, et quidem anno 612 incidit.

[1] Voell. τῶν. [2] Voell. ῥηθέντων. [3] Voell. μήτε ἐν τοῖς. [4] Apud Leuncl. deest.

στικῶν παρεῖναι φροντισμάτων, πρὶν ἂν ἐνίων τῶν ἐν αὐτοῖς τεταγμένων διαπιπτόντων εἰς τὸν συνδόξαντα πᾶσιν ὑμῖν[5] *ἀριθμὸν ἢ οἱ κληρικοὶ τῶν εἰρημένων εὐαγῶν οἴκων ἢ τὰ τῆς ἐκκλησίας φροντίσματα περιστῶσι. τῶν οὕτω τοίνυν δοξάντων ὑμῖν εἰς τὰς ἡμετέρας ἐλθόντων ἀκοάς, καὶ αἰτήσεως προσαχθείσης ἡμῖν, ὥστε δι᾿ ἡμετέρου πραγματικοῦ τύπου τὰ καλῶς παρ᾿ ὑμῶν δοκιμασθέντα βεβαιωθῆναι, εἰκότως ἡμεῖς τὰ λυσιτελοῦντα τῇ αὐτῇ ἁγιωτάτῃ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ μεριμνῶντες ἀεὶ καὶ διανοούμενοι, τὴν ὑμετέραν ἔργῳ παραδεδώκαμεν αἴτησιν τὸν εἰρημένον πραγματικὸν τύπον* τῇ καθ᾿ ὑμᾶς*[6] *ἁγιωτάτῃ ἐκκλησίᾳ φιλοτιμησάμενοι, ἄδειαν ὑμῖν δι᾿ αὐτοῦ δεδωκότες, ὥστε τὸν ὠφελείας προφανεῖς τοῖς τῆς ἐκκλησίας περιποιοῦντα πράγμασιν, ἢ διὰ δωρεᾶς ἢ διὰ συνθήκης ἢ διὰ τελευταίας βουλῆς ἢ ἑτέρας ἐπινοίας, τὴν διδομένην αὐτῷ χάριν ὑπερβαινούσας, καὶ πρὶν τοὺς εἰρημένους κληρικοὺς εἰς τὸν συνδόξαντα ἀριθμὸν περιστῆναι ἢ τοὺς τῶν*[7] *ἐκκλησιαστικῶν ὀφφικίων διοικητάς, ἀκωλύτως τοῦ ἰδίου ἐντὸς γίνεσθαι σκοποῦ, τῆς τῶν ἱερῶν δηλονότι κανόνων φυλαττομένης τάξεως, εἴτε αὐτὸς ὁ τοῦτο πράττων βουληθείη ἢ*[7] *ἐν ἑνὶ τῶν προλεγομένων κληρικῶν*[8] *ταγῆναι ἢ ἐκκλησιαστικὸν ὀφφίκιον πιστευθῆναι, εἴτε ἑτέρῳ συνίδοι ταύτην προσώπῳ περιποιῆσαι τὴν τάξιν. ταῦτα τοίνυν τοῦ λεχθέντος πραγματικοῦ περιέχοντος τύπου, ἀνήγαγεν ἡμῖν ἐπὶ τοῦ παρόντος ἡ ὑμῶν ἁγιωσύνη, διάφορα μὲν βουληθῆναι πρόσωπα τῶν εἰρημένων ἀξιωθῆναι κλήρων ἢ ἐκκλησιαστικοῦ ὀφφικίου ἐπιλαβέσθαι ἢ καὶ ἑτέρῳ τινὶ τοιοῦτό τι περιποιῆσαι, δεδιέναι δέ, μήπως ὕστερον πραγμάτων τινὲς αὐτῶν πειρασθῶσιν, ἐπιζητούμενοι, τί πράξαντες ἐπὶ τῇ τῶν ἐκκλησιαστικῶν πραγμάτων ὠφελείᾳ τὸν οἰκεῖον σκοπὸν ἀνεπλήρωσαν, δυσχεροῦς οὔσης αὐτοῖς μετὰ χρόνου παραδρομὴν τῆς τοιαύτης ἀποδείξεως· ἄλλους δὲ μὴ*[9] *θέλειν γινώσκεσθαι τὰ πρὸς αὐτοὺς καὶ τὸ μέρος τῆς ἐκκλησίας πραττόμενα· ὡς ἐντεῦθεν ἀναστέλλεσθαί τινας ἐκεῖνα πράττειν, ἅπερ εἰς λυσιτέλειαν τῶν αὐτῆς πραγμάτων ὁρᾷ.*

α΄. Ὥστε οὖν μὴ διὰ τὴν πρόφασιν ταύτην τὸ πρῴην[10] *εἰς ὠφέλειαν αὐτῆς ἐπινοηθὲν βλάβης αἴτιον αὐτῇ καταστῆναι, γινώσκοντες ἡμεῖς πάντων πλέον τὴν ἁγιωσύνην τὴν σὴν τὰ τῇ*

---

[5] Leuncl. *ἡμῖν*. * Supra Nov. XXII. [6] Leuncl. *ἡμᾶς*. [7] Deest apud Leuncl. [8] Leuncl. *κληρῶν*. Certe *κλήρων* scribendum erat. [9] Negatio abest a Voelli editione. [10] Voell. *τὴν πρώτην*.

ἁγιωτάτῃ ἐκκλησίᾳ λυσιτελοῦντα μεριμνᾶν τε καὶ πράττειν, fiduciam ei praestamus, τὸν εἰρημένον μηδαμῶς τύπον εὐλαβουμένῃ[11] καὶ χωρὶς τῆς δι᾽ αὐτοῦ δηλουμένης παρατηρήσεως, τὰ ἐπὶ τοῖς εἰρημένοις δύο κεφαλαίοις διοικεῖν, ἀποβλεπούσῃ (καθὰ σύνηθές ἐστιν αὐτῇ) πρὸς αὐτὸν τὸν θεὸν, τὸν πάντων μὲν τῶν εὐαγῶν οἴκων ἔφορον, κατεξαίρετον δὲ τῆς ἐν αὐτῇ τῇ βασιλίδι ταύτῃ πόλει ἁγίας τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐξ ἧς ἀνένδοτοι καὶ τηλικαῦται τὸ μεγέθος περὶ τὰς εὐσεβεῖς πράξεις προΐασι χορηγίαι. θαῤῥοῦμεν γὰρ, ὅτι καὶ μόνη καθ᾽ ἑαυτὴν ἡ ὑμῶν[12] ἁγιωσύνη τῶν ἀναφερομένων αὐτῇ κεφαλαίων ἕκαστον βασανίζουσα ἐκεῖνα ἔχει καὶ περὶ τὴν προκειμένην[13] ὑπόθεσιν βουλεύσασθαί τε καὶ πράττειν, ὅσα δύναται τοῖς ἐκκλησιαστικοῖς πράγμασι προσάγειν ὠφέλειαν, εἴτε προφανῆ εἴτε καὶ[14] λανθάνειν ὀφείλουσαν τοὺς πολλούς.

***Legi.** Dat. VIII Kaland. Maias CP. dominorum nostrorum piissimorum perp. Augg. Heraclii anno VIIII, et Heraclii novi Constantini filii ipsius anno VII*[15].

NOV. XXIV.

Imp. Heraclii

de clericis Constantinopolin venientibus sine jussu Patriarchae non recipiendis. (Inter 620—629.)

Περὶ τοῦ μὴ ἐξεῖναί τινα σχῆμα περιβεβλημένον ἱερατικὸν οἱουδήποτε βαθμοῦ ἢ τάγματος ὄντα ἐξ ἑτέρας πόλεως ἢ κώμης ἢ ἑτέρου τὸ σύνολον τόπου τῇ βασιλίδι ταύτῃ παραγινόμενον πόλει ἔν τινι τῶν αὐτῆς ἐκκλησιῶν ἢ τῆς ἐνορίας αὐτῆς χωρὶς δοκιμασίας καὶ ἐπιτάγματος[1] *τοῦ τὸν ἀποστολικὸν ταύτης διέποντος θρόνον οἰκουμενικοῦ πατριάρχου καταπέμπεσθαι ἢ διαρίων ἀξιοῦσθαι*[2]

---

[11] Leuncl. *εὐλαβούμενοι*. [12] Leuncl. *ἡμῶν*. [13] Voell. *ὑποκειμ.* [14] Deest apud Leuncl. [15] Voell. subscriptionem graece exhibet sic: *ἐδόθη τῇ ὀγδόῃ καλανδῶν μαΐων ἐν κωνσταντινουπόλει βασιλείᾳ τῶν εὐσεβεστάτων καὶ αἰωνίων αὐγουσ̣των ἡρακλείου ἔτους θ´ καὶ μετὰ τὴν ὑπατείαν αὐτοῦ ἔτους η´, καὶ ἡρακλείου τοῦ νέου κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ ἔτους ιζ´ ἰνδ. ζ´.* (Similiter Leuncl. in margine.) In versione latina Fabroti in Voelli bibl. paulo aliter est: ...*Heraclii anno XIX et Heraclii novi Constantini filii ipsius anno XVII.*

[1] Voell. notat: Ms. Justelli *ἐπιστάλματος*. [2] Verba *ἢ — ἀξιοῦσθαι* Voell. non habet.

εἴτε ἐκ τῶν θείων οἴκων εἴτε ἐκ τοῦ εὐαγοῦς ὀρφανοτροφείου ἢ ξενώνων ἢ μοναστηρίων ἢ ἑτέρου τινὸς τοιούτου οἴκου· μήτε μὴν ἐν δύο ἐκκλησίαις κληρικὸν καθ᾽ οἱονδήποτε τάττεσθαι[3] τρόπον.

Ἐν ὀνόματι τοῦ δεσπότου ἰησοῦ χριστοῦ τοῦ θεοῦ ἡμῶν αὐτοκράτορες καίσαρες φλάβιοι ἡράκλειος καὶ ἡράκλειος νέος κωνσταντῖνος πιστοὶ ἐν χριστῷ αὔγουστοι σεργίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ οἰκουμενικῷ πατριάρχῃ οἰκείῳ πατρί.

Τὴν κοινὴν ἅπασιν εὐκοσμίαν τε καὶ κατάστασιν τῆς εὐδαίμονος ἡμῶν πολιτείας ἀξίως τοῦ ταύτης μεγέθους τηρεῖσθαί τε καὶ διασώζεσθαι διὰ σπουδῆς ποιούμενοι, διαφερόντως δὲ καὶ τὴν τῶν ἁγιωτάτων ἐκκλησιῶν τῆς εὐδαίμονος ταύτης πόλεως καὶ τῶν ἐν αὐταῖς τὴν θείαν ἐκπληρούντων λειτουργίαν ἄμεμπτον εἶναι πανταχόθεν προσήκειν ἡγούμενοι, μηδενί τε τὰ θεῖα καὶ ἱερὰ παίζειν ἐγχειρεῖν ἐξεῖναι καὶ ταραχὴν καὶ σύγχυσιν γίνεσθαι τὰ πάντων σεμνότερα ἢ τὴν θείαν ὑπηρεσίαν ὑβρίζεσθαι, πολλῶν (οἷα εἰκὸς) ἐκ πάσης τῆς ὑφ᾽ ἥλιον[4] κατ᾽ αὐτὴν γινομένων ὡς εἰς κοινὴν ἁπάντων πατρίδα τὴν βασιλίδα πόλιν, ἐν ᾗ τοσούτων ἁγιωτάτων ἐκκλησιῶν τε καὶ εὐκτηρίων οἴκων καὶ πρός γε εὐαγῶν μοναστηρίων ἐστὶ πλῆθος, ὧν ἡ σὴ προέστηκε μακαριότης· οὐκ ἀνεκτὸν ἡγούμεθα περιϊδεῖν βασιλικῆς τε καὶ ἡμετέρας καὶ τοῦτο προνοίας ἀξιῶσαι, εἰδότες καὶ τοὺς ἄλλους ἡμῶν προγόνους καὶ ἰουστινιανὸν[5] τὸν τῆς θείας λήξεως μάλιστα ταῖς περὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως κατησφαλισμένον νομοθεσίαις, οὐ παρέργως τε καὶ πλέον τῶν ἄλλων ὡς εἰπεῖν τὰ περὶ τούτων πολυπραγμονήσαντα καὶ προσηκόντως ἐπανορθωσάμενον. ἐπεὶ τοίνυν μεμαθήκαμεν, πολλοὺς ἐκ διαφόρων ἐπαρχιῶν τε καὶ κωμῶν ἢ ἐμπορίων ἠγνοημένους μὲν καθάπαξ, εὐλαβὲς δὲ σχῆμα περιβεβλημένους καὶ μηδὲ (ὡς εἰκὸς) κληρικοὺς ὄντας ὅλως μηδὲ μὴν χειροτονίας ἀπό τινος ἱερέως οἷς ἔξεστι τετυχηκότας, ἐνίους δὲ τυχόντας μὲν[6], ἀλλ᾽ ἐπί τισι κανονικοῖς ἐπιτιμίοις ἐκδιωχθέντας ἐκ τῶν τόπων ἐν οἷς εἰσὶν ἢ καὶ τῆς λεγομένης ἀπολυτικῆς μὴ τυχόντας εἶτα ἐνταῦθα[7] φοιτῶντας, συμπλαττομένους ἐξ οἱουδήποτε τάγματος ἱερατικοῦ ἢ βαθμοῦ εἶναι καὶ χρήμασιν ἢ προστασίαις ἤ τισιν ἑτέραις περιδρομαῖς ὑφαρπάζειν παρὰ

[3] Voell. κατατάττεσθαι. [4] Voell. ὑφ᾽ ἡλίῳ. [5] Leucl. τὸν ἰουστ.
[6] Τὸ μέν apud Leuncl. deest. [7] Leuncl. καὶ ἐντ.

τοὺς νόμους καὶ τοὺς θείους κανόνας κλῆρον ἢ τάγμα ἢ βαθμὸν ἢ ὑπουργίαν ἢ ἄλλο τὶ τῶν οὐ προσηκόντων αὐτοῖς· καὶ καταπέμπεσθαι[8] ἐν οἱᾳδήποτε ἐκκλησίᾳ ἢ εὐκτηρίῳ ταύτης τῆς ἐνδόξου πόλεως ἢ τῆς ἐνορίας αὐτῆς γνώμης χωρὶς καὶ ἐπιτροπῆς τῆς σῆς μακαριότητος· καὶ τὸ δὴ χείριστον, καὶ τὰς λεγομένας τῶν διαρίων κομίζεσθαι ῥόγας εἴτε διανομὰς, εἴτε ἐκ τοῦ εὐαγοῦς ὀρφανοτροφείου ἢ τῶν[9] εὐαγῶν ξενώνων, ἢ εὐαγοῦς μοναστηρίου ἢ ἐκ τῶν θείων ἡμῶν οἴκων ἢ ἑτέρου προσώπου[10] οἱουδήτινος ἢ ἄλλης οἱασοῦν διοικήσεως, ὅπερ οὐ μόνον εἰς ὕβριν καὶ καταφρόνησιν τῆς θείας φέρεται λειτουργίας καὶ μυσταγωγίας, ἀλλὰ καὶ εἰς τὸν πατριαρχικὸν θρόνον τῆς σῆς μακαριότητος, ὑφ᾽ ὃν τελοῦσι πάντες οἱ εὐαγεῖς τόποι τῆς βασιλίδος ταύτης πόλεως καὶ τῆς ταύτης ἐνορίας· καὶ τούτων δὲ χωρὶς, ὅπερ παντελῶς ἔξω τῶν ἱερῶν ἐστι κανόνων, πειρᾶσθαί τινας ἐν ἐκκλησίαις διαφόροις ἑαυτοὺς εἰσποεῖν, ἢ καὶ πολλάκις ὑπὸ τὸν ἐν χαλκηδόνι ὁσιώτατον πρόεδρον[11], ἐνίοτε δὲ καὶ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις ἐν αἷς ἡ σὴ μακαριότης τὴν τῶν διαρίων ἐπίδοσιν ποιεῖται, καὶ ἐν ἑτέραις ἢ ὑπὸ τοὺς ἐνδοξοτάτους τῶν θείων οἴκων κουράτωρας ἤ τινας ἑτέρους βασιλικοὺς ἢ εὐαγεῖς οἴκους τετάχθαι ἐπὶ δύο καὶ τριῶν ἐκκλησιῶν, καὶ τὸ πρᾶγμα συγχύσεως εἶναι μεστόν· εἶτα πολλάκις μετατίθεσθαι ἐξ οὗπερ ἐξαρχῆς ἀπεκληρώθησαν τόπου, δέον αὐτοὺς ἐν ᾗπερ ἔτυχεν ἕκαστος ἱερωμένος ἐκκλησίᾳ προσκαρτερεῖν κἀκεῖσε τὴν θείαν ἐκπληροῦν λειτουργίαν.

α΄. Ὡς μὴ ταῦτα ἐπὶ πολὺ λανθάνοντα τὴν ἐκκλησιαστικὴν ἀνατρέπει[12] κατάστασιν, δεῖν ἡγούμενοι τῆς προσηκούσης ἀξιωθῆναι προνοίας εἰς τιμὴν μάλιστα φερόμενα[13] τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν θεοῦ, οὗ τινος ἐπώνυμος ἡ εὐδαίμων ἡμῶν ἐστι πολιτεία, ὃν ἡγούμεθα πάντως τῆς τοιαύτης μᾶλλον πρὸς τὸ βέλτιστον ἀναγομένης τάξεως εὐμενέστερον ἡμῖν ἔσεσθαι καὶ μείζονα τὴν οἰκείαν ἐφαπλῶσαι[14] σύναρσίν τε καὶ βοήθειαν τοῖς πράγμασι τῆς εὐδαίμονος ἡμῶν πολιτείας, θεσπίζομεν, μηδένα ἐξ ἑτέρας πόλεως ἢ κώμης ἢ ἐμπορίου ἢ ἑτέρου τόπου ἐπιδημοῦντα κατὰ ταύτην τὴν βασιλίδα πόλιν ἱερατικὸν περιβεβλημένον[15] σχῆμα, οἱουδήποτε βαθμοῦ ἢ τάγματος ἐπιθρυλλοῦντα τυγχάνειν ἐν οἱᾳδήποτε ἐκ-

---

[8] Voell. καταπέμπεσθαι δὲ αὐτοὺς ἐν. [9] Articulum omittit Leuncl. [10] Apud Voell. τόπου legendum esse dicitur. [11] Voell. ὑπὸ τῶν ἐν χαλκ. ὁσιωτάτων προέδρων. [12] Leuncl. ἀνατρέπειν. [13] Quid si φερόμενοι legamus? [14] Leuncl. ἐφαπλώσειν legi vult. [15] Voell. προβεβλ.

κλησίᾳ ἢ εὐκτηρίῳ, τοῦ λοιποῦ χωρὶς γνώμης τε καὶ ἐπιστάλματος τοῦ κατὰ καιρὸν προεστῶτος τῆς εὐδαίμονος ταύτης πόλεως πατριαρχικοῦ θρόνου ἐν οἱῳδήποτε εὐκτηρίῳ οἴκῳ ἢ ἐκκλησίᾳ τῆς ἐνδόξου ταύτης πόλεως ἢ τῆς αὐτῆς ἐνορίας[16] κατατάττεσθαι, ἢ διαρίων ἀξιοῦσθαι εἴτε ἐκ τῶν θείων οἴκων εἴτε ἐκ τοῦ εὐαγοῦς ὀρφανοτροφείου ἢ τῶν εὐαγῶν ξενώνων ἢ εὐαγοῦς μοναστηρίου ἢ ἐξ ἑτέρου οἱουδήτινος προσώπου[17] ἢ ἄλλης τοιαύτης διοικήσεως· ἀλλὰ γίνεσθαι τὸν τοιοῦτον ἢ παρὰ τῇ σῇ μακαριότητι ἢ παρὰ τῷ κατὰ καιρὸν μακαριωτάτῳ πατριάρχῃ, ἐκεῖνον δὲ ἐξετάζειν τὰ περὶ τῆς ποιότητος τοῦ προσώπου, καὶ οὕτως εἰ συνείδοι κατατάττεσθαι αὐτόν. μήτε δὲ κληρικόν τινα πρὸς τούτοις ταύτης τῆς εὐδαίμονος πόλεως ἢ τῆς ἐνορίας αὐτῆς οἱουδήποτε τάγματος ὄντα ἢ βαθμοῦ εἰς ἐκκλησίαν ἢ εὐκτήριον τόπον ἕτερον ἀπὸ τοῦ παρόντος μεταφέρεσθαι ἢ μετατάττεσθαι ἐπιστάλματος[18] χωρὶς τῆς σῆς μακαριότητος· οὐδὲ μὴν ἐν δύο ἐκκλησίαις ἢ εὐκτηρίοις οἴκοις καθ' οἱονδήποτε τρόπον τετάχθαι. τὸν δὲ ἀνασχόμενον δέξασθαι ἢ κατατάττειν ἢ μεταφέρειν ἢ καταπέμπειν ἄνευ γνώμης καὶ ἐπιτροπῆς τῆς σῆς μακαριότητος, ἢ καὶ ἀπὸ ἐκκλησίας εἰς ἐκκλησίαν μεταφέρειν, ἢ καὶ ἐν δύο ἐκκλησίαις τὸν αὐτὸν κατατάττειν, πέντε χρυσίου λιτρῶν ποινῇ ὑποκεῖσθαι, πρὸς τῷ καὶ ἄκυρον εἶναι καὶ πάντῃ[19] ἀνίσχυρον τὸ παρ' αὐτοῦ γεγονός. καὶ αὐτὸν δὲ τὸν ἐγχειροῦντα δεχθῆναι ἢ καταταγῆναι ἢ ἀπὸ ἐκκλησίας εἰς ἐκκλησίαν μετατεθῆναι ἢ ἐν δύο ἐκκλησίαις τετάχθαι μὴ μόνον ἐκπίπτειν τῆς οἰκείας ἐγχειρήσεως, ἀλλὰ καὶ τῆς λειτουργίας αὐτῆς ἔξω καθίστασθαι ἐπὶ τρεῖς ἐνιαυτοὺς καὶ τῶν εἰθισμένων δίδοσθαι παρὰ τῆς κατ' αὐτὸν ἐκκλησίας διαρίων, καὶ πρόσγε κανονικοῖς ἐπιτιμίοις ὑποβαλλόμενον, δοκιμαζούσης ταῦτα τῆς σῆς μακαριότητος. καὶ αὐτοὺς δὲ τοὺς συλλειτουργεῖν αἱρουμένους ἢ δέξασθαι τὸν παρὰ γνώμην τῆς σῆς μακαριότητος καταπεμπόμενον ἐπιτιμίοις ὁμοίως ὑποβάλλεσθαι, οἷς[20] ἂν ἡ σὴ δοκιμάσῃ μακαριότης.

Παραφυλαττόντων διηνεκῶς τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα πραγματικοῦ τύπου τῆς σῆς μακαριότητος καὶ τῶν μετ' αὐτὴν τὸν τῆς εὐδαίμονος ταύτης πόλεως πατριαρχικὸν παραλαμβανόντων θρόνον, καὶ τῶν προεστώτων

---

[16] Verba τῆς ἐνδόξου — ἐνορίας apud Voell. hoc loco desiderantur, et minus apte paulo ante post εὐκτηρίῳ posita sunt. [17] Verbum προσώπου Voell. non habet. Cf. supra not. 10. [18] Voell. ἐπιτάγματος. [19] Voell. παντοίως. [20] Voell. ὡς.

τῶν θείων ἡμῶν οἴκων ἐνδοξοτάτων ἀνδρῶν, τοῦ τε κατὰ καιρὸν προεστῶτος τοῦ κατὰ τὴν ἔνδοξον πόλιν κατὰ ζωτικὸν εὐαγοῦς ὀρφανοτροφείου καὶ τοῦ κατὰ σαμψὼν εὐαγοῦς ξενῶνος καὶ τῶν ἄλλων τῶν τὰς τοιαύτας προβολὰς ποιουμένων· φανερὰ τούτοις τὰ παρ' ἡμῶν ἐπ' εὐταξίᾳ τῶν ἁγιωτάτων ἐκκλησιῶν θεσπισθέντα καθιστώσης τῆς σῆς μακαριότητος[21].

NOV. XXV.

Imp. Heraclii
de clericis conveniendis. (A. 629.)[1]

Νόμος βεβαιῶν τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ τοῖς θεοφιλεστάτοις κληρικοῖς καὶ μονάζουσι τὰ παρὰ τῶν προβεβασιλευκότων αὐτοῖς δεδωρημένα προνόμια περὶ τοῦ πῶς δεῖ ἐνάγεσθαι[2] χρηματικῶς τε καὶ ἐγκληματικῶς· προστιθεὶς ἐκ καινῆς, ὥστε μηδεμίαν πάροδον κατ' αὐτῶν ἔχειν πολιτικοὺς ἢ στρατιωτικοὺς ἄρχοντας.

Ἐν ὀνόματι τοῦ δεσπότου ἰησοῦ χριστοῦ τοῦ θεοῦ ἡμῶν ἡράκλειος καὶ ἡράκλειος νέος κωνσταντῖνος πιστοὶ ἐν χριστῷ βασιλεῖς σεργίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ ταύτης τῆς εὐδαίμονος πόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Οὐχ ἁλουργὶς οὐκ αὐτεξούσια σκῆπτρα τὸ τῆς βασιλείας κοσμεῖν τοσοῦτον ἐπίστανται κράτος, ὡς πρᾶξις εὐσεβὴς τὸν ἔπαινον οἴκοθεν ἔχουσα. ἐκεῖνα μὲν γὰρ τοῖς κρατοῦσι προστιθέμενα τιμιωτέρους μόνους αὐτοὺς ἀποφαίνουσιν· αὕτη δὲ τοῖς οἰκείοις ἀγαθοῖς κοινὴν ἀπεργάζεται τὴν ὠφέλειαν. ἔνθεν ὁρμηθέντες πρὸς τιμὴν τῶν ἁπανταχοῦ γῆς ἁγιωτάτων ἐκκλησιῶν καὶ τῶν ἱερέων ἢ ἄλλως πως εὐλαβὲς περιβεβλημένων[3] σχῆμα πρὸς τὸν παρόντα συνεωράκαμεν ἤδη νόμον, βαλβῖδα τε καὶ ὡς ἄν τις φαίη θεμέλιόν τινα τῆς ἡμετέρας εὐσεβοῦς τοῦτον νομο-

---

[21] Subscriptio deest; videtur autem haec Novella promulgata esse inter Nov. XXIII et XXV, i. e. inter 620 et 629.

[1] Hanc Heraclii Novellam excitat Balsamon ad Photii Nomoc. IX, 1 (ed. Rhalli I p. 165. 171) et Matth. Blastares Δ, 7 (ed. Bevereg. II p. 98). Ex Balsamone habet Bonefid. JO. p. 2. [2] Leuncl. in margine: περὶ τοῦ μὴ ἀνάγεσθαι. Voell. π. τοῦ ἐνάγεσθαι. [3] Voell. περικειμένων.

θεσίας ποιήσασθαι καὶ δίκην ἀπαρχῆς προσαγαγεῖν τῷ δεσπότῃ καὶ σωτῆρι τῶν ὅλων θεῷ. πλεῖστοι γὰρ τῶν ἐν τῷ θεοφιλεῖ κλήρῳ ταύτης ἡμῶν τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως καὶ τῶν ἐν τοῖς εὐαγέσι μοναστηρίοις τὴν ἄσκησιν ποιουμένων, ἔτι δὲ καὶ διαφόρων πόλεων ὁσιώτατοι πρόεδροι, εὐλαβεῖς τε κληρικοὶ καὶ μοναχοὶ κατ᾽ αὐτὴν ἐνδημοῦντες, προσελθόντες ἐδίδαξαν ἡμᾶς, τινὰς τῶν ἡμετέρων εὐσεβῶν κατολιγωρήσαντας νόμων, ἢ πρὸς αὐτὴν[4] ὑπευθύνους αὐτοὺς ἔχοντας τὴν ἀλήθειαν ἢ παραλόγως ἐργολαβεῖν πειρωμένους, πολιτικοῖς προχείρως ἢ καὶ στρατιωτικοῖς παραβάλλειν δικαστηρίοις, παρασκευάζειν τε μεθ᾽ ὅσων ἀγομένους τῶν ὕβρεων φρουραῖς ἀποτίθεσθαι καὶ τὰς αὐτοῖς δοκούσας ἴσως ὑπέχειν ποινάς· ἢ ὅτε φιλανθρωπότερα περὶ αὐτοὺς διανοεῖσθαι δοκιμάσοιεν, προσεδρείας ἱκανοδοσίαν εἰσπράττοντας καὶ πλείσταις ζημίαις αὐτοὺς περιβάλλοντας· τῶν παρ᾽ οἷς ἐν εὐθύναις καθίστανται, κέρδους χάριν ἢ προσπαθείας τῶν ἐγχειρούντων αὐτοῖς ἐπηρεάζειν, προϊεμένων τὸ δίκαιον. καὶ ταῦτα διδάσκοντες ἐδέοντο τὰ κατ᾽ αὐτῶν οὕτω πλημμελουμένων τῆς προσηκούσης καὶ παρισταμένης ἡμῖν τυχεῖν διορθώσεως.

α΄. Ἡμεῖς τοίνυν τὸ πρέπον κἀν τούτῳ τῇ σῇ μακαριότητι γέρας ἀπονέμοντες, λογισάμενοί τε τὴν ὑπὸ πάντων ἐκείνοις[5] δικαίως ὀφειλομένην αἰδῶ, καὶ τῶν ἐπ᾽ αὐτοῖς πάλαι νενομοθετημένων τὰ μὲν ἐπὶ τούτου καταλιπόντες, τὰ δὲ πρὸς τὸ καλλίως[6] ἔχειν ἡμῖν δεδοκιμασμένα μεταρρυθμίσαντες, θεσπίζομεν, τοὺς μὲν ἐν κλήρῳ καταλεγομένους τῆς θεοφυλάκτου καὶ βασιλίδος ἡμῶν πόλεως καὶ τοὺς ἐν αὐτῇ τὸν μονήρη βίον ἀναδεδεγμένους, ἧττον δὲ οὐδὲν καὶ τοὺς κατ᾽ αὐτὴν ἐνδημοῦντας ὁσιωτάτους προέδρους, ἔτι γε μὴν εὐλαβεῖς κληρικούς τε καὶ μοναχοὺς τῶν ἐπαρχιῶν καὶ πόλεων, ὧν αἱ διοικήσεις ὑπὸ τὸν ἀρχιερατικὸν τῆς σῆς μακαριότητος θρόνον τελοῦσι, χρηματικὰς παρ᾽ οὑτινοσοῦν τῶν πάντων ὑφισταμένους κινήσεις παρὰ μόνῃ τῇ σῇ μακαριότητι καὶ τοῖς ἐπὶ τούτῳ[7] παρ᾽ αὐτῆς ὁριζομένοις τὰς ἀπολογίας ποιεῖσθαι, καθ᾽ ὧν ἔκκλητος παρακολουθοῦσα πρὸς τὴν σὴν ἀναδραμεῖται μακαριότητα· μήτε τῶν ὑπευθύνους αὐτοὺς ἔχειν οἰομένων τολμώντων αὐτοὺς εἰς πολιτικὸν ἢ στρατιωτικὸν δικαστήριον ἕλκειν, μήτε μὴν τῶν ταῖς τοιαύταις ἀρχαῖς ἐφεστώτων, εἴ τινας τοιαύτας τύχοιεν προσαγγελίας[8]

---

[4] Voell. μὴ πρὸς αὐτὴν ἢ ὑπ. [5] Voell. ἐκείνων. [6] Voell. καλῶς.
[7] Voell. τούτων. [8] Leuncl. in margine: παραγγελίας.

δεχόμενοι, θαῤῥούντων αὐτοὺς τούτου χάριν πρὸς ἑαυτοὺς ἀγαγεῖν· τῶν τοῖς εὐσεβέσιν ἡμῶν νόμοις διωρισμένων ἐπί τε ταῖς δικαστικαῖς ἀσφαλείαις, ἐπί τε τῷ μέτρῳ τῶν σπορτούλων αὐτοῖς φυλαττομένων ἀτρώτων.

β'. Εἰ δέ τινες ἑτέρας διοικήσεως ὁσιώτατοι πρόεδροι ἢ εὐλαβεῖς κληρικοὶ ἢ μοναχικὸν[9] *μεταδιώκοντες βίον, κατὰ τὴν ἡμῶν ἀφιγμένοι πανευδαίμονα πόλιν, παρ' οὑτινοσοῦν τῶν πάντων χρηματικὰς ὑποσταῖεν ἐναγωγὰς, θεσπίζομεν καὶ τούτους εἴ γε βούλοιντο παρὰ μόνῃ τῇ σῇ μακαριότητι τὸν ὅμοιον ἀποκρίνεσθαι τρόπον, καὶ μηκέτι τὸ λοιπὸν*[10] *(τοῦτο γὰρ τῆς προτέρας ἐπανορθούμεθα νομοθεσίας) παρὰ τοῖς ἐνδοξοτάτοις ἄκοντας ἀπολογεῖσθαι τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων ὑπάρχοις. εἰ δὲ ὡς εἰκὸς πρὸς τὴν τῆς σῆς μακαριότητος ἀκρόασιν ἥκιστα καταφύγοιεν, τηνικαῦτα κατὰ τοῦτο δὴ τὸ πάλαι νενομοθετημένον παρὰ τοῖς ἐνδοξοτάτοις τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων ὑπάρχοις ἢ παρ' ᾧ δ' ἂν ἑτέρῳ κελεύσωμεν ὑπαντᾶν καὶ τὰς ἀπολογίας τοῖς ἐγκαλοῦσι ποιεῖσθαι· φυλαττομένων δηλαδὴ καὶ τούτοις τῶν ἅπερ ἐπί τε ταῖς τῶν δικῶν*[11] *ἀσφαλείαις, ἐπί τε τῇ συμμετρίᾳ τῶν σπορτούλων οἱ παλαιοὶ διορίζουσι νόμοι. τοῖς μέντοι διακονουμένοις ἐκκλησιαστικαῖς ἀποκρίσεσι καὶ τοῖς πρὸς πρεσβείαν ἐκκλησίας ἢ πόλεως ἢ προέδρου χειροτονίαν κατὰ ταύτην ἡμῶν ἀφιγμένοις τὴν θεοφύλακτον πόλιν, ἀκαινοτόμητα τὰ πάλαι περὶ αὐτῶν νενομοθετημένα φυλάττομεν. ἐφ' ὧν δὲ θεμάτων ἐναγωγὰς ὑφίστασθαι τοὺς τοιούτους οἱ ἡμέτεροι διορίζουσι νόμοι, καὶ ἐπ' αὐτοῖς*[12] *τὴν εὐεργεσίαν τοῦ παρόντος ἐκτείνομεν νόμου.*

γ'. Οἱ δὲ τῶν ἐπαρχιῶν ὁσιώτατοι πρόεδροι, πρὸς δέ γε καὶ οἱ κατ' αὐτὰς ἐν κλήρῳ καταλεγόμενοι καὶ οἱ τὴν ἄσκησιν ἐν αὐταῖς μετιόντες κἀκεῖσε διάγοντες, παρ' ἐκείνοις ὧν ὑπὸ τὴν δικαιοδοσίαν καθεστᾶσι τὰς εὐθύνας ἐπὶ ταῖς χρηματικαῖς ὑφέξουσι δίκαις, τῆς ὁμοίας καὶ ἐπ' αὐτοῖς φυλαττομένης παρατηρήσεως ἐπί τε τῇ τῶν σπορτούλων ποσότητι, ἐπί τε τῷ τρόπῳ τῶν δικαστικῶν ἀσφαλειῶν· τῆς κατὰ τῶν κριθησομένων ἐφέσεως, εἰ μὲν ἐπίσκοπος ὁ ψηφισάμενος εἴη, παρὰ τῷ τὸν μητροπολιτικὸν ἐκείνης τῆς ἐπαρχίας ἐπέχοντι θρόνον γυμναζομένης· εἰ δὲ μητροπολίτης ὁ δικάσας ἔσοιτο, παρὰ τῷ ἁγιωτάτῳ πατριάρχῃ τῆς αὐτοῦ διοικήσεως· πλὴν εἰ μὴ καθ' ἡμε-

---

9 Leuncl. in marg. et Voell. *μοναδικὸν*. 10 Voell. articulum non habet.
11 Leuncl. *δικαίων* et in marg. *δικαστηρίων*. 12 Leuncl. *αὐτῶν*.

τέραν κέλευσιν εἴς[13] τὴν τῆς ὑποθέσεως παρειληφὼς ἀκρόασιν τύχοι. τοιούτου γάρ τινος παρεμπίπτοντος, τοὺς ἐπὶ τοῦτο κειμένους κρατεῖν βουλόμεθα νόμους.

δ΄. Ἄρχοντα δὲ ὅλως πολιτικὸν ἢ στρατιωτικὸν ἐπισκόπῳ[14] δίκην παραπέμπειν ἢ τὴν αὐτοῦ κρίσιν ἀναψηλαφᾶν ἢ ἐκβιβασμῷ ταύτην παραδιδόναι, οὐδὲ κατὰ ταύτην ἡμῶν τὴν πανευδαίμονα πόλιν οὐδὲ καθ᾽ ἕτερόν τινα τόπον τῆς ἄνωθεν παραδεδομένης ἡμῖν πολιτείας βουλόμεθα ἀπρεπὲς τοῦτο ἡγησάμενοι, καὶ τὸν παλαιὸν καὶ περὶ τοῦτο τὸ μέρος ἐπανορθούμεθα νόμον· τῶν[15] κρινομένων ἐκβιβασμῷ, εἰ μὲν τὰ μέρη τοῖς διατυπουμένοις ἐφησυχάσωσι, προνοίᾳ τοῦ κρίνοντος ἐπαγομένων· εἰ δέ τις ἔφεσις παρακολουθήσει, φροντίδι τοῦ τὴν δευτέραν ἐκφέροντος ψῆφον· προδήλως τῶν τοῖς ἡμετέροις διηγορευμένων νόμοις ἐπὶ τοῖς ἐναγωγὰς παρὰ κληρικῶν ὑφισταμένοις λαϊκοῖς τὴν ἰδίαν ἐχόντων ἰσχύν· τὸ δέ γε ἐστὶ τὸ χρῆναι τὸν ἄκτορα τὸν τοῦ ῥέου μεταδιώκειν φόρον.

ε΄. Εἰ δὲ πρὸς ἐγκλήματα φέροιτο τὰ ἐνταῦθα ἐπαγόμενά τινι τῶν ἱερωμένων προσώπων, κἂν τῆς σῆς κἂν ἑτέρας εἴησαν διοικήσεως, παρὰ τῇ σῇ μακαριότητι καὶ μόνῃ καὶ τοῖς παρ᾽ αὐτῆς ὁριζομένοις τὴν τούτων ἐξέτασιν προϊέναι θεσπίζομεν, καὶ τῆς κατὰ τῶν τοιούτων προτιθεμένης κατηγορίας φανερᾶς γινομένης, ἢ συνομολογούντων πολλάκις ἐκείνων τὰ ἐφ᾽ οἷς κατηγοροῦνται ἢ νομίμως διελεγχομένων, τὴν καλῶς ἔχειν φαινομένην τῇ σῇ μακαριότητι τοῖς ἡμαρτῆσθαι δεικνυμένοις κατὰ τοὺς θείους κανόνας ἐπάγειν τομήν. εἰ δέ γε νομίσοι σφοδροτέρας ἐπεξελεύσεως ἄξιον καθεστᾶναι τὸν κρινόμενον, τηνικαῦτα τὸν τοιοῦτον παρὰ τῆς σῆς μακαριότητος τοῦ περικειμένου κελεύομεν γυμνοῦσθαι σχήματος καὶ τοῖς πολιτικοῖς ἄρχουσι παραδίδοσθαι τὰς τοῖς ἡμετέροις διωρισμένας νόμοις τιμωρίας ὑποστησόμενον. τῶν ὁμοίων καὶ ἐν ταῖς ἐπαρχίαις ἐπὶ ταῖς ἐγκληματικαῖς φυλαττομένων ζητήσεσιν, ὥστε τῶν προδηλουμένων ἕκαστον ὑπὸ κατηγορίαν γινόμενον παρ᾽ ἐκείνῳ τὰς εὐθύνας ὑπέχειν, ὑφ᾽ ὃν αὐτὸν τετάχθαι συμβαίνει, καὶ τὴν ἐπὶ τοῖς αὐτῷ πεπλημμελῆσθαι φαινομένοις ἐπεξέλευσιν κατὰ τὸν προαναφερόμενον[16] ὑφίστασθαι τρόπον. τῶν ὑποθέσεων τῶν ἤδη ὡς εἰκὸς προοίμιον ἐν πολιτικοῖς ἢ στρατιωτικοῖς δικαστηρίοις ἐν γράμμασι δεξαμένων ἐνταῦθά τε καὶ κατὰ χώραν, κατὰ ὁσιω-

---

[13] Voell. εἰς. [14] Leuncl. ἐπίσκοπον et in marg. ἐπισκόπου. [15] Voell. τούτων — ἐκβιβασμῶν. [16] Leuncl. παραναφ.

τάτων προέδρων ἢ θεοφιλῶν κληρικῶν τε καὶ μοναχῶν ἢ ἄλλως πως ἱερωμένων προσώπων, ἐκεῖσε πρὸς πέρας ἀγομένων· δηλαδὴ τῆς ἐκ τῆς ἐφέσεως τοῖς οἰομένοις ἠδικῆσθαι διὰ τῶν ἐκεῖσε[17] *ψηφισθησομένων οὐκ ἀναιρουμένης βοηθείας.*

ς'. Τὸν γὰρ παρόντα θεῖον ἡμῶν νόμον ex Kalendis Aprilis *τῆς ἐνεστώσης* secundae[18] *ἐπινεμήσεως καὶ εἰς τὸν ἑξῆς ἅπαντα καὶ διηνεκῆ χρόνον κελεύομεν κρατεῖν, τῶν ἑτέρως*[19] *πεφιλοτιμημένων προνομίων τῇ τε καθ' ἡμᾶς ἁγιωτάτῃ ἐκκλησίᾳ καὶ ταῖς λοιπαῖς καὶ τοῖς ὁσιωτάτοις αὐτῶν προέδροις κληρικοῖς τε καὶ μοναχοῖς καὶ ἑτέρως πως ἱερωμένοις προσώποις τὴν ἰδίαν ἐχόντων ἰσχύν.*

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου ἡμῶν γενικοῦ δηλούμενα νόμου ἡ σὴ μακαριότης καὶ οἱ μετ' αὐτὴν τοῦ κατ' αὐτὴν προστησόμενοι θρόνου, καὶ οἱ τῶν πόλεων ὁσιώτατοι πρόεδροι, καὶ οἱ ταῖς πολιτικαῖς καὶ στρατιωτικαῖς ἐφεστῶτες[20] *ἀρχαῖς, καὶ οἱ τούτοις ὁπωσοῦν καθυπουργεῖν τεταγμένοι, ἔργῳ καὶ πέρατι παραδοῦναι καὶ παραφυλάξαι σπευσάτωσαν· τοῦ τὰ παρ' ἡμῶν νενομοθετημένα παραβαίνοντος*[21] *ἢ παραβαθῆναι συγχωροῦντος, εἰ μὲν τῶν ἱερέων τὶς εἴη, κίνησιν ἡμῶν ὑφορωμένου δικαίαν· εἰ δὲ πολιτικὴν ἢ στρατιωτικὴν αὐτὸν ἀρχὴν διανύειν συμβαίνει, πρὸς τῇ τῆς ἀρχῆς ἐκπτώσει καὶ ποινὴν* viginti librarum auri *ὑποστησομένου· εἰ δὲ τῶν τὴν ὑπουργίαν νεμόντων καθεστήκει, τὰς εἰς σῶμα ὑπομένοντος ποινάς.* Divinitas te servet per multos annos sanctissime ac beatissime pater[22]. *ἐγράφη καλάνδαις ἀπριλλίαις ιβ', βασιλείας ἡρακλείου τοῦ εὐσεβεστάτου ἔτους ιθ', καὶ ἡρακλείου τοῦ νέου κωνσταντίνου ἔτους ιζ'.*

---

[17] Voell. *ἐκεῖθεν.* [18] Leuncl. *δευτέρας.* [19] Leuncl. *ἑτέρων.* [20] Voell. *ὑφεστ.* [21] Voell. *παραβαίνειν.* [22] Voell., ut et Leuncl. in margine graece addunt. *Τὸ θεῖόν σε φυλάξῃ ἐπὶ πολλοὺς χρόνους ἁγιώτατε καὶ μακαριώτατε πάτερ.*

NOV. XXVI.[1]

Impp. Leonis et Constantini de his qui filios suos ex sacro baptismate suscipiunt, et aliis capitulis. (Inter a. 776—780.)[2]

Νομοθεσία νεαρὰ λέοντος βασιλέως κατὰ τὸν βάρδα.

Πᾶσαν σπουδὴν ἔχοντες ἀεὶ, ὥστε τὴν παρὰ τῆς ἄνω ῥοπῆς ἐγχειρισθεῖσαν ἡμῖν ῥωμαϊκὴν πολιτείαν ὀρθοφρόνως τῇ ὑπερθέῳ καὶ μακαρίᾳ τριάδι λατρεύουσαν καὶ κατὰ τὰς θεουργοὺς αὐτῆς ἐντολὰς ἀναστρεφομένην ἐν εὐνομίᾳ ζῆν[3] εἰρηναῖαν καὶ ἀστασίαστον, πάσῃ τῇ τοῦ βίου ῥαστώνῃ[4] χαίρειν εἰπόντες ἐμ-

[1] Bonefidius JO. p. 3 et 4 quatuor locos ex Cedreni Historia recepit, quasi indicia Novellarum deperditarum Leonis Iconomachi et Constantini Copronymi. Ad Leonem Iconomachum pertinent haec: *α'. Τῷ ϛ' ἔτει ἠνάγκαζεν ὁ βασιλεὺς τοὺς ἑβραίους καὶ τοὺς μοντανοὺς βαπτίζεσθαι. — β'. Ἐκμανεὶς ἐπὶ τούτῳ πλέον ὁ θεομάχος, φόρους κεφαλικῶς τῷ τρίτει μέρει σικελίας καὶ καλαβρίας τοῦ λαοῦ ἐπέθηκε. τὰ δὲ λεγόμενα πατριμώνια τῶν ἐν ῥώμῃ ναῶν τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων ἔκπαλαι τελούμενα τάλαντα τρία ἥμισυ, τῷ δημοσίῳ λόγῳ τελεῖσθαι προσέταξεν· ἐποπτεύειν τε καὶ ἀναγράφεσθαι τὰ τικτόμενα βρέφη πρὸς τὸ ἀπαιτεῖσθαι τὸν λεγόμενον κεφαλητίωνα. — γ'. Ἰδὼν δὲ ὁ βασιλεὺς τὰ τείχη τῆς πόλεως πτωθέντα, διελάλησε λέγων, ὅτι ὑμεῖς οἱ τῆς πόλεως ἀδυνατεῖτε τὰ τείχη κτίζειν· ἀλλὰ προσετάξαμεν τοῖς διοικηταῖς τῶν θεμάτων ἀπαιτεῖν εἰς τὸν κανόνα κατὰ νόμισμα μιλιαρίσιον ἓν, καὶ λαμβάνειν αὐτὰ τὰ βασίλεια καὶ κτίζειν αὐτά. κἀντεῦθεν ἀπεκράτησεν η συνήθεια παρέχειν τὰ δικέρατα τοῖς διοικηταῖς· κέρατα δὲ αἱ ιβ' φόλεις ὠνομάσθησαν ἤτοι νοῦμμοι.* — Constantini Copronymi hoc est: *Ὄργανον ἐπιτήδειον τοῦ ἀντιχρίστου γέγονεν· ὡς καὶ θεσμὸν καθολικὸν ἐκθέσθαι, μὴ λέγεσθαί τινα τὸ παράπαν ἅγιον, ἀλλὰ καὶ τὰ λείψανα τούτων εὑρισκόμενα διαπτύεσθαι καὶ μηδὲ πρεσβείαν αὐτῶν ἐξαιτεῖν. οὐδὲν γὰρ (ἔλεγεν) ἰσχύουσι· προσθεὶς ὁ παμμύαρος, μηδὲ τὴν τῆς μαρίας ἐπικαλείσθω τὶς πρεσβείαν· οὐ γὰρ δύναταί τι. ἀλλὰ μηδὲ θεοτόκον αὐτὴν ὀνομάζεσθαι.*

[2] Hujus Novellae rubrica extat in Indice generali Codicis Marciani 179 sic: *Νομοθεσία λέοντος καὶ κωνσταντίνου μεγάλων βασιλέων ῥωμαίων καὶ αὐτοκρατόρων περὶ τῶν τὰ ἴδια τέκνα δεχομένων ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος καὶ ἀμφοτέρων κεφαλαίων.* Praecedit nota: *αὕτη προγενεστέρα ἐστὶν εἰρήνης τῆς βασιλίσσης.* Quae nota satis aperte indicat, hanc Novellam ab Impp. Leone et Constantino, qui ab anno 776 ad annum 780 regnarunt, publicatam esse. Caeterum quum in Marciano Codice ipsa Novella exciderit, forte fortuna factum est, ut in Cod. jurid. gr. 7 appendici libri juridici inserta sit. Hinc eam edidi primus in Delineat. historiae JGR. p. 108, jamque repeto emendatiorem. Ediderunt etiam nuper Rhallis et Potlis in Coll. canonum Athenis edita to. V p. 241.

[3] Cod. *ζωήν.* Rhalli emendat: *ζωὴν διάγειν.*

[4] Cod. in margine: *ῥαθυμία, ἀνάπαυσις, ἀργία.*

μελῶς ταῖς φροντίσιν ἐπαγρυπνεῖν καὶ πάντα τὸν πόνον ἀναδεχθῆναι[5] νύκτωρ τε καὶ μεθ' ἡμέραν προεθυμήθημεν, πεπειθότες ἐν τούτῳ μάλιστα κατευθύνεσθαι τὴν τῆς σωτηρίας ὁδὸν καὶ τὸν στέφος ἡμῖν δωρησάμενον μεγαλοκράτορα βασιλέα τὰ μέγιστα θεραπεύειν καὶ τῆς παρ' αὐτοῦ ἀπολαύειν φιλανθρώπου κηδεμονίας. ἀμέλει[6] τοίνυν καὶ νῦν τῆς συνήθους ἐχόμενοι φιλαγρύπνου ἐπιμελείας, πρᾶγμά τι σκαιὸν καὶ πάσης ἀναμέτρητον παρανομίας, ὥσπερ τὶ φθοροποιὸν[7] καὶ λοιμῶδες νόσημα παρεισπεσὸν, ἐξαφανίσαι καὶ τῆς πολιτείας τῆς ἡμετέρας πορρωτάτω ἀπελάσαι διενοήθημεν. ἀνόσιοι γάρ τινες καὶ παρανομίᾳ συζῶντες, οὐκ ἄνδρες μόνον ἀλλὰ καὶ γυναῖκες, τῆς θείας ἀλογήσαντες ἐντολῆς, ἀλλήλους ἀποστυγοῦντες τὰ συνοικέσια λύειν διενοήθησαν, οἱ μὲν ὑπό τε γυναίων ἀσέμνων καὶ τῆς τῶν ἡδονῶν οἰστρηλατούσης ἀκολασίας συνελαυνόμενοι, αἱ δὲ σκήψεις τινὰς οὐκ ἀπρεπεῖς κατὰ τὴν τῶν ἀνδρῶν προβαλλόμενοι κοίτην ὡς δῆθεν εἰς τὴν ἑαυτῶν εὐνὴν ἐξυβρισάντων[8], ἐπίνοιάν τινα ὡς δεινὴν καὶ κακότροπον ὑπ' αὐτοῦ τοῦ σοφιστοῦ τῆς κακίας ἐμηχανήσαντο. τὰ σφέτερα γὰρ τέκνα ἐκ τοῦ τῆς[9] παλιγγενεσίας λουτροῦ, τοῦ ἁγίου φαμὲν καὶ σωτηριώδους βαπτίσματος, ἀνεδέξαντο, κἀκ τούτου πρὸς θέσμιτον ἦλθον διάζευξιν, τὴν ἐξ ἀμφοῖν θείᾳ χάριτι μίαν σάρκα γεγενημένην τολμηρῶς ἀποτεμόντες καὶ τὴν ἐπαινετὴν ἕνωσιν ἀτοπωτάτῃ λύσαντες διαιρέσει, καὶ ἀπωλείας μὲν αἴτιοι τῆς ἑαυτῶν φαντασθέντες, ἀπευκτὸν δὲ τῇ πολιτείᾳ γενόμενοι ἄκουσμα. ταύτην τοιγαροῦν τὴν παρανομίαν ἐνδίκως ἀνελεῖν βουληθέντες καὶ τὴν προσήκουσαν τῷ σφάλματι διόρθωσιν ἐπιτίθεσθαι σπεύσαντες, συμβούλῳ ἀγαθῷ τοῖς τοῦ θεοῦ χρησάμενοι δικαιώμασιν, — καὶ γὰρ μὴ χρῆναι ἄνδρα γυναικὸς διαζεύγνυσθαι παρεκτὸς λόγου πορνείας ἡ τῶν ἱερωτάτων λογίων κυριόλεκτος διαῤῥήδην[10] ἐκδιδάσκει φωνὴ —, ἐπὶ τήνδε ἐλθεῖν τὴν εὐσεβῆ νομοθεσίαν τῶν ἀναγκαιοτάτων ἐκρίναμεν ποιεῖν, ὡρισμένην ἐντάξαι ταύτην δίκαιον ἡγησάμενοι, ὡς ἂν τὴν λοίμην[11] τοῦ ἀῤῥωστήματος στήσαιμεν μὴ πορρωτέρω[12] προβῆναι. εἰ γὰρ μηδεμία μὲν τῇ ἀρετῇ παρέψεται[13] τιμή τε καὶ εὔκλεια, ἀκόλαστα δὲ τὰ τῆς[14] κακίας ἀφεθείη καὶ

---

[5] Cod. ἀναδειχθῆναι. [6] Cod. ad marginem: τοιγαροῦν. [7] Cod. ad marginem: πονηρὸν καὶ μωρὸν καὶ ἀβούλητον. [8] Cod. corrupte sic: σκήψεις δέ τινας — κατὰ τῶν ἀνδρῶν — ἐξυβρίσαντας. [9] Deest in Cod. articulus. [10] Cod. in marg.: φανερῶς. [11] Idem ibidem: βλάβην. [12] Vel περαιτέρω. Cod. παρ' ἑτέρῳ. [13] Cod. corrupte: ἡ γὰρ μῆ δὲ μὴ ἀμένος τῇ ἀρετῇ παρόψεται. [14] Articulum Cod. non habet.

ἀδιόρθωτα, σπάνιος μὲν ἡ τῆς καλοκἀγαθίας κτῆσις τοῖς ἀνθρώποις γενήσεται, εὔζηλωτον δὲ τῆς μοχθηρίας ἡ ἐξαπάτη φανήσεται.

α΄. Θεσπίζομεν τοίνυν διὰ τοῦδε ἡμῶν τοῦ δικαιοτάτου καὶ πανευσεβοῦς τύπου, ὡς εἴ τις ἀπὸ τῆς δεῦρο τοιοῦτόν τι διαπράξαι τολμήσειεν καὶ τῷ ῥηθέντι κακίστῳ φωραθείη ἐγκλήματι, ἀνὴρ μὲν ὢν τήν τε προῖκα, ἣν προσεδέξατο, καὶ ἣν ὑπέσχετο προγαμιαίαν δωρεὰν εἰς ὁλόκληρον παρὰ τῆς γυναικὸς μεθοδεύσεται[15], τό τε λεῖπον[16] μεταποιηθήσεται τοῦτον τὸν τρόπον, ὥστε τὰς μὲν ὀκτὼ οὐγκίας ἤτοι τὸ ἥμισυ ἕκτον κομίσασθαι τὸ τέκνον ἢ τὰ τέκνα ὅσαπερ ἂν εἶεν· καὶ εἰ μὲν ἡ τούτων μήτηρ σεμνὸν καὶ ἔνθεον αἱρουμένη βίον εὐλαβηθείη δευτέροις ὁμιλῆσαι γάμοις, τῆς τε θείας εὐμενείας παραπολαύσει[17], καὶ τὴν χρῆσιν ἕξει τῆς τοιαύτης ὑπάρξεως τὸν ἅπαντα τῆς ζωῆς αὐτῆς χρόνον, μετὰ δὲ τὴν αὐτῆς ἐκ τοῦδε τοῦ βίου ἄφιξιν ταύτης οἱ παῖδες μεριοῦνται ὡς πατρῷαν ἐξ ἰσότητος· εἰ δὲ παραφυλαττούσης αὐτῆς τὸν πένθιμον καιρὸν ἤτοι τὸν δωδεκαμηνιαῖον χρόνον δεήσει πρὸς δεύτερον ταύτην ἐλθεῖν συνοικέσιον, — ἄδειαν γὰρ αὐτῇ ὁ παρὼν δίδωσιν νόμος ὡς ἠδικημένῃ περὶ τὴν εὐνὴν —, τὴν μὲν προῖκα τὴν ἑαυτῆς καὶ τὴν προγάμου λήψεται δωρεὰν καὶ πρὸς τὸν δεύτερον ἀπελεύσεται ἄνδρα, ἡ δὲ λοιπὴ ποσότης τῆς τοῦ προτέρου ἀνδρὸς περιουσίας, ἃς προέφημεν ὀκτὼ οὐγγίας, παρευθὺ τοῖς ἐκ τοῦ προτέρου συνοικεσίου παισὶν ἀπονεμηθήσεται. καὶ εἰ μὲν ὑπεισιν οὗτοι, ταύτης ἀπολαυέτωσαν, εἰ τεθνήξονται δὲ, ἡ τούτων κληρονομία εἰς τὴν μητέρα[18] ἐπαναδραμεῖται, καὶ οὐδὲν τὸ παράπαν ἐξ αὐτῆς ὁ ἀθέσμως[19] τὸν γάμον διαλύσας λήψεται πατήρ. εἰ δέ γε προτελευτήσει ἡ μήτηρ, ἀλλήλοις παραπεμπέτωσαν τὴν κληρονομίαν οἱ παῖδες· εἰ δέ γε πάντες αὐτῶν τελευτήσωσιν καὶ ἔτι περίεστιν ὁ πατὴρ, ἡ τούτων κληρονομία εἰς τοὺς μητρῴους αὐτῶν συγγενεῖς περιερχέσθω κατὰ τὴν ἔννομον τῶν βαθμῶν οἰκειότητα, καὶ μηδὲν ἐξ αὐτῆς μήτε ὁ πατὴρ μήτε οἱ τούτου συγγενεῖς κομιζέσθωσαν. εἰ δὲ καὶ πρὸ τῶν ἑαυτοῦ παίδων ἐτελεύτησεν ὁ πατὴρ, προαποιχομένης[20] ὡς ἔφη-

---

[15] Cod. μεταθοδευτήσεται. [16] Cod. τουτέστι, quasi verbum μεταποιηθήσεται praecedentis verbi explicatio sit. Sed omnino aliquid deest, quod indicet jam de reliqua viri substantia (— ἡ λοιπὴ ποσότης mox vocatur —) sermonem esse. [17] Cod. παραπολαῦσαι. [18] Pater et mater ab intestato succedentes praeferuntur fratribus sororibusve defuncti secundum Eclogam VI, 2. [19] Cod. ad marginem: ἀδίκως, παρανόμως. [20] Idem ibid.: προαπελθούσης.

μεν δηλαδὴ τῆς αὐτῶν μητρὸς, καὶ κατόπιν[21] τελευτήσωσιν ἅπαντες οἱ παῖδες, τηνικαῦτα αἱ τούτων ὑπάρξεις εἰς τοὺς ἑκατέρου μέρους συγγενεῖς παραπεμφθήσονται, τουτέστιν εἴς τε τοὺς πρὸς μητρὸς καὶ πρὸς πατρὸς κατὰ τὴν τῶν βαθμῶν ἐγγύτητα, ὡς προλέλεκται. τὸ μέντοι ὑπολελειμμένον τετραούγκιον ἤτοι τὸ τρίτον μόριον τῆς ὑποστάσεως τοῦ τὸν γάμον διαλύσαντος ἀφεθήσεται αὐτῷ πρὸς χρῆσιν ψιλὴν, τῆς δεσποτείας προδήλως τοῖς ἐξ αὐτοῦ φυλαττομένης παισὶν, μὴ δυναμένου αὐτοῦ μηδὲ τὸ προλεχθὲν τρίτον μέρος, μήτε ἅπερ εἰς τὸ μέλλον προσκτήσεται, ἑτέροις καταλιμπάνειν κληρονόμοις καθ' οἱονδήποτε λόγον τῶν ἑαυτοῦ περιόντων τέκνων, εἰ μήποτε εἰς ψυχικὴν αὐτοῦ σωτηρίαν συντεινούσας ἀφορμὰς παραπέμψαι βουληθείη. εἰ γὰρ προετελεύτησαν οἱ τούτου παῖδες, ἄδειαν ἐχέτω τὴν ἐγκαταλειφθεῖσαν αὐτῷ τοιαύτην ὕπαρξιν ὡς ἂν ἐθέλειε διοικεῖν, καὶ οὐδὲν ἐξ ἀδιαθέτου κωλυθήσονται τοῦτον κληρονομεῖν οἱ ἐγγίζοντες αὐτῷ κατὰ συγγένειαν. εἰ μὲν οὖν παῖδες ὑπάρχουσι, τοῦτον πρυτανευέσθω[22] τὸν τρόπον ἡ αὐτοῦ περιουσία. εἰ δέ γε ἐν τῷ μεταξὺ χρόνῳ πρὶν ἢ τὸ τῆς ὑποθέσεως παρὰ κριταῖς ζητηθῆναι καὶ τὴν προσήκουσαν ἔκβασιν δέξασθαι τετύχηκεν τελευτῆσαι τὸ τέκνον ἢ τὰ τέκνα καὶ ἄπαιδες τυγχάνουσιν, τότε πρὸς τῇ ἀποκαταστάσει τῆς προικὸς καὶ τῆς προγαμιαίας δωρεᾶς καὶ τὸ ἐξ ἀπαιδίας κάσσον[23] δοθήσεται τῇ γυναικὶ, ὅπερ ἀπὸ τελευτῆς τοῦ ἀνδρὸς αὐτῇ ἐπωφείλετο, καὶ εἶθ' οὕτως διαιρείσθω ἡ λοιπὴ αὐτοῦ ὕπαρξις κατὰ τὸν προϋφηγηθέντα σκοπόν, καὶ τὸ μὲν τρίτον μέρος λήψεται ὡς προέφημεν, τὸ δέ γε ἕτερον ἥμισυ ἕκτον τοῖς πενέσι διαδοθήσεται. πρὸς τούτοις δὲ τοῖς ἐγκεκριμένοις[24] παραχρῆμα ἀπελασθήσεται ἑπταετεῖ ὑποβαλλόμενος ἐξορίᾳ, κωλυθήσεται δὲ εἰς δευτέρους ἀφικέσθαι γάμους μέχρις ἂν τὸ τοῦ θανάτου πέρας εἰσδέξεται τὸν ἐκ τοῦ παρόντος νόμου ἐπηρμένον αὐτῷ ὑφορώμενος κίνδυνον· εἰ γὰρ φανείη τοῦτο τετολμηκὼς, αὐτὸς μὲν διηνεκεῖ παραπεμπέσθω ἐξορίᾳ, παράνομος δὲ ὁ γάμος καὶ οὐδὲ γάμος ἔστω, ἀπρόσδεκτα δὲ τὰ ἐξ αὐτοῦ τυχὸν προβήσεσθαι μέλλοντα τέκνα, μηδεμιᾶς ἀπολαύοντα προνοίας ἐκ τῆς αὐτοῦ περιουσίας. καὶ ταῦτα μὲν, εἴπερ ἀνὴρ πέφυκεν ὁ τὴν ἀσχήμονα ταύτην μελετήσας τοῦ γάμου διάλυσιν. εἰ δὲ γυνὴ

[21] Idem ibid.: *ὄπισθεν.* [22] In textu Cod. intercalat glossam: *τουτέστι προνοεῖσθαι, διοικεῖσθαι.* [23] Cod. in margine: *κάσσος λέγεται μοῖρα νόμιμος μερο.. δυ..* [24] Cod. *ἐνεγκυμένοις* habere videbatur. Forte *ἐγκειμένοις.*

τυγχάνει, τὰς αὐτὰς κατὰ πάντα τῷ ἀνδρὶ ποινὰς ὑποστήσεται. ἀλλὰ ταῦτα μὲν εἴπερ εὔποροι εἶεν οἱ τὸ συνοικέσιον λύοντες τεθεσπίκαμεν· εἰ γὰρ ἄπορόν ἐστι τὸ πρόσωπον, ὃ τὴν ἄκοσμον ταύτην καινοτομίαν εἰργάσατο, ἀντὶ μὲν τῆς προκειμένης ζημίας σφοδρῶς αἰκισθῆναι κελεύομεν[25], καὶ ἐπὶ τοῖς λοιποῖς, ὡς ὁ[26] παρὼν διαγορεύει νόμος, κατακριθήσεται.

β'. Καὶ ταῦτα μὲν ἡμῖν περὶ τῶν ἐκ τοῦ παναγίου βαπτίσματος τὰ ἑαυτῶν παρὰ νόμους δεξαμένων τέκνα νενομοθέτηται. ἐπειδὴ δέ τινες ἑτέροις διαφόροις τρόποις τὰ ἑαυτῶν διαλύσαντες συνοικέσια ἑτέροις αὖθις συνεκρότησαν γάμοις, ἀναγκαῖον ἡμῖν κατεφαίνετο, καὶ τὴν περὶ αὐτῶν σπουδαίως ποιήσασθαι ἐπιμέλειαν. οἱ μὲν γὰρ ἀπεχθῶς πρὸς ἀλλήλους διατεθέντες, καὶ προϊόντος τοῦ χρόνου τοῦ μίσους αὐξηθέντος, μηδεμιᾶς εὐλόγου παρεμπεσούσης[27] προφάσεως καθ' ἣν ἄνδρα ἀπὸ γυναικὸς χωρίζεσθαι οἱ εὐσεβεῖς διαγορεύουσι νόμοι, κακῇ συμφωνίᾳ τὸν ἑαυτῶν διέλυσαν γάμον, οὐ σωφροσύνης ἐρῶντες οὐδὲ καθαρότητι βίου χαίροντες, ἀλλὰ ἀκράτητον ἀκαθέκτοις ἐπιθυμίαις ἑαυτοὺς ἐφιέντες, καὶ τούτων ἔλεγχος ἀψευδὴς ἡ μετὰ τὴν διάζευξιν αὐτῶν ἀναστροφή· οἱ δὲ σκοπῷ εὐσεβείας κινηθέντες πρὸς τοῦτο ἀφίκοντο. καὶ εἰ μὲν ἄμφω μετὰ τὴν διαίρεσιν ἐν ἁγνείᾳ[28] βιοῦντες διέλυσαν, οὐδὲν ἂν σκολιὸν[29] οὐδὲ ἀχαρὲς ἐκ τῆς τοιαύτης διαλύσεως συμβαίνειν ἔμελλεν, ἀλλὰ ἐπαινετοὶ εἶεν τῆς καλῆς τε καὶ ἀγαθῆς προαιρέσεως, τῶν φθαρτῶν τὰ ἄφθαρτα καὶ τῶν ἐπικήρων τὰ μόνιμα καὶ διαρκῆ προελόμενοι· εἰ δὲ οὐχ οὕτως διετέθησαν, — ὁ μὲν γὰρ τυχὸν τῷ μοναστηρίῳ προσέδραμεν, ἡ δὲ μὴ τηρήσασα τὴν κοίτην ἄθικτον τῷ ἀνδρὶ ἑτέρῳ ἑαυτὴν κατηγγύησεν, ἢ ἐκείνη μὲν θεῷ καθιέρωται, ὁ δὲ αἴσχιστον διεξάγει βίον, — δικαιοῦν[30] ἀρέσκον θεῷ ἡγησάμεθα, διὰ τοῦδε ἡμῶν τοῦ πανευσεβοῦς νόμου καὶ τὴν τούτου τυπῶσαι διόρθωσιν. ὁρίζομεν τοίνυν, ὥστε ἀπὸ τοῦ παρόντος μηδένα τῶν πρὸς γάμου συνάφειαν ἀφιγμένων καὶ τοῦτον συνέσει[31] καθ' οἱονδήποτε λόγον διαλυσάντων, εἴτε ἀνήρ ἐστιν εἴτε γυνὴ, ἀποπειρασθῆναι αὖθις εἰς ἕτερον ἐλθεῖν συνοικέσιον. ἀνόσιον γὰρ τοῦτο καὶ τοῦ χριστιανικωτάτου θεσμοῦ ἀλλότριον. „δέδεσαι γυναικὶ, μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικὸς, μὴ ζήτει γυναῖκα“, καὶ αὖθις γυναῖκα

---

[25] Cod. κίνδυνον. Rhalli legit: κίνδυνον ὑποστήσεται. [26] Articulus deest in Cod. [27] Cod. παραπεμπούσης. [28] Cod. ἀγνοίᾳ. Rectum vidit etiam Rhalli. [29] Ad marginem Codex: σκληρὸν, λυπηρὸν. [30] Legendum olim conjeci δίκαιον καὶ. [31] Rhalli emendat συναινέσει.

ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι, „ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος“, ἡ ἀποστολικὴ παρεγγυᾷ γραφή. οὗ χάριν πᾶσι τρόποις ἀπείργομεν τοὺς τοιούτους πρὸς ἑτέρους φοιτῆσαι γάμους, καὶ οἵ γε τοῦτον τολμηρῶς παραβαίνοντες τὸν[32] νόμον καὶ μετὰ τὴν ἀλλήλων διάζευξιν ἕτερον ἁρμόσαι ἐπιχειροῦντες συνοικέσιον ταῖς πρεπούσαις ὑποβληθήσονται ποιναῖς. ὁ μὲν γὰρ τοιοῦτος παράνομος διαλυθήσεται γάμος καὶ ἀθέμιτα τὰ ἐξ αὐτοῦ προβάντα τέκνα λογισθήσονται, αὐτοὶ δὲ τῇ ἑπταετεῖ ἐξορίᾳ παραπεμφθήσονται, τὴν γ' μοῖραν τῆς ἑαυτῶν περιουσίας ἐν χρήσει μόνον κομιζόμενοι, τὴν δὲ κυριότητα τοῖς ἐκ νομίμων γάμων αὐτοῖς συντηροῦντες παισίν· εἰ γὰρ παῖδας οὐχ ἕξουσιν, ἢ εἶχον μέν, ἐτελεύτησαν δέ, ἄδειαν ἐχέτωσαν εἰς ἃ ἂν βουληθῶσι πρόσωπα ταύτην παραπέμπειν, εἰ μήπω τὶς ἕτερος νόμος ὁ κωλύων φανείη· ὑφεξῃρημένων δηλαδὴ τῆς τοιαύτης φιλοτιμίας τῶν ἀθέσμως[33] αὐτοῖς ἑνωθέντων πρὸς γάμον καὶ τῶν ἐξ αὐτῶν παρανόμων τέκνων, ὡς προέφημεν. αἱ δὲ[34] λοιπαὶ η' οὐγγίαι ἤτοι τὸ δίμοιρον μέρος, εἰ μὲν γνησίους ἔχουσι παῖδας, τούτοις παρανεμηθήσονται· οἵτινες ζῶντες μὲν τῆς τοιαύτης ἀπολαυέτωσαν περιουσίας, τελευτῶντες δὲ εἰς τὸν ἄμεμπτον γονέα[35] ταύτην παραπεμπέτωσαν, εἴπερ ἄρα ζῇ· εἰ δέ γε ἐτελεύτησεν, ἀλλήλων διαδεχέσθωσαν τὴν κληρονομίαν οἱ παῖδες, μηδὲν ἐξ αὐτῆς κερδαίνοντος τοῦ τῷ πταίσματι περιπεπτωκότος γονέως. μετὰ δὲ τὴν πάντων αὐτῶν ἀποβίωσιν εἰς τοὺς συγγενεῖς τοῦ ἀμέμπτου μέρους ἡ κληρονομία ἐλεύσεται. εἰ δὲ καὶ πρὸ τῶν παίδων τέθνηκεν ὁ τῷ σφάλματι περιπεπτωκὼς γονεύς, τότε τὴν αὐτὴν περιουσίαν οἱ ἐξ ἑκατέρων τῶν μερῶν γένους νόμιμοι κληρονόμοι μεριοῦνται. εἰ μὲν οὖν ἐκ θεμιτῶν γάμων παῖδας ἔχοιεν[36], τοῦτον τετυπῶσθαι τὸν τρόπον. εἰ δὲ ἄπαιδες ὄντες τυγχάνουσι, πιπρασκομένης τῆς τοιᾶσδε ὑπάρξεως εἰς πτωχικὴν χωρῆσαι διάδοσιν. εἰ δὲ μετὰ τὴν τῆς ἑπταετοῦς[37] ἐξορίας συμπλήρωσιν μὴ σωφρονοῦντες αὖθις καθάπερ κύων ἐπὶ τὸν ἴδιον ἐμετὸν ἐπανέλθωσιν ὥστε ἑτέρους συγκροτῆσαι γάμους, διηνεκῶς ἐξοριζέσθωσαν. καὶ περὶ μὲν τῶν κατὰ συναίρεσιν[38] διαλυσάντων καὶ φανερῶς εἰς δεύτερα συνελθόντων συνοικέσια ταῦτα ἡμῖν τεθέσπισται. εἰ δέ γε μὴ φανερῶς καὶ ἀναισχύντως πρὸς γάμου κοινωνίαν ἐρχόμενοι, αἰσχρῶς δὲ καὶ

---

[32] Articulus in Cod. deest. [33] Cod. in marg. ἀνόμως. [34] Ex conjectura addo. [35] Cf. not. 18 supra. [36] Cod. ἔχειν. [37] Cod. τὴν ἑπταετίαν τῆς. [38] Forte συναίνεσιν.

ἀθέσμως φωραθῶσι βιοῦντες, πρὸς τὸ σφοδρῶς αὐτοὺς τυφθῆναι[39] καὶ ἐπὶ πενταετίαν ἐξοριζέσθωσαν. εἰ δὲ μετὰ ταῦτα μὴ σωφρονισθῶσιν, ἀλλ' αὖθις ἀκολασίᾳ ἑαυτοὺς ἐκδότους ποιήσωσιν, διαιρείσθω ἡ τοιούτων περιουσία καθόνπερ εἰρήκαμεν τρόπον, καὶ τὴν μὲν τρίτην μοῖραν κομιζόμενοι διηνεκεῖ παραπεμπέσθωσαν ἐξορίᾳ, ἡ δέ γε ἑτέρα τοῦ διμοίρου ποσότης τοῖς γνησίοις αὐτῶν παισὶ δοθήσεται, καὶ κατὰ τὸν προηγηθέντα σκοπὸν ἡ τούτων κληρονομία οἰκονομηθήσεται· εἰ δὲ ἄπαιδες ὦσιν, ἐνδεῶν καὶ πενήτων γενήσεται[40] παρανάλωμα.

γ'. Τοῖς[41] παλαιοῖς δὲ νόμοις ἐξακολουθοῦντες ὁρίζομεν καὶ τοῦτο, ἵνα ἀπὸ τοῦ παρόντος κεκωλυμένοι εἰσὶν οἱ ἐκ τοῦ ἁγίου βαπτίσματος ἐνωθέντες[42] ἀλλήλους λαμβάνειν, τουτέστιν ὁ ἀνάδοχος τὴν ἑαυτοῦ πνευματικὴν θυγατέρα καὶ τὴν ταύτης μητέρα, ὡσαύτως καὶ ὁ αὐτοῦ υἱός τε καὶ ἀδελφὸς τὴν αὐτοῦ τοῦ πατρὸς ἢ καὶ ἀδελφοῦ πνευματικὴν θυγατέρα καὶ τὴν αὐτῆς μητέρα[43].

Λοιπὸν, ὡς προλέλεκται, παρεγγυώμεθα περὶ τούτου πᾶσιν ὑμῖν, ἵνα οἱ γονεῖς ἀπέχωνται τοῦ δέχεσθαι ἀπὸ τοῦ ἁγίου βαπτίσματος τὰ ἑαυτῶν ἔγγονα. οὐ γὰρ λείπουσιν ἕτεροι ἴδιοι συγγενεῖς ἢ καὶ φίλοι οἱ μὴ κωλυόμενοι τὰ αὐτῶν ἀναδέχεσθαι τέκνα, ὡς εἴρηται, ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος.

NOV. XXVII.

Imp. Irenae

de testium juramento et aliis capitulis[1]. (Inter 797—802.)

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος εἰρήνη πιστὸς βασιλεύς.

Ἀγαθῶν ἁπάντων χορηγὸν καὶ δοτῆρα καὶ αἴτιον τὸν ποιητὴν καὶ δεσπότην τῶν ὅλων θεὸν ἐπιστάμενοι, καὶ πιστεύοντες

---

[39] Cod. τυπηθῆναι. [40] Cod. γένονται. [41] In marg. Cod. περὶ βαπτίσματος. [42] Cod. post βαπτίσματος habet τὸ. Sed hoc sensu caret, et aperte desideratur aliquid, veluti ἑνωθέντες vel συναπτόμενοι. [43] Cod. hic intercalat notam aliquam a textu Novellae procul dubio alienam. Est autem haec: Εὑρίσκονται σήμερον πολλοὶ πάπποι τὰ ἑαυτῶν ἔγγονα ἐκ τοῦ ἁγίου δεχόμενοι βαπτίσματος καὶ ὑπὸ τῆς τοιαύτης μεμφόμενοι νομοθεσίας· ὁ μὲν γαμβρὸς τῶν ἰδίων συντέκνων καὶ πενθερῶν φαίνεται ἔχων τὴν θυγατέραν, ἡ δὲ νύμφη τῶν οἰκείων ὡς εἴρηται πενθερῶν καὶ συντέκνων ὁμοίως ἔχουσα τὸν υἱόν.

[1] In indice generali Codicis Marciani 179 haec Novella sic indicatur: Θέσπισμα ἤγουν νομοθεσία εἰρήνης μεγάλου βασιλέως ῥωμαίων καὶ αὐτοκρά-

ἐν τῇ τῶν ἁγίων αὐτοῦ ἐντολῶν ἐκπληρώσει εὐοδοῦσθαι τὴν βασιλείαν ἡμῶν, καὶ ἐν ἀγαθοῖς προκόπτειν τὸν ἐμπιστευθέντα ἡμῖν χριστεπώνυμον λαὸν, αὐτόν τε ἐπικαλούμενοι συλλήπτορα καὶ βοηθὸν γενέσθαι ἐν πᾶσι τοῖς ὑπ᾽ αὐτοῦ ἡμῖν ἐγχειρισθεῖσι πράγμασι, τοὔνεκα περὶ τῆς τῶν ὅρκων ἐκκοπῆς κεφάλαιον ἀπάρξασθαι δεῖν φήθημεν. πᾶσι τοίνυν τοῖς οὐκ ἀνεπιστήμοσι τῶν θείων γραφῶν ἀρίδηλον πέφυκεν, ὅτι σκιὰν ἔχων τῶν μελλόντων ἀγαθῶν οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων ὁ διὰ μωσέως ἐδόθη νόμος, διὰ τὸ ἀτελὲς καὶ νηπιῶδες τῶν δεξαμένων. οὐ γὰρ οἷοί τε ἦσαν αὐτὴν τὴν ἀλήθειαν ἄρτι ἀκουσθῆναι οἱ τῇ παροικίᾳ τοῦ αἰῶνος τοῦδε προστετηκότες. ἐπ᾽ ἐσχάτων δὲ τῶν ἡμερῶν αὐτὸς ὁ λόγος τοῦ θεοῦ καὶ θεὸς ἡμῶν παραγέγονεν εἰς τὸ σῶσαι τὸ γένος ἡμῶν. πληρώσας οὖν τὸν δοθέντα πάλαι διὰ μωσέως νόμον καὶ φωτίσας πάντα τὰ ἔθνη τῇ ἐπιγνώσει τῆς αὐτοῦ ἀληθείας, δέδωκεν ἡμῖν ὡς τελείοις κατεπίγνωσιν τῶν τελείων αὐτοῦ νόμων τῆς αὐτοῦ χάριτος. ἐν ὑποδείγματι δὲ ἐκ μέρους τὸ ὅλον ὑποφαίνοντες εὐαγγελικῶς φαμεν. ἐῤῥέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ἡμῖν δὲ καὶ τὰς ἀρχὰς τῶν ἁμαρτημάτων ἐκκόπτειν παρακελευόμενος ὁ κύριός

τορος περὶ τοῦ μὴ ὀμνύειν τινὰ παραγόμενον εἰς μαρτυρίαν, καὶ ἀμφοτέρων κεφαλαίων. Ipsa Novella extat: 1) in Cod. Paris. gr. 1384 fol. 180: Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. εἰρήνη τοῖς βασιλεῦσιν. Ἀγαθῶν ἁπάντων χορηγὸν κτλ. — 2) in Cod. Paris. gr. 1391 circa fol. 200, quamquam initio in brevius contracta. Sic enim est: Περὶ ὅρκου ἀποχῆς. Ἀγαθὸς ἁπάντων χορηγὸς καὶ δοτὴρ ὁ τῶν ὅλων δεσπότης θεὸς ἐν τῇ ἀγαθῇ αὐτοῦ ἐντολῇ ἔδωκεν βοήθειαν γενέσθαι ἐν πᾶσι τοῖς ὑπ᾽ αὐτῶν ἡμῖν ἐγχειρισθεῖσι πράγμασιν. τοὔνεκεν περὶ τῆς τῶν ὅρκων ἐκκοπῆς κεφάλαιον ἀπάρξασθαι νοήσωμεν. πᾶσι τοίνυν τοῖς οὐκ ἀνεπιστήμοσι τῶν θείων γραφῶν κτλ. Expl. ποιοῦντες δὲ ἀσφαλῆ τὰ ἔγγραφα ὡς προείρηται. — 3) in Cod. Vindob. jurid. gr. 7 fol. 38. Ibi inscriptio est: Περὶ τοῦ μὴ ὀμνύειν ἐπ᾽ ἀδίκῳ καὶ ἐπὶ ψεύδει, καὶ περὶ ὅρκου γινομένου ἐγγράφου, καὶ ἐπὶ ποίων καὶ πόσων μαρτύρων ὀφείλει γίνεσθαι. — 4) in Cod. Marciano 172 (et Palat. 55 ex eo descripto) fol. 231. Ex eo sumta est inscriptio, quam Novellae praeposui. — 5) in Epitome ad Prochiron mutata (Bodlej. 3399 et Marc. 579) tit. XXVII c. 83 finis hujus Novellae occurrit. — 6) in Prochiro aucto (cf. Delin. histor. JGR. §. 48) tit. XXVII c. 300 eadem extat, sed prooemio omisso. Ex Prochiro aucto, Lipsiensis Codicis auctoritatem sequutus, variantes quasdam lectiones enotabo. — Edita est a Leunclavio JGR. II p. 135—138, qui tamen inscribit: Βασίλειος κωνσταντῖνος λέων ..... πιστοὶ εἰρηνοποιοί αὔγουστοι, in margine variantem lectionem notans: εἰρηνοποιὸς βασιλεύς. Leunclavius igitur aliis Codicibus usus esse videtur, quam quos mihi reperire licuit. — Nuper ediderunt Rhallis et Potlis in Coll. canonum to. V p. 248.

φησι, μήτε ὀργισθῆναι εἰκῆ· ἐκείνοις, οὐ μοιχεύσεις· ἡμῖν καὶ μήτε γυναικὶ ἐμβλέψαι πρὸς τὸ ἐπιθυμῆσαι· ἐκείνοις, οὐκ ἐπιορκήσεις· ἡμῖν δὲ, οὐδὲ τὸ ὀμόσαι[2] ὅλως. περὶ οὗ ἡμῖν ἡ παροῦσα πραγματεία πεπόνηται, διὰ[3] τοῦ ὅρκου τίκτεσθαι τὴν ἐπιορκίαν, ἥτις ἐστὶ θεοῦ ἄρνησις. συνήθεια δέ τις οὐ καλὴ καὶ ἀρεστὴ κυρίῳ, εἰπεῖν δὲ μᾶλλον ὡς τὰ πολλὰ ἑβραϊκὴ ἕως τοῦ νῦν κεκράτηκε, τὰς στραγγαλιὰς τῶν φιλονεικιῶν δι' ὅρκου λύεσθαι. τοῦ γὰρ σωτῆρος καὶ θεοῦ ἡμῶν ἰησοῦ χριστοῦ, τοῦ καὶ τὰ πάλαι νομοθετήσαντος, διαῤῥήδην φάσκοντος, ὡς εἴρηται, μὴ ὀμόσαι ὅλως· ἑπομένως δὲ βοῶντος τοῦ θείου ἀποστόλου ἰακώβου, πρὸ πάντων ἀδελφοί μου μὴ ὀμνύετε· ὡσαύτως δὲ καὶ τῶν ἐνδόξων καὶ μακαρίων ἡμῶν πατέρων ἀκολούθως καὶ συμφώνως παραδεδωκότων παντὸς ὅρκου ἀπέχεσθαι· ταύτῃ τῇ θείᾳ νομοθεσίᾳ τὸν αὐχένα τοῦ κράτους ἡμῶν ὑποκύπτομεν, καὶ τὴν παρὰ ταύτην κρατήσασαν παράνομον συνήθειαν ἀποπεμπόμεθα, οὐκ εὔλογον οἰόμενοι μέσον τοῦ ἐμπιστευθέντος ἡμῖν χριστιανικωτάτου ποιμνίου τὸ τοῦ ὅρκου ἄγος ἐμπολιτεύεσθαι. εἰ γὰρ ὁ μεγαλοφωνότατος προφήτης βοᾷ, ἐξολεθρευθήσονται οἱ ποιοῦντες τὸν λαόν μου ἐν λόγοις ἁμαρτάνειν· πόσῳ γε μᾶλλον ἐν ὅρκῳ; ἐπεὶ καὶ αὐτὸς ὁ μωσῆς τοῖς ἀκριβῶς τὰς θείας ἐθέλουσι γραφὰς ἐρευνᾶν ἀναφανδὸν βοᾷ, ἀποτρέπων τὸν ὅρκον· οὐκ ὀμνεῖσθε, γάρ φησι, τὸ ὄνομα κυρίου τοῦ θεοῦ ὑμῶν ἐπὶ ματαίῳ. αἱ οὖν κόσμου τούτου στροφαὶ καὶ τῶν πραγμάτων συμπλοκαὶ ἐπ' ἀδίκῳ πάντως καὶ ματαίῳ εἰσὶ, κατὰ τὸν εἰπόντα σοφὸν σολομῶντα· τὰ πάντα ματαιότης. ἡμῖν δὲ, οἷς ἔπαθλα πρόκειται εὐαγγελικῶς πολιτευομένοις ἡ τῶν οὐρανῶν βασιλεία καὶ ἡ μετ' ἀγγέλων διαγωγὴ, ὑψηλαὶ εἰκότως καὶ αἱ νομοθεσίαι.

α'. Δι' ὃ θεσπίζομεν, πᾶσαν δίκην καὶ συμπλοκὴν διὰ μαρτύρων λυομένην ἐγγράφως τε καὶ ἀγράφως, περατοῦσθαι ὡς ὑποτέτακται· ἐπὶ μὲν τῆς βασιλίδος ἡμῶν πόλεως μνηστείας, προικῷα, ἐμφυτευτικὰ, ἐμπερίγραφα παντοῖα, ἀναγραφὰς ὀρφανικῶν πραγμάτων, σύμφωνα ἐφ' ἑκάστῳ πράγματι, διαλύσεις[4], δωρεὰς, πράσεις, ἀγορασίας, δάνεια, παραθήκας, διαθήκας τε καὶ ἐλευθερίας, καὶ εἴ τι ἄλλο παρατυγχάνει τούτοις ἐοικὸς κεφάλαιον, προσκληθέντων ἑπτὰ ἢ πέντε (ἐπὶ δὲ διαθηκῶν καὶ ἐλευθεριῶν καὶ μόνων καὶ ἕως τῶν τριῶν) μαρτύρων ἀξιο-

---

[2] Leuncl. ὀμῶσαι scribit. [3] Legerim: διὰ τὸ ὅρκῳ. [4] Verbum διαλ. in Lips. Cod. deest.

πίστων, ἱερέων, ἀρχόντων, στρατευομένων, πολιτευομένων[5] *εὐπορίαν ἢ ἐπιτήδευμα ἐχόντων, εὐσεβῶς δηλονότι καὶ ἐν*[6] *εὐλαβείᾳ βιούντων, ἐπὶ αὐτῶν τά τε συναλλάγματα*[7] *καὶ σύμφωνα παντοῖα καὶ τὰ ἔγγραφα προέρχεσθαι*[8]. *καὶ εἰ μὲν δύναται ὁ τὸ ἔγγραφον ποιῶν δι' ἑαυτοῦ γράψαι, γραφέτω τὸ πᾶν, ὑπογραφόντων καὶ τῶν μαρτύρων· ἄνευ μέντοι τῶν προικῴων καὶ ἐμπεριγράφων παντοίων· ἐν ἐκείνοις γὰρ οἵ τε ταβουλάριοι καὶ οἱ νομικοὶ καὶ οἱ μάρτυρες κατὰ τὸ ἔθος γραφέτωσαν, τοιούτων ὑπογραφόντων μαρτύρων, οἵων προέφημεν. τούτων δὲ οὕτως πραττομένων, ὁσάκις ἂν φιλονεικία γένηται ἐξ οἱουδήποτε μέρους, προσάγεσθαι*[9] *τοὺς μάρτυρας καὶ τὰ ἔγγραφα, καὶ ἐρωτᾶσθαι αὐτοὺς περὶ τῶν ἐγγράφων, εἰ ἀληθινά εἰσι*[10]. *καὶ ἐὰν συμφωνήσωσι, μάρτυρα*[11] *τὸν θεὸν ἐπικαλούμενοι, καὶ λέγοντες ἀληθινὰ εἶναι τὰ προκομισθέντα ἔγγραφα, ἀποπαύεσθαι*[12] *τὴν δίκην, καὶ τὸ ἐγκείμενον τῷ προκομισθέντι ἐγγράφῳ πρόστιμον ζημιοῦσθαι τὸν τὴν ἀγωγὴν ποιησάμενον παρὰ τοῦ δικαστοῦ, καὶ παρέχεσθαι τῷ διαδίκῳ αὐτοῦ. εἰ δὲ μετὰ τελευτὴν τῶν ἐν τῷ προκομιζομένῳ*[13] *χάρτῃ μαρτύρων ἡ ἀγωγὴ τῆς δίκης γένηται, καὶ οὕτως ἀποπαύεσθαι τὴν δίκην ἄνευ ζητήσεως. εἰ δὲ ὁ τὸ ἔγγραφον ποιῆσαι ἀπαιτούμενος ἐν τοῖς προονομασθεῖσι κεφαλαίοις, ἀγράμματος ὑπάρχει ἢ ἐκ πάθους ἀδυνάτως ἔχει τοῦ γράφειν, προτάσσειν αὐτὸν τὸν τίμιον σταυρὸν καὶ τὰ λοιπὰ γράφεσθαι διὰ ταβουλαρίου ἢ νομικῶν*[14] *ἢ ἑτέρων χειροχρήστων. καὶ εἰ μέν ἐστιν ἀναγκαῖον τὸ ὑπογράψαι τοὺς μάρτυρας, γενέσθω οὕτως· εἰ δὲ μήγε, διὰ τῆς σημειώσεως τῶν ὀνομάτων αὐτῶν φανεροῦσθαι αὐτούς.*

β'. Καὶ[15] *τὰ μὲν ἐγγράφως πραττόμενα, γίνεσθαι οὕτως, προσκληθέντων (ὡς εἴρηται) ζ' ἢ ε' μαρτύρων ἀξιοπίστων (ἐπὶ δὲ διαθηκῶν καὶ ἐλευθεριῶν καὶ μόνων καὶ ἕως τῶν τριῶν) ἐπὶ αὐτῶν τάς τε συναλλαγὰς καὶ σύμφωνα παντοῖα περατοῦσθαι. καὶ ὅταν συμβῇ φιλονεικίαν γενέσθαι παρ' οἱουδήποτε μέρους, ἐπιζητεῖσθαι τοὺς εὑρεθέντας μάρτυρας· καὶ ἐὰν μὲν συμφωνήσωσι τῷ ἐνάγοντι, ἀνακρινόμενοι δὶς καὶ τρὶς*[16] *παρὰ*

---

[5] Lips. addit, apud Leuncl. deest. [6] Praepositionem Lips. non habet. [7] Lips. *τὰς συναλλαγάς.* [8] Leuncl. *προσέρχ.* Sequor Lipsiensem. [9] Lips. *προάγεσθαι.* [10] Lips. *ἐστι.* [11] Lips. *οἱ μάρτυρες.* [12] Lips. *ἀπολύεσθαι,* hic et mox infra. [13] Lips. *τῶν προκειμένων τῷ χ.* [14] Verba *ἢ νομ.* Lips. non agnoscit. [15] Lips. *Τὰ δὲ ἀγράφως πραττόμενα γενέσθω οὕτω.* Rectius sane, nisi forte juncta Leuncl. et Lips. lectione scribendum sit: *Καὶ τὰ μὲν ἐγγράφως πραττόμενα οὕτως· τὰ δὲ ἀγράφως κτλ.* [16] Verba *δὶς καὶ τρὶς*

τῶν δικαστῶν, ποιείτωσαν ἔγγραφα ἐξ ἰδιοχείρου, καὶ τιθέτωσαν αὐτὰ ἐπ' ἐκκλησίας. εἰ δὲ ἀγράμματοί εἰσι, ποιείτωσαν[17] τοὺς τιμίους σταυροὺς, καὶ τὰ λοιπὰ γραφέτωσαν διὰ χειροχρήστων, περιέχοντα ἐπὶ λέξεως οὕτως· ,,ὁ δεῖνα καὶ ὁ δεῖνα, καὶ τὰ ἐπιτηδεύματα ἢ[18] ἀξιώματα. μάρτυς κύριος ὁ θεὸς, καὶ ὁ ἱερὸς τόπος[19], ἐν ᾧ ἑστήκαμεν καὶ τὰ ἔγγραφα προσάγομεν[20]. ἀλήθειαν ἐμαρτυρήσαμεν καὶ οὐκ ἐψευσάμεθα ἔν τινι· καὶ μετὰ ταύτης ἡμῶν τῆς μαρτυρίας παραστησόμεθα τῷ φοβερῷ βήματι χριστοῦ τοῦ θεοῦ ἡμῶν. ἀποδοθείη[21] ἡμῖν τε καὶ τοῖς τέκνοις ἡμῶν καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι[22] ἡ ἀντάμειψις κατὰ τὴν μαρτυρίαν ἡμῶν. ἐὰν δέ ποτε ἐν[23] καιρῷ ἢ χρόνῳ ἀποδειχθῶμεν ψευδομάρτυρες, τὴν διὰ τῆς μαρτυρίας ἡμῶν γενομένην ζημίαν ἀποκαθιστᾶν ἡμᾶς τῷ ζημιωθέντι, καὶ εἶθ' οὕτως ὑποκεῖσθαι ἡμᾶς τῇ τῶν ψευδομαρτύρων ποινῇ, κατὰ τὸ παροιμιακῶς γεγραμμένον· μάρτυς ἄδικος[24] οὐκ ἀτιμώρητος ἔσται κακῶν.“ ἐὰν δὲ διαφωνήσωσιν οἱ μάρτυρες, ἢ καὶ τὰ ἑκάτερα μέρη προσάγωσι μάρτυρας, γενέσθω ἐκλογὴ τῶν μαρτύρων παρὰ τῷ δικάζοντι[25]· καὶ οἵ[26] τινες εἰσὶ πλείονες καὶ ἀξιοπιστότεροι, ποιείτωσαν (ὡς εἴρηται) ἰδιόχειρα, καὶ περατούσθω ἡ δίκη.

γ'. Ταῦτα κρατείτωσαν καὶ ἐν ταῖς ἔξω πόλεσι καὶ ἐπαρχίαις· ἄνευ μέντοι τῶν ὁροθεσίων. ταύτας γὰρ τὰς[27] φιλονεικίας θεσπίζομεν λύεσθαι βασταζομένων τῶν ἁγίων εὐαγγελίων ἢ καὶ τοῦ τιμίου σταυροῦ παρὰ τῶν διοριζόντων μαρτύρων, καθὼς καὶ ἕως τοῦ νῦν ἐκράτησεν ἡ συνήθεια[28], προδήλως μὴ ὀμνυόντων αὐτῶν, ποιούντων δὲ ἀσφαλῶς[29] ἔγγραφα, ὡς προείρηται.

Lips. omittit. [17] Leuncl. in marg. προταττέτωσαν. [18] Lips. καὶ. [19] Lips. τόπος οὗτος. Non male. [20] Lips. προάγ. [21] Ita Lips. Leuncl. ἀποθείη. [22] Ita Lips. Leuncl. verba καὶ ... καὶ ἐν τῷ μέλλοντι non habet. [23] Lips. πώποτε. [24] Lips. ψευδής. [25] Lips. τῶν δικαζόντων. Rectius. [26] Bodl. 3399 et Lips. εἴ τινες. [27] Ita ex Lips. edo. Leuncl. τῶν ὁροθεσίων φιλονεικίας, ἣν edidit et in margine conjecit φιλονεικιῶν, ἅς. Rhalli autem emendavit τῆς τῶν ὁρ. [28] In Bodl. 3399 verba: ἄνευ μέντοι τῶν ὁροθ. φιλ. ἣν θεσπίζ. λύεσθαι et καθὼς — ἡ συνήθεια desunt. Verbo συνήθεια Prochiron auctum explicit. [29] Rhalli ἀσφαλείας.

NOV. XXVIII.

Imp. Irenae
de quartis nuptiis et de ancillarum connubio. (Inter 797—802.)[1]

Ὁ αὐτὸς βασιλεὺς περὶ τῶν ἀθεμίτως συνναπτομένων ἀπὸ τρίτου γάμου καὶ ἐπέκεινα, καὶ περὶ τῶν συναπτομένων ταῖς ἰδίαις[2] δούλαις.

Εἴρηται τῷ θεόπτῃ μωυσῇ περὶ τῶν γεγραμμένων ἐν τῇ θείᾳ γραφῇ· ἐπ᾽ αὐτοῖς οὐκ ἔστι προσθεῖναι καὶ ἀπ᾽ αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. τὰ οὖν προειρημένα ἐν τῷ β′ τίτλῳ[3] ὡς ἑπόμενα τῷ θείῳ ἀποστόλῳ παύλῳ περὶ τῶν γαμικῶς ἐνθέσμως[4] συναπτομένων, ἕως γὰρ δευτέρου συνοικεσίου μνήμην πεποίηται[5] καὶ περαιτέρου[6] οὐδαμῶς ὡς παρανόμου[7] καὶ κτηνώδους, ἤδη[8] τὴν κύρωσιν ἔλαβεν. διὸ ὁρίζομεν[9] παντὶ τρίτον συνοικέσιον καὶ ἐπέκεινα μὴ γίνεσθαι, ὡς ἀλλότρια τῆς θείας ἀποστολικῆς διατάξεως καὶ ξένα τῆς χριστιανικῆς ἀγχιστείας[10]. μήτε μὴν τὰς οἰκετικὴν τύχην λαχούσας κόρας ἀποικίζεσθαι εἰς γαμικὴν γνησιότητα, ἢ καὶ ὀνομάζεσθαι αὐτὰς συζύγους, καὶ μάλιστα τοὺς ἐν ὑπεροχῇ καὶ ἀξίᾳ ὄντας. ἐὰν γὰρ πλημμελήσῃ τὶς ἀπὸ τοῦ παρόντος, παράνομον εἶναι τὸ συνοικέσιον, καὶ τοὺς τικτομένους ἐκ τῶν τοιούτων γάμων παῖδας νόθους τυγχάνειν.

NOV. XXIX.

Imp. Nicephori Generalis
aurea bulla de archiepiscopatu Patrensi[1].

Non extat.

---

[1] Hujus Novellae rubricam servavit *ὁ πίναξ* Codicis Marciani 179. Ipsa extat in Codd. Paris. 1384. 1391. Vindob. 7. Marc. 172 (et Pal. 55) praecedenti Novellae subjecta. Praeterea habetur in Codicibus Eclogae ad Prochiron mutatae (cf. Delin. hist. JGR. p. 69) tit. XXVIII cap. 17. Primus edidi ad calcem Delineationis laud. ex Cod. Paris. 1720. Inde repetita est in Coll. canon. a Rhalli et Potli edita Athenis to. V p. 252. [2] Marc. 179: *οἰκείαις δουλείαις*. Paris. 1391: *τοῖς δούλοις*. [3] Sc. Eclogae. Ut capitularia ad leges barbarorum, quas vocant, ita forte Irenae constitutiones Eclogae adjectae sunt sive ab ipsa imperatrice sive a librariis. [4] Sic Paris. 1384. Paris. 1720: *ἐν θεσμῷ*. [5] Paris. 1384: *περιποιεῖται*. [6] Paris. 1720: *περ᾽ ἑτέρω*. [7] Idem *παρανομία*. [8] Paris. 1384: *ἤτοι*. [9] Idem: *διορίζομεν*. Mox aut *πάντῃ* legendum aut *τρόπῳ* addendum. [10] Paris. 1384 reliqua non habet.

[1] Laudatur in Leuncl. JGR. I p. 278 sq. — Praeterea Bonefidius JO. p. 5—7 de

NOV. XXX.
Incerti Imperatoris
ut consensu matrimonium solvi possit[1].

Ἐπειδὴ πολλοὺς τῶν ἐν τῷ βίῳ γάμῳ νομίμῳ συνεζευγμένων καὶ διαθέσει ἀγαθῇ ἐπὶ κοινωνίᾳ φύσεώς τε καὶ ζωῆς

Nicephori (802—803) legibus quaedam ex Cedreno affert. Sunt autem haec: α΄. Σκεψάμενος δὲ ταπεινῶσαι τὰ στρατεύματα ποῖον δεινὸν κατὰ χριστιανῶν οὐκ ἐπενόησε; προσέταξε γὰρ τοὺς χριστιανοὺς ἐκ παντὸς θέματος ἐπὶ τὰς σθλαβινίας μετοικίζεσθαι, τὰς δὲ τούτων στάσεις πιπράσκεσθαι (καὶ ἦν αἰχμαλωσίας οὐκ ἔλαττον τὸ πρᾶγμα) ἐν ἀμηχανίᾳ τοὺς πάντας γεγονότας. δευτέραν σὺν ταύτῃ κάκωσιν προσέταξε, στρατεύεσθαι πτωχοὺς καὶ ἐξοπλίζεσθαι αὐτοὺς παρὰ τῶν ὁμοχώρων, παρεχόντων ἀνὰ ιη΄ νομίσματα καὶ πρὸς τὸ δημόσιον ἀλληλεγγύως τὰ δημόσια αὐτῶν. τρίτη κακόνοια· ἐποπτεύεσθαι πάντας καὶ ἀναβιβάζεσθαι τὰ τούτων δημόσια τέλη, παρέχοντας καὶ χαρτιατικοῦ ἕνεκα ἀνὰ κεράτια δύο. τετάρτη πληγή· τοὺς κουφισμοὺς πάντας ἀναβιβάζεσθαι προσέταξε. πέμπτη συμφορά· τοὺς τῶν εὐαγῶν οἴκων παροίκους, τοῦ τε ὀρφανοτροφείου, ξενώνων, γηροκομείων, ἐκκλησιῶν, μοναστηρίων, βασιλικῶν, τὰ καπνικὰ ἀπαιτεῖσθαι ἀπὸ τοῦ πρώτου ἔτους τῆς αὐτοῦ τυραννίδος· τὰ δὲ κρείττονα τῶν κτημάτων εἰς τὴν βασιλικὴν κουρατωρείαν αἵρεσθαι. τὰ μέντοι τέλη αὐτῶν ἐπιτίθεσθαι τοῖς ἐναπομείνασιν εἰς τοὺς αὐτοὺς εὐαγεῖς οἴκους, ὡς διπλοῦσθαι πολλῶν τὰ τέλη, τῶν οἰκήσεων στενουμένων, καὶ τῶν χωρίων, καὶ ἐξοικεῖν. ἕκτη τυραννίς· σκοπεῖσθαι παρὰ τῶν στρατηγούντων τοὺς ἀθρόως ἐκ τῆς πτωχείας ἀνακτισθέντας, καὶ ἀπαιτεῖσθαι χρήματα ὡς εὑρετὰς θησαυρῶν. ἑβδόμη κάκωσις· τοὺς πρὸ κ΄ χρόνων εὑρηκότας καὶ μέχρι τῆς δεῦρο πίθον ἢ σκεῦος ὁτιοῦν, καὶ αὐτοὺς ἐξαργυρίζεσθαι. ὀγδόη ἀδικία· τοὺς ἐκ πάππων ἢ προπάππων κληρονομήσαντας, διαιρεθέντας ἐκ τῶν αὐτῶν κ΄ χρόνων, ἐξαναδιδόναι τῷ δημοσίῳ· καὶ τοὺς ὠνησαμένους ἔξω τῆς ἀβύδου σώματα οἰκετικά, ἀνὰ δύο νομίσματα τελέσαι προσέταξε, μάλιστα τοὺς κατὰ τὴν δωδεκάνησον. ἐννάτη παράνοια· τοὺς τὰς παραθαλασσίους οἰκοῦντας, μάλιστα τῆς μικρᾶς ἀσίας, ναυκλήρους, μηδέποτε γηπονικῶς ζήσαντας, ἄκοντας ὠνεῖσθαι ἐκ τῶν καθαρπαγέντων παρ᾽ αὐτοῦ κτημάτων, ὡς ἂν ἐκτιμηθῶσι παρ᾽ αὐτῶν. δεκάτη ἀθεΐα· τοὺς ἐν κωνσταντινουπόλει ἐπισήμους ναυκλήρους συναγαγών, δέδωκεν ἐπὶ τόκῳ τετρακεράτου τὸ νόμισμα, ἀνὰ χρυσίου λίτρας δώδεκα, τελοῦντας καὶ τὰ συνήθη κομμέρκια. — β΄. Τοκισμοὺς ἐν πλοίοις, ὁ πᾶσι νομοθετῶν τὸ μὴ τοκίζειν, καὶ ἄλλας μυρίας κακῶν ἐπινοίας ἐπέτεινεν. — γ΄. Τοὺς στρατιωτικοὺς ἄρχοντας δουλικῶς χρᾶσθαι τοῖς ἐπισκόποις καὶ κληρικοῖς ἐκέλευε, καταγομένους αὐθεντικῶς ἐν τοῖς ἐπισκοπείοις καὶ μοναστηρίοις, καὶ καταχρᾶσθαι τὰ αὐτῶν. τοὺς ἀπ᾽ αἰῶνος ἀναθεμένους τῷ θεῷ χρυσᾶ ἢ ἀργυρᾶ σκεύη ἔψεγε, καὶ τὰ τῶν ἐκκλησιῶν ἱερὰ κοινοῦσθαι ἄξιον ἐδογμάτιζε.

[1] Constitutio, quam hoc loco posuimus, primum a nobis edita est in Wiener Jahrb. d. Literatur LXXXVI p. 208 ex Cod. Paris. 1384 fol. 176 et Bodlej. 3399 fol. 48. In brevius contracta habetur Epanagoges tit. XXI c. 4, ibique scholiasta notat: ὁ μὲν παρὼν νόμος οὕτως τοιαῦτα λέγει· ἡ δὲ νεαρὰ (sc. Justiniani)

συνεληλυθότων καὶ πολὺν χρόνον ἢ καὶ ὀλίγον σὺν ἀλλήλοις ἐν μιᾷ γνώμῃ ὑπαρχόντων καὶ εἰς παιδοποιΐαν καὶ ἄλλην βίου πρόοδον προκοψάντων καὶ πλατυνθέντων, ὕστερον δὲ ὑπό τινος συντυχίας πονηρᾶς ἢ οἴκοθεν ἢ ἔξωθεν ἐπιγενομένης εἰς μῖσος καὶ ἔχθρας χωρήσαντας [εἴδομεν][2]*, καί, ὡς ὑπό τινος σπινθῆρος σμικροῦ πολλὴν φλόγα τοῦ μισανθρώπου δαίμονος ἐν αὐτοῖς ἀνάψαντος, [ἐπὶ τοσοῦτον τὴν πρὸς ἀλλήλους κραταιωθεῖσαν ἀπέχθειαν]*[3] *ὡς, εἰ μὴ θᾶττον διαλυθεῖεν, καὶ πολυτρόπους ἑαυτοὺς κατεργάζωνται*[4]*, θεσπίζομεν, ἐκ συναινέσεως τούτους διαλύεσθαι, καὶ μηκέτι κατὰ τῶν οὕτω διαλυομένων μηδὲ ἀπειλήν τινα ποινῆς ἢ ἐπαγγελίαν κακοῦ καὶ τιμωρίαν ὑφίστασθαι, ὡς ἐπ' ἀγαθῷ καὶ ἐπὶ συμφέροντι αὐτοῖς τε ἐκείνοις καὶ τῇ πολιτείᾳ ταύτης τῆς προφάσεως εὑρεθείσης. οὐδὲ γὰρ ἄν ποτε τὴν κατὰ συζυγίαν ζωὴν μετὰ τοσαύτης δουλείας καὶ τῆς εἰρηναίας ζωῆς ἀφῃρημένης τῆς ἁπλῶς ζωῆς τῶν εὐφρονούντων τὶς προτιμήσαιτο.*

NOV. XXXI.

Fragmenta incerta[1].

I. *Καὶ ταῦτα μὴ μόνον ἐπὶ τοῖς ἀπὸ τοῦ παρόντος γαμικοῖς συναλλάγμασιν γινόμενον εἰς τὸν ἀεὶ χρόνον συντηρείσθω, ἀλλὰ καὶ ἐπὶ τοῖς πρότερον προελθοῦσιν ἐγγράφως τὸν παρόντα ἡμῶν εὐσεβῆ νόμον κρατεῖν καὶ ἰσχύειν παρακελευόμεθα. σπεύδοντες γὰρ τῇ συνεργείᾳ τοῦ παντοδυνάμου θεοῦ ἡμῶν πάντα σύνδεσμον ἀδικίας διαλύεσθαι, τὴν παροῦσαν σύντομον νομοθεσίαν τοῖς γαμικοῖς ὁρίσασθαι συνείδομεν συναλ-*

καὶ ἡ τοῦ ἡμετέρου εὐσεβοῦς βασιλέως (sc. Basilii Macedonis) *ψῆφος ἀντιφέρεται.* — Caeterum ex hac forte constitutione sumtum est, quod legitur in Ecloga privata aucta (cf. Delin. hist. JGR. p. 69) tit. II cap. 7: *Λύεται γάμος ἐγγράφως καὶ ἀγράφως, ὅτε οἱ συνοικοῦντες ἐξ ἰδίας ἀρεσκείας ἐπὶ τούτῳ συμφωνήσουσιν· καὶ γὰρ τῷ προσφόρῳ ταβουλαρίῳ ἀβιάστως τὴν ἰδίαν φανεροποιοῦντες γνώμην καὶ πρόφασιν, διὰ τῆς τοῦ ῥεπουδίου ποιήσεως ἀζήμιον τὸν πρὸς ἑαυτοὺς διαλύουσι γάμον.* [2] Ex Epanag. supplevi. [3] Etiam haec ex Epanag. addidi. [4] Paris. 1384 inter *κατεργάζωνται* et *θεσπίζομεν* interpositum habet *σχόλιον. ὅτι ὁ ἀνὴρ καὶ ἡ γυνὴ μὴ πρὸς ἀλλήλους ἀγαπητικῶς κτλ.*

[1] Haec fragmenta et incertae originis et dubiae fidei sunt. Primum est ex Ecloga privata aucta, quae in Cod. Paris. 1384 extat, tit. I c. 17, hactenus ineditum: reliqua ex eodem Cod. Paris. gr. 1384 fol. 175 sq. dudum edidi in libro *Ἀνέκδοτα* p. 195. Caeterum videsis quae de iis judicaverim in libro: Innere Gesch. des GR. Rechts I p. 22 not. 92 et p. 48 not. 179.

λάγμασι διὰ τὸ συμπλοκὰς ἐκ τῶν τέκνων τοῖς γονεῦσι προσγίνεσθαι χάριν πατρῴων καὶ μητρῴων αὐτῶν πραγμάτων, κἀντεῦθεν γονεῖς πρὸς τέκνα κινεῖσθαι καὶ τέκνα κατὰ γονέων καθίστασθαι καὶ μάχας καὶ ἐρεσχελίας, δίκας καὶ συντριβὰς μέσον αὐτῶν ἀναφύεσθαι· ἀντὶ γὰρ τῆς προσηκούσης καὶ ἐποφειλομένης ὡς λέλεκται τοῖς γονεῦσι παρὰ τῶν παίδων αἰδοῦς τε καὶ τιμῆς μεγάλαι μᾶλλον φιλονεικίαι καὶ θλίψεις παρὰ τῶν παίδων αὐτοῖς προσεγένοντο, ὡς ἐντεῦθεν παραβάτας αὐτοὺς τῶν ἐντολῶν τοῦ θεοῦ ἀποδείκνυσθαι.

II. Περὶ ἐκλογῆς τῶν δευτερογαμούντων. Τὴν δευτέραν διάταξιν, ἣν ἐν τῇ νεαρᾷ ἐξέθετο ὁ μακάριος Ἰουστινιανὸς περὶ ἐκλογῆς τῶν δευτερογαμουσῶν, ὡς καινοπρεπῆ τινα περιέχουσαν καὶ τῆς ἐπισταμένης συνηθείας ἀλλότρια περιφέρουσαν, ἡ ἡμετέρα εὐσεβὴς βασιλεία καὶ φιλόχριστος τῇ τε διατάξει τῇ τε συνηθείᾳ ὅσον κατὰ τὸ εἰκὸς συνεβάλετο, τῆς μὲν διατάξεως τὸ αὐστηρὸν γλυκάνασα, τῆς δὲ συνηθείας τὸ ἀπρεπὲς καὶ συγκεχυμένον διασαφήσασα. οὕτως γὰρ τοὺς νόμους κοσμεῖσθαι γινώσκομεν, διὰ μὲν τῆς σαφηνείας τὸ εὐπαράδεκτον ἔχοντες, διὰ δὲ τῆς συμμετρίας τὸ ὑπήκοον θεραπεύοντες.

Ἡ δευτερογαμοῦσα γυνὴ λαμβανέτω ἀπεντεῦθεν ἤδη τὴν ἡμίσειαν μοῖραν τῆς τε προικὸς καὶ τοῦ ὑποβόλου αὐτῆς κατὰ τὴν δεσποτείαν, τὴν δ' ἑτέραν ἡμίσειαν καταλιμπανέτω τοῖς ἐκ τοῦ πρώτου ἀνδρὸς τεχθεῖσιν αὐτῇ παισίν. εἰ δὲ καὶ συμβῇ τινα τελευτῆσαι τῶν ἐκ τοῦ πρώτου ἀνδρὸς παίδων, θεσπίζομεν καὶ αὐτὴν ὑπεισέρχεσθαι ἀδελφὴν μετὰ τῶν αὐτῆς παίδων εἰς τὴν τοῦ τελευτήσαντος περιουσίαν. εἰ δὲ καὶ κατὰ τάξιν τινὰ τελευτήσωσιν οἱ τοῦ ἀνδρὸς τεχθέντες παῖδες, περιέλθῃ δὲ ἡ τούτων περιουσία εἰς ἕνα τῶν ἀδελφῶν, τύχῃ δὲ τοῦτον τελευτῆσαι ἄπαιδα καὶ ἀδιάθετον, κληρονομείτω καὶ τούτων καὶ αὕτη ἡ μήτηρ. εἰ δέ γε τύχῃ τὴν μητέρα προτελευτῆσαι τῶν παίδων, μὴ ἔχειν ἄδειαν αὐτὴν προτελευτῶσαν καὶ διατιθεμένην κατώτερον τοῦ φαλκιδίου τούτους ἐκ τοῦ πρώτου ἀνδρὸς τεχθέντας παῖδας καταδικάζειν. εἰ δέ γε βούλοιτο ὑπεράνω τοῦ φαλκιδίου παρέχειν αὐτοῖς, ἄδειαν αὐτῇ δίδωσιν ὁ νόμος τοῦτο ποιῆσαι.

Τοῦ αὐτοῦ. ὅτι ἀνὴρ δευτερογαμῶν μηκέτι κατὰ τὸν πρότερον νόμον τῆς χρήσεως ἀπολαύει τῆς τε προικὸς καὶ τῆς πρὸ γάμου δωρεᾶς, ἀλλὰ παρευθὺ τῆς μὲν χρήσεως καὶ τῆς δεσποτείας ἐκπιπτέτω, τὸ δὲ τρίτον τῆς προγάμου δωρεᾶς οὐ μετὰ χρόνον ἀλλὰ παρευθὺ κερδανέτω. καὶ τοῦτο ὁ ἡμέτερος ἐφιλανθρωπεύσατο νόμος τοῦ μὴ παντελῶς τοὺς πατέρας τῶν

γαμικῶν κερδῶν ἐκπίπτειν, καὶ τὰ δεύτερα τῶν μητέρων ἐν τοῖς ἰδίοις τέκνοις ἔχειν. μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν ὑπεισέρχονται οἱ ἐκ τοῦ πρώτου συνοικεσίου τεχθέντες παῖδες σὺν τοῖς ἐκ δευτέρου συνοικεσίου τεχθεῖσι παισὶν εἰς τὴν ἅπασαν αὐτοῦ περιουσίαν ἀδελφικῶς. μὴ ἔχοντος ἄδειαν τοῦ πατρὸς περαιτέρω τοῦ φαλκιδίου καταδικάζειν τοὺς ἐκ τοῦ πρώτου συνοικεσίου παῖδας αὐτοῦ· εἰ δέ γε βούλοιτο τούτους φιλοτιμεῖσθαι, ἄδειαν ἐχέτω.

Ὅτι πάντων τῶν παίδων προτελευτησάντων τῆς δευτερογαμησάσης μητρός, ἀναγραπτὴ γίνεται ἡ τούτων περιουσία. καὶ εἰ μὲν τύχωσι τῶν ἀνιόντων τινές, τουτέστι πάππων ἢ προπάππων, τοῦ ἐναντίου λέγω μέρους, καὶ μάλιστα ἀναθρεψάμενος, συμμεριζέσθω μετὰ τῆς μητρὸς τῶν παίδων ἐξ ἴσης καὶ ἐπ' ἴσης μοίρας τῇ τῶν προτελευτησάντων παίδων μητρί. εἰ δέ γε τῶν ἐκ πλαγίου τύχῃ ἀναθρεψάμενος, τουτέστιν ἀδελφὸς καὶ ἀνεψιός, θεῖος καὶ ἐξάδελφος, λαμβανέτω τὸ τρίτον μέρος τῆς περιουσίας τοῦ τελευτήσαντος οὗτος, τὸ δὲ καταλιμπανόμενον ἡ μήτηρ κληρονομείτω· τοῦτο δὲ σημείωσαι, ὅταν οὐκ ὦσι παῖδες τῶν παίδων καὶ μὴ διάθηται ὁ παῖς ὁ τελευτήσας. εἰ δὲ τῆς ἐντελοῦς τύχωσιν ἡλικίας οἱ παῖδες καὶ βούλωνται διαθέσθαι, μὴ κωλυέσθωσαν διαθήκας ποιεῖν, καθὼς καὶ αὐτοῖς δίδωσιν ἄδειαν ὁ νόμος.

Ὁ αὐτὸς εὐσεβὴς λέων βασιλεὺς στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων περὶ τῶν ἐπιγαμικῶν συμφωνιῶν. εἴτις τὴν ἑαυτοῦ γαμετὴν ἀποβάλῃ, παρακρατείτω τὰ ἑαυτοῦ, ἤτοι τὴν πρὸ γάμου δωρεάν. καὶ εἰ μὲν παῖδας ἔχει ἐξ αὐτοῦ τοῦ συνοικεσίου, ἐχέτω κατὰ δεσποτείαν ἐκ τῆς προικὸς κατὰ ἀναλογίαν ἑνὸς παιδὸς εἰς κλῆρον δηλονότι μὴ προδευτερογαμήσας ὁ τούτων γονεύς.

Ἡ δευτέρα γυνὴ ἢ τὰ γεγραμμένα αὐτῇ λαμβάνει, ἢ μοῖραν ἑνὸς παιδὸς τῶν προγόνων αὐτῆς· τὸ δὲ χρέος πρῶτον ἀποδίδοται, καὶ οὕτως λαμβάνει ἡ γυνὴ ἢ τὰ γεγραμμένα ἢ καθὰς ἔλαβον οἱ παῖδες καὶ τὸ βρῶμα αὐτῆς ἕως ἐνιαυτοῦ[2].

---

[2] Bonefidius JO. p. 7 - 12 hic ex Cedreno locos quosdam congessit, in quibus tum Leonis Armenii judicium de adultero et praefecto negligente, tum Theophili saevitia in imagines et monachos memoratur, connubium Persis cum Romanis ab eo concessum esse narratur, edictum de capillorum tonsura ab eo propositum refertur, denique sententia ab ipso in ducem injustum lata exponitur. Quae omnia ita parum Novellarum collectioni conveniunt, ut ea ne in notas quidem transscribere voluerim.

COLLATIO SECUNDA.

Imp. Leonis Novellae constitutiones inter 886—910 editae[1].

Λέοντος ἐν χριστῷ τῷ ἀθανάτῳ πάντων βασιλεῖ εὐσεβοῦς βασιλέως ῥωμαίων αἱ τῶν νόμων ἐπανορθωτικαὶ ἀνακαθάρσεις[2].

Προοίμιον.

Τὸ ποικίλον τῶν ἀνθρωπίνων πραγμάτων καὶ τὸ πολύτροπον τῆς τοῦ βίου καταστάσεως πολλοῖς καὶ παντοδαποῖς νόμοις

---

[1] Circumferuntur in libris tam Mss. quam editis, veluti Leunclavii JGR. I p. 86 sq. et II p. 134 sq. (quo tamen loco quae sub no. VI posita est, non Basilii Macedonis, sed Basilii Bulgaroctoni est) Novellae Basilii Macedonis, quas hoc loco intercalandas fuisse fortasse aliquis dixerit. Sed quae hujus generis fragmenta occurrunt, proprie non sunt Novellae constitutiones, sed capita Prochiri a Basilio promulgati, inque illo primum *νεαρῶς* sancita; cf. Prochiron a me editum p. 352. Caeterum Minoides Minas in Wolowski Revue 1846 Août p. 489 de his capitibus haec habet: „J'en ai vu un autre (sc. Codicem Ms. Prochiri) plus ancien encore, copié en parchemin sur l'original authentique, où toutes les ordonnances de l'empereur Basile étaient écrites avec du cinabre: le copiste avait eu le soin de les noter à la marge avec les mots *διὰ κιναβάρεως*.“ — Denique Bonefidius JO. I p. 12 sq. de Basilii legislatione haec ex Cedreno affert: *α'. Εἶθ' οὕτως δικαιοσύνης ἐπεμελεῖτο καὶ ἰσονομίαν ἐμπολιτεύεσθαι τοῖς ἀρχομένοις καὶ τὸ μὴ καταδυναστεύεσθαι ὑπὸ τῶν πλουσίων τοὺς πενεστέρους ἐπραγματεύσατο. πανταχοῦ δὲ διατάγματα ἐξετίθει τέλεον ἐξαρθῆναι τὴν ἀδικίαν ὁρίζοντα· δικαστάς τε ἔταξε, σιτηρεσίοις καὶ φιλοτιμίαις παντοδαπαῖς αὐτοὺς μεγαλύνας, καὶ τάξας διημερεύειν καὶ τὰς διενέξεις διαλύειν τῶν φιλονεικούντων· τόπους ἀφορίσας αὐτοῖς ἐπιτηδείους, τήν τε μαγναύραν καὶ τὸν καλούμενον ἱππόδρομον, καὶ τὴν λεγομένην χαλκῆν χρόνῳ μογήσασαν καὶ ὅσον οὐδέπω πεσεῖν κινδυνεύουσαν ἐπισκευάσας καὶ καινουργήσας. ἔταξε δὲ καὶ τροφὴν τοῖς πενεστέροις τῶν τὰς δίκας ἐχόντων, ἵνα μὴ ὑπὸ ἐνδείας πιεζόμενοι ταῖς δίκαις ἀπαγορεύοιεν. — β'. Ὁρῶν δὲ ὅτι ἐστὶ τοῖς πονηροῖς εἰς*

παρέσχε λαβεῖν γένεσιν, οἳ τῷ πλήθει τοῖς πράγμασι συνεπεκτεινόμενοι, τῇ πρὸς ἑαυτοὺς παραθέσει πᾶν ὅ τί τε καλῶς ἔχει καὶ ὃ μή[3], διακρίνουσιν. Εἰσὶ τοιγαροῦν ὥσπερ τινὲς φύλακες τῆς ζωῆς ἡμῶν καὶ ἰατροί, ἃ μὲν κωλύοντες παντελῶς εἰς τὸν βίον ἐλθεῖν τῶν κακῶν, ὧν δὲ λαθόντων καὶ παρεισδεδυκότων τὴν βλάβην ἐπανορθούμενοι, καὶ οἷον ῥιζοτομοῦντες τὴν κακίαν καὶ οὐκ ἐῶντες ταύτην κρατύνεσθαι. ἀλλὰ γὰρ ἡ ἀνθρωπίνη φορὰ καὶ παλίῤῥοια ἄνω τε καὶ κάτω πάντα στρέφουσά τε καὶ μεταφέρουσα, καὶ πολλὰ μὲν εὖ κείμενα κακῶς μετατιθεῖσα, πολλῶν δὲ λήθην κατασκευάζουσα, ὥστε εἰ μηδὲ τὴν ἀρχὴν ὤφθησαν λαχόντα γένεσιν καὶ ἀνεπίγνωστα[4] εἶναι, οὐ μικρὰ τούτους ἐλυμήνατο, οὓς μὲν σιγῇ κρύψασα βαθείᾳ, οὓς δὲ ἀλλήλοις ἀντιφθέγγεσθαι παρασκευάσασα, τοῦτο μὲν αὐτῶν ἐκείνων τῶν ἐκτεθεικότων αὐτοὺς οὐ μεινάντων ἐπὶ ταῖς πρότερον διανοίαις ἀλλὰ σφίσιν αὐτοῖς ἀντειπόντων, τοῦτο δὲ καὶ τῶν μεταγενεστέρων ὅπου μὲν ἔθει ὅπου δὲ δόγματι τούτοις ἐναντιωθέντων, ὥστε[5] καὶ ἐντεῦθεν συμβῆναι μὲν πολλὴν τοῖς νόμοις τὴν σύγχυσιν, οὐκ ὀλίγον δὲ βλάβος τοῖς πράγμασιν, ἄλλων πρὸς ἄλλας[6] μετατιθέντων καὶ κατὰ κύβους πεττευόντων. τοιγαροῦν οὐκ ἄξιον παριδεῖν κρίναντες ἐν τοσαύτῃ συγχύσει καὶ ταραχῇ φέρεσθαι ὧν ἡ γαλήνη καὶ ἀταραξία τῆς πολιτείας ἐξήρτηται, ἐπισκέψεώς τε ὡς ἔνι μάλιστα ἐπιμελεστάτης τοὺς νόμους ἠξιώσαμεν, καὶ ὧν λυσιτελὲς ὑπάρχειν τὸ κράτος κατενοήσαμεν, τούτων ἐκλογὴν ποιησάμενοι δόγματι ἐγγράφῳ τῆς βασιλείας ἡμῶν τὴν εἰς τὴν πολιτείαν αὐτοῖς παῤῥησίαν ἐβεβαιώσαμεν καὶ τοῖς πράγμασι διαιτᾶν ἐπεψηφισάμεθα· οὓς δὲ ἔγνωμεν ἀσυμφόρους, τούτων δὲ ἄρα ἐνίους μὲν καὶ αὐτοὶ δόγματι τῆς τῶν νόμων τιμῆς καὶ τάξεως ἐξωστρακίσαμεν εἰς σιγὴν διηνεκῆ συνελάσαντες, ὧν δὲ οὐδ᾽ εἰς μνήμην

τὸ ἀδικεῖν ἀφορμὴ διὰ τὸ σύντομον ἀπὸ τῶν ἐν τοῖς ἀριθμοῖς μορίων, τοῦ ἡμίσεώς φημι καὶ ἕκτου καὶ δωδεκάτου καὶ τῶν τοιούτων, χρωμένων τοῖς παλαιοῖς σημείοις τῶν γραφέων, ἠθέλησε καὶ τὴν τοιαύτην τῶν ἀδικεῖν ἑλομένων περιελεῖν ἀφορμὴν, καὶ διωρίσατο γράμμασι λιτοῖς, ἃ καὶ τοῖς ἀγροίκοις ἀναγινώσκεσθαι ῥᾴδιον, τὰ τοιαῦτα γράφεσθαι σημεῖα· οἴκοθεν καταβαλὼν καὶ τὴν τῶν χαρτίων δαπάνην καὶ τὴν γραμμάτων καὶ τὴν τῶν γραφέων. [2] Hanc inscriptionem praestant Zuich. et Meerm. — Scrimg. *Αὐτοκράτορος λέοντος αὐγούστου νεαραὶ διατάξεις ἢ αἱ τῶν νόμων ἐπανορθωτικαὶ καθάρσεις.* [3] Zuich. et Meerm. *ὃ μὴ ὄν.* [4] Codd. *ἐπίγνωστα.* Sed legendum *ἀνεπίγνωστα,* hoc sensu: „ut vel incognita essent, si nec initio, quum ortum caperent, visa fuissent.“ [5] Deest in Codd. Supplevit H. Stephanus. [6] Agylaeus *ἄλλους* legi vult, Osenbrüggen rectius *ἄλλα.*

ὅλως κατέστημεν, διὰ τῆς ἀμνηστίας καὶ αὐτοὺς παραπλησίως ἐκείνοις συνεξωστρακίσαμεν. ἐπεὶ δὲ καὶ ἐν ταῖς κρατούσαις συνηθείαις ἐφάνησάν τινες οὐ παράλογοι, οὐδὲ τοιαῦται οἵας ἂν νοῦς συνετὸς ἀτιμάσειε, καὶ ταύτας νόμου προνομίῳ τετιμηκότες, ἀντὶ δὲ συνηθείας ἀλόγου εἰς νόμου πρόσταξιν καὶ τιμὴν ἀνηγάγομεν.

Τούτων ἡμῖν οὕτως διῳκημένων, ἴστω πᾶς τις, ὡς ὅσοι μὲν διὰ τοῦ ἐγγράφου τῆς βασιλείας ἡμῶν δόγματος ἔλαβον κῦρος νόμοι ἢ τετίμηνται ἀξιώματι νόμου συνήθειαι, οὗτοι καὶ πολιτεύσονται καὶ εἰς ἑαυτοὺς ἀνηρτημένα τὰ πράγματα ἕξουσιν, ὅσοι δὲ πρὸς ἐναντίωσιν αὐτοῖς ἀποφερόμενοι ἢ μνήμης τὴν ἀφωνίαν αὐτοῖς ἀΐδιον ἐπιβαλούσης ἠξίωνται, ἢ καὶ χωρὶς ταύτης ὡς ὁμότιμοι τῶν ἠτιμωμένων συνητίμωνται, οὗτοι δὴ καὶ ἀπόβλητοι ἀπὸ τοῦ νῦν καὶ τοῦ πολιτεύματος εἰσὶν ὑπερόριοι.

NOV. I.

Quod unumquemque, qui judicandi praerogativam acceperit, quemadmodum promulgatus a nobis legalium capitulorum delectus statuerit, dirimere controversias oporteat, quae vero in reprobatorum locum rejecta sunt, ut ex iis nulla dijudicetur litis ambiguitas[1].

ΔΙΑΤΑΞΙΣ α΄.

Ὅτι χρὴ πάντα τὸν κρίνειν λαβόντα προνόμιον καθὼς ἡ ἐγκεκριμένη τῶν νομίμων κεφαλαίων ὑφ᾽ ἡμῶν ἐκλογὴ διατέτακται διαλύειν τὰ ἀμφίβολα, ἃ δὲ τῆς ἀποκρίτου τάξεως ἠξίωται, κατὰ ταῦτα μηδεμίαν διοικεῖσθαι δίκης ἀμφιβολίαν[2].

Ἐν ὀνόματι τοῦ πᾶσιν ἀνθρώποις νομοθετήσαντος τὰ σωτήρια χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν αὐτοκράτωρ καῖσαρ φλάβιος λέων εὐσεβὴς εὐτυχὴς ἔνδοξος νικητὴς τροπαιοῦχος ἀεισέβαστος αὔγουστος πιστὸς βασιλεὺς στυλιανῷ τῷ περιφανεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων ἡμῶν.

Ὁ μὲν δὴ περιώνυμος ἐν βασιλεῦσιν ἰουστινιανὸς, ἀρίστης καὶ λυσιτελεστάτης τῇ πολιτείᾳ γνώμης γενόμενος, ὥσπερ τινὰ

---

[1] In Ecloga Novv. Leonis est Nov. 1. [2] Hanc summam constitutionis Zuich. et Meerm. inscriptioni postponunt.

ὕλην λαβὼν τὰς ἐξ ἀρχῆς καὶ μέχρις ἐκείνου κατὰ διαφόρους χρόνους τῇ ῥωμαϊκῇ ἐπικρατείᾳ διατάξεις τεθεσπισμένας, οἰκείαις φροντίσιν καὶ πόνοις ἔργον ἀξιοθαύμαστον τὴν τῶν νόμων ὅλην σωματοποιΐαν εἰς εὐεργεσίαν τῶν ὑπηκόων ἐφιλοτιμήσατο κατασκευάσασθαι, καὶ εἴ τι μὲν ὑπεναντίον καὶ ἀνάρμοστον διεφαίνετο ἀνακαθάρας, δι' ὧν δὲ τὴν εὐαρμοστίαν ἐμπολιτευομένην ἔγνω ταῦτα εἰς ἓν συνυφηνάμενος καὶ στοιχειώσας καὶ ὥσπερ εἰς στάθμην δίκης μίαν καταστησάμενος, ὑφ' ἧς τό τε δίκαιον καὶ τὸ μὴ τοιοῦτον ὂν διεκρίνετο. ἀλλὰ γὰρ ὡς ἔοικε πανταχοῦ κάλλιστον τὸ μηδὲν ἄγαν. καὶ γὰρ οὕτω καλῶς εἰς ἓν σῶμά τε ποιησάμενος[3] τὴν καταμεμερισμένην τῶν νόμων ὑπόστασιν, καὶ τὰ ἐξ ὧν τὸ ἐναρμόνιον τῆς νομικῆς οἰκονομίας πολλάκις παρεκινεῖτο ἐξισωσάμενος, καὶ πρὸς μίαν συμφωνίαν ἐκ τοῦ πρὸς ἐκεῖνα μόνα τὴν πάντων ἀπευθύνεσθαι ψῆφον τοὺς δικάζοντας καταστήσας, καὶ ἀμάχως κρίνειν συμβιβάσας τῇ εἰρηναίᾳ καὶ ἀμάχῳ τῶν νομίμων κεφαλαίων καταστάσει, οὐ στέρξας ἐπὶ τούτοις, ἀλλὰ ἄμεινόν τι διανοηθεὶς τῇ πολιτείᾳ μετὰ ταῦτα χαρίζεσθαι, ἔλαθεν οἷς ὕστερον ἐνομοθέτησε καὶ τῷ πρώτῳ λυμηνάμενος ἔργῳ καὶ τὸ δεύτερον οὐκ ἐργασάμενος ἄμεμπτον, ἀντιλογίας καὶ ἔριδος ἐκ τῆς ὕστερον αὐτῷ πεπραγμένης ὑποθέσεως οὐκ ὀλίγης πρὸς τὴν προτέραν ἀνακεκινημένης. τῷ μὲν οὖν οἰκείῳ καμάτῳ οὕτως δι' ἑαυτοῦ ὁ Ἰουστινιανὸς ἐλωβήσατο. οὐ μὴν ἀλλὰ καὶ μέχρι τοῦ νῦν ἐξ ἐκείνου τοῦ καιροῦ ἄρτι μὲν ὑπὸ νεωτέρων θεσπισμάτων ἄρτι δὲ ὑπὸ συνηθειῶν ἀθεσπίστων καὶ μόνην προβαλλομένων ἰσχὺν τὴν τῶν ὄχλων ἀρέσκειαν πολλῆς ἐπιγενομένης καινοτομίας, μικροῦ τὰ τῶν νόμων συγκέχυται, καὶ ἄνω καὶ κάτω πεττευόμενα τὰ πράγματα φέρεται. διὰ τοῦτο, εἴπερ τι ἄλλο, καὶ τούτου ἡμῖν τῶν ἀναγκαιοτάτων εἰς τὸ προνοίας ἀντιλαμβανούσης τυχεῖν ἀξίου [φανέντος, τὴν τῶν νόμων][4] πραγματείαν, ἔτι δὲ καὶ τὰς εἰς τὴν τῶν πραγμάτων διοίκησιν παρελθούσας συνηθείας ἐπισκεψάμενοι, τῶν μὲν νόμων τὴν ἀντιλογίαν ἀπεσκευασάμεθα, πᾶν ἀντίπαλον καὶ πρὸς τὴν φέρουσαν ἀγωγὴν τῶν πραγμάτων ἀθέμιτον τῆς νομικῆς ἀξίας ἀποχειροτονήσαντες, τὰς δ' ὅσαι συνήθειαι οὐ φαύλως ἐδόκουν οὐδ' ἐπιβλαβῶς ῥυθμίζειν τὰ πράγματα, ταύτας μηκέτι συνηθείας ἀλόγους εἶναι καταλιπόντες, ἀλλ' εἰς ἐξουσίαν θεσπίσματος καταστήσαντες, ἐστὶ δ' ὅπου

[3] H. Stephanus et Agylaeus: *σωματοποιησάμενος*. [4] Inclusa ex conjectura addo.

καὶ πρὸς τὸ ἀπηνὲς καὶ ἀποτομώτερον ὁρῶντα τὸν νόμον καὶ ὥσπερ ἐξιστάμενον τῆς δίκης εἰς τὸ οἰκεῖον καὶ πρέπον συστείλαντες σχῆμα, καὶ τῇ ὀφειλομένῃ τοῖς νόμοις δικαιοσύνῃ[5].

Τούτων οὖν ἡμῖν οὕτω διῳκημένων, ἀπὸ[6] τοῦ νῦν καὶ εἰς τὸν ἔπειτα ἅπαντα χρόνον ἅπασιν εἰς οὓς ἀνήρτηται τὰ τῆς δίκης ζυγὰ, ἄρχουσι καὶ δικασταῖς, ἐντελλόμεθα, τοὺς μὲν ὅσοι νόμοι παρὰ τῆς βασιλείας ἡμῶν τοῦ νομίμου ἐδάφους τὴν ἀπαλλοτρίωσιν κατεψηφίσθησαν, τούτους ἀχρήστους ἡγουμένους ἐᾶν ἐῤῥίφθαι, κατὰ δὲ τοὺς λοιποὺς ἐγγράφους τούς τε ἀρχαίους[7] καὶ τοὺς μικρῷ μὲν πρόσθεν παρὰ τοῦ ἀειμνήστου πατρὸς ἡμῶν, νῦν δὲ παρ᾽ ἡμῶν ἐγκεκριμένους ἢ τεθεσπισμένους ταῖς δίκαις βραβεύειν τὰς διαλύσεις, οὐδενὸς συγχωρουμένου ἔτι πρός τινα τῶν ὑπερορίων τῆς νομικῆς ἀξίας κεφαλαίων ἀπονεύειν, ἀλλ᾽ οὐδ᾽ εἰς συνήθειαν ἀποτρέχειν[8], ἥτις οὐχὶ παρὰ τοῦ ἡμετέρου κράτους λαβοῦσα τὸ ἔκκριτον[9] ἀντὶ τοῦ συνήθεια εἶναι καὶ λέγεσθαι πρὸς νόμου δόξαν καὶ τιμὴν ἀνηνέχθη.

NOV. II.

Ut secundum sacros divinosque canones, quem episcopali dignitate dignum testatur de caetero vitae integritas, is ab honore non prohibeatur ob liberos ex legitimo connubio susceptos[1].

ΔΙΑΤΑΞΙΣ β'.

Περὶ τοῦ κατὰ τοὺς ἱεροὺς καὶ θείους κανόνας τὸν ἐπισκοπικοῦ ἀξιώματος μαρτυρούμενον ἄξιον τῇ ἄλλῃ τοῦ βίου ἀρετῇ μηδὲν εἰς τὴν τιμὴν ἐμποδίζεσθαι ἕνεκα τῶν ἐκ νομίμου [2] παίδων συναφείας, εἰ παῖδες πάρεισιν αὐτῷ [3].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Τῶν ἱερῶν καὶ θείων κανόνων, τῶν τε ἄλλων καὶ ὅσοι περί τε ἱερωσύνης καὶ χειροτονίας ἐπισκόπων ἐθέσπισαν, εἰς

---

[5] Hic omnino aliquid deest, puta ἐκοσμήσαμεν. [6] Hinc incipit Ecl. Nov. 1. [7] Scrimg. τοὺς ἀρχαίους. [8] Ecl. προστρέχειν. [9] Nonnulli Eclogae Codices: ἔγκριτον.

[1] Hanc Nov. laudat Bals. ad syn. Trull. c. 48. ed. Rhalli II p. 422. [2] Scrimg. addit γάμου. Idem notat: Ἄλλη ἐπιγραφὴ συντομωτέρα καὶ αὐτὴ ἐν τῷ παλαιῷ γεγραμμένῃ ἀντιγράφῳ· περὶ τοῦ μὴ ἐμποδίζεσθαι τὸν ἄξιον ἀρχιερωσύνης εἰ παῖδες νόμιμοι αὐτῷ πάρεισι. [3] Haec verba „εἰ παῖδες πάρεισιν

τὸ ἄριστόν τε καὶ ἀκριβέστατον ἐκπεφωνημένων, (πῶς δ᾽ οὐκ ἔμελλον ἀκριβῶς ἐκπεφωνῆσθαι θείας ἐπιπνοίας ἐν τοῖς φθεγγομένοις ἐνεργούσης;) θαυμάζειν ἔπεισί μοι, πῶς οὐκ εὐλαβήθησάν τινες ὥσπερ ἐνδεῶς ἐκείνων ἐχόντων τολμᾶν ἑτέρων ἐκθέσει νόμων τοὺς ἱεροὺς καὶ θείους ἀθετεῖν νόμους. καὶ γὰρ ἐν οἷς τὰ περὶ χειροτονίας ἐπισκόπων διατάττουσι τῶν ἱερῶν θεσπιζόντων κανόνων τὸν ὃς ἐκ νομίμου γάμου παῖδας ἔχει, εἴ γε ἡ ἄλλη τοῦ βίου ἀρετὴ ἐμποδὼν οὐχ ἵσταται, εἰς ἀρχιερωσύνην προάγεσθαι, οὗτοι ἀντιθεσπίζοντές φασι, μὴ εἶναι πρὸς ἐπισκόπου ἀξίωμα τοῖς ἔχουσι παῖδας, κἂν δῶρον ὦσι γάμου νομίμου, ἀναβαίνειν ἀκώλυτον, ἴσως μὲν (τί γὰρ ἄν τις ἄλλο εἴποι;) ἐκεῖνο ἐπὶ νοῦν λαβόντες, ὡς τῇ πρὸς τέκνα διαθέσει ταῖς ἱεραῖς ὑπάρξεσι λυμανεῖται ὁ χειροτονούμενος. πλὴν οὐκ ἔχει καλῶς ἡ αἰτία. οὕτω γὰρ ἂν καὶ ἀδελφῶν ἢ συγγενῶν ἑτέρων προσόντων οὐχ ἕξει τὶς χώραν πρὸς ἐπισκόπου χειροτονίαν· ἡ γὰρ συγγενὴς[4] *διάθεσις καὶ πρὸς τούτους ὁρᾷ. ἀλλὰ προειδότες τοῦτο οἱ θεῖοι κανόνες ἔδοσαν τοῖς ἐπισκόποις ἐξουσίαν, εἰ συγγενεῖς εἶεν ἄποροι, ἐκ τῆς ἱερᾶς ὑπάρξεως τούτων παραμυθεῖσθαι τὴν ἀπορίαν.*

Ἡ οὖν ἐκ θεοῦ βασιλεία ἡμῶν τοῦτο ἁρμοδιώτερον κατανοοῦσα τοῖς θείοις ἕπεσθαι ἐντάλμασι, σύμφωνον ἐκείνοις ἐκφέρει νόμον, ὥσπερ[5] *αὐτοῖς δοκεῖ τὸ πρὸς ἀρχιερωσύνην ἀνάγεσθαι τὸν ἄξιον τῆς τιμῆς κἂν ὦσι γοναὶ νόμῳ τετιμημέναι, οὕτως ὁρίζουσα τὸν ἀντιφθέγγεσθαι θρασυνθέντα νόμον*[6] *δίκην τῆς θρασύτητος τὴν εἰς τὸν ἔπειτα χρόνον διηνεκῆ ἀφωνίαν εἰσπράττεσθαι.*

NOV. III.

Ut secundum ecclesiae statutum qui sacerdotes creentur aut vitam caelibem acturos se polliceantur, aut si matrimonio jungi velint, prius copulentur et sic ad ordinationem accedant[1]**.**

ΔΙΑΤΑΞΙΣ γʹ.

Περὶ τοῦ κατὰ τὸν τῆς ἐκκλησίας θεσμὸν τοὺς μέλλοντας παραγγέλλειν εἰς ἱερέας ἢ διὰ βίου τὴν ἀγαμίαν ἐπαγ-

---

αὐτῷ" abundant. Fortasse ex altera illa *ἐπιγραφῇ*, de qua not. 2, perperam huc translata sunt. [4] Malim *συγγενική*. [5] Bals. *καὶ ὥσπερ*. [6] Sc. Nov. Justiniani 123 c. 1.

[1] Laudatur a Bals. ad syn. Ancyr. c. 10 (ed. Rhalli III p. 41) et in Respons. 39

γείλασθαι, ἢ εἰ βούλοιντο γάμῳ προσομιλεῖν, πρότερον ἁρμόζεσθαι καὶ οὕτω τῇ χειροθεσίᾳ προσέρχεσθαι[2].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Καλῶς ἐξ ἀρχῆς τὰ περὶ τῶν ἱερᾶσθαι ἀξιωθέντων[3] τῆς ἐκκλησιαστικῆς τάξεως ὁρισαμένης, οὐκ ὀρθῶς κατά γε ἐμὲ τῇ νῦν κρατούσῃ ἑπόμενοι συνηθείᾳ ἐνίοτε κατολιγωροῦσι τοῦ ἱερατικοῦ παραγγέλματος. καὶ γὰρ ἐκείνου προστάσσοντος τοῖς μέλλουσι παραγγέλλειν εἰς[4] ἱερέας, εἴτε διὰ βίου παντὸς, εἰ τεθαῤῥήκασι τὴν ἐπαγγελίαν μὴ ψεύσασθαι, ἀγαμίαν ἐπαγγείλασθαι, ἢ εἰ μὴ τοῦτο δυνατὸν αὐτοῖς φαίνεται, νομίμοις γάμοις ἁρμόζεσθαι καὶ οὕτω τῆς θείας λειτουργίας ἀντιλαμβάνεσθαι· ἡ ἐπὶ τοῦ παρόντος κρατοῦσα συνήθεια τοῖς πρὸς γάμον συνάπτεσθαι λογισμὸν ἔχουσι δίδωσιν εἰς ἱερέας πρὸ τῆς μνηστείας τελεῖν, εἶτα μέχρις ἐτῶν δύο τῷ βουλομένῳ γήμασθαι περαίνειν ὁρίζει τὸ βούλημα.

Τοῦτο τοίνυν ἐπεὶ μὴ πρέπον ὁρῶμεν, κελεύομεν κατὰ τὸ ἄνωθεν καὶ ἀρχαῖον τῆς ἐκκλησίας διάταγμα τὰς χειροτονίας προβαίνειν. οὐδὲ γὰρ ἄξιον, μετὰ[5] τὸ ἀνυψωθῆναι τῆς σωματικῆς ταπεινώσεως ὑπὸ τῆς πνευματικῆς ἀναβάσεως τούτους πάλιν ἐπὶ τὴν σαρκικὴν ταπεινότητα καταπίπτειν, τοὐναντίον δὲ μᾶλλον χρὴ ὡς εἰς ἀνάβασιν ὑψηλὴν τὴν θείαν λειτουργίαν ἐκ τῆς σωματικῆς ταπεινότητος ἀναβαίνειν.

NOV. IV.

Ut non modo catholicae ecclesiae sacerdotes, verum etiam qui ad quamcunque aedem pertinent, si vocentur, sine fraude sacras mystagogias et ritus domi celebrare possint[1].

ΔΙΑΤΑΞΙΣ δ΄.

Περὶ τοῦ δεῖν μὴ μόνον τοὺς τῆς καθολικῆς ἐκκλησίας ἱερεῖς, ἀλλὰ καὶ τοὺς ἐν ἑκάστῃ οἰκίᾳ διαφέροντας προσ-

---

(ed. Rhalli IV p. 477), nec non a Blastare Γ, 2 (ed. Bevereg. II p. 61). [2] Scrimg. ἄλλη ἐπιγραφὴ βραχυτέρα· περὶ τοῦ ὀφείλειν γαμεῖν πρὶν τῆς ἱερωσύνης. [3] Scrimg. ἀξίων θεῷ. Zuich. θεοῦ. [4] Praepositio in Codd. deest. [5] Sic Bals. Codd. τοὺς μετὰ.

[1] Laudatur a Bals. ad syn. Trull. c. 31 et 59 (ed. Rhalli II p. 372 et 440) et ad syn. Laodic. c. 58 (ed. Rhalli III p. 224) et in Resp. 14 (ed. Rhalli IV p. 458).

καλουμένους ἀδεῶς τὰς ἱερὰς μυσταγωγίας καὶ λατρείας οἴκοι ἐπιτελεῖν[2].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Τοῖς μὲν ἀρχαιοτέροις ἔδοξε τὰς κατ' οἴκους ἱερατείας καὶ συνάξεις ὑπὸ μόνων ἐκτελεῖσθαι τῶν ταῖς καθολικαῖς ἐκκλησίαις διαφερόντων ἱερέων, ὑφ' ἑτέρων δὲ, οἳ τῷ οἴκῳ προσανάκεινται καὶ ἰδιαζούσης τυγχάνουσι βίου καταστάσεως, μήτε λειτουργίαν μήτε τινὰ ἱερατείαν ἐπιτελεῖσθαι. τοῦτο δ' ἔοικεν ἕνεκά γε τῆς περὶ τὴν πίστιν ἀσφαλείας εἰς ἐνθύμιον αὐτοῖς ἐπελθεῖν ἀποθεσπίσαι, ὡς ἂν μὴ ὡς εἰκός τινων ἐπικρυπτόντων ἀποστασίας ὄλεθρον ἐν τῷ τῆς ἱερωσύνης σχήματι, συμβαίνοι ἀντὶ τοῦ ἁγιάζεσθαι μᾶλλον πλεῖον βεβηλοῦσθαι τοὺς τῆς ἐκείνου μετέχοντας ἀνιέρου τελετῆς. ὁ μὲν οὖν σκοπὸς τῶν ἐπὶ νοῦν βαλομένων τὴν τοιαύτην ἀσφάλειαν ἐπαινούμενός τε καὶ ἀποδοχῆς ἄξιος κατὰ τοῦτο ὅτι τὸ ἀσφαλὲς τῆς εὐσεβοῦς προὐνόησαν πίστεως, πλὴν οὐ[3] καθ' ὅσον ἐνόμισαν παρασχεῖν τὴν ἀσφάλειαν ἐπὶ τοσοῦτον ἔστιν ἰδεῖν ἐκ τοῦ νόμου περιγινομένην αὐτὴν καὶ ἐκτεινομένην. τοὐναντίον δὲ ἐστὶν ὅτε καὶ τοῖς εὐσεβέσι καὶ περὶ τὰς θείας λειτουργίας σπουδὴν κεκτημένοις ἐναντιούμενος ὁ νόμος ὁρᾶται. τὸ μὲν γὰρ τὸν ἀνίερον ἱερέα μὴ γνώριμον καθιστάμενον μεταδοῦναί τινί ποτε τῆς ἑαυτοῦ ἀνιέρου βεβηλώσεως, εἰκὸς συμβαίνειν ἂν ἴσως, πλὴν οὐχ οὕτως ὥστε τρόπῳ παντὶ τὴν τοιαύτην γίνεσθαι σύμβασιν. τίς γὰρ οὕτως εὔκολος τὴν γνώμην καὶ ἀδιάφορος, ὡς ἱερᾶσθαι προσκαλεῖν ὃν οὐκ οἶδεν ἱερέα, καὶ οὗ τοῦ σεβάσματος καὶ τῆς πολιτείας καθέστηκεν ἀμαθής; πάλιν δὲ καὶ οἱ τὴν ἀποστασίαν θάλποντες καὶ ἀνιέρως ἱερατεύοντες οὐκ ἂν μὴ πρὸς τοὺς οἰκείους τῆς δυσσεβείας βουλήσονται συνελθεῖν· ὥστε ὃ μὲν ἀσφαλίζεσθαι ὁ νόμος δοκεῖ, οὐ καθὼς ἔδοξεν ἀσφαλίζεται. ἄλλως δὲ τοῖς εὐσεβέσι πολλῆς ὠφελείας εὑρίσκεται γινομένης[4] ἐμποδών. θείᾳ γὰρ χάριτι μικροῦ κατὰ πάντα οἶκον, οὐ μόνον τῶν περιφανεστέρων ἀλλὰ καὶ τῶν εὐτελεστέρων, εὐκτηρίων οἴκων

Excitatur etiam in Ecloga lib. I—X Basilicorum lib. V tit. 3: *ἡ δ' νεαρὰ τοῦ βασιλέως κυροῦ λέοντος τοῦ φιλοσόφου διορίζεται μὴ μόνον τοὺς ἑκάστης καθολικῆς ἐκκλησίας ἱερεῖς ἀλλὰ καὶ τοὺς οἰκείους ἑκάστης οἰκίας ἱερεῖς ἄδειαν ἔχειν ἐν πάσαις ταῖς οἰκίαις ἱεροῦσθαί τε καὶ μυσταγωγεῖν οὓς ἂν ὁ τῆς οἰκίας δεσπόζων προσκαλέσηται.* [2] Cf. infra Nov. XV. [3] Codd. *πλὴν τοῦ.* Emendavit H. Stephanus. [4] Malim *γινόμενος.*

ἀνεγηγερμένων θεῷ, τῆς δὲ περὶ τοὺς ἱερεῖς χορηγίας καὶ θεραπείας οὐχ ὁμοίως παρὰ πάντων οἵας τε οὔσης γίνεσθαι, συμβαίνει διὰ τὸν νόμον τοὺς ὥσπερ εἶπον ἀπορωτέρους πρὸς ἰδιάζουσαν ἱερέων ἀνάληψιν ἀμετόχους μὲν αὐτοὺς πλειστάκις διαμένειν τῶν θείων μυστηρίων, ἀποστερεῖσθαι δὲ καὶ τὰ ἱερὰ τεμενίσματα τῶν ἐπ᾽ αὐτοῖς ὀφειλόντων ἁγιασμῶν ἐπιτελεῖσθαι. οὐ μὴν ἀλλ᾽ εἰκὸς καὶ μνείας ἐφισταμένης ἐνίοτε κεκοιμημένων ἀπορίᾳ ἱερέως τὴν παρουσίαν τῆς μνήμης παραδραμεῖν ἀνίερατον, ὡς ἐκ τούτου οὐ μικρὰν τοῖς τε βιοῦσιν ἐνταῦθα καὶ τοῖς οὓς ὁ ἐκεῖθεν ἔχει βίος συμβαίνειν ζημίαν.

Ὁρίζομεν οὖν, οὐ μόνον τοὺς ἑκάστης καθολικῆς ἐκκλησίας ἱερεῖς, ἀλλὰ καὶ τοὺς οἰκείους τῶν ἱερέων[5] ἑκάστης οἰκίας ἄδειαν ἔχειν ἐν πάσαις ταῖς οἰκίαις ἱερᾶσθαί τε καὶ μυσταγωγεῖν, οὓς ἂν προσκαλεῖν αἱροῖτο ὁ ἑκάστης δεσπόζων οἰκίας καὶ διδόναι τὴν ἐν τοῖς ἱεροῖς εὐκτηρίοις πάροδον καὶ ἱερατείαν.

NOV. V.

Ut hi, quibus post susceptum monasticum statum facultates suppetunt, non in totum de iis testari prohibeantur, sed si quidem aliquid antea visi fuerint intulisse monasterio tum quum id ingrederentur, de postea acquisitis facultatem habeant quemadmodum voluerint cuncta disponendi; sin prius nihil intulerint, ipsis quidem de besse statuendi licentia sit, monasterium vero reliquam partem sive trientem capiat[1].

ΔΙΑΤΑΞΙΣ ε΄.

Περὶ τοῦ τοὺς μετὰ τὸ ὑπελθεῖν τὴν μοναδικὴν πολιτείαν πραγμάτων εὐπορήσαντας μὴ καθόλου ἀπείργεσθαι περὶ αὐτῶν διατίθεσθαι, ἀλλ᾽ εἰ μὲν ὤφθησάν τι προκαταβεβλημένοι τῷ μοναστηρίῳ κατὰ τὸν καιρὸν ὅτε τούτῳ προσήρχοντο, εἶναι αὐτοὺς περὶ τῶν ὕστερον προσκεκτημένων[2] κυρίους καθὼς προαιροῖντο πάντα

---

[5] Bals. *τοῦς ἱερεῖς.*

[1] Est in Ecl. Nov. 2. Mich. Attal. in App. (Leuncl. JGR. II p. 79). Harm. V, 4, 3. Extat quoque in Cod. Vindob. histor. gr. 48 fol. 10 sq. Ibi rubrica inscriptioni postponitur. — Scrimgerus notat: *φέρεται καὶ αὕτη ἐπιγραφή· περὶ τοῦ διατίθεσθαι τὸν μονάσαντα εἰς τὰ ἐπικτηθέντα.* Sic est in Ecl. [2] Codd. *προσεκτημ.*

διοικεῖν, εἰ δ' οὐδὲν προκατεβάλοντο, αὐτοὺς μὲν περὶ τοῦ διμοίρου ἔχειν ὁρίζειν ἄδειαν, τὸ μοναστήριον δὲ τὸ ἄλλο μέρος ἤτοι τὸ τρίτον ἀναλαμβάνεσθαι.

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Ἐπειδὴ περὶ μοναζόντων ὑπάρξεως, οἳ μετὰ τὸν μονάδα βίον περιουσίαν ἠθροίσαντο, πολλάκις ἡμῖν σὺν τοῖς ὑπό σε θεοφιλεστάτοις ἀρχιερεῦσιν, ὦ θεῖον φῶς καὶ καταπυρσεύειν τὸν κόσμον ὑπὸ τοῦ πρώτου φωτὸς ἐν τῷ μεγάλῳ τῆς ἐκκλησίας στερεώματι τεθειμένον, ἀπορεῖν ἔφης, οἷα δὴ νέφους τῆς ἐκεῖθεν ἀμφιβολίας ὑποτρεχούσης τὴν ἀκτῖνα τοῦ λογισμοῦ πρὸς τὸ τρανὴν ἐκφῆναι διάκρισιν, εἴτε δεήσοι τῆς τοιαύτης περιουσίας κυρίους εἶναι τοὺς μοναστὰς ποιεῖσθαι διάταξιν, εἴτε κωλύειν ἄξιον αὐτοὺς τῆς ἐπ' αὐτῇ κυριότητος· ἐπεὶ οὖν περὶ τοῦτο[3] ἀμφιβάλλοντες διαφόροις ἡμᾶς ἐξαιτήσεσι πρὸς τὴν ἐπίσκεψιν συναντιλαμβάνειν προὐτρέψασθε, τιμῶντες ὡς ἐν τοῖς ἄλλοις οὕτω κἀνταῦθα τὴν ὑμῶν ἱερότητα πρὸς τὴν ἐκπλήρωσιν καθιστάμεθα τοῦ αἰτήματος. ἐκεῖνα δὲ πρῶτον εἰρήσθω ἡμῖν, ὅσα γε τοῖς πάλαι διώρισται[4] περὶ τῶν ἄρτι βουληθέντων πρὸς τὴν μονήρη μετατάξασθαι πολιτείαν, — (φημὶ δὴ περὶ τοῦ πρότερον αὐτοὺς τὰ οἰκεῖα πράγματα διατίθεσθαι, οὕτω τε πρὸς τὴν ἐπιθυμουμένην προσιέναι πολιτείαν, ἀλλὰ μὴ προλαμβάνειν τὴν μεταβολὴν τοῦ βίου τὴν περὶ τῶν πραγμάτων διάταξιν, ὡς εἴ γε τοῦτο οὕτω συμβαῖνον ὀφθείη, οὐκέτι ἀποκειραμένοις αὐτοῖς ἐπιτραπήσεται ἡ διάταξις, ἀλλὰ χωρήσει πᾶσα ἡ ὕπαρξις εἰς τὴν ἐν ᾗ ἀπεκείραντο ἐκκλησίαν) — ταῦτα δὴ τὰ περὶ τῶν ἄρτι προσιόντων τῷ μοναδικῷ βίῳ διωρισμένα (εἰ μὴ παῖδες πάρεισι τὴν κληρονομίαν καλοῦντες) ἄριστά τε καὶ ὡς οὐκ ἄν τις φαίη ἄμεινον διατέτακται, καὶ οὔτε τὶ προσθεῖναι τούτοις οὔτ' ἀφελεῖν ἀπ' αὐτῶν ἐστίν. καὶ γὰρ ὁ πρὸ τοῦ διαμεῖψαι τὴν πολιτείαν ἐν τῇ ἐκείνου γνώμῃ κειμένην ἔχων τὴν τῶν ὑπαρχόντων διοίκησιν τοῦτο μὴ βουληθεὶς διαπράξασθαι, εἰκότως μετὰ ταῦτα ἀπείργεται τῆς ἐπιτροπῆς, αὐτὸς ἑαυτὸν εἰς τοῦτο καταστήσας· δι' ὧν γὰρ οὐκ ἐβουλήθη ἐξὸν αὐτῷ προδιῳκηκέναι τὰ πράγματα, τὴν μετὰ ταῦτα τῆς ἐξουσίας ἀφαίρεσιν δι' ἑαυτοῦ καταψηφιζομένην εὐλόγως φέρει. ἄλλως τε δὲ καὶ πῶς οὐκ ἄτοπον, τὸν ἀποταξάμενον ταῖς τοῦ βίου φροντίσιν

---

[3] Scrimg. τούτου. [4] Videatur Nov. Justiniani 123 c. 38.

ἔτι τὸ τῶν φροντίδων φέρειν φορτίον καὶ τῷ ἐκεῖθεν βάρει πιέζεσθαι; ἄπαιδος μὲν οὖν, ὥσπερ ἔφην, ὄντος τοῦ πρὸς μοναχοὺς μεταταξαμένου, αὕτη ἡ ψῆφος οὐκ ἂν ὑπεκσταίη ψήφῳ ἑτέρᾳ· εἰ δὲ πάρεισι παῖδες (τότε γὰρ οὐχ ὅσιον ζημιοῦν ἐκείνους διὰ τὴν τοῦ γονέως σιγὴν), οὐ κωλύσει παντελῶς τὴν διάταξιν τὸ μοναδικὸν σχῆμα, ἀλλὰ δῆλον, ὡς διατάξεται μὲν περὶ τῶν μερῶν, ἃ τοῖς παισὶν ἴσῃ καὶ νομίμῳ διανομῇ ὑποκληρωθήσεται, τοῦ δὲ μέρους τοῦ πρὸς ἐκεῖνον ὁρῶντος ἀποστήσεται ἡ διάταξις, ὡς ὁλοκλήρως αὐτοῦ τῷ μοναστηρίῳ ἀνήκοντος. ἀλλὰ καὶ εἰ θάνατος (οἷα πολλὰ τὰ ἀνθρώπινα) σύντομος ἐπιστὰς τὴν τῶν πραγμάτων μεσολαβήσει διανομὴν, οὐδ' οὕτως παντελῶς ἀπαῤῥησίαστος ἡ τῶν πραγμάτων τοῖς παισὶ βοηθοῦσα διοίκησις, ἀλλὰ κατὰ τὸν εἰρημένον τρόπον τὰ τούτοις προσήκοντα νομίμῳ δικαίῳ ἀφορισθήσεται, τὸ δ' ἐπίλοιπον τῆς ὑπάρξεως οἰκειώσεται ἡ μονή. ἀλλὰ γὰρ ταῦτα περὶ τῆς πρὸ τοῦ μονάδος βίου τῷ ἀνθρώπῳ προσούσης περιουσίας. ἐφ' ᾧ δὲ ἡ ὑμῶν πατρικὴ μακαριότης ἠξίωσε τὸ θέσπισμα προελθεῖν (φημὶ δὴ ἐπὶ τοῖς ὕστερον τοῦ μονάδος βίου προσγινομένοις πράγμασι), τοῦτο θεσπίζομεν, τὸ ἐκ τοῦ καιροῦ τοῦ καθ' ὃν εἵλετο τὴν μονήρη πολιτείαν προϊούσης τῆς διασκέψεως γίνεσθαι περὶ τῶν μετὰ ταῦτα προσκτηθέντων αὐτῷ τὴν διάκρισιν. οὐ γὰρ διότι ἐκ τῆς λαϊκῆς ἀγωγῆς πρὸς τὴν μοναδικὴν μεθιστάμενος, εἰ μὴ πρότερον διατίθοιτο, τὴν τοῦ μετὰ ταῦτα διατίθεσθαι ἀφαιρεῖται ἄδειαν, διὰ τοῦτο καὶ περὶ τῶν ὕστερον γεγονότων ὁρίζειν καθόλου κωλυθείη. ἐκεῖ μὲν γὰρ εὐλόγως ἀφῃρεῖτο τὴν ἐξουσίαν, ἐπεὶ ἐν αὐτῷ ὂν βουλεύσασθαι ἔτι χρηματίζοντι λαϊκῷ, τῷ μὴ τοῦτο πρᾶξαι αὐτὸς ἑαυτὸν εἰς τοῦτο περιΐστησιν· ἐνταῦθα δὲ οὐκ ἔστιν ὅμοιον, ὥστε αὐτόν τινα ὑφ' ἑαυτοῦ ἢ ὑφ' ἑτέρου ἀπείργεσθαι. εἰ δέ τις λέγοι, ὅτι διὰ τοῦτο μόνον, ὅτι μονάζων ἐστὶν, ἅπαντα λήψεται ἡ μονὴ, οὐκ οἶδα εἰ πρέποντα μονασταῖς ὁ τοιοῦτος νομοθετεῖ· πρῶτον μὲν, εἰ οὕτω δεῖ κτημάτων ἀντέχεσθαι ἀνθρώπους οἳ τὴν ὑπεροψίαν αὐτῶν ἐπηγγείλαντο· ἔπειτα δὲ καὶ συγγενεῖς τινες πένητες ἢ ἄλλως γνώριμοι τυγχάνουσι τῷ ἀνθρώπῳ χρῄζοντες παραμυθουμένης χειρὸς, πῶς οὐκ ἀπάνθρωπον, μηδεμιᾶς ἐκείνους ἐκ τῶν τοῦ συγγενοῦς πραγμάτων ἀξιοῦσθαι παραμυθίας, ὥσπερ οὐχὶ ξενηλασίαν ἀλλὰ συγγενικῶν καὶ φίλων ἐλασίαν δέον ποιεῖν τοὺς μονάζοντας καὶ πάντα πρὸς ἑαυτοὺς ἕλκειν, καθάπερ τοὺς πολυφάγους ἔστιν ὁρᾶν οὐ βουλομένους ἀπόμοιράν τινα τῶν παρακειμένων τοῖς ἄλλοις καταλιμπάνειν. οὔτε γὰρ δοῦλος ἐλευ–

θεροῦται δουλείας δεσμῶν, οὐ πένης οἴκτου μεταλαγχάνει, οὐκ ἄλλος τὶς ἀνάγκαις πιεζόμενος παραμυθίας εὑρίσκει ἀπόλαυσιν, πάσης τῆς τοῦ μονάζοντος περιουσίας τῷ μοναστηρίῳ διδομένης. Διὰ τοῦτο δὴ θεσπίζομεν, εἰ[5] μὲν ὤφθη κατὰ τὸν καιρὸν ὅτε τὸν μοναστὴν εἵλετο βίον ὁ ἄνθρωπος ἀφιερωσάμενός τι τῇ ἐκκλησίᾳ, εἶναι αὐτῷ περὶ τῶν ὕστερον προσκεκτημένων[6] ἀβίαστον καὶ κυρίαν τὴν γνώμην καθὼς ἂν προαιροῖτο πάντα διοικεῖν· εἰ δὲ μηδὲν ὅλως κατ' ἀρχὰς τῷ μοναστηρίῳ προεισενήνεκται[7], τότε διχῇ τὴν ὕπαρξιν τέμνεσθαι, τῶν μερίδων τῆς μὲν διμοιρίᾳ συγκεφαλαιουμένης, τῆς δὲ τρίτῳ μέρει[8], καὶ διατίθεσθαι μὲν ὡς ἂν ποτε δόξειεν αὐτῷ περὶ τοῦ διμοίρου τμήματος τὸν μονάζοντα, τὸ τρίτον δὲ ἀποκληροῦσθαι τῷ μοναστηρίῳ. ἀλλὰ ταῦτα μὲν περὶ ὧν ἐζητήσατε τὸ ἡμέτερον ἀπεθέσπισε κράτος. δεήσει δὲ τὴν ὑμετέραν μακαριότητα τοῖς ὑπ' αὐτὴν ἅπασι θεοφιλεστάτοις μητροπολίταις ἔκδηλα καταστῆσαι τὰ τεθεσπισμένα, αὐτούς τε παραπλησίως τοῖς ὑπ' ἐκείνους ἐπισκόποις ἐμφανίσαι, κἀκείνους ταῖς ὧν ἔλαχον τὴν ἐπιτροπὴν ἐκκλησίαις, ὥστε καὶ νῦν καὶ εἰς τὸν ἔπειτα χρόνον ταῦτα καὶ διαγινώσκεσθαι πᾶσι καὶ οὕτως πράττεσθαι.

NOV. VI.

Ut in his, qui monachi fieri volunt, utrumque servetur tempus, tum quod sancta sexta synodus statuit, tum quod sanctus Basilius decrevit, bonorum vero ejus, qui tempore a synodo statuto monachus fit, dispositio secundum formam a nobis propositam procedat[1].

ΔΙΑΤΑΞΙΣ ϛ'.

Περὶ τοῦ φυλάττεσθαι ἑκάτερον τὸν καιρὸν ἐπὶ τῶν μονάζειν ἐγνωκότων, ὅν τε ἡ ἁγία ἕκτη σύνοδος ἐξεφώνησε, καὶ ὃν ὁ θεῖος ἀποθεσπίζει βασίλειος, τὴν δὲ τῶν ὑπαρχόντων διοίκησιν τοῦ κατὰ τὸν χρόνον μονά-

---

[5] Incipit Ecl. Nov. 2. [6] Codd. προσεκτ. Cf. not. 2. [7] Ecl. προσεν.
[8] Sic ex Ecl. reposui. Scrimg. Zuich. et Meerm. τῆς μὲν διμοιρίας συγκ. τῆς δὲ τρίτης μέτρῳ.

[1] Est in Ecl. Nov. 3. Eadem in Prochiro aucto tit. 40 in fine posita est. Denique laudatur a Bals. ad syn. Trull. c. 40 (ed. Rhalli II p. 400) et Blastare *M*, 15 (ed. Bevereg. II p. 195).

σαντος, ὃν ἡ σύνοδος ἐπέκρινε, κατὰ τὸν ὑφ' ἡμῶν ἐκτεθειμένον τύπον προέρχεσθαι[2].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Ὁ καιρὸς, καθ' ὃν δεῖ τοὺς τῷ μονάζοντι βίῳ προσιέναι ἐφιεμένους τυγχάνειν τῆς ἐπιθυμίας, οὐχ εἷς καὶ ὁ αὐτὸς, ἀλλ' ἕτερος καὶ ἕτερος τοῖς θείοις ἡμῶν πατράσι διωρισμένος, εἰς τὸ καὶ τούτῳ διαιτῆσαι τῷ μέρει καὶ συμβιβάσαι τὴν δοκοῦσαν ἐναντιότητα καταστῆναι παρεσκευάσατο.

Τοιγαροῦν[3] σύν τε τῷ ἁγιωτάτῳ πατριάρχῃ καὶ τοῖς θεοφιλεστάτοις μητροπολίταις ἅ τε ὁ μέγας καὶ θαυμαστὸς ἀποθεσπίζει βασίλειος[4] (φημὶ δὴ κατὰ τὸ ἑκκαιδέκατον τῆς ἡλικίας ἔτος ἢ τὸ ἑπτακαιδέκατον ἀξιοῦσθαι τοῦ μονήρους σχήματος τοὺς ἀσπαζομένους αὐτὸ), καὶ ἅπερ ἡ ἁγία ἕκτη ἐντέλλεται σύνοδος[5] δεκάτῳ ἔτει προτρεπομένη τὴν εἰς τὸν τοιοῦτον βίον τῶν προσιόντων παραδοχὴν, ταῦτα διασκοπήσαντες, οὐδετέρου τῶν ἱερῶν νόμων συνείδομεν κατολιγωρεῖν, ἀλλ' ἀξιοῦσθαι μὲν τοῦ σεβασμίου προστάσσομεν σχήματος καθ' ἑκάτερον τὸν χρόνον τοὺς βουλομένους αὐτὸ ἐπανῃρῆσθαι.

Ἕνεκα δὲ τῆς τῶν ὑπαρχόντων διοικήσεως γνώμην ἰδίαν ἀποφαινόμεθα, τῷ μὲν ἑκκαιδεκάτῳ ἢ ἑπτακαιδεκάτῳ ἀποκείρασθαί τινα βουληθέντα[6] περὶ τῶν οἰκείων ὡς ἂν βούληται διατίθεσθαι (οἶμαι γὰρ διὰ τοῦτο καὶ τὸν μέγαν βασίλειον τοῦτον ἀποδοῦναι τὸν χρόνον τῇ τοιαύτῃ πράξει, ὡς κατ' ἐκεῖνον τῆς νομίμου ἡλικίας μηδὲν ἐμποδὼν οὔσης εἰς τὸ περὶ τῶν οἰκείων βουλεύσασθαι)[7], τῷ δέ γε τῷ δεκάτῳ ἔτει πρὸς τὸ σεμνὸν τῆς μοναδικῆς πολιτείας μετατάξασθαι διανοηθέντι μηδὲ τούτῳ κωλύμην ἀπαντᾶν τοῦ σωτηρίου ἐπιχειρήματος (τοῦτο γὰρ ἔοικε[8] συνιδοῦσα καὶ ἡ ἱερὰ σύνοδος συστεῖλαι τὸν χρόνον τῆς εἰς τὸν μονάζοντα βίον προσαγωγῆς), μὴ μέντοι καὶ[9] λαμβάνειν αὐτὸν ὥσπερ τὴν εἰς τὸν τοιοῦτον βίον εἴσοδον, οὕτω καὶ τὴν ἐξουσίαν τοῦ περὶ[10]

---

[2] Codd. praeterea praestant rubricam in brevius contractam hanc: *περὶ τοῦ μονάζειν δεκαετῆ παῖδα.* (Sic Ecloga, nisi quod *ὄντα παῖδα* habeat.) [3] Ecl. hinc initium facit. [4] Basilii c. 18. [5] Syn. sextae c. 40. [6] Ecl. *τινι βουληθέντι.* [7] Blastares haec sic laudat: *οἶμαι γὰρ, φησὶ, διὰ τοῦτο καὶ τὸν μέγαν βασίλειον τουτονὶ τὸν χρόνον ὁρίσαι ἐν τῇ ἀσκητικῇ αὐτοῦ βίβλῳ ὡς μηδὲν ἐμποδὼν οὔσης τηνικαῦτα τῆς ἡλικίας εἰς τὸ περὶ τῶν οἰκείων βουλεύσασθαι.* [8] Codd. *ὡς ἔοικε.* Particulam *ὡς* Ecloga non habet, eamque delendam esse jam vidit H. Stephanus. [9] Ecl. *μέντοιγε* pro *μέντοι καί.* [10] Zuich. et Meerm. *ἐξουσίαν περὶ τοῦ τῶν οἰκ.*

τῶν οἰκείων διατίθεσθαι, ἀλλ' ἐπέχεσθαι τοῦ τὰ ὑπάρχοντα διοικεῖν, μέχρις ἂν ἐκεῖνος ὁ καιρὸς ἐπιστῇ καθ' ὃν τὴν νομίμην συμπλήρωσιν ἡ ἡλικία λαμβάνει τοῦ διατίθεσθαι. εἰ δὲ (οἷα τὰ ἀνθρώπινα) πρὸ τῆς συμπληρώσεως ἐκείνου τοῦ χρόνου ἐξ ἀνθρώπων ἄπιοι, οἰκέται μὲν αὐτοῦ πάντες ἀφείσθωσαν τῆς δουλείας, ἡ δὲ λοιπὴ διχῇ διαιρείσθω περιουσία, διμοιρίᾳ τε καὶ τρίτῳ μέρει, καὶ τὴν μὲν ἡ μονὴ κομιζέσθω, τὸ δὲ τρίτον τοῖς συγγενέσι διδόσθω τοῦ τελευτήσαντος. εἰ δ' οὗτοι μὴ πάρεισι, ἀπερχέσθω καὶ τοῦτο ἔνθα τὸ δίμοιρον προεχώρησεν[11].

NOV. VII.

Ut quotiescunque aliquis ex clericali statu ad laicum transire malo consilio tentaverit, is etiam invitus in illum rursus restituatur[1].

ΔΙΑΤΑΞΙΣ ζ'.

Περὶ τοῦ ὁσάκις ἄν τις ἐκ τοῦ κληρικοῦ σχήματος πρὸς τὸ λαϊκὸν ἀπονοηθείη μεταβαλεῖν, τοῦτον καὶ ἄκοντα πρὸς αὐτὸ πάλιν ἀποκαθίστασθαι[2].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Ὥσπερ ἡμῖν ἔμπροσθεν σκοπουμένοις τὴν ἀσφαλεστέραν τῶν πραγμάτων κατάστασιν ἐπείπερ ἐφαίνετο τῆς πολιτείας ὁ νόμος μᾶλλον τοῦ ἱεροῦ νόμου τὸ ἀσφαλὲς τοῖς πράγμασι παρεχόμενος, ἐκείνῳ παρέσχομεν τὴν προτίμησιν, οὕτω καὶ ἐνταῦθα τὸ ἱερὸν ὁρῶντες διάταγμα λυσιτελέστερον τῇ εὐταξίᾳ τῶν πραγμάτων ὑπάρχον τοῦ πολιτικοῦ διατάγματος, προστιθέμενοι αὐτῷ σύμφωνον γνώμην δίδομεν.

Καὶ θεσπίζομεν[3], κατὰ τὸν τῆς ἐκκλησίας θεσμὸν τόν, ὅστις

---

[11] Ecl. προσεχώρησεν. Non male: quamquam etiam Bals. προχωρεῖν habet.

[1] Est in Ecl. Nov. 4. Laudatur a Bals. ad syn. Chalced. c. 7 et ad syn. Trull. c. 21 (ed. Rhalli II p. 233. 353): a Blast. *K*, 32 (ed. Bev. II p. 167): denique a scholiasta ad Harm. Epit. can. in JGR. I p. 33. [2] Codd. alteram rubricam adscribunt: *περὶ τοῦ κληρικὸν μὴ γίνεσθαι αὖθις λαϊκόν.* (Ecl. similiter *κ. κληρικοῦ τοῦ μὴ γίν. αὖθ. λ.*) Zuich. et Meerm. addunt: *αὕτη ἀνῄρηται διάτ. νβ' τοῦ γ' τί. τοῦ α' βι. τοῦ κώδ. καὶ κεφ. ζ' τῆς ε'* (lege *ϛ'*) *νεαρᾶς, κεφ. λ'* (nobis *ιε'*) *τῆς ρκγ' νεαρᾶς. ἰστέον ὅτι τὸ λδ'* (Heimbachio *κη'*) *κεφ. τοῦ γ' βι. τῶν βασιλ. τί. α' σύμφωνον τῇ παρούσῃ νεαρᾷ ὡς μᾶλλον ποιήσει ἐτίθην* (an *ἐτέθη*?) [3] Hinc incipit Ecloga.

τοῦ κληρικοῦ σχήματος ἀπονενόηται τὸ λαϊκὸν διαμείψασθαι, τοῦτον ὁσάκις ἂν πρὸς τοιαύτην[4] ἐξενεχθείη ἀπόνοιαν, καὶ ἄκοντα πάλιν εἰς τὸ κληρικὸν ἀποκαθίστασθαι, κἂν μὴ καὶ τοῦ βαθμοῦ τὴν τάξιν δίκαιός ἐστιν ἀπολαμβάνειν, διὰ τὸ αὐτὸν[5] ἑαυτὸν ἐξ ὧν ἔδρασεν ἀνάξιον τῆς τοιαύτης τάξεως καταστῆσαι.

NOV. VIII.

Ut qui rejicere malo consilio voluerit venerandum monasticae vitae habitum ac pro illo laicum susceperit, quotiescunque hoc facere ausus fuerit, etiam invitus in illum restituatur, et ex quo monasterio improbe aufugerit, eidem reddatur[1].

ΔΙΑΤΑΞΙΣ η΄.

Περὶ τοῦ τὸν ἀθετεῖν ἀπονοηθέντα τὸ σεβάσμιον τῆς μονήρους πολιτείας σχῆμα καὶ ἀντ᾽ ἐκείνου τὸ λαϊκὸν ὑποδυόμενον, ὁσάκις ἂν τοῦτο θρασυνθείη πράττειν, καὶ ἄκοντα αὐτὸν εἰς ἐκεῖνο ἀποκαθίστασθαι καὶ ἧς κακῶς ἀπέδρα μονῆς ἐν αὐτῇ παραδίδοσθαι[2].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Τῶν ἀτάκτως ζῆν προελομένων καὶ ἀντὶ τοῦ ἐπαινετοῦ βίου τὸν φαῦλον μετερχομένων, ὁσάκις ἂν πονηρᾶς πράξεως ἐργάται φωραθῶσι, τῆς κακίστης γνώμης πολυτρόπως ἀνακοπτομένων[3] καὶ τῆς μοχθηρᾶς καὶ ἐξαγίστου βουλήσεως καὶ ὁρμῆς οὐ συγχωρουμένης ἀνεπιτιμήτου, θαυμάζω, πῶς νόμος ἀρχαῖος τοὺς εἰς τὸν ἀγῶνα τῆς μοναχικῆς πολιτείας ἐμβεβηκότας, εἶτα λειποτακτήσαντας καὶ κατὰ τὸ λόγιον ὥσπερ κύνας πρὸς τὸν ἴδιον

---

[4] Ecl. τὴν τοιαύτην. [5] Ecl. αὐτός. Non male.

[1] Excitatur a Bals. ad syn. Chalced. c. 7. et Aristeno ad eundem (ed. Rhalli II p. 233 sq.) et Blast. *K*, 32 (ed. Bev. II p. 167). [2] Scrimg. ad oram: *Ἄλλη ἐπιγραφὴ βραχυτέρα· περὶ τοῦ συνταξαμένου καὶ ἀθετήσαντος τὸν μονήρη βίον.* — Zuich. autem et Meerm. addunt: *αὕτη ἀνῄρηται διάτ. ιβ΄* (l. *νβ΄*) *τοῦ γ΄ τί. τοῦ α΄ βι. τοῦ κώδ. καὶ κεφ. ξθ΄ τῆς ϱγ΄* (recte Spangenberg: *κεφ. μβ΄ τῆς ϱκγ΄*) *νεαρᾶς. ἡ μὲν τοῦ κώδικος διάτ. οὐκ ἐστὶν εἰς τὰ βασιλικά, ἡ δὲ ϱκγ΄ νεαρὰ κεῖται βι. δ΄ τί. α΄ κεφ. δ΄. ἰστέον ὅτι τοῦ ια΄ κεφ. θέ. γ΄ τοῦ δ΄ βι. τῶν βασιλ.* (nobis Basil. IV, 1, 14) *συμφωνεῖ τῇ παρούσῃ νεαρᾷ· εἰ δὲ δὶς τὸ αὐτὸ ἁμαρτήσει τὶς, τῇ τάξει αὐτὸν παραδίδωσι.* [3] Forte *ἀνακοπτομένης.*

ἔμετον ἢ σύας πρὸς τὸν τοῦ προτέρου βίου βόρβορον ἐπιστραφέντας καὶ πρὸς τὸ λαϊκὸν καὶ σχῆμα καὶ τάγμα ἐντάξαντας ἑαυτοὺς, ἀφῆκεν εἰς τέλος τὸ ἀνόσιον ἐπιχείρημα ἄγειν. προστάττει γὰρ αὐτοὺς ἅπαξ μὲν τὴν μονήρη πολιτείαν λιπόντας ὅθεν κακῶς ἐξῆλθον ἀνθυποστρέφεσθαι, πάλιν δὲ τοῦτο τολμήσαντας ἀντὶ μοναχῶν εἰς στρατιώτας ἐξ ἐκείνου καιροῦ ἐπαρχικῆς τάξεως παραγγέλλειν. καίτοι εἰ τοῦτο καλὸν αὐτῷ διορίζειν ἐφάνη τὸ πρὸς λαϊκὸν μεταμφιέννυσθαι σχῆμα τὸν λειποτάκτην, τί μὴ ἀπ' ἀρχῆς αὐτὸν οὕτως ἀμφιεννύει, ἀλλ' ὁρίζει τὸν ἅπαξ ἀθετήσαντα τὸ οἰκεῖον ἐπάγγελμα μοναστὴν καὶ ἄκοντα πρὸς ἐκεῖνο συνωθεῖσθαι; εἰ δ' ὡς οὕτως πρέπον ἐκέλευσε, τί μὴ φυλάττει τὴν ψῆφον, ἀλλ' ὥσπερ ἐκ μεταμελείας εἰς τὸν στρατιωτικὸν ἄγει βίον τὸν ἄθλιον ἐκεῖνον μοναστήν;

Οὐδαμῶς οὖν ἡμῖν τοῦτο θεμιτὸν καταφαίνεται, οὐδὲ τὸν ἐπανῃρημένον τῆς θείας στρατολογίας τὴν τάξιν εἰς κοσμικὰς στρατολογίας ἀρέσκει τετάχθαι, ἀλλ' ὅπερ ἡ ἐκκλησιαστικὴ φυλάττειν οἶδε κατάστασις οὐ συγχωροῦσα λαϊκὸν ἀναλαμβάνειν σχῆμα, κἂν πολλάκις ἀλύῃ τὶς τὸν μονήρη βίον ἀθετῶν, τοῦτο καὶ ἡμεῖς νόμῳ κελεύομεν. εἰ γὰρ ὁ τὸν μονάδα βίον ἀποδυόμενος οἴστρῳ κοσμικῆς ἡδονῆς ἀνακινούμενος τοῦτο πράττει, πῶς, κἂν ἅπαξ ἐπισχεθῇ τῆς ὁρμῆς, εἰδὼς ὅτι πάλιν ἐπὶ τοῦτο ὁρμήσας τὸ ἄτοπον βούλημα εἰς πέρας ἕξει[4] προαγόμενον τῆς λαϊκῆς αὐτὸν ὑποσχομένης καταστάσεως, οὐχὶ παντὶ τρόπῳ καὶ πάλιν τὰ τῶν λαϊκῶν ἀντὶ τῆς μοναδικῆς πολιτείας ἀλλάξεται;

NOV. IX.

De servo, qui clericus factus est ignorante domino[1].

ΔΙΑΤΑΞΙΣ Θ'.

Περὶ δούλου γεγονότος κληρικοῦ ἀγνοίᾳ τοῦ δεσπότου[2].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ καὶ οἰκουμενικῷ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως.

Τῇ αὐτῇ περὶ[3] τῶν ἐκκλησιαστικῶν πραγμάτων εὐταξίας

[4] Zuich. et Meerm. ἄξει.

[1] Est in Ecl. Nov. 5. Laudatur a Bals. ad Photii Nomoc. I, 36 et XI, 3 (ed. Rhalli I p. 77. 256), et Joanne Citri in Responsis (ed. Rhalli V p. 416), Blastare Δ, 11 (ed. Bever. II p. 107), Harmenop. I, 14, 19. Excitatur etiam in Ecloga lib. I–X Basil. lib. III tit. 1: ἡ δὲ θ' νεαρὰ τοῦ βασιλέως κυροῦ λέοντος τοῦ φιλοσόφου καὶ ἐπίσκοπον γενόμενον τὸν δοῦλον διορίζεται ἀποδίδοσθαι τῷ δεσπότῃ. [2] Eandem rubricam Ecloga habet. [3] Malim περὶ τῆς τῶν.

προνοίᾳ ἑπόμενοι, ἃ τοῖς ἱεροῖς ἔδοξε κανόσι καὶ ἡμεῖς συνεπιψηφιζόμενοι τοὺς ἀντιλέγοντας πολιτικοὺς νόμους δίκην τῆς ἀντιλογίας τὴν ἐκ τῶν νομίμων διατάξεων ὑπεξαγωγὴν αὐτῶν εἰσπραττόμεθα.

Τὸν[4] γὰρ δουλικῆς μὲν ὄντα τύχης, οὐ συνειδότος δὲ τοῦ δεσπότου τὸ τῆς ἱερωσύνης σεμνὸν ἀξίωμα περιβαλόμενον κατὰ τὸν σκοπὸν τῆς τοῦ θεοῦ ἐκκλησίας καὶ ἡμεῖς διοριζόμεθα πάλιν εἰς τὴν προτέραν τῆς δουλείας ἀποκαθίστασθαι τάξιν ἀπογυμνωθέντα τῆς ἐκεῖθεν σεμνότητος, καὶ τὸν ἀπολύοντα νόμον[5] δουλείας τὸν εἰς ἱερέας παραγγείλαντα δοῦλον οὐ συνεγνωκότος[6] τοῦ δεσπόζοντος ἀνενέργητόν τε καθιστῶμεν καὶ ἀπαῤῥησίαστον.

NOV. X.

De servo, qui monachus factus est ignorante domino[1].

ΔΙΑΤΑΞΙΣ ι'.

Περὶ δούλου μονάσαντος ἀγνοίᾳ τοῦ δεσπότου[2].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Ὅσον[3] τίμιον τὸ τοῦ μονάδους βίου ἐπάγγελμα καὶ οἱ τὸν χρηστὸν ἐκεῖνον καὶ μακάριον ζυγὸν ἀναλαμβάνοντες ὁποίας εἰσὶν αἰδοῦς ἄξιοι καὶ τιμῆς, ἴσμεν καὶ αὐτοί· οὔκουν οὐδ' ἐπ' ἀθετήσει αὐτοῦ, ἀλλὰ μᾶλλον ἀθετήσεως ἐξαιρούμενοι ταῦτα διαθεσπίζειν διέγνωμεν καὶ ἀποφαινόμεθα. ὅσον γὰρ θαυμαστὸν καὶ θεῖον, τοσοῦτον δεῖ τούτου μετὰ θαυμαστῆς ὅσης εὐλαβείας ἐφάπτεσθαι, ἀλλὰ μὴ κακογνωμοσύνης πρόφασιν τὸ τῆς μοναδικῆς πολιτείας ποιεῖσθαι σεβάσμιον. πῶς γὰρ οὐκ ἐστὶ κακογνωμοσύνης, δρασμῷ τοῦ οἰκείου δεσπότου πρὸς ἐκείνην τὴν πολιτείαν ἔρχεσθαι τὸν οἰκέτην; ἐπεὶ οὖν τοῖς πρότερον νενομοθέτηται[4] περὶ δούλων ἀποδιδρασκόντων καὶ οὕτω πρὸς τὸν μονήρη βίον ἐρχομένων, μέχρι μὲν τρίτου χρόνου δήλου γεγονότος τοῦ φυγάδος ἐξουσίαν ἔχειν τὸν δεσπότην τοῦ σχήματος

---

[4] Incipit Ecl. [5] Justiniani Nov. 123 c. 17. [6] Ecl. συνεγνωκότος.

[1] Est in Ecl. Nov. 6. Laudatur a Bals. locis Nov. IX not. 1 allegatis et Harm. I, 14, 19.

[2] Ita etiam est in Ecl. In Cod. Paris. 1385 A, in quo haec Novella integra reperitur, rubrica est: περὶ τοῦ οἰκέτην ἀποδράντα τοῦ οἰκείου δεσπότου καὶ τὸν μονήρη βίον ὑποδεδυκότα. [3] Cod. Paris. laud. Ὅσῳ. Forte Ὅσου legendum.

[4] Justiniani Nov. 123 c. 35. Vide de hoc loco Bals. ad Phot. I, 36.

ἀπογυμνώσαντα ἀναλαμβάνειν αὐτὸν, τρίτου δὲ παρελάσαντος χρόνου ἐν τῷ ἀφανεῖ διάγοντος, εἰ μετὰ ταῦτα πρὸς ἐμφάνειαν κατασταίη, κρείττω αὐτὸν ὑπάρχειν τῆς δεσποτικῆς ἐξουσίας καὶ παρὰ τὴν ἐκείνου γνώμην χρηματίζειν ἐλεύθερον· ἐπεὶ οὖν ἐκ τούτου πολλοῖς ὁρῶμεν ἀφορμὴν ἐγγινομένην εἰς τὸ τῶν οἰκείων δεσποτῶν ἀποδιδράσκειν, καὶ πράγματι σεμνῷ (τῷ μοναδικῷ ἐπαγγέλματι) εἰς πρόφασιν ἀποχρῶνται κακουργίας (ῥᾴδιον γὰρ παντὶ βουλομένῳ οἰκέτῃ μέχρι τριετίας κρύπτειν ἑαυτὸν, εἶτα τῆς ἐλευθερίας ἀντιποιεῖσθαι)· Κελεύομεν[5], ὅσον ἂν καὶ διαλάθοι ὁ γνώμῃ τοιαύτῃ μονάσας οἰκέτης, ἐὰν ὁ δεσπότης ἐν οἱῳδήποτε καιρῷ τοῦτον ἀνεύροι, ὅπερ κακούργῳ προαιρέσει περιβέβληται ἀποδύεσθαι σχῆμα καὶ ὑπὸ τὴν δεσποτικὴν ἐξουσίαν πάλιν αὐτὸν κατατάττεσθαι. οὐδὲ γάρ ἐστιν εἰπεῖν, ὡς εὐλαβεῖ διαθέσει τοῦτο περιεβάλετο, κἂν τοῦτο λέγειν αὐτὸς πλάττοιτο. ἄν τε γὰρ εὐνοίας δεσποτικῆς ἀπολαύων ἀντὶ τοῦ στέργειν μῖσος ἀναλαβὼν φεύγειν ἔγνω, ἐσχάτης κακίας ἀπόδειξις, ἄν τε (οἷα τὰ ἀνθρώπινα) λυπηρῶν τινων εἰς πεῖραν καταστὰς οὐκ ἤνεγκεν ἀλλὰ διὰ τοῦτο τὸν δεσπότην ἀπέλιπε, πῶς ἐκείνην τιμήσει τὴν πολιτείαν, ἣ[6] τοὺς πολίτας διὰ παντὸς ἀφορᾷν πρὸς τὸν τοῦ χριστοῦ σταυρὸν καὶ τὸν θάνατον βούλεται[7];

NOV. XI.

De servo, qui episcopus factus est ignorante domino[1].

ΔΙΑΤΑΞΙΣ ια'.

Περὶ δούλου γεγονότος ἐπισκόπου ἀγνοίᾳ τοῦ δεσπότου[2].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Ὅπερ ἐπὶ τοῦ κλέψαντος οἰκέτου τὸ τῆς ἱερωσύνης σεμνὸν ἀξίωμα, τοῦτο καὶ ἐπὶ τῶν εἰς ἀρχιερατικὴν δοξάντων ἀναβε-

---

[5] Ecl. hinc inchoatur. [6] Scrimg. ἧς. [7] In Zuich. et Meerm. additur scholium: *αὕτη ἀνῄρηται κεφ. λδ'* (nobis *λε'*) *τῆς ρκγ' νεαρᾶς. κεῖται ἐν βι. γ' τῶν βασιλ. τί. α' κεφ. μ'. ἰστέον ὅτι οὐ περὶ δούλου ἀρχιερέως γινομένου ἐκεῖνό φησι τὸ κεφ., ἀλλὰ εἰς κλῆρόν τινα καταλεγέντος.* Nempe Scholiastes ad Basil. III, 1, 32 in edit. Heimb. respexit, quamquam Nov. 123 c. 35 posita sit lib. IV tit. 1 cap. 3.

[1] Est in Ecl. Nov. 7. Laudatur a Bals. et Harm. locis not. 1 ad Nov. X allegatis.
[2] Eadem rubrica est in Ecl.

βηκέναι τιμὴν οἰκετῶν παρὰ τὴν γνώμην τοῦ οἰκείου δεσπότου ὁρίζομεν, τὸ κατὰ τὸ βούλημα τῆς ἐκκλησιαστικῆς διατάξεως ἀποχειροτονεῖσθαι μὲν τούτους τῆς ἐν ᾗ κατέστησαν λάθρα τιμῆς, πρὸς δὲ τὸ οἰκεῖον καὶ δοῦλον σχῆμα ὑπάγεσθαι. οὐ γὰρ δὴ τοὺς μὲν ἄλλως ὑφελομένους τὶ κλοπῇ καὶ ἀπάτῃ οὐ μόνον οὐ συγχωρήσομεν ἃ ὑφείλοντο ἔχειν ἀναφαίρετα, ἀλλ' ἐνίοτε καὶ ὡς κακούργους τιμωρησόμεθα, τοὺς δὲ τολμῶντας οὕτω μεγάλων πραγμάτων κλοπὰς τούτους ἐάσομεν σεμνῶς ἐκ τοῦ κλέψαι διάγειν καὶ ἑνὸς ἄθλου κακίστου τῆς ἀπάτης δύο κερδαίνειν τὰ τιμιώτατα, ἐλευθερίαν καὶ ἱερωσύνης προνόμιον.

Τοιγαροῦν καὶ εἴ[3] τις δοῦλος ὢν ἀγνοίᾳ τοῦ οἰκείου δεσπότου ἐπίσκοπος κεχειροτόνηται, καὶ οὗτος[4] μηδὲν ἐκ τῆς τοιαύτης βοηθείσθω χειροτονίας εἰς ἀποφυγὴν τῆς δουλείας.

NOV. XII.

De officinarum magnae ecclesiae usu[1].

ΔΙΑΤΑΞΙΣ ιβ'.

Περὶ τῆς τῶν ἐργαστηρίων χρείας τῆς μεγάλης ἐκκλησίας[2].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Κωνσταντῖνος ὁ πρῶτος τῇ τοῦ χριστοῦ κλήσει τὸ στέφος τῆς βασιλείας βασιλικώτερον ἀποφήνας, τῶν ἄλλων αὐτοῦ κατορθωμάτων καὶ τῆς βασιλικῆς προνοίας ἐπάξιον καὶ τοῦτο προνενοημένος τὸ περὶ τῆς τῶν ἀποιχομένων ταφῆς, οὓς ἡ ἀπορία μέχρι καὶ τούτου συνέχει, ἐργαστήρια τῇ ἁγίᾳ τοῦ θεοῦ ἐπέταξεν ἐκκλησίᾳ, ὧν ἐκ τοῦ τέλους διῴκησε τὴν χρείαν τῆς ταφῆς χορηγεῖσθαι. ταύτην δὲ ἄρα τὴν πρόνοιαν ὕστερον εὐσεβούντων ἀνδρῶν φιλοτιμία διαδεξαμένη, αὐτή τε τοῖς ἀπόροις εἰς ταφὴν ἐπαρκοῦσα, τὴν εἰς ταύτην τὴν χρείαν χορηγίαν ἀνέτειλεν, καὶ νῦν τὸ παράπαν οὐδὲν ἐκεῖθεν ὁρᾶται καθ' ἣν

---

[3] Hoc verbo initium facit Ecl. [4] Ita Ecl. Zuich. οὕτω. Meerm. εἰς τὸ.

[1] Particulam quandam hujus Novellae recentior manus ad calcem Codicis Bieneriani Prochiri adscripsit. [2] Rubricam Scrimg. ex indice sumsisse videtur. Zuich. et Meerm. non habent. Iidem scholium addunt: αὕτη ἐκαίνισεν τὴν μγ' νεαράν. κεῖται ἡ μγ' νεαρὰ ἐν βι. τῶν βασιλ. νθ' τί. δ'. οὐκ ἀνεῖλεν οὖν αὐτὴν, ἀλλὰ τὸν τρόπον τῆς τῶν ἐργαστηρίων χρείας ἐκαίνισεν. Cf. etiam Justiniani Nov. 59.

ἐξ ἀρχῆς ἔθετο φροντίδα ὁ τρισμακάριστος βασιλεὺς οἰκονομούμενον.

Ἀλλὰ γὰρ εἰδότες ἡμεῖς, ὡς ἅπαξ ἡ ἐκκλησία τὰ τῶν ἐργαστηρίων οἰκειουμένη τέλη, εἰ καὶ μὴ πρὸς ἣν ἐξ ἀρχῆς ὡρίσθη θεραπείαν τοῦ θείου αὐτὰ καταβάλλεται διὰ τὸ μὴ τὴν χρείαν ἐπιζητεῖν, ἀλλά γε πρὸς ἑτέραν τινὰ πάντως λειτουργίαν καὶ αὐτὴν θεραπεύουσαν τὸ κρεῖττον ταῦτα οἰκονομεῖ, ὁρίζομεν, τὴν ἀνέκαθεν περὶ τούτων διάταξιν[3] ἀκίνητον διαμένειν. ἐστὶ δ' ἅμα πάντων τῶν εἰς ταύτην ἀποτεταγμένων τὴν λειτουργίαν ἐργαστηρίων ἑκατὸν ἐπὶ χιλίοις ἡ ἀπαρίθμησις.

NOV. XIII.

De perpetuis emphyteusibus[1].

ΔΙΑΤΑΞΙΣ ιγʹ.

Περὶ τῶν διηνεκῶν ἐμφυτεύσεων[2].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Πρᾶγμα πλεονεκτικόν τε καὶ ἄθεσμον καὶ ὑπὸ τῶν προΐστασθαι λαχόντων τῶν ἀνατεθειμένων οἴκων θεῷ (φημὶ δὴ ἐκκλησιῶν καὶ ξενοκομείων καὶ γηροτροφείων[3] καὶ ὀρφανοτροφείων) ταῖς ἡμετέραις ἀκοαῖς ἀνηνέχθη τολμᾶσθαι. τῶν γὰρ ἐκδιδομένων ἔφασαν οἰκημάτων, ἤδη τοῦ συμπεφωνημένου χρόνου ἐκμετρηθέντος καὶ περιόδου ἐνστάσης ἀρχῆς καὶ ἀνανεώσεως τῆς τούτων διακατοχῆς, οὐ γίνεσθαι τὴν καταβολὴν ὡρισμένην τινά, ἣν καὶ ἰδίως εἰσδεκτικὸν καλοῦσιν, ἀλλ' ὡς ἂν παραστῇ τῇ πλεονεξίᾳ τῶν λαχόντων τὴν προστασίαν, οὕτω βαρύνεσθαι ταῖς τοιαύταις εἰσπράξεσι τοὺς τῶν οἰκημάτων διακατόχους.

Τοῦτο γοῦν καὶ ἄλλως μὲν χαλεπὸν ἅπασιν ὑπάρχον συνορῶντες, μάλιστα δὲ γινόμενον χαλεπώτερον ἐν τοῖς ἀπορωτέροις

---

[3] Spangenbergius Nov. 43 Justiniani hic confirmari auctor est. Verum enim vero confirmatur potius dispositio, quae ecclesiae de dictis reditibus post Justinianum placuit.

[1] Est in Ecl. Nov. 8. Excitatur in Epit. VII, 42. [2] In Ecl. rubrica audit *περὶ ἀνακάμψεως*. Zuich. et Meerm. rubricam non habent. Iidem scholium adjiciunt: *αὕτη ἐξεφωνήθη διὰ τὸ μὴ εἶναι ἐνταῦθα νόμον ἢ κανόνα ἐπὶ τῶν διηνεκῶν ἐμφυτεύσεων· καὶ αὕτη φυλακτέα ἐστίν.* [3] Zuich. et Meerm. *χειροτρ.* Beck: *γηροτρ.*

δι' ὧν αὐτοῖς βαρυτέρα ἡ τῆς ἀπορίας ἀνάγκη καθίσταται, οὐκ ἔτι οὕτω γίνεσθαι νόμον[4] τιθέμεθα, ἀλλ' ὡρισμένῃ ποσότητι περιορίζεσθαι τὴν καταβολὴν πρὸς τὸ διπλάσιον ἀριθμουμένην τοῦ τέλους τῆς ἐμφυτεύσεως, προσγραφομένης δηλονότι τῆς εἰσφορᾶς ἁπάσης ἐν τοῖς τῆς ἐκδόσεως χάρταις καὶ τῷ οἴκῳ ἀκαινοτομήτου προσαγομένης, ἀλλὰ μὴ πρὸς ἴδιον πορισμὸν τῶν εἰς τὴν προστασίαν καθισταμένων σφετεριζομένης, ὑπόθεσιν ἀνοσίου κέρδους καὶ οὐχὶ τῆς τῶν οἴκων ὠφελείας τὸ πρᾶγμα ποιουμένων αὐτῶν.

NOV. XIV.

De his, qui monasterium imperfectum relinquunt[1].

ΔΙΑΤΑΞΙΣ ιδ'.

Περὶ τῶν καταλιπόντων ἀτελὲς μοναστήριον[2].

[Ὁ αὐτὸς βασιλεὺς][3] τῷ αὐτῷ.

Τὸ τῆς γνώμης προπετὲς καὶ φιλόνεικον πρὸς ἔνστασιν τὴν ἰσχὺν καταπαλαίουσαν ὁμοίως νεμεσητόν τε καὶ ἀναπόδεκτον, ἄν τε δήλην ἔχῃ τὴν κακίαν ἡ ἐπιχείρησις ἄν τε σχῆμα ἐπιεικὲς προβαλλομένη προσέρχηται. τοῦτο καὶ ὁ τὰς παραβολὰς καὶ τὰ ἀπ' ἀρχῆς προβλήματα φθεγγόμενος ὁ κύριος ἡμῶν καὶ σωτὴρ ἐν εὐαγγελίοις βούλεται, ἐν οἷς πόλεως οἰκοδομὴν καὶ ἀπάρτισιν καὶ τὰ ὅμοια διαλέγεται. εἰκότως ἄρα οἵ τε ἱεροὶ θεσμοὶ καὶ ἡ πολιτικὴ ψῆφος σύμφωνα ἀφιᾶσι παρακελεύσματα, τοὺς ὅσοι μὴ πρὸς ἀπαρτισμὸν τοῦ ἔργου ἱκανοὶ ὄντες μοναστηρίου κατασκευῆς ἐφάπτονται, ἀπείργειν[4] τῆς ἐπιχειρήσεως. δεῖ γὰρ τὰ πράγματα, ὁποῖά ποτ' ἂν ᾖ, πρὸς τελείωσιν ἥκοντα οὕτω τὴν προσήκουσαν ἐφαρμόζεσθαι κλῆσιν, ἀλλ' οὐχὶ μόνον ἐξαρκεῖ τὸ ὄνομα τῇ τῶν πραγμάτων ἀτελείᾳ

---

[4] Ecl. incipit: Διὰ τοῦτο νόμον τιθ.¯ὡρ.

[1] Est in Ecl. Nov. 9. Laudatur ab Harm. V, 8, 94. [2] In Codd. scholium adjicitur hocce: διαλαμβάνει περὶ τούτων ἡ ξζ' νεαρὰ, ἥτις οὐκ ἐστὶν εἰς τὰ βασιλικὰ, καὶ τῶν βασιλ. βι. ε' τί. γ' κεφ. δ' καὶ τοῦ νομοκάνονος τί. γ' κεφ. ιδ' καὶ τί. ια' κεφ. α'. ζήτει καὶ βι. ε' τί. α' κεφ. ζ'. Cf. etiam Nov. Justiniani 131 c. 7. [3] Beck inscriptioni haec addidit. [4] Zuich. et Meerm. ἀπεῖργον, ut fortassis in verbo ἀφιᾶσι corruptela lateat.

παρέχειν τὴν σύστασιν. ὅπερ οὖν εἴρηται, καλῶς ἀπαγορεύει τό τε ἱερόν, τό τε[5] *πολιτικὸν θέσμιον, ἐπιχειρεῖν οἰκοδομεῖν μοναστήριον τοὺς οὐκ ὄντας αὐτάρκεις πρὸς τὴν τοῦ πράγματος τελείωσιν. ἐπεὶ μέντοιγε ἄδηλον ἐκεῖνο, τὸ μέχρι τίνος ὁ ἱκανὸς ἀπαρτισμὸς εἰς μοναστηρίου κατασκευὴν (οὐ γὰρ διώρισται ῥητῶς παρ' αὐτοῖς ὁ τοιοῦτος ἀπαρτισμὸς), ἔδοξε δῆλον περὶ τούτου ἐκφῆναι δόγμα.*

Φαμὲν οὖν, ὡς ἐπεὶ τὸ θεῖον ἐπεῖπε[6] *στόμα, ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ἐμῷ ὀνόματι ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν, χρῆναι τὸ ἐλάχιστον τρισὶν ἐπαρκεῖν τὸ μοναστηρίου κλῆσιν ὑποδυόμενον ἔργον, ὃ δηλονότι καὶ δοξολογίαν ὁρᾷ συνυπαρχούσης τῆς εὐπορίας. τῷ μὲν οὖν πρὸς ἀνιέρωσιν μοναστηρίου ἀκώλυτον ἕξοντι τὴν ἐπιχείρησιν εἰς τοσοῦτον δεήσει τὸ ἐλάχιστον τὸ ἀφιέρωμα συντελεῖν. ὅτι δὲ πλεῖστοι πρὸς τὴν τοιαύτην ἐπιχείρησιν ἑαυτοὺς ἐπιδιδόντες ἐνίοτε ὀπίσω βουλῆς ἀπολείπονται προλαμβάνοντος τοῦ θανάτου καὶ τῆς ἐν ἀνθρώποις αὐτοὺς συναναστροφῆς ἐξαφανίζοντος, ἐκεῖνο*[7] *ἡμῖν θεσπίζεται, ὡς διατυπώσεως προελθούσης τὰ ἐν ταύτῃ διορισθέντα ἔσται τῆς ἐκκλησίας, εἰ δ' (ὁποῖα πολλὰ φέρει τὸ ἄδηλον) πρὸ τῆς τῶν οἰκείων ἀναρπασθείη διατυπώσεως, παίδων μὲν ὑπόντων ἄχρι τριῶν, τέταρτον μέρος τῆς ὑπάρξεως οἰκειώσεται ἡ μονή, ἐπέκεινα δὲ τοῦ τρίτου ἀριθμοῦ προϊόντος τοῦ τῆς γονῆς πλήθους, συγκαταλέξεται τὸ μοναστήριον τοῖς παισὶ, καὶ τὰ ἴσα ἑνὶ τούτων ἑκάστῳ λήψεται ἐκ πάσης περιουσίας ἧς οὐχ ἅπτεται χρέα τοῦ τεθνηκότος. ἄπαιδος δὲ ὑπάρχοντος τοῦ τὸν βίον λιπόντος, ἐπὶ γονεῦσι δὲ λιπόντος, διχῇ τῶν προσόντων διαιρουμένων ἡ μὲν τοῖς γονεῦσιν, ἡ δ' ἑτέρα μοῖρα τῷ μοναστηρίῳ παρασχεθήσεται. εἰ δ' ἔρημος εἴη κληρονόμων ἀνιόντων καὶ κατιόντων, τοὺς ἐκ πλαγίου δὲ εἰσιόντας ὁ κλῆρος προσίεται, αὐτοὶ μὲν ὅσοι ἂν καὶ ὦσι τὸ τρίτον μέρος διανεμήσονται*[8]*, τὸ δίμοιρον δὲ προχωρήσει*[9] *τῇ ἐκκλησίᾳ. εἰ μέντοιγε ἢ δι' ἄγνοιαν ἢ δι' ἑτέραν τινὰ αἰτίαν εἰς ἐναντίαν γνώμην τὰ διατετυπωμένα ἀποκρίνηται τῆς νομίμου προαιρέσεως, θεσπίζομεν, τὸν κατὰ τὸν τόπον θεοφιλέστατον ἀρχιερέα ὅσα μὲν ἀποχρῶντα*[10] *εἰς διοίκησιν ἐκκλησίας καὶ τῶν ἐν αὐτῇ μελλόντων*

---

[5] Alterum *τό τε*, quod in Codd. abest, supplevit H. Stephanus. [6] Zuich. et Meerm. *ὑπεῖπε*, quod Osenbrüggen praefert. [7] Hic demum Ecl. incipit. [8] Unus e Codd. Eclogae: *διανεμηθήσονται.* [9] Ecl. *προσχωρήσει.* [10] Ecl. in nonnullis exemplaribus *ἀποχρῶνται.*

παρεδρεύειν ἀντιλαμβάνεσθαι[11], τοῖς δὲ λοιποῖς τὴν τῶν νόμων βουλὴν καὶ διάταξιν[12] διαιτᾶν.

NOV. XV.

Ut liceat salutarem baptismum in quocunque sacro oratorio peragere[1].

ΔΙΑΤΑΞΙΣ ιε'.

Περὶ τοῦ ἐξεῖναι τὸ σωτήριον βάπτισμα ἐν παντὶ εὐσεβεῖ εὐκτηρίῳ τελεῖν[2].

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Καὶ οὗτος ὁ τῆς σεβασμίας ἕκτης συνόδου κανὼν[3] ἱερὸς, ὃς τὸ θεῖον τῆς ἀναγεννήσεως λουτρὸν ἐν τοῖς κατ᾽ οἶκον εὐκτηρίοις τελεῖσθαι ἰδίᾳ οὐ βούλεται, ἀλλὰ ἐν μόνοις τοῖς πρὸς τὸ κοινὸν ἀνιερωμένοις ναοῖς, ἀδελφὰ παρακελευόμενος τοῖς οἳ τὰς ἱερὰς θυσίας καὶ τελετὰς κατ᾽ οἴκους ἀποτρέποντες γίνεσθαι ἔτυχον παρ᾽ ἡμῶν ἐπισκέψεως ἔμπροσθεν[4], ὁμοίως καὶ ἀδελφῆς[5] ἐκείνων ἐπανορθώσεως τεύξεται.

Ὁρίζομεν οὖν καθὼς περὶ θυσιῶν, οὕτω καὶ περὶ τοῦ[6] σωτηρίου βαπτίσματος, τὸ ἐξεῖναι αὐτὸ ἐν παντὶ εὐσεβῶν[7] εὐκτηρίῳ τοῖς βουλομένοις τελεῖν. τὴν γὰρ τοιαύτην ἀκρίβειαν δοκεῖ μοι πεποιῆσθαι τὸ ἱερὸν τῆς συνόδου διάταγμα διὰ τοὺς ἐν ἱερέων ὀνόματι ἀνιέρους καὶ βεβήλους τοὺς ὑπ᾽ αὐτῶν προσαγομένους τῷ λουτρῷ ποιοῦντας, οἳ ὡς εἰκὸς ἐν τοῖς τῶν ὁμοδόξων οἴκοις ὑποδυόμενοι οὐ τελοῦσιν, ἀλλὰ συντελοῦσι τοῖς αὐτοῖς προερχομένοις[8]. αὕτη δὲ εἰ καὶ θεία καὶ πολὺ τὸ σωτήριον ἔχουσα διαδείκνυται πρόνοια, ὅμως οὐκ ἐξαρκεῖ τοὺς τῆς ἀσεβείας ἀναπεπλησμένους τῆς ἑαυτῶν κακίας ἀναχαιτίζειν. καὶ γὰρ τολμηρὸν ἡ κακία, καὶ παντί γε τρόπῳ χώραν οἰκείαν εὑ-

---

[11] Ecl. τοῦ — θεοφιλεστάτου ἀρχιερέως — ἀναλαμβ. [12] Ita est in Ecl. — Codd. corrupte διὰ διαιατᾶν, unde Scrimg. διάθεσιν effecit.

[1] Meminit ejus Mich. Attal. in App. (Leuncl. JGR. II p. 78), Bals. ad syn. Trull. c. 31 et 59 (ed. Rhalli II p. 372. 440) et ad syn. Carthag. c. 70 (ed. Rhalli III p. 484) et in Respons. 14 (ed. Rhalli IV p. 459), denique Schol. ad Harmenop. Epit. can. (Leuncl. JGR. I p. 29). [2] Meerm. ad marginem: αὕτη κρατεῖ. [3] Syn. Trull. c. 59. [4] Supra Nov. 4. [5] Ita Meerm. Zuich. ἀδελφοῖς. Scrimg. ἀδελφῶς. [6] Addo ex Bals. [7] Sic Zuich. et Meerm. cum Bals. Scrimg. εὐσεβεῖ. [8] Spangenberg scribi vult προσερχ.

ρήσει καὶ τῶν εὐκτηρίων ἀποκεκλεισμένων εἰς ἐκπλήρωσιν τῆς οἰκείας προαιρέσεως. πλὴν ἀλλά γε νῦν θείᾳ χάριτι πάσης κακοδοξίας ἀπεσκορακισμένης, οὐδὲν καὶ κατὰ τοῦτο τὸ μέρος ὁρῶ μοι τὸ δόγμα προβαλλόμενον ἀναγκαῖον εἰς τὸ κωλύειν ἐν τοῖς κατ' οἶκον εὐκτηρίοις τὸ λουτρὸν τῆς ἀναγεννήσεως.

NOV. XVI.

Ut subdiaconus creetur non tantum XXV, sed et XX annorum[1].

ΔΙΑΤΑΞΙΣ ιϛ'.

Περὶ τοῦ μὴ χειροτονεῖσθαι ὑποδιάκονον κ' ἐτῶν, ἀλλὰ κε'[2].

[*Ὁ αὐτὸς βασιλεὺς*][3] *τῷ αὐτῷ.*

Ὁ παλαιὸς λόγος, ὃς παρεγγυᾶται τῷ περὶ τῶν οἰκείων λέγοντι ἀναπεταννύειν τὴν ἀκοήν, καλῶς καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἔχων ἐνταῦθα πολὺ διαδείκνυται καλλίων. τί οὖν ἐστιν, ὅ φημι; πολιτικὸς θεσπίζει νόμος[4]*, τὸν ἐλάττω πέντε καὶ εἴκοσι ἐτῶν μὴ χειροτονεῖσθαι εἰς λειτουργίαν ὑποδιάκονον, ἱερὸν ἀντιθεσπίζει δόγμα*[5]*, τὸν πρὸς τὴν τοιαύτην διακονίαν προσιόντα τὸν εἰκοστὸν χρόνον εἰσάγειν εἰς τὴν χειροθεσίαν.*

Ἄξιον οὖν ἡμῶν ἡ βασιλεία ἡγησαμένη τοῦ ἱεροῦ ἀκούειν νόμου ἐν τῇ περὶ τῶν οἰκείων διατάξει, τούτῳ καὶ συμψηφίζεται καὶ ὁρίζει, τὸν πρὸς εἰκοστὸν ἔτος ἐλάσαντα, μὴ τῆς ἄλλης διαγωγῆς τοῦ βίου ἐμποδὼν ἱσταμένης, ὅσα γε ἐκ τῆς ἡλικίας μηδὲν εἰς τὴν τοῦ ὑποδιακόνου προχείρισιν ἐμποδίζεσθαι.

---

[1] Allegatur a Bals. ad syn. Trull. c. 15 (ed. Rhalli II p. 338); et in Ecloga lib. I—X Basil. lib. III tit. 1 (ad Basil. III, 1, 28): *ἡ ιϛ' νεαρὰ τοῦ βασιλέως κυροῦ λέοντος τοῦ φιλοσόφου τὸν κανόνα τῆς θείας ϛ' συνόδου εὑροῦσα λέγοντα τὸν καταστάντα εἰς κ' ἔτος χειροτονεῖσθαι ὑποδιάκονον, καὶ τὴν παροῦσαν διάταξιν ἀντιφθεγγομένην, διωρίσατο τὸν κανόνα μᾶλλον ἐνεργεῖν ἐν τῇ περὶ τῶν οἰκείων διατάξει, καὶ τὸν πρὸς τὸ κ' ἔτος ἐλάσαντα μὴ τῆς ἄλλης διαγωγῆς τοῦ βίου ἐμποδὼν ἱσταμένης ὅσα γε ἐκ τῆς ἡλικίας μηδὲν εἰς τὴν τοῦ ὑποδιακόνου χειροτονίαν ἐμποδίζεσθαι.* [2] Hanc rubricam (in qua Osenbrüggen legi vult *κε' ἐτῶν ἀλλὰ κ'*) Scrimg. habet, forte *ἐκ τοῦ πίνακος* desumtam. Zuich. et Meerm. non agnoscunt. Iidem notatum habent: *τῶν βασιλ. βι. γ' τί. α' κεφ. κη'* (Heimbachio 25), *τῆς ϛ' συνόδου κανὼν ιε'. νῦν δὲ καὶ οἱ ἥττονες τῶν κ' χειροτονοῦνται ἐτῶν, ὥστε καὶ αὕτη ἐκρατήθει* (an *ἠπράκτησε*?). *τὸ αὐτὸ δέ φησιν καὶ οε' νεαρὰ*, sc. Leonis, quae infra habetur. [3] Supplevit Beck. [4] Justiniani Nov. 123 c. 13. [5] Syn. Trull. c. 15.

NOV. XVII.

De puerperis quando divinorum mysteriorum participes fiant, et ut infantes baptizentur post XL dies, extra quam si necessitas urgeat[1].

ΔΙΑΤΑΞΙΣ ιζ΄.

Περὶ τῶν τεκουσῶν γυναικῶν πότε λαμβάνει τῶν θείων μυστηρίων, καὶ πότε τὰ βρέφη βαπτίζονται ἄχρι τῶν μ΄ ἡμερῶν χωρὶς ἀνάγκης[2].

[Ὁ αὐτὸς βασιλεὺς][3] τῷ αὐτῷ.

Ἡ μὲν ἀξίωσις τῆς ὑμετέρας μακαριότητος ὑφ᾽ ὑμῶν μᾶλλον δικαία προέρχεσθαι ἦν, ἢ παρ᾽ ἡμῶν τὴν γένεσιν λαβεῖν· ἔδει γὰρ τῆς ὑμῶν ἱερότητος θέσπισμα εἶναι ὑπόθεσιν ἱεράν. ἐπεὶ δέ φατε ὡς οὐ δέον ἐφ᾽ ἑνὶ κεφαλαίῳ συνοδικὴν γενέσθαι διάσκεψιν, συνόδου δ᾽ ἂν εἴη ἔργον προάγειν ψήφους, ἡμέτερον δὲ καὶ δίχα συνόδου ἐκτίθεσθαι δόγμα, δεχόμενοι τὴν προτροπὴν ὧν ἀξιοῦτε διάταξιν ἐκφέρομεν. τοῦ κυρίου τοίνυν καὶ σωτῆρος ἡμῶν ὥστε τῷ φωτισμῷ τῆς αὐτοῦ δόξης ἐπιλαμφθῆναι τοὺς ἐν σκότει διαπορευομένους σαρκὸς ἡμῶν καὶ αἵματος παραπλησίως κεκοινωνηκότος, λίαν ἔμοιγε δοκοῦσι φρονεῖν ὑπεναντία τῇ ἐκείνου σωτηριώδει προνοίᾳ, ὅσοι[4] μὴ τοῦ φωτισμοῦ ἀξίαν ὑπολαμβάνουσι τὴν ἄρτι μὲν τετοκυῖαν καὶ ἐπίλοχον, καταλαμβανομένην δὲ ὑπὸ τοῦ θανάτου παρὰ πόδας ἑστῶτος καὶ τὴν προθεσμίαν ἣν αὐτοὶ ἀναμένειν οἴονται (φημὶ δὴ τὴν μετὰ τὴν λύσιν τῶν ὠδίνων τεσσαρακοστὴν ἡμέραν) οὐκ ἀναμένοντος ἀλλὰ θᾶττον προαρπάζοντος, καὶ διὰ τὴν σωματικὴν ἀκαθαρσίαν ἀκάθαρτον ὡς ἀληθῶς ἐξ ἀνθρώπων ἀπιέναι καταπραττόμενοι ταύτην, ἀμυσταγώγητον οὖσαν καὶ τῆς διὰ τοῦ θείου λουτροῦ καθάρσεως καὶ ἀναγεννήσεως ἀμέτοχον· οὐδ᾽ ἐννοοῦσι τὸ μέγεθος τοῦ κινδύνου καὶ τῆς ζημίας, ἣν τῆς αὐτῶν εὐλαβείας τὸ ἀνευλαβὲς καὶ σφαλερὸν προξενεῖ. καίτοιγε διὰ τὴν ὑπερβολὴν οὐδὲ λόγου δεῖται ἡ τοιαύτη ἀτοπία. πῶς γὰρ θεμιτὸν ἢ πῶς οὐ λυπηρὸν θεῷ, ὃς διὰ τῆς εἰς αὐτὸν πίστεως

---

[1] Laudat Bals. ad c. 2 Dionys. Alex. (ed. Rhalli IV p. 9) et Blast. *Δ*, 16 (ed. Bev. II p. 34). [2] Rubrica (in qua emendaverim: *πότε μεταλαμβάνουσι τῶν θ. μ. καὶ ὅτι τὰ βρ.*) apud Scrimg. est, in Zuich. et Meerm. non item. In iis scholium legitur: *αὕτη ἐξεφωνήθη ὑπὲρ οὗ νόμος οὐκ ἦν οὐδὲ κανών· καὶ αὕτη ἡ νεαρὰ φυλακτέα.* [3] Haec verba Beck praeposuit. [4] Agylaeus: „Notantur Theophilus et Dionysius, episcopi Alexandrini.“ Imo Timotheus can. 6. 7 et Dionys. c. 2.

καὶ τῆς ἐν τῷ ὕδατι καὶ πνεύματι ἀναγεννήσεως δωρεῖται την σωτηρίαν, ἄπιστον καὶ τῆς ἀναπλάσεως ἐρήμην τὴν[5] ἄνθρωπον ἀπελθεῖν, καὶ ἀντὶ τοῦ μετὰ τῶν σεσωσμένων τετάχθαι εἰς τὴν τῶν ἀπολωλότων ἐῤῥῖφθαι χώραν ἕνεκά γε τῆς τοιαύτης προφάσεως;

Τὴν οὖν τοιαύτην ματαιοφροσύνην ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἔπειτα χρόνον ἐκποδὼν ποιούμενοι, ὁρίζομεν περὶ τεκουσῶν γυναικῶν καὶ περὶ τῶν[6] ὅσαι τῇ φυσικῇ καθάρσει καταλαμβάνονται, ἀνενοχλήτου μὲν ἐξ ἑτέρας τινὸς διαθέσεως νοσερᾶς τῆς ζωῆς αὐτῶν διατελούσης[7], ἀμετόχους εἶναι τὰς μὲν ἀτελέτους[8] τοῦ φωτισμοῦ τὰς δὲ μεμυσταγωγημένας τῶν ἀχράντων μυστηρίων τῆς μεταλήψεως μέχρι τῆς τῶν τεσσαράκοντα ἡμερῶν προθεσμίας· νοσήματος δέ τινος καταλαβόντος καὶ[9] κατασχόντος καὶ τὴν διακοπὴν τῆς ζωῆς ἀπειλοῦντος, παντὶ τρόπῳ μεταλαγχάνειν[10] αὐτὰς τοῦ ἁγιάσματος. εἰ γὰρ ἐκείνοις, ὅσοι δι' ὑπερβολὰς ἀνοσιουργημάτων ἀπείργονται μακροῖς ἔτεσι τῆς ζωοποιοῦ κοινωνίας, ὁ θάνατος ἐπιστὰς τὸ ἐμπρόθεσμον διακόπτει καὶ οὐδεὶς ἀνέχεται τούτους κωλύειν τῆς τῶν ἁγίων μετοχῆς, ἤπου γε αὗται κωλυθήσονται διὰ ῥυπάσματα σαρκὸς φυσικά; καὶ ἅπερ οἶμαι καὶ τῷ παλαιῷ κεκωλύσθαι νόμῳ καὶ τὴν χάριν διαδέξασθαι τὴν παράδοσιν οὐχὶ τοσοῦτον διὰ τὴν γυναικείαν ταύτην ἀκαθαρσίαν, ὅσον δι' ἑτέρας αἰτίας ἐν τῷ βάθει κρυπτομένας τοῦ νομοθετήματος. λογίζομαι γὰρ τὸ τῆς ἐπιθυμίας ἀκόλαστον τῶν ἀκρατῶς ἐχόντων κολάζον τὸ θέσπισμα τοῦτο διατάξαι, ὥσπερ καὶ ἄλλα πολλὰ δι' ἑτέρων οἰκονομεῖται προσταγμάτων, ὡς ἂν διὰ τούτων τὸ πρὸς τὸ θῆλυ ἐνίων τῆς ὁρμῆς ἀκατάσχετον χαλινούμενον ἀνακόπτοιτο. οὐ μόνον δὲ ἀλλὰ καὶ προνοίας ἐστὶ τὰ τικτόμενα λώβης καθαρεύειν οἰκονομούσης τὸ θέσπισμα. ἐπεὶ γὰρ ἅπαν τὸ τῇ φύσει περιττὸν φθοροποιόν τε καὶ ἄχρηστον, περιττὰ δὲ καὶ ταῦτα ὑπάρχει τὰ αἵματα, τὰς φερούσας αὐτὰ ἐν ἀκαθαρσίᾳ κατ' ἐκεῖνον τὸν καιρὸν διάγειν ὁ νόμος ἐντέλλεται, ὅπως[11] καὶ ἀπ' αὐτοῦ μόνου τοῦ ῥήματος εἰς τὸ ἀκρατὲς συστελλομένης τῆς ἀκολάστου ἐπιθυμίας, μὴ

---

[5] Codd. *τόν*. [6] Restitui ex Zuich. Meerm. et Bals., quum a Scrimg. abessent. [7] Bals. *ἀνενοχλήτους μὲν ἐξ ἄλλης τινὸς — συντελούσης*. [8] Meerm. et Bals. *ἀτελέστους*. [9] Verba *καταλ. καὶ* Bals. omittit. [10] Bals. *μεταλαμβάνειν*. [11] Hic locus corruptela laborare videtur. Codd. scribunt *ὅπερ* et Zuich. mox *συστελλομένου*. H. Stephanus et Agylaeus *ὅπως* pro *ὅπερ* legunt. Vertunt autem verba *εἰς τὸ ἀκρατὲς συστελλομένης* quasi *εἰς τὸ ἐγκρατὲς συστ.* scriptum sit. Fortasse post *ἐπιθυμίας* excidit *ἀπείργει* vel simile quid.

ἐξ ἀχρήστου καὶ διεφθαρμένης ὕλης λαμβάνῃ τὸ ζῶον τὴν σύστασιν.

Καὶ περὶ τῶν βρεφῶν δὲ ὁμότροπα διορίζομεν, εἰ μὲν ἀνενόχλητα εἴη καὶ τῶν τῇ φύσει πολεμίων συμπτωμάτων περίεστιν, πρὸς φωτισμὸν τὴν τεσσαρακοστὴν ἡμέραν ἐκδέχεσθαι· ἀκόλουθον γάρ, ὥσπερ ἐν ὅλαις ἡμέραις τεσσαράκοντα τὸ πλῆρες ἀπολαμβάνει τῆς μορφώσεως ἐν τῷ τῆς φύσεως καὶ μητρικῷ οἴκῳ, οὕτως ἐν ἴσῳ ἀριθμῷ ἡμερῶν εἰς τὸν οἶκον τῆς θείας δόξης καὶ ἀϊδίου πάντων πατρὸς τὰ τικτόμενα προσιέναι. εἰ δὲ καὶ τῇ ἀπὸ τῶν ὠδίνων ὀγδόῃ βούλοιτό τις βαπτίζειν, οὐδὲ τοῦτο ἄτοπον. ὁ γὰρ δεσπότης ἡμῶν χριστὸς ἐν ταύτῃ περιτμηθεὶς καὶ τὴν λῆξιν τῇ περιτομῇ ἐπιθεὶς παρέσχεν ἀντὶ ταύτης τῷ ζωοποιῷ τελεῖσθαι βαπτίσματι. ἀλλὰ ταῦτα μέν, εἰ μηδεμία παρέστηκεν ἀνάγκη τὸν θάνατον ἀπειλοῦσα, εἰ δέ τι δεινὸν ἐπιστὰν βιάζεται τὴν ζωήν, πάσῃ σπουδῇ καὶ δυνάμει καὶ τῆς ὀγδόης ἐντὸς δεήσει καταπράξασθαι μὴ ἀφώτιστον ἀπελθεῖν μηδὲ τοῦ θείου λουτροῦ καὶ τοῦ ἀγαθοῦ ἀμέτοχον τὸ τεχθέν[12].

NOV. XVIII.

Ut poenae sponsalitiae exigantur[1].

ΔΙΑΤΑΞΙΣ ιη΄.

Περὶ τοῦ ἀπαιτεῖσθαι τὸ γαμικὸν πρόστιμον[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.

Τὴν τοῦ κρείττονος ἐκλογὴν ἐν πᾶσι καὶ πράγμασι καὶ λόγοις ποιεῖσθαι οὐ νεμεσητόν, καὶ τότε μὴ πρὸς τοὺς πραγματευομένους ἢ λέγοντας, πρὸς δὲ τὴν τῶν πραττομένων καὶ λεγομένων κατάστασιν ἢ ἕπεσθαι ἢ τὴν ἔγκλισιν προστιμᾶν. διὰ τοῦτο καὶ ἃ τῇ συνηθείᾳ ἤρεσεν ἐν ταῖς τῶν μνηστειῶν ἀθε-

---

[12] Zuich. et Meerm. τεθέν.

[1] Est in Ecl. Nov. 10. Laudatur in scholiis Basil. ed. Heimb. III p. 156, et ab Harm. IV, 1, 24. [2] In Zuich. et Meerm. scholia adscripta sunt haec: καὶ αὕτη ἡ νεαρὰ φυλακτέα. — αὕτη ἀνῄρηται τὴν γ΄ διάτ. τοῦ α΄ τί. τοῦ ε΄ βι. τοῦ κώδ., τῶν βασιλ. βι. κη΄ τί. ε΄ κεφ. α΄.

τήσεσιν ἐπικεῖσθαι προστιμήματα τοῖς ὁρμῶσι πρὸς τὴν ἀθέτησιν, καὶ ταῦτα εἰς νόμου καθιστῶμεν τιμήν. οἶμαι γὰρ τοῦ ἐπὶ ταῖς τοιαύταις πράξεσι κειμένου νόμου μὴ χεῖρον ἔχειν τὸ δεδογμένον τῇ συνηθείᾳ, ἀλλὰ καὶ εἰς τὸ ἄμεινον ἀναφέρειν τὰ πράγματα. τοῦ γὰρ νόμου ἐν μόνῃ τῇ τοῦ ἀῤῥαβῶνος ἀπωλείᾳ ἢ διπλῇ ἀποδόσει κολάζοντος τὴν προπέτειαν, αὕτη ῥητήν τινα καὶ συμπεφωνημένην βούλεται γίνεσθαι τὴν ἐπὶ τῇ ἀναρμοστίᾳ τῆς μνηστείας ζημίαν, καὶ δοκεῖ μοι, ὥσπερ εἶπον, τοῦτο πλεῖον ἔχειν ἰσχὺν εἰς τὸ μὴ ὡς ἔτυχε πεττεύεσθαι τὰ μνηστεύματα. ἡ μὲν γὰρ τοῦ ἀῤῥαβῶνος ἀπώλεια, ὥσπερ ἐπὶ τῷ δόντι εἶτα μὴ στέργοντι τὴν μνηστείαν ὥρισται, καὶ ἡ διπλῆ δὲ ἀπότισις, ἣν ὁ τὸν ἀῤῥαβῶνα λαβὼν εἶτα μὴ ἐπιμένων οἷς ὡμολόγησεν ὑπέχει ζημίαν, τάχα διὰ τὸ κουφότερον προπετέστερον δίδωσι τοῖς βουλομένοις εἰς τὴν ἀθέτησιν ὁρμᾶν τῶν ὁμολογιῶν, ὑπὸ δὲ τῆς συμφωνίας ῥητῆς εἰσπράξεως βαρυτέραν ἀπαντῶσαν αὐτῷ τὴν ζημίαν ὁρῶν ὁ ἀβέβαιος, πάντως ὀκνηρότερος πρὸς τὸ διασπάσαι τὴν μνηστείαν γενήσεται.

Ὅπερ[3] καὶ ἡμεῖς ὁρῶντες τοῖς γαμηλίοις συναλλάγμασι μᾶλλον συμφέρειν, εἰς νομίμην διάταξιν τὸ ἀπὸ συνηθείας πραττόμενον καθιστῶμεν. ἐκ μὲν γὰρ τῆς τοῦ ἀῤῥαβῶνος ἀπωλείας ῥᾳδίας[4] ὁρῶ τῶν μνηστειῶν τὰς ἀνατροπάς, ἐκ δὲ τῆς τοῦ προστίμου καταβολῆς οὐκέτι. τὸ γὰρ βαρύτερον τῆς ζημίας (βαρύτερον δὲ πάντως τοῦ ἀῤῥαβῶνος τὸ πρόστιμον) καὶ ἄκον[5] ἐπέχον τὸ τῆς γνώμης παλίμβολον[6] στέργειν ἀναγκάσει τὰ περὶ τῶν μνηστευσάντων[7] προδεδογμένα. οὕτως οὖν καὶ ἀπὸ τοῦ νῦν κελεύσματι νόμου τὸ ἀπὸ[8] τῆς συνηθείας βεβαιωθὲν καὶ κρατείτω καὶ διαιτάτω, καθάπερ ἄχρι[9] τοῦ παρόντος, καὶ προστίμου εἰσπράξει ὁ τὴν μνηστείαν ἀνατρέπων ζημιούσθω.

---

[3] Ecl. hinc incipit. [4] Ecl. ῥᾳδίους. [5] Sic Ecl. — Codd. ἄκοντα. [6] Zuich. et Meerm. παλίμβουλον. [7] Ecl. μνηστευσαμένων. [8] Ecl. ὑπὸ. Non male. [9] Basil. ἄχρι τοῦ νῦν.

NOV. XIX.

De pacto paterno, ut filius ex aequo succedat[1].

ΔΙΑΤΑΞΙΣ ιθʹ.

Περὶ συμφώνου πατρῴου τοῦ ἐπ' ἴσης κληρονομεῖν τὸν παῖδα[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.

Ὅπερ καὶ πρόσθεν ἡμῖν εἴρηται, οὐ φαυλίζειν ἑτέρους προαιρούμενοι εἰς ἐπανόρθωσιν τῶν νόμων κατέστημεν, οὐδ' ἵνα δόξαν ἑαυτοῖς περιποιησώμεθα, ἀλλ' ἵνα τὸ ἀσύμφορον ἐκ τοῦ τῶν ὑποχωρίων[3] ἐφ' ὅσον δυνατὸν ἀποσκευασώμεθα βίου, ἐκεῖνο εἰδότες, ὡς πάντων προτιμότερον εἰς κατάστασιν τῆς πολιτείας ἡ τῶν νόμων κατάστασις. ὀφθαλμοὺς γάρ τις εἰπὼν πολιτείας τοὺς νόμους, οὐκ ἂν οἶμαι καλοίη ἔξω τοῦ πρέποντος φάμενος· ὥσπερ γὰρ ζώῳ ἀναγκαιότατόν ἐστι μάλιστα ὀφθαλμὸς οὐ σφαλλόμενος, οὕτω καὶ πολιτείᾳ νόμων εὐθύτης. διὸ τῆς τούτων εὐθύτητος ποιούμενοι πρόνοιαν, ἐπείπερ ἔγνωμεν ἐν τῇ τοῦ κώδικος ἐκλογῇ κείμενον νόμον, ὃς διὰ τὸ προφανὲς τῆς ἀτοπίας οὐδαμῶς εὗρε[4] ἀποδοχῆς χώραν ἐν τῇ τῶν ἀνθρώπων προαιρέσει, οὔκουν οὐδὲ τὸ ἐνεργὸν καὶ ἔμπρακτον ἔχει (βούλεται μὲν ἐναντία τῆς φυσικῆς παρὰ γονέων τέκνοις ὀφειλομένης ἰσονομίας, ἀδικίας δὲ θύραν ἀνοίγει[5] κατὰ τοῦ παιδὸς τῷ πατρὶ, οὐ μόνον δὲ ἀλλὰ καὶ τὸν ἐκείνῳ[6] ὑπαχθέντα πεισθῆναι γονέα ψεύδους καὶ ἀπάτης ἐνοχῇ περιβάλλει)· ἀλλὰ γὰρ ἐπεὶ τοιοῦτόν τινα κατενοήσαμεν, εἰ καὶ πρὸ τοῦ ἡμετέρου θεσπίσματος ἀπέκλεισεν[7] αὐτῷ τὴν παραδοχὴν καὶ αὐτὴ τῶν ἀνθρώπων ἡ προαίρεσις, ὅμως καὶ ἡμεῖς δόγματι εἰς παντελῆ αὐτὸν ἀπραξίαν περιϊστῶμεν. τί γάρ φησί; κἂν συμφωνήσῃ πατὴρ ἐκδιδοὺς πρὸς γάμον παῖδα, ὥστε μετὰ τὴν ἑαυτοῦ ἐξ ἀνθρώπων ἀναχώρησιν ἰσομοιρίᾳ μετὰ τῶν ἄλλων ἀδελφῶν τὴν

---

[1] Ecl. Nov. 11. Excitatur in schol. Basil. ed. Heimb. I. p. 658. [2] Zuich. et Meerm. scholium adjiciunt: αὕτη ἀνῄρηται διάτ. ιέ τοῦ γ' τί. τοῦ β' βι. τοῦ κώδ., τῶν βασιλ. βι. ιά τί. ά κεφ. ος'. ζήτει δὲ καὶ βι. β' τί. γ' κεφ. ογ'· φησὶ γὰρ „οὐδεὶς συμφωνῶν ἢ ἐπερωτῶν ἀσφάλειαν ἑτέρῳ περιποιεῖ". ὥστε τὸ γινόμενον τοιοῦτον σύμφωνον αὐτὸν ἐκεῖνον τὸν παῖδα, περὶ οὗ ἐκτίθεται, ὠφελεῖ, καὶ οὐχὶ ἕτερον. [3] Sic Codd. Stephanus et Agylaeus ὑποχειρίων legendum censent. [4] Ita Agyl. Codd. εὗγε. [5] Sic Steph. Codd. ἐνάγει. [6] Scil. τῷ νόμῳ. [7] Ita Steph. Codd. ἀπέλεισεν. Forte ἀπένευσεν.

πατρικὴν διακληροῦσθαι περιουσίαν, κύριός ἐστι βουληθεὶς τὸ τοιοῦτον σύμφωνον ἀτιμάζειν, καὶ τοῖς μὲν ἄλλοις τῶν παίδων νεῖμαι τὸ πλέον, ἐκείνῳ δὲ ᾧ τὸ ἴσον κληροῦσθαι ἐδίδου[8] *τὸ σύμφωνον ἐλάττω ποιῆσαι τὴν μοῖραν. τούτων μὲν οὖν ὥσπερ ἔφημεν καὶ ἄλλως οὐ πολιτευομένων, καὶ ἡμετέρῳ ἐξοστρακίζοντες*[9] *δόγματι· παντάπασιν αὐτῷ τὴν εἰς τὴν πολιτείαν κωλύομεν πάροδον.*

Θεσπίζομεν[10] *δὲ μηδένα τῶν γονέων ἐπιχειρεῖν τὰ δίκαια τῶν παίδων καινοτομεῖν, ὅσοις ἂν ἐν τοῖς γαμηλίοις καθωμολόγησαν*[11] *συμβολαίοις τὸ ἴσον διατηρηθῆναι τοῦ κλήρου πρὸς τοὺς λοιποὺς τῶν παίδων· ὡς εἴ τις ὀφθείη τῶν ἰδίων συνθηκῶν ἀλογήσας, καὶ παρασπῶν πρὸς τὸ ἔλαττον ἐκείνου τὴν μερίδα, ᾧ καθωμολόγησεν εἰς τὸ ἴσον τοῖς ἄλλοις τὸν ἀδελφὸν*[12] *ἕξειν, ἴστω, ὡς ἄκυρος αὐτῷ*[13] *καὶ ματαία ἡ ἐκ μεταμελείας βούλησις· ἐν ἴσῳ γὰρ ὁ παῖς τοῖς ἄλλοις ἀδελφοῖς κατὰ τὸ προλαβὸν σύμφωνον τὴν περιουσίαν διακληρώσεται. οὐ γὰρ δὴ*[14] *προτιμότερον τῆς ἀληθείας ποιεῖσθαι εὔλογον τὸ ψεῦδος, οὐδ' ἔννομον οὐδ' ἁρμόζον λογικῷ ζώῳ τὰς ἰδίας τῶν λόγων ὁμολογίας δι' ἀθετήσεως κιβδηλεύειν· ἀλλ' εἴπερ τι ἄλλο τοῦτο πρέπον ἀνθρώπῳ φυλάττειν λόγου ἀλήθειαν, εἴ γε μὴ μέλλοι ἐν τῷ διαφθείρειν*[15] *ψεύδει τὸ ἀληθὲς ἔρημος λόγου γινόμενος ἀπὸ*[16] *λογικῆς ἐκπεσεῖν τάξεως. οὐ μὴν οὐδ' ἐκεῖνο εἰκὸς τὸ περὶ τοὺς ἴσως ἐκφύντας μὴ ἴσην τοὺς γονέας δείκνυσθαι*[17] *πρόνοιαν μηδὲ περὶ τῆς ἐκείνων ζωῆς ὁμοίως φροντίζειν, ἀλλὰ τοὺς μὲν ἐθέλειν εὐπορώτερον ἔχειν βίον, τῶν δὲ μὴ φείδεσθαι*[18] *μηδ' οἰκτείρειν, εἰ ἀπορώτερον διακείμενοι μέλλοιεν ἐν ταλαιπωρίᾳ*[19] *βιώσειν. ἀλλὰ δίκαιον, ὥσπερ πᾶσι τοῖς παισὶν ἐπίσης*[20] *μετέδοσαν βίου, οὕτω καὶ τῆς πρὸς τὸν βίον*[21] *εὐπορίας μεταδιδόναι, καὶ μὴ ὥσπερ ἀνίσῳ τῆς γνώμης τὴν τῶν προσόντων ποιεῖσθαι διανομήν.*

---

[8] Zuich. et Meerm. *ἐκδίδου.* [9] Iidem: *ἐξοστρακίζον τῷ δόγμ.* Forte: *Τοῦτον* (sc. *τὸν νόμον*) — *πολιτευόμενον καὶ ἡμ. ἐξοστρακίζοντες.* [10] Hic Ecl. incipit. [11] Iidem *καθωμολόγησεν.* [12] Steph. emendat *τῶν ἀδελφῶν.* In Basilicorum scholio corrupte legitur: *τῶν ἰδίων συνθηκῶν ἀλογήσας κατὰ πασῶν — τοῖς ἄλλοις ἀδελφοῖς διδούς.* [13] Basil. *αὐτοῦ.* [14] Ecl. *δεῖ.* [15] Ecl. *μέλλει τὶς διαφέρειν*, alii *διαφεύγειν.* [16] Ecl. *τῆς* omissa praepositione. [17] Ecl. *ἐπιδείκν.* [18] Zuich. et Meerm. *φειδόμενος.* Emendarem *φειδομένους,* nisi in Ecl. *φείδεσθαι* esset. [19] Ecl. *ταλαιπώρως.* [20] Deest in Ecloga. [21] Ita Ecl. In editis abest.

NOV. XX.

Ut ne vir quemadmodum uxor lucretur, sive de hypobolo, altera utra parte praemoriente[1].

ΔΙΑΤΑΞΙΣ κ'.

Περὶ τοῦ μὴ λαμβάνειν τὸν ἄνδρα ὥσπερ τὴν γυναῖκα εἰς τὰ παρὰ τοῦ ὑποβόλου ἐκ προτελευτῆς θατέρου μέρους[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.

Τοῖς πάλαι περὶ συμφώνων γαμηλίων διορίζουσι νόμοις τὸ ἴσον ἀνδρί τε καὶ γυναικὶ ἔν τε τῇ ἐξ ἀρχῆς τοῦ γάμου συστάσει δεδογμένου[3] ἀπονέμειν καὶ ἐν τῇ διαλύσει ἣν θάνατος ἐπαγόμενος[4] ἑνὶ τῶν προσώπων ποιεῖ, οὐκ οἶδα τί παθόντες οἱ μετὰ ταῦτα νομοθετεῖν προῃρημένοι ἀνίσοις διατάξεσι τούτους ὑπέβαλον. οἱ μὲν γὰρ ἀρχαιότεροι νόμοι[5] αὐτίκα καὶ ἐν τῇ τοῦ γάμου συστάσει ἴσας[6] εἶναι τὰς συνεισφορὰς τήν τε γυναικείαν καὶ τὴν ἀνδρῴαν διέταξαν, καὶ θανάτῳ τὸν βίον λιπόντος ἑνὸς ἐξ αὐτῶν[7] ἀτεκνίας μεσιτευούσης καὶ συμφώνου

---

[1] Ecl. Nov. 12. Allegatur in schol. Basil. ed. Heimb. III p. 462; in Πείρᾳ XVII, 14; apud Harm. IV, 13, 5; denique a Blast. Y, 5 (ed. Bev. II p. 251).

[2] In Zuich. et Meerm. adscriptum est: αὕτη ἀνῃρέθη κεφ. α' τῆς ϛζ' νεαρᾶς, καὶ οὐδὲ εἰς τὸ βασιλικὸν ἐτέθη τὸ τοιοῦτον κεφάλαιον. — Caeterum rubrica aperte corrupta est. Forte illa εἰς τὰ παρὰ mutanda sunt in ἤτοι περὶ. Ecloga rubricam praestat hanc: περὶ τοῦ μὴ λαμβάνειν τὸν ἄνδρα ὥσπερ τὴν γυναῖκα ὑπόβολον, — in alio: περὶ τοῦ μὴ διδόναι τὸν ἄνδρα ὑπόβολον τῆς γυναικὸς θανούσης ἄπαιδος. — Novella nostra inserta reperitur Epitomae ad Prochiron mutatae tit. VI c. 40, ubi sic est: Ὁ αὐτὸς εὐσεβὴς βασιλεὺς λέων στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων. — Περὶ ἐπιγαμικῶν συμφώνων. — Τὸ μὲν ὑπόβολον ἔλαττον ἔχει τῆς προικὸς, ἐπείπερ τούτου ἀπόσπαστος ἡ συνήθεια. θανάτῳ δὲ τοῦ γάμου διαῤῥαγέντος εἰ μὲν ὁ ἀνὴρ ἄτεκνος προαπίοι καὶ σύμφωνόν τι μὴ παρῇ ἕτερόν τι βουλόμενον, τὴν γυναῖκα τήν τε ἰδίαν προῖκα κομίζεσθαι καὶ τὸ ὑπόβολον καὶ πλέον οὐδέν. εἰ δὲ ἡ γυνὴ προαποθάνοι, τὸν ἄνδρα μήτε κερδαίνειν μήτε ζημιοῦσθαι, ἀλλ' ἔχειν τὰ ἴδια ἤτοι τὸ ὑπόβολον. Post hoc summarium sequitur ipsa Novella integra: variantes lectiones litera B enotabimus. Caeterum eadem Novella cum rubrica περὶ ὑποβόλων et praeposito summario modo edito integra extat in Cod. Paris. gr. 1384 fol. 168.

[3] Scrimg. δεδογμένον.

[4] Ita B. Reliqui ἐπάγων.

[5] Nov. 97 c. 1.

[6] Reliqui praeter B ἴσους.

[7] Ita B. Reliqui verba ἑνὸς ἐξ αὐτῶν non habent, ut proinde Agylaeus verbum θανάτῳ in θατέρου mutandum esse putaverit.

μὴ παρόντος ἐν ᾧ τι περὶ κέρδους ὑποσημαίνεται[8], ἐπίσης ἑκάστῳ ἀναστρέφεσθαι τὰ οἰκεῖα, συμφώνου δὲ προελθόντος, ὥστε ὁποτέρου μέρους ἐξ ἀνθρώπων ἀπιόντος τὸ ὑπολειφθὲν ἐπὶ τῇ τῶν ἰδίων ἀνακομίσει καὶ ἕτερόν τι κερδαίνειν, ὁμοίως ἐπ' ἀμφοῖν τηρεῖσθαι τοῦ κέρδους τὸ ἴσον· καὶ ἀνδρὸς μὲν προαποφθαρέντος ἀνεκομίζετο ἡ γυνὴ τὴν προῖκα καὶ τοῦ καλουμένου ὑποβόλου εἴτε τὶ μέρος εἴτε ὅλον[9] εἰ οὕτω συμπεφώνητο, γυναικὸς δὲ τῷ θανάτῳ προσυναντώσης τῷ ἀνδρὶ τὸ ὑπόβολον συνετηρεῖτο, καὶ κέρδος ἐπ'[10] αὐτῷ ἠκολούθει εἴθ' ὅλη ἡ προῖξ εἴτε μέρος αὐτῆς, ὡς τὰ συμφωνηθέντα αὐτοῖς[11] ἐβούλετο. ἀλλὰ ταῦτα μὲν τοῖς ἀρχαιοτέροις δόξαντα τοῖς μεταγενεστέροις ἀπήρεσεν. τοιγαροῦν καὶ ἀντινομοθετοῦσιν[12] οὐκ ὀρθῶς ποιοῦντες, καὶ αὐτίκα καὶ ἐν τῇ τοῦ γάμου συνόδῳ ἀνίσους ὁρίζουσι προέρχεσθαι τὰς συνεισφορὰς καὶ εἶναι μὲν ἐπὶ πλέον τὴν προῖκα, ὑπ' ἔλαττον[13] δὲ τὸ ὑπόβολον, καὶ τούτου κυρίαν καθίστασθαι τὴν γαμετὴν ἀπ' ἐκείνης τῆς ἡμέρας, ᾗ συνήρμοσε τὸν γάμον, κἂν ὡς εἰκὸς γνῷ δευτέραν ὁμιλίαν ἀνδρός. καὶ τοῦ γάμου δὲ θανάτῳ διασπασθέντος ἀνίσως[14] διαιτῶντες τῇ μὲν τῷ κέρδει παραμυθοῦνται τὸ ἄλγος, τῷ δὲ ἐπὶ τῇ ἀποβολῇ τῆς γυναικὸς τῇ ζημίᾳ τῶν ἰδίων[15] πραγμάτων τὸ ἄλγος ἐπαύξουσι. κελεύουσι γὰρ τὴν γυναῖκα ἐπιβιοῦσαν μετὰ τῆς ἰδίας προικὸς καὶ τὸ σύμπαν ὑπόβολον κομίζεσθαι, καὶ πρὸς τούτοις ἐκ τῆς λοιπῆς τοῦ ἀνδρὸς ὑποστάσεως κληρονομεῖν τοσοῦτον, ὅσον τῆς τε προικὸς καὶ τοῦ ὑποβόλου εἰς ἓν[16] συγκεφαλαιουμένων ἀριθμεῖται τὸ τέταρτον· προφθανούσης δὲ τελευτῇ[17] τὸν γαμέτην τῆς γυναικὸς, τοὺς ἐκείνης κληρονόμους κερδαίνειν σὺν τῇ προικὶ τὸ ὑπόβολον, τὸν δὲ ἄνδρα μηδὲν ἔχειν ἕτερον ἀλλ' ἢ ὅσον τῆς τε προικὸς καὶ τοῦ ὑποβόλου το τεταρτημόριον, καὶ προβαίνειν οὕτω τὸ πρᾶγμα, ἄν τε παρῇ σύμφωνον ἄν τε μηδὲν ὦσι τοιοῦτον συντεθεικότες[18]. ταῦτα μὲν πῶς οὐκ ἄδικα; πῶς δ' ἀντὶ τοῦ νόμος εἶναι οὐκ ἐσχάτη παρανομία ἐστίν; ἃ μὲν γὰρ προαποφθαρέντος τοῦ ἀνδρὸς ἡ γυνὴ λαμβάνει, ἴσως ἔχει τινὰ λόγον· ἃ δὲ ταύτης προκαταλυούσης τὸν βίον εἰς τοὺς κληρονόμους ἔρχεται, πῶς οὐ παντελῶς

---

[8] B *ἐν ᾧ τι κέρδους σημαίν.* [9] Reliqui praeter B *εἴτε τὶ ὅλον,* quod Steph. in *τὸ ὅλον* mutandum esse censuit. [10] Codd. praeter B: *ὑπ'.* [11] B *τούτοις.* [12] B simpliciter *νομοθετ.* — Intelligitur Ecloga Leonis et Constantini tit. II. [13] B *ἐπ' ἔλαττον.* [14] Meerm. et B *ἀδίκως.* [15] B *οἰκείων,* quod fortasse praestat. [16] Reliqui Codices praeter B *ἓν* non habent. [17] Sic recte B. Reliqui *τελευτῇ* omittunt. [18] B *συντεθειμένοι.*

ἄδικά[19] τε καὶ ἄθεσμα; διὰ τοῦτο[20] λίαν πρεπόντως καὶ σοφῶς συνιδὼν ὁ ἐν βασιλεῦσιν ἀείμνηστος καὶ ὁ μετ' ἐκεῖνον[21] τῆς οἰκείας ἀναβλαστήσας ὀσφύος ἐδικαίωσε τοῖς μὲν ἀρχαίοις[22] νόμοις τὴν τιμὴν ἀνασώσασθαι, τοὺς δὲ φαύλως ἀντιθεσπίζοντας ἐξοστρακισθῆναι τοῦ πολιτεύματος. ἀλλὰ γὰρ φιλόνικον[23] ἡ συνήθεια καὶ πολλάκις τῇ μακρᾷ ὁμιλίᾳ ὡς πῆξιν λαβὸν ἐν ταῖς ἀθρώπων γνώμαις ἄτοπον δόγμα, καὶ μάλιστα ὅσοις μὴ ὀρθῷ κριτηρίῳ ἐπιμέλεια τόδε[24] συνορᾶν, οὐκ ἐθέλει ῥαδίως ἐκμοχλεύεσθαι, τὴν φθάσασαν πρόληψιν κἂν ἄτοπος ᾖ ἀγαπώντων καὶ μὴ βουλομένων ἀκολουθεῖν τοῖς ἀμείνοσιν· ὡς καὶ νῦν ἡ τοῦ ἀειμνήστου πατρὸς ἡμῶν διάταξις εἰς[25] τοὺς πάλαι νόμους τῶν γαμικῶν συμφώνων τὴν κατάστασιν ἀναφέρουσα οὐκ ἔπεισε τῆς ἀτόπου μεθεῖναι διατάξεως, ἀλλ' ὧν κατεψηφίσατο ἐξοστρακισμὸν, τούτοις ἔτι καὶ νῦν πολιτεύονται.

Τί[26] οὖν ἡμεῖς φαμεν; ἐπειδήπερ ἅπαξ κρατεῖν ἔδοξε μὴ ἐξ ἴσου τὰς ἐν τῇ συστάσει τῶν γάμων γίνεσθαι συντελείας, ἀλλ' εἶναι τοῦ ὑποβόλου ἐπιπλέον τὴν προῖκα, τοῦτο ἔστω πολιτευόμενον. θανάτου[27] δὲ φέροντος λύσιν τῷ γάμῳ, εἰ μὲν ὁ ἀνὴρ ἄτεκνος ἀπίοι καὶ σύμφωνον μὴ παρῇ[28], ἀνακομιζέτω ἡ γυνὴ τήν τε προῖκα καὶ τὸ ὑπόβολον, καὶ μηδὲν ἔτι πλέον· εἰ δὲ τὴν γυναῖκα ὁ θάνατος διασπάσοι[29], τῆς μὲν οἱ κληρονόμοι τὴν προῖκα λαμβανέτωσαν, τῷ ἀνδρὶ δὲ μὴ γινέσθω τῶν ἰδίων ἡ στέρησις, μηδὲ τὰ ἐκείνου ἕτεροι ἀλλ' αὐτὸς ἐχέτω. πῶς γὰρ οὐκ ἄδικον, τοὺς μὲν ἀλλοτρίους ἐκ τῶν ἐκείνου πραγμάτων κερδαίνειν, αὐτὸν δὲ πρὸς τῇ ἀποστερήσει τῆς συζύγου καὶ τῶν οἰκείων ἤτοι τοῦ ὑποβόλου ἀποστερεῖσθαι;

---

[19] Ita B. Reliqui ἔκδικά. [20] B addit δή, mox autem καὶ σοφῶς omittit. [21] B καὶ ἡμᾶς τῆς οἰκ., quamquam idem ad marginem notet: μαρκιανὸν λέγει! Caeterum illud ἡμᾶς τῆς οἰκ. ἀναβλ. ὀσφύος multum placet: similiter inferius ὁ ἀείμνηστος πατὴρ ἡμῶν. Certe si de Basilio et Constantino cogitare malueris, μετ' ἐκείνου scribendum erit. Conferas quae in libro: Innere Gesch. d. Byz. Rechts p. 49 dixi. [22] B ἀρχαιοτέροις. [23] Reliqui praeter B φιλόνεικον. [24] B τόδε et mox ῥαδίως omittit. [25] Ita B. Reliqui ὡς. [26] Ab his demum verbis Ecl. incipit. [27] Ita B et Ecl. Reliqui τοῦ θαν. [28] Sic ex B et Ecl. Reliqui παρείη. [29] Scrimg. διασπάσῃ.

NOV. XXI.

Ut observetur promissio dotis aut ex paternis aut ex maternis bonis facta[1].

ΔΙΑΤΑΞΙΣ κα΄.

Περὶ τοῦ φυλάττεσθαι τὴν ἐπαγγελίαν τῆς προικὸς ἢ ἐκ πατρῴας ἢ μητρῴας περιουσίας[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.

Ὥσπερ ἐπὶ τῶν πλαστίγγων ὁρῶμεν, ὅταν οὐδὲ κατὰ βραχὺ τυγχάνωσιν ἑτεροῤῥεπεῖς, τότε πρὸς τὴν τῶν σταθμωμένων διάκρισιν ἐπιτηδείους οὔσας παραλαμβάνεσθαι, οὕτω καὶ νόμον ὅτε μηδὲ βραχὺ παρατρέπει τὸ δίκαιον, τότε πρὸς διαίτησιν τῶν πραγμάτων ὄντα προέρχεσθαι ἄξιον· αἱ μὲν γὰρ τὸ ἴσον, ὁ δὲ τὸ δίκαιον ἀῤῥεπὲς ὀφείλουσι διασώζειν. τί τοῦτο ἔφην; ἐν τοῖς κώδιξι διάταξις ἀναγέγραπται, ἣ τοὺς πρὸς γάμον συνάπτοντας τέκνα γονέας τὰς ὑποσχέσεις, ὅσαι προῖκας ἢ πρὸ γάμου δωρεὰς ἐκτελοῦσιν, ἀπαιτοῦσα[3] *οὐκ οἶδ᾽ ὅν τινα τρόπον φύρει τὸ δίκαιον. βούλεται γὰρ καθυπεσχημένον παιδίῳ*[4] *προῖκα ἢ πρὸ γάμου δωρεὰν τὸν πατέρα, ἀδιορίστως μὲν ταύτην πεποιημένον, πᾶσαν ἐκ τῶν οἰκείων πληροῦν τὴν ὑπόσχεσιν καὶ ἐκ τῆς αὐτοῦ μόνης περιουσίας ὅλην αὐτὴν καταβάλλεσθαι· διορισάμενον δὲ καὶ οὕτως εἰπόντα ὡς ἔκ τε τῶν ἐμῶν καὶ τῶν τοῦ παιδὸς τὰ ὑποσχεθέντα παρέξω, ἀπορίας μὲν αὐτὸν κατεχούσης μηδὲν ἐκεῖνον εἰς τὴν ὑπόσχεσιν συντελεῖν, τοῦ δὲ παιδὸς μόνην τὴν ὕπαρξιν ἐκπληροῦν ἃ ὑπέσχετο κοινῇ συμπληρώσειν ὁ γονεὺς, εὐπόρου [δὲ]*[5] *τοῦ πατρὸς ὄντος τὸ ἀνάπαλιν γίνεσθαι, μόνου αὐτοῦ ἐκ τῶν οἰκείων ἃ ὑπέσχετο πληροῦντος καὶ τοῦ παιδὸς οὐ κοινωνοῦντος· κἂν μὴ μόνος ἀλλὰ σὺν τῷ παιδὶ τὴν ὑπόσχεσιν ἐκπληρώσειν ἐπηγγείλατο, οὐκ ἄξιον οἴεται τὸν παῖδα παρέχειν διὰ τὸ μὴ καὶ αὐτὸν ὑποσχέσθαι. τοῦτο*

---

[1] Ecl. Nov. 13. Harm. IV, 10, 30. [2] In Meerm. et Zuich. scholium adjectum est: *αὕτη ἀνῄρηται διάτ. ζ΄ τοῦ ια΄ τί. τοῦ ε΄ βι. τοῦ κώδ., τῶν βασιλ. βι. κθ΄ τί. α΄ κεφ. πα΄* (in edit. Heimb. c. 87). Zuich. deinde addit: *αὕτη κρατεῖ.* [3] Scrimg. *ὅσαι προικὸς ἢ πρὸ γάμου δωρεᾶς ἐκτελεῖν οὖσιν ἀπαιτοῦσαι* (Zuich. et Meerm. *ἀπαιτοῦσα*). Steph. emendavit *ἐκτελεῖς εἰσὶν ἀπαιτοῦσα.* [4] Codd. *κατεσχημένον παιδίον.* Steph. *ὑπεσχημένον.* Agyl. *ὑπεσχ. ὑπὲρ παιδίων.* [5] Ex conjectura addere visum est.

οὖν ἡμῖν παρατροπή[6] τις εἶναι τοῦ δικαίου νενόμισται. οὔτε γὰρ, ὁποίᾳ ἂν καὶ περισχεθῇ ὁ γονεὺς ἀπορίᾳ, μόνον τὸν παῖδα καταβάλλειν τὰ ὑπεσχημένα ἐκ τῶν οἰκείων δικαιοσύνη νόμου, οὔτε πάλιν οὔσης εὐπορίας ἔξω δεῖ τὸν παῖδα παντελῶς εἶναι τῆς συνεισφορᾶς, χορηγουμένης ἐκ τῶν τοῦ γονέως τῆς ὅλης ὑποσχέσεως.

Διὸ καὶ θεσπίζομεν[7], κατὰ τοὺς τοῦ γονέως λόγους οὕτω προβαίνειν καὶ τὴν τῶν λόγων ἐκπλήρωσιν, καὶ μόνον μὲν ἀπαιτεῖσθαι τὴν ὑπόσχεσιν, ἐπειδὰν μόνος ὑπόσχηται παρασχεῖν, σὺν τῷ παιδὶ δὲ, ἐπειδὰν σὺν ἐκείνῳ, εἴτε δι᾿ ἴσου τῶν μερῶν λαμβανομένων ὅτε μὴ καὶ ταῦτα προσδιορισθῇ, εἴτε ἀνίσως ὅτε μὴ ἀπροσδιόριστα ᾖ ἃ τὴν ὑπόσχεσιν μέρη ἀποπληροῖ. τοῦτο γὰρ οὔτε δικαίου παρατροπὴ, καὶ πρός γε τοῖς παισὶ τὸ[8] συμφέρον ὁρᾷ, ὅπερ ἡ ἐν τοῖς κώδιξιν ἐκτεθειμένη διάταξις οὐ ποιεῖται[9] περὶ πολλοῦ. πῶς; πολλάκις[10] τὴν ζημίαν ὑφορώμενος ὁ γονεὺς καὶ μένων ἐκεῖνον τὸν χρόνον εἰς τὸ[11] τὰ γαμήλια συναλλάγματα προελθεῖν, ὃς τὸν παῖδα κύριον τοῦ ὑποσχέσθαι ποιεῖ, ἀπόλλυσι τῷ παιδὶ τὸ λυσιτελές. ἵν᾿ οὖν πρὸς ἀμφότερα[12] δεξιῶς τὸ γινόμενον ἔχῃ, καὶ μήτε τὸ δίκαιον παρακρίνοιτο μήτε τὸ συμφέρον τοῖς παισὶ[13] παραβλάπτοιτο, τὸ μὲν τοῦ κώδικος ἀργείτω δόγμα, τοῦτο δὲ πολιτευέσθω, ὡς[14] καὶ ὑπὸ τῆς συνηθείας γνωριζόμενον (ἤδη γὰρ προτετίμηται τῆς ἐν τοῖς κώδιξιν ὑπ᾿ αὐτῆς[15] διατάξεως) καὶ πρὸ δόγματος νόμου πολιτευόμενον.

---

[6] Zuich. et Meerm. περιτρ. [7] Ecl. a verbo θεσπίζ. initium facit. [8] Ecl. εἰς τό. Non male. [9] Reliqui praeter Ecl. ποιεῖ τι. [10] Ecl. ὅτι πολλ. quod placet. [11] Ecl. articulum τὸ non habet, id quod defendi potest. [12] Scrimg. ἀμφοτέρους. Male. [13] Ecl. τῷ παιδί. [14] Ex Ecl. adjeci. [15] Sc. τῆς συνηθείας. Ita Ecl. Reliqui ὑπ᾿ αὐτοῦ, quod Agyl. delendum esse judicaverat.

NOV. XXII.

Ut mulier secundo non nubens filii portionem proprietatis jure capiat, similiter etiam pater[1].

ΔΙΑΤΑΞΙΣ κβ'.

Περὶ τοῦ μὴ δευτερογαμήσασαν γυναῖκα λαμβάνειν παιδὸς μοῖραν κατὰ δεσποτείαν, ὁμοίως καὶ πατέρα[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.

Ὥσπερ καὶ ἐπ' ἄλλων πλείστων οὐδενὸς ἀτόπου συμβαίνοντος οὐδὲ τοῖς πράγμασι βλάβης γινομένης[3] εἴξαμεν τῇ συνηθείᾳ, μᾶλλον δὲ προνόμιον αὐτῇ νόμου παρέσχομεν ἤδη τοῦ πλήθους οἰκείως πρὸς αὐτὴν ἔχοντος καὶ ταύτης ἀποσπᾶσθαι οὐκ ἀνεχομένου, οὕτω καὶ ἐπὶ τοῦ μέρους τῆς δωρεᾶς, ἣν παίδων οὖσα μήτηρ γυνὴ λαμβάνει, καὶ μὴ δευτέροις γάμοις ἀναγομένη τὴν νυμφικὴν συμφύρει κοίτην, ποιεῖν ἐγνώκαμεν. ἀρχαιοτέρου γὰρ νόμου τὴν τοιαύτην δωρεὰν ὁριζομένου, ὡς δοθέντος τοῦ ὑποβόλου εἰς χρῆσιν τῇ γυναικὶ, μοῖραν παιδὸς ἑνὸς ἐξ αὐτοῦ τοῦ ὑποβόλου κατὰ δεσποτείαν ἰδίαν μετὰ τῆς ἄλλης χρήσεως τὴν γυναῖκα λαμβάνειν· εἶτα δὴ μεταγενεστέρου νόμου[4] πάλιν ταύτην δὴ τὴν ἑνὸς παιδὸς μοῖραν οὐκ ἐκ τοῦ ὑποβόλου τῆς γυναικὸς τὸ κέρδος[5], ἀλλὰ καὶ εἰς τὴν ἄλλην ἀνδρῴαν περιουσίαν ταύτην χωρεῖν· τούτων γὰρ ὑπὸ τῶν νόμων διατεταγμένων, ἡ συνήθεια μηδενὶ τῶν νόμων ὀρθῶς ἑπομένη, ἀλλ' ἐν μέρει μὲν τούτῳ ἐν μέρει δὲ ἐκείνῳ, οὔτε ἐκ μόνου τοῦ ὑποβόλου τὴν παιδικὴν μοῖραν ἀξιοῖ διδόναι τῇ γυναικὶ οὔτε τῆς ἔξω κειμένης τοῦ ὑποβόλου ἄλλης[6] ὑπάρξεως τοῦ ἀνδρὸς, ἀλλ' ὁμοῦ

---

[1] Est in Ecl. Nov. 14 et apud Harm. IV, 13, 6. Epanag. aucta tit. XVI c. 45: *Νεαρὰ λέοντος. Αἱ ἄποροι καὶ ἄπροικοι γυναῖκες τὸ ἐπιλαγχάνον αὐταῖς μετὰ θάνατον τῶν συνοικούντων τέταρτον μέρος παίδων ὄντων καὶ μὴ δευτερογαμοῦσαι ἐκ τοῦ παρόντος νόμου κατὰ δεσποτείαν κερδαίνειν κελεύονται τοῖς παισὶ τὸν φαλκίδιον παραφυλάττουσαι.* [2] Zuich. et Meerm. scholium adscribunt: *ἀνῄρηται κεφ. γ' τῆς ρκζ' νεαρᾶς, τῶν δὲ βασιλ. βι. κη' τί. ιβ' κεφ. β'.* Caeterum habetur haec Novella etiam in Cod. Paris. 1385 A; rubrica ibi haec est: *περὶ τοῦ μὴ δευτέροις γάμοις ὁμιλήσασαν γυναῖκα εἰ μήτηρ γέγονε παίδων ἐκ πάσης τῆς τοῦ ἀνδρὸς περιουσίας παιδὸς ἑνὸς μοῖραν κατὰ δεσποτείαν ἰδίαν κομίζεσθαι. ὁμοίως καὶ ὁ ἀνήρ.* [3] Ex Zuich. et Meerm. addo. [4] Indicatur Ecloga Leonis et Constantini tit. II cap. 9. [5] Ex superioribus subintellige *ὁριζομένου,* nisi corruptela his verbis insit. [6] Codd. *ἄλλως.* Emendavit Osenbrüggen.

πάσης αὐτοῦ τῆς περιουσίας ἐκείνην ἀναλεξαμένη[7] τὴν μοῖραν χαρίζεται.

Ταύτην οὖν τὴν συνήθειαν, ἐπείπερ οὐ λυπηρὰν ὁρῶμεν τοῖς πράγμασιν, ὥσπερ ἐπ᾽ ἄλλων ἐδικαιώσαμεν, νόμου τιμῶμεν ἀξιώματι, καὶ ἔστω γε ἀπὸ τοῦ νῦν νόμου ἰσχὺν ἀλλ᾽ οὐ συνηθείας κεκτημένη. εἰ μέντοιγε μόνῳ[8] τῷ ὑποβόλῳ ἡ τοῦ ἀνδρὸς ἀριθμεῖται ὑπόστασις πᾶσα[9], μετὰ τῶν παίδων τούτου συνδιακειμένη ἡ μήτηρ τὴν μὲν διαφέρουσαν αὐτῇ μοῖραν εἰς ὁλόκληρον ἀπολήψεται δεσποτείαν, τοῦ δ᾽ ἄλλου τὴν χρῆσιν ἕξει. εἰ δὲ μὴ ἐξαρκεῖ πρὸς σύστασιν τοῦ ὑποβόλου ἡ περιουσία, τὴν μοῖραν ἡ γυνὴ λήψεται οὐ κατὰ τὴν εὑρισκομένην τοῦ μειωθέντος ὑποβόλου ποσότητα, ἀλλὰ τοσοῦτον ἔχουσα[10], ὅσον ἂν ἔσχεν, εἰ μηδὲν ἠλαττωμένον ἀλλὰ πλῆρες ὂν τὸ ὑπόβολον ἐγνωρίζετο. τοιαύτης οὖν διδομένης τῇ γυναικὶ μερίδος, τὰ περιλειπόμενα ἔστω τῶν παίδων, εἰ δὲ μηδὲν ὑπολείποιτο, ὡς κλῆρον τὴν ἀκληρίαν ἀποίσονται. ἀλλὰ ταῦτα μὲν περὶ γυναικός. ὁ ἀνὴρ δὲ ἄπαις μὲν ὢν (καθάπερ ἐν ἄλλοις[11] διώρθωται καὶ διατέτακται) οὐδὲν οὔτε λήψεται οὔτε ζημιωθήσεται, παίδων δὲ πατὴρ γεγονὼς καὶ μὴ δευτέροις γάμοις τὸν πρὸς τὴν γυναῖκα πόθον μαράνας καὶ αὐτὸς λήψεται μοῖραν παιδὸς, τεκνοτροφίας τε ἕνεκα καὶ τῆς διασεσωσμένης αὐτῷ πρὸς τὸν πρῶτον γάμον καὶ αἰδοῦς καὶ τιμῆς.

NOV. XXIII.

Ne propria sponsalia praesides in locis, quibus praesunt, contrahant[1].

ΔΙΑΤΑΞΙΣ κγ'.

Περὶ τοῦ μὴ μνηστείας ποιεῖν ἰδίας τοὺς κατὰ τὸν τόπον ἄρχοντας[2].

Ὁ αὐτὸς βασιλεὺς τῷ αὐτῷ στυλιανῷ.

Ἦν μὲν οὖν ἄξιον καὶ ἀνθρωπίνης διανοίας καὶ ἀρχικῆς ἀρετῆς, τοὺς εἰς ἀρχὴν προβαλλομένους, ἀνθ᾽ ὧν ὑπὲρ πολλοὺς

---

[7] Scrimg. ἀνταλλαξ. [8] Ecl. ἐν μόνῳ. [9] Ecl. πάντως μετὰ τῶν παίδων τούτου συναπολήψεται δεσποτείαν, intermediis omissis. [10] Sic Ecl. Reliqui ἔχουσαν, quod propter sequens ἔσχεν ferri non potest. [11] Spangenb. notat: „Supra const. 20.“

[1] Ecl. Nov. 15. Meminit ejus Epit. XXIII, 21. Harm. IV, 2, 10. [2] Zuich. et Meerm. notant: αὕτη ἀνήρηται δίγ. λζ' ἐν τέλει τοῦ β' τί. τοῦ κγ' βι. τῶν διγ., τῶν βασιλ. βι. κη' τί. δ' κεφ. ιθ' (apud Heimb. c. 20).

τοὺς ἄλλους δόξης ἀπέλαυσαν καὶ τιμῆς, εὐλαβεῖς εἶναι περὶ τὴν συντήρησιν καὶ φυλακὴν τῶν τοῦ θεοῦ προσταγμάτων, καὶ προνοητικῶς περιέπειν τὸ ὑποχείριον, ἀλλὰ μὴ συνθλίβειν αὐτοὺς χειρὶ βαρείᾳ. ἐπεὶ δ' ἐστὶν, οὓς ἡ βίαιος καὶ ἄδικος γνώμη τῆς εὐθείας ἐκφέρουσα τρίβου τῶν ἐντολῶν ἄγει εἰς τὴν διεστραμμένην καὶ τυραννικὴν πλεονεξίαν, καὶ ἀντὶ προνοίας ἀρχικῆς ἐπιδείκνυσθαι παρασκευάζει τὴν βιαίαν προαίρεσιν, ὥσπερ ἀναχαιτίζων παλαιὸς ἐθέσπιζε νόμος, τοὺς ἐν ἑκάστῃ ἐπαρχίᾳ ἡγεμονεύοντας μὴ ἔχειν ἄδειαν συναλλάγματα καὶ μνηστείας ποιεῖν, καὶ τὴν ἀκρίβειαν ταύτην ἐπὶ υἱῶν καὶ ἐγγόνων καὶ τῶν ἄλλων ὁρισάμενος ἀῤῥένων συγγενῶν, θυγατέρων ἔκδοσιν οὐκ ἐκώλυσε.

Τοῦτο οὖν ὡς ἐλλεῖπον τῇ ἀρίστῃ νομοθεσίᾳ προστιθέντες ἡμεῖς θεσπίζομεν[3], ὥσπερ τοὺς υἱοὺς καὶ τοὺς ἄλλους ἄῤῥενας συγγενεῖς καὶ οἰκείους, οὕτω καὶ θυγατέρας καὶ τὰ ἄλλα τοῦ θήλεος μέρους πρόσωπα τῶν ἐν ἑκάστῃ ἐπαρχίᾳ διαλαχόντων ἄρχειν εἰς μνηστείαν διδόναι κωλύεσθαι. διὰ τί γὰρ υἱὸς μὲν καὶ εἴ τις ἕτερος τῶν ἀῤῥένων προσώπων ὑποκείσεται τῷ ψηφίσματι, θυγάτηρ δὲ τοῦ νόμου κρείττων διαμενεῖ; καίτοι πολλάκις τοῦ ἄῤῥενος μέρους πολλοῖς καὶ τρόποις καὶ ἐπιτηδεύμασιν ἑαυτῷ τε καὶ τῇ μεμνηστευμένῃ καὶ τοῖς ἄλλοις[4] οὓς ἡ κηδεία συνῆψε δυναμένου χρησίμου γενέσθαι. τάχα γὰρ ἢ ἀξιώματος ἐπιβατεύσας ἢ ἐμπορίαν τινὰ μετιὼν ἢ ἄλλως τοῦ οἰκείου βίου ἐπιμέλειαν ἀναλαβὼν, ὥσπερ ἔφην, οὔθ' ἑαυτῷ οὔτε τοῖς ἄλλοις οἰκείοις ἀχρήσιμός ἐστιν, ὧν οὐδὲν τὸ θῆλυ μετέρχεσθαι γένος ὡς τὰ πολλὰ ἐπιτηδείως ἔχει[5].

---

[3] Ab hoc verbo Ecl. incipit. [4] Verbum *ἄλλοις* in Ecl. abest: quae lectio forte elegantior est. [5] Ratio legis, quam hic exponit, vix ac ne vix quidem apta dici potest.

NOV. XXIV.

Ne matrimonium contrahant naturales liberi cum adoptivis[1].

ΔΙΑΤΑΞΙΣ κδ'.

Περὶ τοῦ μὴ γαμεῖν τὰ τέκνα τὰ φυσικὰ τὰ θετά[2].

Ὁ αὐτὸς βασιλεὺς τῷ αὐτῷ στυλιανῷ.

Πολλοὶ τὸν πρεσβύτερον χρόνον ἀποσεμνύνοντες βούλονται πρεσβεῖα νέμειν αὐτῷ τῆς τῶν πραγμάτων τάξεώς τε καὶ καταστάσεως· ἐγὼ δὲ οἶδα μὲν αὐτὸν τοῦ νεωτέρου χρόνου κρατεῖν ἐν πλείστοις, οὐ μὴν ἀλλὰ ἐλαττούμενον ἔν τισι καθορῶ. ὄντων δὲ οὐκ ὀλίγων ἐν οἷς ὑπὸ τοῦ νεωτέρου παρευδοκιμεῖται χρόνου, μάλιστα ἐν τῷ μέρει τῶν υἱοθεσιῶν τοῦτο πάσχων ὁρᾶται, ἃς παντάπασι μὴ κατὰ πρέποντα κόσμον ποιεῖ, ἄνευ τελετῆς θείας καὶ ἱερῶν ᾠδῶν[3] ταύτας ποιούμενος, ἀλλ' ἁπλῶς τοῖς βουλομένοις υἱοθετεῖσθαι μόνον διδόντος τοῦ νόμου. ἐξ οὗ συμβαίνει πολλάκις τὴν ἀδελφὴν κλῆσιν εἰς γαμικὸν μεταπίπτειν σχῆμα, καὶ ἡ τέως ἐν[4] θυγατρὸς οὖσα κόρη εἰς τὴν νυμφικὴν μετετίθετο, ὁ υἱὸς ἀντὶ τοῦ εἶναι τοῦτο[5] γαμβρὸς ἐγνωρίζετο, γαμικαῖς ὁμιλίαις ἁρμοζομένων τοῦ τε φύσει παιδὸς καὶ ὃν ἡ υἱοθεσία εἰς τὴν τῶν παίδων ἵστη τάξιν, οὐδὲν ὑπολογιζομένης τῆς πράξεως διὰ τὸ μὴ τελετῆς ἱερᾶς μεσολαβούσης ἐκεῖθέν τινα κώλυσιν ἀπαντᾶν πρὸς τὸ γαμικὸν συνοικέσιον.

Ἀλλὰ[6] πάλαι μὲν κατὰ λόγον μὴ[7] υἱοθετουμένων προσήκοντα εἰ καὶ ὁ γάμος ἔχει πως[8] τὸ ἄδοξον, ὅμως οὐχὶ καὶ παρανομίας ἀνέχεται, νῦν δὲ κατὰ θεσμὰ γινομένης καὶ πρέποντα καὶ δίκαια τῆς υἱοθετήσεως, καὶ διὰ τελετῆς ἱερᾶς τῶν μὲν εἰς γονέων τάξιν καθισταμένων τῶν δὲ εἰς τὴν[9] τῶν παίδων, οὐκέτι περιλείπεται λόγος εἰς γάμον συνάπτεσθαι τοῖς κατὰ φύσιν τοῦ υἱοποιησαμένου[10] παισὶ τοὺς εἰσποιητοὺς παῖδας. τοιγαροῦν καὶ θεσπίζομεν, μηδαμῶς ἐξεῖναι τοὺς οὕτως ὑποβεβη-

---

[1] Hanc laudat Bals. ad syn. Trull. c. 53 (ed. Rhalli II p. 429) et Blast. *B*, 8 (ed. Bev. II p. 52). [2] Zuich. et Meerm. scholium habent adscriptum: *αὕτη ἀνῄρηται δίγ. κζ* (lege *ιζ*) *τοῦ β' τί. τοῦ κγ' βι. τῶν διγ. τοῦτο οὐδὲ εἰς τὸ βασιλικὸν ἐδέχθη.* [3] Codd. *ᾠδίνων*. Rectum vidit Stephanus. [4] Scil. *κλήσει*. Scrimg. *ἐκ*. [5] Scrimg. *τοῦ*. [6] Sequentia exhibet Bals. [7] Bals. *μὴ κατὰ λόγον*. Rectius, ut opinor. [8] Ita Bals. Codd. *ἔχει ἢ τὸ ἄδ.* Agyl. *ἔχει τὶ ἄδ.* [9] Scrimg. *τά.* [10] Ita Bals. Reliqui *τοῖς υἱοποιησαμένοις*.

κότας τὸ τῶν ἀδελφῶν ὄνομα πρὸς τὸ τῆς συζυγίας ἀντὶ τῆς[11] *ἀδελφότητος μεθαρμόζεσθαι.*

NOV. XXV.

De emancipatione et dotis restitutione[1].

ΔΙΑΤΑΞΙΣ κε'.

Περὶ λύσεως ὑπεξουσιότητος καὶ ἀναδόσεως προικός[2].

Ὁ αὐτὸς βασιλεὺς τῷ αὐτῷ στυλιανῷ.

Ἃ τοῖς ἀρχαιοτέροις τῶν αὐτοκρατόρων περὶ λύσεως ὑπεξουσιότητος[3] *νενομοθέτηται, καλά γε ὄντα καὶ ἄξια καινοτομίας ἀνώτερα συντηρεῖσθαι, οὐκ οἶδ' ὅπως οὐκ ἔτυχε τῆς προσηκούσης αἰδοῦς, ἀλλ' ὁρᾶται εἰ καὶ μὴ παντὶ μέρει ἀλλ' οὖν ἀτιμαζόμενα οὐκ ὀρθῶς. δούλοις μὲν γὰρ ἐλευθερίας ἠξιωμένοις μὴ καθάπαξ ὁριζόντων*[4] *ἀναφαίρετον εἶναι τὸ δώρημα, ἀλλ' εἰ*[5] *γνώμης πονηρίας ἁλοίη τὶς μιᾷ τῶν ἀπηγορευμένων αἰτιῶν ἢ τὸ τῆς ἐλευθερίας ἀξίωμα ἰσχὺν ἔχει πρὸς σχῆμα δουλείας μεταποιεῖν, πάλιν εἰς τῶν δούλων τὴν χώραν ἄγεσθαι, ἀκούουσιν εὐλαβῶς καὶ τιμῶσι τὸ νομοθέτημα, παῖδας δὲ ἅπαξ τῆς γονέως*[6] *ἀπολελυμένους ἐξουσίας ἐπιτρεπόντων τῷ αὐτεξουσίῳ τῆς γνώμης διὰ παντὸς ἀποχρῆσθαι, οὐχ ὁμοίως ἔδοξεν ἀκούειν οὐδ' ὡς ἀθετήσεως κρείττω θεσπιζόντων στέργειν τὸ δόγμα, ἀλλ' ὁρᾶται σήμερον οὐδενὶ λόγῳ (οὐδὲ γὰρ νόμῳ κεκαινοποιημένῳ ἠθέτηται) τὸ κῦρος ἀφῃρημένον. ἔδοξε γάρ τις*[7] *τῶν κρίνειν λαχόντων (καὶ θαυμάζω πῶς ἔδοξε), μὴ τοὺς καταστάντας αὐτεξουσίους τῶν παίδων ἁπλῶς ἔχειν ἣν ἔλαβον ἐξουσίαν, ἀλλ' εἰ μὴ παίδων ὀφθεῖεν πατέρες, ἀποχειροτονεῖσθαι τὸ αὐτεξούσιον καὶ πάλιν ὑπὸ τὴν τοῦ γονέως ἐπιτροπὴν καθίστασθαι· οὐ τοσοῦτον δὲ μόνον, ἀλλὰ καὶ κἂν σπορᾶς ἑαυτοῦ ἀνθήσασάν τις ἴδοι γονὴν, θάνατος δ' αὐτὴν ἐπεῖδε*[8] *δριμεῖ ὀφθαλμῷ*

---

[11] Bals. *ἀντὶ τοῦ τῆς.*

[1] Ecl. Nov. 16. Cf. Harm. I, 17, 8. [2] Zuich. et Meerm. *αὕτη ἀνῄρηται συνήθειαν ἄλογον.* [3] Vulgo *ὑπεξουσιῶν*, qua ipsa scriptura abbreviatio indicatur. [4] Ad *ὁριζόντων*, sicuti infra ad *ἐπιτρεπόντων* et *θεσπιζόντων* ex superioribus supplendum *τῶν αὐτοκρατόρων.* [5] Codd. *ἡ γνώμη.* Emendavit Steph. [6] Scrimg. *τοῖς γονεῖς.* Zuich. et Meerm. *τῆς γονῆς.* Emendavit Steph. et Osenbrüggen. [7] Malim *τινί.* [8] Zuich. et Meerm. *ὑπεῖδε.*

καὶ εἰς ἀπαιδίαν περιέστησεν, ἀποβάλλειν μετὰ τῶν παίδων καὶ τῆς γνώμης τὸ αὐτεξούσιον, καὶ μήτε γράφειν διαθήκας μήτε διοικεῖν ὡς ἂν δοκῇ τὰ παρὰ τῶν γονέων δεδωρημένα συγκεχωρῆσθαι. τοῦτό τισιν εἰς δόξαν ἐλθὸν καὶ ῥᾳδίως παραδεχθὲν τοῖς ὕστερον μέχρι τοῦ νῦν ὁρᾶται πολιτευόμενον τῆς παλαιᾶς ἀτιμαζομένης νομοθεσίας. ἀνανεούμενοι οὖν τὴν πάλαι περὶ τούτου κυριότητα τῶν νόμων, οὐδένα θεσπίζομεν τῶν περὶ προικὸς ἀναδόσεως διαλαμβανόντων ἀθετούμενον ἄπρακτον εἶναι. τί οὖν ἐκεῖνοί φασιν; ἀπαιδίας περιστοιχιζούσης τὸν παῖδα τὴν μὲν ἐκ τοῦ πατρὸς ἥκουσαν αὐτῷ δωρεὰν ἀναστρέφεσθαι πρὸς τὸν δεδωκότα, μηκέτι δὲ κἀκείνην, ἣ τῷ παιδὶ πρόσεστιν ἢ παρὰ τῆς μητρὸς δεδομένη ἢ παρά τινος τῶν ἔξω, εἰ μὴ ἄρα οὕτω παρὰ τῶν διδόντων συμπεφώνηται ὥστε αὐτὴν ἀναστρέφεσθαι. ἀλλὰ καὶ ἃ τοῖς παισὶν οἱ πατέρες διδόασιν ἅμα τῷ ἀφεῖσθαι τῆς ἐξουσίας, καὶ ταῦτα τοῖς λαβοῦσιν ἀναφαίρετα μένειν παρακελεύονται, καὶ συνίστασθαι ἐπ᾽ αὐτοῖς διαθήκας, εἰ μὴ συμφώνου κώλυμα παρῇ ἐν τῷ δωρεῖσθαι τὸν πατέρα γεγενημένον.

Τούτοις οὖν καὶ ἡμεῖς ὁμογνωμονοῦντες εἰδέναι[9] πάντας παρεγγυώμεθα, ὡς εἰ παῖς πρὸς αὐτεξουσιότητα ἀφειμένος ἄτεκνος ὢν διάθηται, ἐκεῖνα μόνα λήψονται οἱ γονεῖς, ἃ παρὰ τὸν νόμον δηλαδὴ τὸν φαλκίδιον[10] εἰς αὐτοὺς ἔρχεται, ἄνπερ μὴ σύμφωνον φθάσῃ προγεγονὸς ὥσπερ ἔμπροσθεν εἴρηται, οἱ δὲ λοιποὶ συγγενεῖς οὐδὲν παντελῶς, εἰ καὶ ἀδιαθέτως[11] καλοῖντο, ὡς τὰ περὶ τῆς ἀναδόσεως καταπεφρονηκότες. καὶ τοῦτο δὲ ἄξιον ἐπισημήνασθαι, ὡς μόνῳ ἄῤῥενι προσώπῳ ὑπεξούσιος χρηματίζει ὁ παῖς. ἐπειδὴ δὲ πρὸς τοῖς ἄλλοις τρόποις καὶ οὗτος ἐδείκνυ τὸν παῖδα αὐτεξούσιον, εἴ γε καὶ[12] ὁ τὴν ἐπιτροπὴν ἐγκεχειρισμένος (εἴτε πατὴρ εἴη[13] εἴτε προπάτωρ) τὸ ἀπόλυτον αὐτῷ οἰκείῳ στόματι ἐδωρεῖτο, ἡμεῖς καὶ τοῦτο προσεπισυνάπτομεν, ὡς εἰ πρὸς διαγωγὴν ἰδιογνωμονοῦσαν[14] ὀφθείη μόνον ὁ παῖς καταστάς (ἄν τε γλώσσῃ τοῦτο ὡμολόγηται οὗ ὑπ᾽ ἐξουσίαν ἐτέλει, ἄντε[15] γλῶσσα μὲν οὐ παρέσχε τοῦτο, ἄλλως δὲ[16] γνώμῃ σιωπῶσα καὶ ἰδίως ῥυθμιζομένῳ τῷ παιδὶ οὐκ

---

[9] Inc. Ecloga. [10] Ecl. *παρὰ τῶν νόμων*, omissis *δηλαδὴ τὸν φαλκίδιον*, quae sane glossam sapiunt. [11] Sic Ecl. Reliqui *ἀδιαθέτους*. [12] Deest in Ecl. [13] In Ecl. *εἴη* deest. [14] Ecl. *ὁμογνωμονοῦσαν*. [15] Sic Zuich. et Ecl. Scrimg. *εἴτε*. [16] Ita ex Ecl. reposui. Reliqui *γὰρ*, quod varie editores tentarunt.

ἐναντιουμένη ἀλλὰ παραχωρήσασα καθ᾽ ἑαυτὸν διάγειν), κἂν ᾖ γαμικῆς ὁμιλίας ἔξω, εἶναι αὐτῷ κεκυρωμένον τὸ αὐτεξούσιον. εἰ γὰρ δοῦλοι ἅπαξ ἀφειμένοι ζυγοῦ μὴ πονηροὶ ὀφθέντες οὐχὶ πάλιν ἕλκειν αὐτὸν ἀναγκάζονται, πῶς οὐκ ἄτοπον, ἀπολελυμένους τοὺς παῖδας πάλιν ἄγειν ὑπὸ ζυγὸν, καὶ μὴ μετεῖναι αὐτοῖς ἀϊδίου ἐλευθερίας, ἧς ὥσπερ ἔφην καὶ δοῦλοι ἀπολαύουσιν;

NOV. XXVI.

Ut adoptare possint eunuchi[1].

ΔΙΑΤΑΞΙΣ κς΄.

Περὶ τοῦ υἱοποιεῖσθαι εὐνούχους καὶ γυναῖκας[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.

Μέγα καὶ τίμιον ἀνθρώποις παρὰ τοῦ πλάσαντος θεοῦ δῶρον ὁ γάμος· οὐ γὰρ μόνον δαπανωμένῃ θανάτῳ βοηθεῖ τῇ φύσει, καὶ τὴν διαμονὴν[3] τῷ γένει χαρίζεται οὐκ ἐῶν ὑπ᾽ ἐκείνου κατανεμόμενον παντελῶς διαῤῥυῆναι, ἀλλὰ καὶ ἄλλως διὰ τῆς παιδοποιΐας μεγάλα τῷ ἀνθρωπίνῳ χαριζόμενος βίῳ. τί γὰρ ἥδυτερον εἰς θυμηδίαν ἀνθρώπων τῆς ἐκ παίδων εὐφροσύνης; τί δ᾽ ὠφελιμώτερον ἐν τοῖς κατὰ τὸν βίον πράγμασι τοῖς τε ἄλλοις καὶ ἃ πρὸς γῆρας ἡμῖν συναντᾷ; τῇ γὰρ τῶν παίδων ἐπικουρίᾳ κουφότερον τὸ βαρῦνον τοῦ γήρως ὁρᾶται. ἀλλὰ γὰρ ταύτης τῆς ὠφελείας ἐπεὶ μὴ πᾶσιν ἐστὶ μεταλαχεῖν διὰ τῆς τοῦ γάμου ὁμιλίας, ἐβουλήθη νόμος, καὶ καλῶς ἐβουλήθη, οἰκείᾳ φιλανθρωπίᾳ τοὺς μὴ παρὰ τῆς φύσεως λαβόντας τὸ δῶρον εὐεργετῆσαι. πλὴν οὐκ εἰς πάντας ἐφύλαξε τὴν προαίρεσιν ἀνελλιπῆ τὴν εὐεργεσίαν πεποιημένος. τοῖς μὲν γὰρ παρέσχεν ἐξουσίαν καὶ δίχα γάμου ποιεῖσθαι παῖδας, τοὺς δὲ

---

[1] Ecl. Nov. 17. Laudatur in Epit. V, 29; Tipucito (Basil. et Heimb. III p. 532); Bals. ad syn. Trull. c. 53 (ed. Rhalli II p. 430); Blast. *B*, 8 (ed. Bev. II p. 52); denique Harm. II, 8, 4. [2] Verba καὶ γυναῖκας (quas rubrica in Ecl. similiter praestat) abundant, quippe de mulierum adoptionibus hac Novella non agitur. Caeterum notantur in Zuich. et Meerm. haec: αὕτη ἀνῄρηται τί. ιά (adde τῆς α΄) ἰνστιτουτίωνος, τῶν βασιλ. βι. λγ΄ τί. α΄ κεφ. μζ΄ θέ. ς΄ ὅλον (in edit. Heimbach. est c. 51). [3] Codd. διανομήν. Emendavit Agylaeus.

ἀμετόχους[4] τῆς χάριτος εἴασε, καίτοιγε τὸν ἅπαξ εἰς τοῦτο καταστάντα νόμον ἐφ' ᾧ λῦσαι τὴν ἀπαιδίαν τοῖς στερουμένοις, δι' ἑαυτοῦ δεικνύντα πατέρας οἷς ἐκ τοῦ γάμου τοῦτο εἶναι οὐ γέγονεν, εἰς πάντας ἐχρῆν διαβιβάσαι τὴν φιλοτιμίαν. ἀλλ' οὐχ οὕτω βούλεται, ἀποπέμπεται δὲ τούτους, οἳ τὰ καιριώτατα ἐζημίωνται καὶ οὓς ἦν εἰκὸς ἠδικημένους καὶ τῆς παιδοποιοῦ ἀφῃρημένους δυνάμεως οἰκτείρειν. καὶ ἡ αἰτία τῆς ἀποπέμψεως, ὅτι φησὶν οὓς ἡ φύσις οὐκ οἶδε γονῆς κληρονόμους, τούτοις οὐδ' ὁ νόμος τοιαύτης μεταδώσει κληρονομίας. τοὺς δὲ ἄρα οὐχὶ ἡ φύσις, ἀλλὰ ἀνθρώπων ἀδικία τὴν κληρονομίαν ἀφείλετο.

Οὓς ἡ βασιλεία ἡμῶν εὖ ἔχειν ὑπολαμβάνουσα μὴ πρὸς τῇ ζημίᾳ ἣν ἐξ ἀνθρώπων ὑπέστησαν δευτέραν ὑπέχειν[5] διὰ τοῦ νόμου ζημίαν, θεσπίζει[6] βουλομένους υἱοποιεῖσθαι ἀκώλυτον ἔχειν τὴν βούλησιν. οἶμαι γὰρ ἐκεῖ μᾶλλον ἀναγκαίαν ὁρᾶσθαι τὴν[7] εὐεργεσίαν, οὗ τὸ ἐξ αὐτῆς ὠφέλιμον χρειωδέστερον πέφυκεν. εὐνούχοις δὲ μάλιστα ἡ ἐκ τοῦ νόμου παιδοποιΐα τοσοῦτον χρειωδεστάτη, ὅσον καὶ μόνον τούτῳ λαμβάνουσι τῷ τρόπῳ τὸ εἶναι πατέρες· καὶ τῆς παρὰ υἱῶν θεραπείας οὕτως αὐτοῖς ἀπολαύσειν ὑπάρξει[8], ἧς οὐκ ἐστι φιλάνθρωπον ὅτι τῶν γονίμων ἀπεστέρηνται μορίων συναποστερεῖσθαι. ἀλλ' ὥσπερ ὁ φωνῆς ἀποτετμημένος οὐ κεκώλυται τὰ τῆς γλώττης ἀναπληροῦν διὰ τῆς χειρὸς, οὐδ' ὃς[9] ἀπορεῖ λόγον διὰ χειλέων ἐρεύξασθαι, τοῦτον διὰ τῆς γραφῆς εἰς τὴν περὶ τῶν οἰκείων διάταξιν προάγειν ἀποτρέπεται, οὕτω προσῆκε[10] καὶ τοὺς ἀφαιρέσει τῶν παιδοποιῶν μελῶν τε καὶ μορίων[11] γονῆς ἀποροῦντας μὴ κωλύειν ἑτέρῳ τρόπῳ παραμυθεῖσθαι τὴν ἀπορίαν.

---

[4] Codd. *μετόχους*. Correxit Stephanus. [5] Zuich. et Meerm. *ἐπέχειν*. [6] Inc. Ecl. [7] Iidem *ὅ*. Ecl. *πᾶσαν*. [8] Ecl. *ὑπάρξειν*. [9] Codd. *οὐδ' ὅ*. Ecl. *οὐδ' ἂν ἀπορῇ*. [10] Sic Ecl. — Codd. *τὸ προσήκειν* vel *προσήκει*, unde Steph. dudum conjecerat *οὕτω προσήκει*. [11] Verba *τε καὶ μορίων* Ecl. non habet.

NOV. XXVII.

Ut pariter omnes adoptare possint[1].

ΔΙΑΤΑΞΙΣ κζ΄.

Περὶ τοῦ ἐπίσης πάντας υἱοθετεῖσθαι[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Καὶ καλῶς[3] *πρέπον ὑπάρχει τὴν ὠφέλειαν ἐν κοινῷ κατατίθεσθαι τοὺς ὄφελός τι ἐξευρεῖν τῷ βίῳ σπουδαῖς οἰκείαις προθυμηθέντας, ἢ τὸ βούλεσθαι μέχρις ἐνίων προσώπων περιορίζειν τοὺς δ᾽ ἄλλους ἀμετόχους ταύτης ἐᾶν, πολὺ δὲ πλέον προσῆκε τὴν ἐκ τῶν νόμων εὐεργεσίαν εἶναι κοινήν. ὥσπερ γὰρ ἐπὶ ἄρχοντος ἀρετῆς οὕτω καὶ ἐπὶ νόμων ὀφείλομεν κοινῇ τοῦ ἐκεῖθεν ἀπολαύειν καλοῦ ἅπαν τὸ ἀρχόμενόν τε καὶ ὑποκείμενον. τί τοῦτο λέγει τὸ προοίμιον; ὅτι τοῖς ἀτυχοῦσιν ἀπαιδίαν λύειν βουλόμενος τὸ δυστύχημα νόμος ἐν τῷ υἱοθετεῖσθαι προστάσσειν καὶ γνώμῃ ἐκεῖνο κτᾶσθαι ὃ μὴ εὔπορον*[4] *λαβεῖν παρὰ τῆς φύσεως, οὐ πρὸς πάντας ὁμοίως διέσωσε τὴν προαίρεσιν, ἀλλ᾽ ἀνδράσι μὲν καὶ γυναιξὶν, ἃς ἐγνώρισε μὲν ἡ φύσις μητέρας, εἰς ἀπαιδίαν δὲ ἀφαιρέσει τῆς γονῆς περιέστησε*[5]*, τὸ υἱοθέτημα ἐδωρήσατο, εὐνούχους δὲ καὶ γύναια, ὧν οὔπω τῶν κόλπων ὁ τοῦ γένους ἤνθησε στάχυς, οὐκ ἀξίους ἔκρινε τοῦ εὐεργετήματος, οὐχ ὁρῶ τίνα τρόπον οὕτω μικρολογούμενος. οὐ γὰρ ὅτι ἐζημίωνται τὸ εἶναι φύσει πατέρες εὐνοῦχοι, διὰ τοῦτο νόμῳ τὴν ζημίαν ἐπιτείνειν χρὴ, ἀλλὰ τοὐναντίον μᾶλλον τὸ ἐκεῖθεν ἐνδεὲς ἑτέρῳ τρόπῳ μὴ κωλύειν πορίζεσθαι, καθὼς ἐν ταῖς ἄλλαις κολοβώσεσι τῶν φυσικῶν ἐνεργειῶν, οἷον ἐπὶ χειρῶν καὶ ποδῶν καὶ εἴ τι ἄλλο ἀπεστέρηνται ἄνθρωποι, οὐ κωλύονται τὸν δυνατὸν τρόπον παραμυθεῖσθαι τὴν κολόβωσιν. καὶ μὴν οὐδὲ γυναῖκας, διότι μὴ ὤφθησαν μητέρες, εὔλογόν ἐστιν ἀποτρέπειν υἱοθετεῖσθαι. τίς γὰρ ὁ λόγος τοῦ τὰς μὲν, ὅτι ἀφῃρέθησαν τῶν παίδων, φιλοτιμεῖσθαι πάλιν κτήσει τῶν παίδων, τὰς δὲ, ὅτι παντελῶς ἄποροι τοιούτου γεγόνασι κτή-*

---

[1] Ecl. Nov. 18. Excitatur in Epit. V, 29 et 31, a Tipucito, Balsamone, Blast. et Harm. locis supra p. 106 not. 1 laudatis. [2] Zuich. et Meerm. adscribunt: *αὕτη ἀνῄρηται διγ. λη΄ τοῦ ζ΄ τί. τοῦ α΄ βι. τῶν διγ. καὶ τῆς α΄ ἰνστιτουτίωνος τί. ι΄* (lege *ια΄*), *τῶν βασιλ. βι. λγ΄ τί. α΄ κεφ. μα΄* (Heimb. c. 52), *καὶ νεαρὰ μζ΄ θέμ. τελευταίῳ.* [3] Steph. legi vult *ἄλλως*, Agyl. *μᾶλλον*. [4] Malim *εὐποροῦσι*. [5] Scrimg. *παρέστησε*.

ματος, διὰ βίου ταύτῃ τῇ ἀπορίᾳ βούλεσθαι ταύτας συζῆν; εἰ γὰρ τοῦτο μάλιστα τὸ ἀπὸ τῶν παίδων χρήσιμον, λέγω δὴ γηροτροφία, πῶς οὐχὶ καὶ ταύταις κἀκείναις ἐξ ἴσου μετέχειν τῆς εὐεργεσίας ἔπρεπε παρασχεῖν; οὕτω γὰρ ἂν καὶ ὅσαις ὁ βίος πένης καὶ ἄπορος, κουφοτέρα ὑπῆρξεν ἡ πενία τοῖς παισὶ βοηθουμέναις, καὶ ὅσαι τὸν βίον ἐν ἀφθονίᾳ καὶ πλούτῳ φερόμενον ἔχουσι, καὶ ταύταις υἱοθεσία συμφέρουσα· ὁ γὰρ εἰς τάξιν υἱοῦ προφερόμενος εἰς ἐκεῖνα καὶ ὑπηρετούμενος τῇ μητρὶ καὶ ὑπὲρ αὐτῆς σπουδάζων ἅπερ ἐστὶν εἰκὸς παῖδα φρονεῖν, τήν τε περιουσίαν εἰς τὸ ἀκαινοτόμητον οἰκονομήσει καὶ τὸ βάρος τῶν φροντίδων συμμεριζόμενος τῇ μητρὶ εὐθυμότερον αὐτὴν βιῶναι παρασκευάσει.

Τοιγαροῦν[6] ἡ ἡμετέρα βασιλεία τοὺς μὴ ἐπιτρέποντας νόμους υἱοθετεῖσθαι ἅπερ ἔφημεν πρόσωπα τῆς ἐπιτροπῆς ἀποχειροτονοῦσα, πᾶσιν ἐκτίθεται νόμον τοῖς βουλομένοις υἱοποιεῖσθαι, ἄν τέ τις τὰ ἀῤῥένων ἀφήρηται ἄν τέ τινα οὔπω ἥλιος εἶδε μητέρα, ἄδειαν παρεχόμενον, οὐ μόνον δι' ἅπερ εἶπον καλὰ ἐκ τῆς υἱοθεσίας γινόμενα, ἀλλ' ὅτι καὶ τὸ τῆς παρθενίας σεμνὸν καὶ ἐκ τούτου τιμώμενον καθορῶ. αἱ γὰρ[7] ὅσαι μᾶλλον γαμικῆς ὁμιλίας τιμῶσι[8] μὲν τὴν παρθενίαν, προτιμῶσαι δὲ ὅμως παίδων ἔρωτι νύττονται, τοῦτο καὶ γαμικῆς ὁμιλίας ἐκτὸς προσγινόμενον αὐταῖς ὁρῶσαι τὸ σεμνὸν τῆς παρθενίας οὐ περιόψονται. οὐ γὰρ δὴ ἄξιον, διότι θῆλυ πρόσωπον ὑπεξουσίους ἔχειν παῖδας οὐκ ἐφεῖται, διὰ τοῦτο μὴ ἐξεῖναι υἱοθετεῖσθαι. πρῶτον μὲν ὅτι εἴ τις τοῦτο συγχωρήσοι, οὐ μόνον τὰς ἀτόκους τῶν γυναικῶν τῆς υἱοθεσίας ἀπείργει[9], ἀλλὰ καὶ τὰς ὀφθείσας μητέρας· θῆλυ γάρ ὥς φησι πρόσωπον ὑπεξουσίους οὐ δύναται ἔχειν παῖδας. ἔπειτα δὲ ὁ τοῦτο θεσπίζων νόμος περὶ ἐκείνων λέγει, ὅσοι προκρίνουσι τῶν μητέρων διαστάντες ἰδίως ῥυθμιζόμενον ἔχειν βίον, ἀλλ' οὐ περὶ τούτων, ὅσοι τὴν μητρικὴν ἐξουσίαν ἡδέως φέρουσι καὶ διὰ βίου τὴν ὑποταγὴν αὐταῖς σώζειν ἐγνώκασιν. οὔκουν ὁ νόμος τὴν ἀπὸ γνώμης ὑποταγὴν καὶ οἰκείωσιν, ὅπερ καὶ ἐνταῦθα συμβαίνει, οὐκ ἀπαγορεύει, ἀλλ' ἐκεῖ τὸ θῆλυ πρόσωπον ἀφαιρεῖται τὴν ἐξουσίαν, οὗ γνώμης ἑκουσιότης[10] εἰς ὑποταγὴν οὐ συνέρχεται. ἐπεὶ εἰ τοῦτο, πῶς πολλαὶ τῶν μητέρων κεχηρωμέναι παῖδας

[6] Hinc Ecl. incipit. [7] Steph. καὶ γὰρ vult legi. Non opus. [8] Ecl. προτιμῶσι. [9] Ecl. ἀπείρξει. [10] Ita ex Ecl. edo. Codd. et editi: ὅπερ καὶ καθὰ συμβαίνει ἀπαγορεύει, ἀλλ' ἐκεῖ ...., οὗ γνώμῃ πλησιότης.

τε συμβιοῦντας καὶ ὑποταττομένους μέχρι τῆς ἐσχάτης ἔχουσιν ἡμέρας, καὶ ἐν χερσὶν αὐτῶν τὴν ζωὴν καταλύουσαι τῆς τε μητρικῆς εὐλογίας καὶ τῶν προσόντων καταλιμπάνουσι κληρονόμους;

Καὶ τοῦτο δὲ[11] *ἡ βασιλεία ἡμῶν τὸ ὑποχείριον φιλοτιμεῖται, ὥστε μὴ μόνον παρὰ βασιλέως (καθὼς οἱ πρόσθεν ἐπέτρεπον νόμοι) τὸν υἱοθετεῖσθαι βουλόμενον, ἀλλὰ καὶ παρὰ παντὸς τοῦ καθ' ἑκάστην χώραν τὸ ἄρχειν καὶ διέπειν λαχόντος τὴν ἐξουσίαν λαμβάνειν.*

NOV. XXVIII.

Quo tempore et a quibus rerum suarum administratio adultis concedi debeat.

ΔΙΑΤΑΞΙΣ κη' [1].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.

Ἐπειδὴ καὶ τοῦτο καλῶς τοῖς νομοθέταις ἔδοξε τὸ παισὶν ὠρφανισμένοις ἐγκαθιστᾶν ἐπιτρόπους, δι' ὧν ἡ τῶν πατέρων ἀναπληρουμένη αὐτοῖς πρόνοια δι' ἐπιμελείας μὲν τὸ τῆς ἡλικίας ποιεῖται ἁπαλὸν, τὰ ὑπάρχοντα δὲ ταῖς δεούσαις φροντίσιν ἀβλαβῆ συντηρεῖ, τῷ καλῶς διακειμένῳ τῆς νομοθεσίας συνείδομεν ὃ λείπει παρ' ἑαυτῶν προσθεῖναι. τί οὖν τὸ ἐλλεῖπον ἦν; τὸ βούλεσθαι παρὰ μόνου βασιλέως κελεύοντος ἐξίστασθαι τοὺς κουράτωρας τῆς τῶν πραγμάτων διοικήσεως, ἐγχειρίζεσθαι δὲ τοὺς παῖδας αὐτὴν ἀπολαβόντας τῆς ἡλικίας τὸ μέτρον, ὃ τοῖς μὲν ἄῤῥεσιν ὁ εἰκοστὸς ἀπονέμει χρόνος ταῖς δὲ θηλείαις ὁ ὄγδοος καὶ δέκατος, [καὶ][2] *ὡς εἰς ὥραν ἐλθόντας φρονήσεως καὶ τοῦ τὰ οἰκεῖα δύνασθαι καλῶς καὶ συμφερόντως οἰκονομεῖν ἐπὶ τῆς δεσποτείας καθίστασθαι. ἀλλ' ἐπεὶ οὐχ ὁμοίως πᾶσι τὸ φρονεῖν παραγίνεται, ἔδει*[3] *μὴ ἁπλῶς οὕτω θεσπίζειν, μηδὲ*

---

[11] Ecl. *μέν.* Steph. *τούτῳ,* Agyl. *τῷ ὑποχειρίῳ* legendum censuit, quo minime opus est.

[1] Zuich. et Meerm. notant: *αὕτη διωρθώσατο διάτ. β' τοῦ μδ' τί. τοῦ β' βι. τοῦ κώδ., τῶν βασιλ. βι. ι' τί. κζ'. διωρθώσατο δὲ κατὰ μόνον τὸ καὶ ἐπὶ τῶν ἀρχιεπισκόπων αἰτεῖσθαι τὴν τῆς ἡλικίας συγγνώμην.* [2] Conjunctio omnino videtur esse supplenda: — *ἐγχειρίζεσθαι* — *καὶ* — *καθίστασθαι.* [3] Codd. *εἴδει.* Emendavit Steph.

πάντας ὁμοῦ ὑπὸ μόνου τοῦ καιροῦ εἰς τὴν τῶν οἰκείων ἐξουσίαν προάγεσθαι, ἀλλὰ καθ᾽ ὃν ἀπαιτεῖται καιρὸν τῶν τὴν[4] δεσποτείαν προχειριζομένων κατάστασις. τί γάρ; ὁ μὲν εἰ[5] ὑπερελάσας τὸν χρόνον οὔπω εἰς τὸ φρονεῖν ἀφίκετο, τοῦ δεσπόζειν κριθείη ἄξιος, ὁ δὲ εἰ τοῦ καιροῦ ἔλαττον ἔχων οὐκ ἐλαττοῦται φρονήσεως καὶ τοῦ ὀρθῶς τὰ πράγματα μεταχειρίζεσθαι, ἀπειρχθήσεται τῆς διοικήσεως; ἐπεὶ οὖν οὐχ ἧττον κατὰ νοῦν ἢ τὸ σῶμα διαφέρουσιν ἄνθρωποι, καὶ οἱ μὲν εὐσταθέστεροι τὸν λογισμὸν καὶ πρὸ τοῦ νενομισμένου καιροῦ, οἱ δὲ καὶ ὑπερβάλλοντες αὐτὸν ἐν εὐσταθεῖ τὴν διάνοιαν οὐ πεπήγασι, τῷ δὴ ταῦτα βούλεσθαι ἐλλιπῶς ἔχειν τὴν νομοθεσίαν ἐποίει, καὶ ἄλλως δέ πως πρῶτον μὲν[6], ὅτι μὴ ῥᾴδιον μᾶλλον δὲ παντελῶς ἀδύνατον πρὸς πάντας διαβαίνειν τοῦ νομοθέτου τὸ βούλημα. πῶς γὰρ οἱ γῆς καὶ θαλάσσης μακροῖς διειργόμενοι διαστήμασιν, ἵνα τὰ ἄλλα δυσχερῆ τοῦ βίου ἐάσω, νόσους καὶ φόβους ἐξ ἐπιβουλῆς ἐχθρῶν καὶ μελῶν πηρώσεις (ὃ πολλάκις οὐδ᾽ ἐπὶ χώρας δίδωσι προϊέναι, μὴ ὅτι γε ὑπερορίους στέλλεσθαι πορείας), πῶς οὐ κωλυόμενοι τούτοις καὶ μυρίοις ἑτέροις, ἃ τὴν ἀνθρωπίνην συνέχει ζωὴν, παρὰ μόνης τῆς βασιλικῆς κατανεύσεως τῶν οἰκείων πραγμάτων ἀξιωθήσονται τῆς ἐπιτροπῆς;

Ὅπερ οὖν καθὼς ἔμπροσθεν ἔφημεν ἐνέδει τῇ νομοθεσίᾳ, προσαναπληροῦντες τοῦτο κελεύομεν, τοῖς ἤδη διαβεβηκόσι τῶν παίδων τὸν ἀτελῆ τῆς ἡλικίας καιρὸν (τουτέστι τοῖς μὲν ἀνδράσι τὸν εἰκοστὸν, ταῖς θηλείαις δὲ τὸν ὀκτωκαιδέκατον), καὶ γνώμης καταστάσει ῥυθμιζομένοις καὶ φρόνησιν συλλεξαμένοις, ὑφ᾽ ἧς τὸ δεσπόζον ἡνιοχούμενον οὐ λυμανεῖται τοῖς πράγμασιν οὐδ᾽ ἐπιβλαβῶς αὐτοῖς τὸ δεσπόζειν ὀφθείη παρασχεθὲν, τὴν τῶν οἰκείων ἐπιτροπὴν δίδοσθαι· τοίνυν οὗτοι καὶ λαβέτωσαν, καὶ δεσποζέτωσαν. οἱ δ᾽ ἔτι λογισμοῦ τοῦ κυβερνήσοντος ἐνδεεῖς καὶ διὰ τοῦτο μέλλοντες ἀντὶ τοῦ δεσπόζειν (αὐτοὶ ὑπὸ ἀνοίας δεσποζόμενοι) ἐπιζήμιοι ἑαυτοῖς ὑπάρξειν, κἂν πέρα τοῦ καιροῦ ἥκοντες ὁρῶνται, οὐ λήψονται· εἰ γὰρ ὅπερ ἦν σκοπὸς, τὸ τὰ προσήκοντα καλῶς οἰκονομεῖσθαι, τοῦτο ἔτι οὐκ ἔστιν ἐπίδημον, πῶς κἂν ἐπίδημος ἡ ἡλικία, ἐπισφαλῶς αὐτοῖς ἐμπιστευθείη ἃ τῇ ἐκείνης ἐπιστασίᾳ οὐ καλῶς διοικηθήσεται;

---

[4] Malim ἐπὶ τήν. [5] Codd. εἰ ὁ μέν, Steph. εἰ ὃς μὲν καὶ ὑπ. — ὃς δέ.
[6] Hic locus omnino corruptus est: desideratur enim δεύτερον, quod ad πρῶτον illud respondeat. Forte παροπτομένην vel ejusmodi quid.

οὕτω δὲ ἄρα καὶ δυνατοὶ ὄντες πράγμασιν ἐπιστατεῖν, κἂν μὴ πρὸς τὸν καιρὸν ἔφθασαν τῆς ἐπιστασίας, οὐ κωλυθήσονται· ἓν γὰρ τὸ ζητούμενον, τὸ μὴ λυμήνασθαι τοῖς ὑπάρχουσιν, οὗ παραστάντος περιττόν ἐστι τὸν[7] καιρὸν ἀναμένειν.

Καὶ μὴ μόνον δὲ βασιλείαν[8] τὴν τῶν οἰκείων πραγμάτων ἐπιτροπὴν καὶ διοίκησιν ἐγχειρίζειν, ἀλλὰ καὶ τοὺς ἐν ἑκάστῳ ἄρχειν λαχόντας τόπῳ καὶ κρίνειν τὸ ἀκώλυτον ἔχοντας. οὕτω γὰρ καὶ ἡ τοῦ νομοθέτου πρόνοια πάντας ὀνήσει τοὺς χρῄζοντας, καὶ ὁ νόμος μᾶλλον τὸ οἰκεῖον ἐνεργήσει.

NOV. XXIX.

Ut ancillam partus apud alium editus ad ipsius dominum sequatur.

ΔΙΑΤΑΞΙΣ κθ'[1].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ὥσπερ ἀληθῆ καὶ ὀρθὸν λόγον ἴσμεν τὸν ψεύδους διαστροφὴν οὐκ ἐμφαίνοντα, οὕτω καὶ ἀληθῆ νόμον, ὃς μὴ ἐλέγχεται τῷ ἀδίκῳ παρατρεπόμενος· ὡς εἴ γέ τις τοῦτο οὐ διασώζει, οὐκ ἂν εἴη νόμος, κἂν τῆς τοιαύτης προσηγορίας ἠξίωται. εἰ γὰρ τοῦτο νόμου τὸ νέμειν ὅπερ ἑκάστῳ ἁρμόδιον, πῶς ὁ μὴ τοῦτο ποιῶν νόμος ἔσται; πεφώρανται μὲν δὴ καὶ ἕτεροι καλούμενοι νόμοι τοῦτο παθόντες, οὐχ ἧττον δὲ κἀκεῖνος[2] ὁ τὴν γονὴν τῆς μὴ παρὰ τῷ οἰκείῳ δεσπότῃ ἀλλὰ παρ' ἑτέρῳ ἢ συλήσεως τρόπῳ ἢ ἑτέρῳ τινὶ τὰς ὠδῖνας ἀπολυσαμένης θεραπαίνης, ἐπειδὰν τὸ κακούργημα εἰς γνῶσιν ἔλθῃ, παρακελευόμενος μὴ σὺν τῇ μητρὶ πρὸς τὸν οἰκεῖον δεσπότην ἀπέρχεσθαι, ἀλλὰ παρακατέχεσθαι ὑπὸ τούτου, ὃς ἀλλοτρίου κτήματος ὤφθη δεσπότης.

Τοῦτο οὖν ἐπεὶ μὴ καλῶς ἔχειν δοκεῖ, τῆς προσηκούσης θεραπείας ἀξιοῦντες ἡμεῖς παρακελευόμεθα τῇ τεκούσῃ τὸν ἴδιον τόκον ἀκολουθεῖν. οὐ γὰρ ὅτι ὁ κλέπτης ὑπέχει ἃ διορίζει ὁ νόμος αὐτὸν καταβάλλειν τῷ δεσπότῃ, διὰ τοῦτο ἀποστερήσεται μὲν αὐτὸς τὸν τόκον τῆς οἰκείας θεραπαίνης, κερδήσει

---

[7] Codd. et editi τό. [8] Zuich. et Meerm. βασιλέα. Scrimg. βασιλεύειν.

[1] In Zuich. et Meerm. scholium est: αὕτη ἀνῄρηται θέ. β' τοῦ ια' διγ. τοῦ β' τί. τοῦ ς' βι. τῶν διγ. τῶν βασιλ. βι. ιέ τί. β' κεφ. ια'. [2] Ita Zuich. et Meerm. Scrimg.: δ' ἐκεῖνος.

δὲ τοῦτον ἄλλος· ἀρκεῖ γὰρ τούτῳ πρὸς κέρδος, ὅσα εἰς ὑπηρεσίαν αὐτῇ ἀπεχρήσατο. ναὶ[3], φησὶν, ἀλλ᾽ εἰ τιμὴν ὑπὲρ αὐτῆς κατατιθέμενος οὕτως ἐκτήσατο, δεῖ τι καὶ τοῦτον κερδαίνειν ἐκ τοῦ τιμήματος, καὶ διὰ τοῦτο τὸ τεχθὲν οὐκ ἄτοπον παρ᾽ αὐτῷ διαμένειν. ἀλλ᾽ εἰ τοῦτό τις εὔλογον εἶναι νομίζει εἰς κατάσχεσιν τοῦ κυήματος, πῶς οὐκ εὐλογώτερον εἰς τὸ ἕπεσθαι ἡ τοῦ πρῴην δεσπότου τοῦ τιμήματος προλαβοῦσα καταβολή; πῶς δ᾽ οὐκ ἐστὶν ἁρμοδιώτερον τὸν ὑποστάντα τὴν ἀπώλειαν καὶ ταῖς ἐκεῖθεν ἀλγηδόσι βεβλημένον τὴν καρδίαν τῷ κέρδει θεραπεύεσθαι, ἀλλὰ μὴ ἐκεῖνον τοῦτο ἔχειν, ὃς πρὸς τῷ μηδὲν ἀπολωλεκέναι (ἔξεστι γὰρ αὐτῷ ἀναλαμβάνειν τὸ τίμημα παρ᾽ οὗ κλαπεῖσα ἡ[4] θεράπαινα ἀπημπόληται) καὶ τὰ ὅσα ὑπηρετήσατο κερδήσας ὁρᾶται; οὐδαμῶς οὖν ἐν κατοχῇ ἔσται καθὼς ἔφημεν τὸ τεχθὲν, ἀλλ᾽ ὥσπερ τὴν μητέρα, οὕτω καὶ τὸ τέκνον ὁ πρότερος ἕξει δεσπότης. ἄν τε γὰρ ὁ τὴν κλοπὴν ἐργασάμενος τῶν εὐπόρων ᾖ, ἀποδιδόντος αὐτοῦ[5] ἥνπερ κακῶς ἔλαβε τιμὴν, οὐδὲν πλέον πολυπραγμονεῖν ὀφείλει, ἄν τε θανὼν, ἢ ζῶν μὲν ἀπορῶν δὲ εἰς ἔκτισιν ἃ τοὺς κλέπτοντας ὁ νόμος εἰσπράττεται, καὶ οὕτως δικαιότερον τὸν ἀπολωλεκότα τὴν θεράπαιναν τῇ τοῦ παιδὸς σὺν τῇ μητρὶ ἀναλήψει παραμυθήσασθαι τὴν ἀπώλειαν.

NOV. XXX.

De novis nuptiis vivo priore marito tentatis.

ΔΙΑΤΑΞΙΣ λ΄.

Περὶ γάμου ζῶντος τοῦ προτέρου ἀνδρός[1].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ὥσπερ τῶν πεφωραμένων νόμων μὴ λυσιτελῶς ἔχειν τῇ πολιτείᾳ ἀναγκαίαν ἐποίει τὴν ἐπὶ τὸ ἄμεινον μετασκευὴν ἡ

---

[3] Ex conjectura Stephani. Codd. καὶ. [4] Malim ἡ κλαπεῖσα θερ.

[5] Scrimg. αὐτῷ.

[1] In Zuich. et Meerm. additur scholium: αὕτη ἀνήρηται τῆς ρις΄ νεαρᾶς τὸ παραλύειν γάμον (lege περὶ λύσεως γάμων), καὶ ἐβεβαίωσε τῆς κβ΄ νεαρᾶς τὸ ιβ΄ (nobis ις΄) κεφ. ἡ μὲν ρις΄ νεαρὰ κειμένη ἐν βι. τῶν βασιλ. κη΄ τί. ζ΄ οὐδὲ μέμνηται ὅλως, μὴ ὅτιγε ἀναιρεῖ τὸ περὶ τῆς διαλαλούσης ἑτέρῳ περὶ γάμου ζῶντος τοῦ προτέρου ἀνδρός· τὸ δὲ ιβ΄ (l. ις΄) κεφ. τῆς κβ΄ νεαρᾶς οὐκ ἐστὶν εἰς τὰ βασιλικά. Cf. Epanag. XXI, 5 in fine.

δικαία τῆς πολιτείας πρόνοια, οὕτω καὶ τοὺς ὀρθῶς ἔχοντας τῶν νόμων καὶ μηδὲν τοὺς πειθομένους παραλυποῦντας τῶν μὴ οὕτως ἐχόντων μηδ' εἰς τὸ ἄλυπον τοὺς ὑπηκόους περιϊστάντων τῆς αὐτῆς ἂν εἴη προνοίας ἔργον ἐκλέγεσθαι καὶ προκρίνειν, ἐπειδὰν περὶ τοῦ αὐτοῦ πράγματος δύο ἀλλήλοις μαχόμενοι ὁρίζουσι νόμοι. πῶς γὰρ ἂν εἴη λόγον ἔχον, στρατηγοὺς μὲν καὶ ἄρχοντας τῶν χειρόνων ἐκλέγεσθαι τοὺς ἀμείνους, καὶ προκρίνειν τούτους, ὧν ἡ ἀρχὴ πρὸς τὸ συμφέρον διαθήσει τὸν βίον τῶν ἀρχομένων (καίτοιγε οὐκ ἀεὶ μέλλουσιν ἄρχειν), νόμων δὲ, οἷς μέχρις ἂν ἡ πολιτεία συνίσταται τὸ ἄρχειν δίδοται, μὴ τοὺς βελτίστους ἀξιοῦν εἰσάγειν εἰς τὴν ἀρχὴν, ἀλλὰ τοὺς τῆς χείρονος μοίρας καὶ οὓς καλὸν ἦν μηδὲ τὸ πρῶτον εἰς γνῶσιν ἐλθεῖν;

Τί δήποτε ταῦθ' ἡμῖν εἴρηται; Ἰουστινιανὸς ἐκεῖνος, οὗ μετὰ τῆς εὐσεβείας καὶ ἡ περὶ τὸ ὑπήκοον φροντὶς ἐσέμνυνε τὸ διάδημα, πρότερον περὶ διαλύσεως γάμων θέσπισμα θέμενος, ὡς εἴπερ γυνὴ ἔτι τοῦ ἀνδρὸς ἐν ζῶσιν ὄντος περὶ γάμων αὐτῆς ἑτέρῳ διαλεγομένη ὀφθείη, μηκέτι ἐξεῖναι αὐτὴν τῷ ἀνδρὶ συνηρμόσθαι ὡς οἰκεῖον μέλος ἀλλ' ὡς ἐπίβουλον διαῤῥήγνυσθαι, ὕστερον αὐτὸς ἑαυτῷ ἀντιλέγων οὐκ ἐπιτρέπει· διὰ ταύτην τὴν αἰτίαν διασπᾶν τὸν γάμον. ἡμεῖς οὖν μᾶλλον τὴν προτέραν τοῦ ἀνδρὸς γνώμην λυσιτελοῦσαν ὁρῶντες τῷ βίῳ, ὡς δι' ὧν παρακελεύεται ἀσφαλιζομένην καὶ προανακόπτουσαν τὰς κατὰ τῶν γάμων ἐπιβουλὰς, ταύτην δὲ ἄρα πολιτεύεσθαι νόμον ἐκφέροντες, ἣν[2] ἐπιτηρεῖσθαι[3] φέρουσαν παλινῳδίαν ὁ ἀνὴρ ᾖσεν εἰς τὸ τῆς πολιτείας ἡμῶν θέατρον χώραν εὑρίσκειν οὐκ ἐπιτρέπομεν. εἴ τις οὖν ἔτι τοῦ ἀνδρὸς περιόντος[4] πρὸς γάμους ἑτέρῳ κοινολογουμένη ὀφθείη, οἷα δὴ αὐτὴ ἑαυτὴν μιαρῷ φρονήματι ἀποῤῥηγνῦσα καὶ τῇ τοῦ γάμου διαλύσει τούτου ἀποῤῥαγήσεται, καὶ δὴ καὶ χρηματικαῖς ὑποβληθήσεται ποιναῖς, αἷς ἐνέχονται αἱ διὰ τοὺς ἄλλους τρόπους τῶν ἀνδρῶν διασπώμεναι. ἡ γὰρ διὰ τῆς γαμικῆς ἁρμονίας εἰς μίαν μὲν σάρκα τῷ ἀνδρὶ χρηματίσασα, οὐ στέργουσα δὲ, ἀλλ' ὁμοῦ μὲν ἐν τῷ πρὸς ἕτερον βλέπειν τὸν συναρμόσαντα πλάστην ὑβρίζουσα, ὁμοῦ δὲ καὶ τῷ συζύγῳ ἐχθρὸν φρόνημα φέρουσα, πῶς οὐ δικαίως αὐτὴ ἑαυτὴν προαποτεμοῦσα παντελῶς τῆς ἑνώσεως ἀποκοπήσεται; τί γὰρ ἂν ἔτι ὀφθείη ἐχέγγυον τοῦ ἐχθρὰ φρονεῖν τῷ ἀνδρὶ τὴν

---

[2] Conjectura Stephani. Codd. ὅν. [3] Codd. ἐπιτηρεῖται. [4] Scrimg. παρόντος.

γυναῖκα, ὁπότε ἀσελγεῖ φρονήματι τοῦ οἰκείου μέλους τὸν ὀφθαλμὸν ἀποστρέφουσα ἀλλοτρίῳ ἐνατενίζειν ἔρωτα φέρει;

NOV. XXXI.

Ut quae mulier mariti odio abortat, repudiari ab illo possit[1].

ΔΙΑΤΑΞΙΣ λα΄[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ὁ πλάσας ἄνθρωπον ἀπὸ γῆς ἐξ οἰκείων μελῶν βοηθὸν αὐτῷ συνάπτει τὴν πλευρὰν εἰς γυναῖκα διαπλάσας, ἵνα τὴν ἑαυτῆς ἐπισταμένη τῆς πλάσεως αἰτίαν καὶ ἐντεῦθεν παιδεύηται οἷόν τινι νόμῳ τὸ πρὸς τὸν ὁμόζυγον εὔνουν, καὶ σώζῃ αὐτῷ τὸ φίλτρον ἀνόθευτον. ἡ μὲν οὖν οὕτω φρονοῦσα καὶ γνώμην οἰκείαν τῷ ἀνδρὶ τηροῦσα, βοηθός τέ ἐστιν ἀληθῶς καὶ τὴν τοῦ πλάσαντος οὐ ψευδομένη ὑπόσχεσιν, ἡ δ᾽ ἐναντίον φρόνημα κτησαμένη οὐκέτι οὔτε τοῦτο γνωρίζεται οὔτε σὰρξ ἐκ τῆς σαρκὸς ἢ μέλος ἐκείνου καθίσταται, κἂν ἡ συνάφεια πρὸς ἓν ἀγαγεῖν ἔσπευσε.

Διὰ τοῦτο περὶ γυναικὸς δύο κειμένων νόμων, ἣ δι᾽ ἀπέχθειαν τὴν πρὸς τὸν ἄνδρα τῷ ἐκείνου τῆς σπορᾶς καρπῷ λυμαίνεται ἀμβλώσκουσα καὶ πρὸς βίου φῶς οὐκ ἄγουσα τὴν γονὴν ἑκοῦσα, καὶ τοῦ μὲν χωρίζεσθαι τὸν ἀδικούμενον κελεύοντος, τοῦ δὲ οὐκ ἐπιτρέποντος, ἡμεῖς ὡς λυσιτελεστέρῳ κατὰ πολὺ προστιθέμενοι τῷ χωρίζοντι ἐκείνῳ τὸ κῦρος προσνέμομεν. ἄτοπον γάρ μοι φαίνεται καὶ παντελῶς ἄδικον, τὴν οὕτω προφανῶς τὴν πρὸς τὸν ἄνδρα δυσμένειαν ἐπανῃρημένην δι᾽ ὧν τῷ ἐκείνου λωβᾶται σπέρματι (ἀφίημι γάρ, ὅτι καὶ τῆς κοινῆς ἐπίβουλος φύσεως) συγκατοικίζειν αὐτῷ. εἰ γὰρ τοὺς εἴς τι ἕτερον ἔργον βλάβην ποιουμένους ὡς ἐχθροὺς ἀποτρεπόμεθα, πῶς ἂν τὴν εἰς τὸ πάντων ἀναγκαιότατον καὶ τιμιώτατον τῆς παιδοποιΐας ἔργον ἀνυστὴν[3] ζημίαν φέρουσαν ὡς οἰκείαν ἕξει

---

[1] Excitatur a Bals. ad syn. Trull. c. 91 (ed. Rhalli II p. 520), Blast. *Γ*, 28 (ed. Bev. II p. 87), et Harm. IV, 15, 6 [2] In Zuich. et Meerm. haec notata sunt: *αὕτη ἀνῄρηται τῆς ρις΄ νεαρᾶς περὶ λύσεως γάμων, καὶ ἐβεβαίωσε τῆς κβ΄ νεαρᾶς τὸ ιβ΄* (in nostris *ις΄*) *κεφ. ἡ μὲν γὰρ ρις΄ νεαρὰ κειμένη ἐν βι. τῶν βασιλ. κη΄ τί. ζ΄ [οὐ] μέμνηται καὶ περὶ ἀμβλώσεως· τὸ δὲ ιβ΄* (l. *ις΄*) *κεφ. τῆς κβ΄ νεαρᾶς οὐκ ἐστὶν εἰς τὰ βασιλικά.* Cf. Epanag. XXI, 5 in fine.
[3] Codd. *ἂν οὐ τήν.* Steph. *ἀκροτάτην,* Spang. *ἀνδρὶ τὴν* conjecerunt.

ὁ ζημιούμενος παρ' ἑαυτῷ, ἀλλ' οὐκ ἀποπέμψεται ὡς ἐπίβουλον καὶ πολεμίαν; τί γὰρ ἂν ἐναργέστερον σημεῖον ἐπιζητήσει ἔτι, ὥστε ἰδεῖν ὅτι δύσνους ἡ γυνὴ τῷ ἀνδρί; πῶς δ' οὐχὶ φανερὸν, ὅτι ἐν τῷ κατ' ἐκείνου φρονεῖν τῆς πρὸς τὸ ζῆν παρόδου ἀποστερεῖ τὴν γονήν; ὥσπερ οὖν εἴρηται, ὁ διϊστῶν αὐτοὺς κρατείτω νόμος καὶ ἄδειαν ὁ γαμέτης ἐχέτω χωρίζεσθαι τῆς ἐπὶ τοιούτῳ τολμήματι πεφωραμένης γυναικός. εἰ γὰρ καὶ μόνον ἔξω μείνασαν τῆς οἰκίας, ἢ συμποσίου μετασχοῦσαν προσώποις οἷς οὐ νενόμισται, τῆς γαμικῆς συναφείας ὁ νόμος αὐτὴν διϊστᾷ (καίτοιγε ἐνταῦθα οὐχ οὕτω περιφανὲς ὁρᾶται μαρτύριον τῆς πρὸς τὸν ἄνδρα δυσμενείας, συνενεχθῆναι[4] τοῦτο αὐτῇ τοιοῦτον εἰκὸς καὶ μηδενὸς ἀδικήματος τῷ γάμῳ συμβαίνοντος), τίνα λόγον ἕξει, τὴν εἰς τοσοῦτον μὲν ἐλάσασαν μίσους, οὕτω δὲ ἄδικον καὶ περὶ τὸν ἄνδρα καὶ περὶ τὴν φύσιν μὴ διαζευγνύειν, εἰ τοῦτο δοκεῖ τῷ ἀνδρὶ, ἀλλ' ἐπιτρέπειν σύνοικον ἔχειν, ἢ ἐφεδρεύει τῇ ἐκείνου ζωῇ;

NOV. XXXII.

De manifesto deprehenso adultero adulterave[1].

ΔΙΑΤΑΞΙΣ λβ'.

Περὶ τοῦ ἐπ' αὐτοφώρῳ ἁλόντος μοιχοῦ ἢ μοιχαλίδος[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Τὸ τῆς μοιχείας ἄγος εἴπερ τὶ ἄλλο τῶν ἀνοσιουργημάτων βαρεῖαν καὶ φοβερὰν ἀπαιτεῖ τὴν ποινὴν καὶ οἶμαι μὴ ἀνδρο-

---

[4] Steph. ἐπεὶ συνεν. vel συνεν. γὰρ, Agyl. καὶ συνεν. Non opus: verbum συνενεχθῆναι ab εἰκὸς pendet.

[1] Ecl. Nov. 19. Allegatur in Basil. ed. Heimb. I p. 705, Balsam. ad Phot. Nomoc. XIII, 5 (ed. Rhalli I p. 302) et ad syn. Trull. c. 87 (ed. Rhalli I p. 508) et ad c. 37 Basilii (ed. Rhalli IV p. 182), Blastar. *M*, 14 (ed. Bevereg. II p. 185), denique Harm. VI, 2, 14. Epanag. aucta tit. LII cap. 109: Ἐκ τῆς νεαρᾶς λέοντος βασιλέως. ἡ μοιχευθεῖσα γυνὴ ῥινὸς ἐκτομῇ κινδυνεύει, ἄλλως τε καὶ ὁ συμφανεὶς μοιχὸς τῇ ὁμοίᾳ ποινῇ ὑποκείσθω. ὁ δὲ ἀδικηθεὶς ἀνὴρ τὴν περιουσίαν τῆς μοιχαλίδος κερδαινέτω ἅμα τοῖς παισὶ καὶ τῇ μονῇ ἐν ᾗ βάλλεται· εἰ δὲ μὴ παῖδες εἰσὶν, οἱ γονεῖς ἀντ' αὐτῶν καλοῦνται· εἰ δὲ καὶ γονέων ἀπορῇ, οἱ λοιποὶ συγγενεῖς. [2] Zuich. et Meerm. adnotatum habent: αὕτη ἀνῄρηται τὸ β' (lege η') κεφ. τῆς ριζ' νεαρᾶς τὸ περὶ λύσεως γάμων καὶ τῆς ρλδ' νεαρᾶς τὸ ιβ' κεφ. καὶ τὸ μὲν τῆς ριζ' νεαρᾶς οὐκ ἐστὶ ἐν τοῖς βασιλικοῖς· τὸ δὲ τῆς ρλδ' κεῖται ἐν βι. τῶν βασιλ. κη' τί. ζ' κεφ. β'.

φονίας ἐλαττουμένην· ὁ μὲν γὰρ τῆς μιαιφονίας ἐργάτης ἑνός τινος πολλάκις τῇ μιαιφόνῳ χειρὶ ἀνατρέπει τὸν βίον, ὁ δὲ μιαρὸς τῆς μοιχείας ἐργάτης πλείστων ὅσων ἀνέτρεψε βίους, ἀνδρὸς, παίδων, συγγενῶν ἄλλων, μιᾷ πληγῇ πάντας τῇ τῶν γάμων ἀνατρέπων διασπαράξει[3]. πλὴν ἀλλ' ἐπεὶ πάλαι φόνῳ τιμωμένης[4] τῆς ἀνοσιουργίας ἔδοξε τοῖς μετὰ ταῦτα φιλανθρωποτέραν ἐκφέρειν ψῆφον, ἀεὶ δέ πως ἡμᾶς ἡ φιλανθρωποτέρα ἐφέλκεται γνώμη, ἣν ἐκεῖνοι ὥρισαν[5] τιμωρίαν (φημὶ δὴ τῆς[6] ῥινὸς ἐκτομῇ ἀμφοτέρους τοὺς ἐναγεῖς ὑποβάλλεσθαι), τοῦτο καὶ ἡμεῖς ὁρίζομεν. ἀλλὰ τοῦ μὲν ἀνοσιουργήματος ἔστω τοῦτο ποινή.

Ἐπεὶ[7] δὲ καὶ τὸν ἄνδρα χρὴ ἀντὶ τῆς τοσαύτης ἀδικίας μὴ ἀπαραμύθητον[8] ἔχειν, ἐχέτω παραμύθιον ἐκ τοῦ τὴν προῖκα λαμβάνειν τῆς ὀφθείσης ἀδίκου περὶ τὰ γαμικὰ δίκαια γυναικός. αὐτὴν δὲ μηδαμῶς ἀφίεσθαι τῶν γάμων κατορχεῖσθαι, μηδ' ὥσπερ ἆθλον λαμβάνειν[9] ἐν τῇ τῶν ῥινῶν ἐκτομῇ ἀδεῶς τὸ λοιπὸν τοῖς ἀκολάστοις συμπλέκεσθαι, ἀλλ' ἐν μοναστηρίῳ περιορίζεσθαι ὑπὲρ ἧς παρανομίας τετόλμηκεν, ἐν συντριβῇ τῆς ψυχῆς εὐμενεστέραν ἑαυτῇ τὴν ἐκεῖθεν καθιστῶσα δίκην καὶ πρὸς ἔρωτα μὲν τοῦ μονήρους βίου καταστάσης αὐτῆς καὶ τοῦτον ἐπανελομένης, τὴν περιουσίαν ὅση κεχώρισται τῆς προικὸς τούς τε παῖδας καὶ τὸ μοναστήριον συνδιανείμασθαι, εἰ δὲ μὴ παῖδες παρεῖεν, ἀντ' ἐκείνων εἰς τὴν διανομὴν ἐσάγεσθαι[10] τοὺς γονέας, εἰ δὲ καὶ τούτων ἔρημος εἴη, τοὺς ἄλλους τῶν συγγενῶν· ἐν λαϊκῷ δὲ[11] τῷ σχήματι ἀφανισθείσης τοῦ βίου, πάντως κυρίας οὔσης διατίθεσθαι[12], κατὰ[13] τὴν ἐκείνης διάταξιν τὰ προσόντα οἰκονομηθήσεται[14].

---

[3] Ecl. διαπράξει. [4] Inter Eclogae Codices unus τιμωρουμένης scribit. [5] Ecl. ὡρίσαντο. [6] Ecl. φημὶ δὲ τῇ. [7] Scrimg. ἐπειδὴ. [8] Ecl. ἀπαραμυθήτως. [9] Agyl. vult λαμβάνουσαν. Sed ἆθλον λαμβάνειν τὸ συμπλέκεσθαι recte habet: τὸ enim non ad λοιπὸν sed ad verbum συμπλ. pertinet. [10] Ecl. εἰς τὴν νομὴν εἰσάγεσθαι. [11] Ecl. addit τυχόν. Non male. [12] Ecl. παντὸς κυρ. οὔσ. διαθέσθαι. [13] Codd. καὶ κατὰ, quod ex Ecl. emendavi. [14] Iidem addunt: ἤτοι τὰ ἐξώπροικα, quae absunt ab Ecl. et glossam sapiunt.

NOV. XXXIII.

Captivorum uxoribus aliis nubere non licere[1].

ΔΙΑΤΑΞΙΣ λγ΄.

Περὶ τοῦ μὴ ἐξεῖναι τὰς τῶν αἰχμαλώτων γαμετὰς ἑτέροις συνάπτεσθαι[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Εἰ μὲν τοὺς πάλαι περὶ νόμων διαλαβόντας τοῦτο φρονεῖν ὑπελάμβανον, μηδαμῶς βούλεσθαι τὰ οἰκεῖα ἐπανορθοῦσθαι, κἄν τι ἐν αὐτοῖς τοιοῦτον οἷον προσδεῖσθαι διορθώσεως, ἴσως οὐκ ἂν ἐπὶ ταύτην ἦλθον τὴν γνώμην, φημὶ δὴ τοῦ πειρᾶσθαι τοὺς μὴ τῶν νόμων ὑγιῶς ἔχοντας ἐπανορθοῦν· εἰ γὰρ καὶ οὕτως ἡ περὶ τὸ ὑπήκοον ἀναγκαία φροντὶς, τοῦτο πῶς[3] ἂν εὖ πολιτεύοιτο, ἀναγκαίως ἐπέτρεπε τὴν διόρθωσιν, ἀλλ' οὖν ἵνα μὴ δόξωμεν τοὺς ἐξ ἀρχῆς νομοθέτας λυπεῖν, καὶ[4] ἐπέχωμεν τὴν ἐπὶ τούτῳ ὁρμήν. ἐπεὶ δὲ καὶ αὐτοῖς ἐκείνοις εἴπερ ἔτι ἐν ἀνθρώποις ἐστρέφοντο οὐκ ἂν οἶμαι τὴν προαίρεσιν ἀπαρέσκειν τῶν διορθοῦν ἐπιχειρούντων, ἀλλὰ καὶ χάριν ὁμολογῆσαι τοῖς οὕτω διεγνωκόσιν (οὐ γὰρ φιλοτιμίας ἕνεκεν, τὸ δὲ συμφέρον τῇ πολιτείᾳ προνοούμενοι τὴν τῶν νόμων ἔκθεσιν ἐποιήσαντο), φέρε δὴ καὶ τῇ πολιτείᾳ συμφέροντα καὶ αὐτοῖς ἐκείνοις τοῖς πάλαι νομοθέταις οὐκ ἄπο γνώμης ποιοῦντες, καθάπερ τινὶ παιωνίῳ φαρμάκῳ τῇ ἀκριβεστέρᾳ διασκέψει τὴν τῶν[5] νόμων ἀῤῥωστίαν ἐν θεῷ ἐξιώμεθα. ἐπὶ τοῖς ἄλλοις, οἷς περὶ τῶν αἰχμαλώτων νενομοθετήκασι, κἀκεῖνο τὸ μέρος, ἐν ᾧ περὶ τῆς γάμων διαλύσεως ὡρίσαντο, πάνυ δοκεῖ ἀτόπως ἔχειν. φασὶ δὲ οὕτως ἐπ' αὐτοῖς ῥήμασι[6]· „εἴτε ἀνδρὶ συμβαίη τὸ τῆς αἰχμαλωσίας ἀτύχημα, τῆς γυναικὸς ἐν τῇ πολιτείᾳ μενούσης, εἴτε αὖθις γυνὴ μὲν εἰς αἰχμαλωσίαν ἀπίοι, μένοι δὲ

---

[1] Ecl. Nov. 20. Cf. Bals. ad syn. Trull. c. 93 (ed. Rhalli II p. 526) et ad c. 1 Gregor. Neocaes. (ed. Rhalli IV p. 49); Blast. Γ, 5 (ed. Bev. II p. 66) et Harm. IV, 15, 4. [2] Rubricam Zuich. et Meerm. non habent: in Ecl. tamen eadem est. — Illi scholium adscriptum habent: *αὕτη ἀνῄρηται τῆς κβ΄ νεαρᾶς τὸ ϛ΄ κεφ. τὸ περὶ λύσεως γάμων καὶ τῆς ριζ΄ νεαρᾶς κεφ. ε΄ θέ. ι΄. καὶ τὸ μὲν τῆς ριζ΄ οὐκ ἐστὶν εἰς τὸ βασιλικόν· τὸ δὲ τῆς κβ΄ κεῖται ἐν βι. τῶν βασιλ. κη΄ τί. ζ΄ κεφ. η΄ θέ. γ΄.* [3] H. Stephanus legendum esse suspicatur: *τοῦ ὅπως*, Osenbrüggen *τοῦτο ὅπως*. [4] Zuich. et Meerm. *κἂν*. [5] Steph. *περὶ τῶν* legi vult. Mox ego malim *σὺν θεῷ*. [6] Videsis Justiniani Nov. 22 c. 7 pr.

ὁ ἀνὴρ ἐν τῇ πολιτείᾳ, ὁ μὲν ἀκριβὴς καὶ λεπτὸς λόγος διαλύει τὸν γάμον· δουλείας γὰρ ἅπαξ ἐπιγενομένης θατέρῳ, ἡ τῆς τύχης ἀνισότης τὴν ἐκ τῶν γάμων ἰσότητα[7] μένειν οὐ συγχωρεῖ.] πλὴν ἀλλὰ φιλανθρωπότερον τὰ τοιαῦτα θεωροῦντες, ἕως μέν ἐστι φανερὸν ἢ τὸν ἄνδρα περιεῖναι ἢ τὴν γαμετὴν, μένειν ἄλυτα τὰ συνοικέσια συγχωροῦμεν, καὶ οὐκ ἐλεύσονται πρὸς δευτέρους γάμους οὔτε γυναῖκες οὔτε ἄνδρες, εἰ μὴ βούλοιντο δοκεῖν κατὰ προπέτειαν τοῦτο πρᾶξαι, καὶ ὑποπεσεῖν ταῖς ποιναῖς, ὁ μὲν τῆς πρὸ γάμου δωρεᾶς τῇ ἐκτίσει, ἡ δὲ τῆς προικός." Οἱ μὲν οὖν προφθάσαντες τοιαύτην περὶ τοῦ γάμου τῶν αἰχμαλώτων ἐξέφηναν γνώμην. ἡμῖν δὲ οὔθ' ἡ αἰτία εὔλογος, ἣν ὁ ἀκριβὴς ὥς αὐτοί φασι καὶ λεπτὸς λόγος δίδωσιν, οὔτε ἡ φιλανθρωπία ἐστὶ καθαρὰ, ἡ ἄδειαν λελύσθαι παρεχομένη τὸν γάμον ἐν τῷ ὑποβαλεῖν αὐτοὺς τῇ ζημίᾳ. εἰ γὰρ, ὥσπερ λέγουσι, τῆς τύχης ἡ ἀνισότης οὐ συγχωρεῖ μένειν τὸν γάμον, πῶς εἰ πρὸς ἐλευθερίαν ἐπανακληθείη ὁ αἰχμάλωτος, μετὰ τὴν τοῦ γάμου διάλυσιν πρὸς τὸ ἴσον ἐπανελθούσης τῆς τύχης καὶ ἀμφοτέρων ἐλευθερίως βιούντων, οὐκ εἰς τὸ ἴσον ὁ γάμος πάλιν ἐπανελεύσεται; ποῦ δὲ τὸ φιλάνθρωπον καθαρὸν, ζημιοῦν μὲν τῇ τῶν οἰκειοτάτων μελῶν ἀφαιρέσει, πειρᾶσθαι δὲ τὴν ζημίαν παραμυθεῖσθαι ἀντεισαγωγῇ τῶν ἄλλων κτημάτων; πῶς δὲ μέχρι καὶ τῶν φαυλοτάτων αὐτῆς περιουσίας τῶν αἰχμαλώτων λογίζεται[8] φυλαττομένων αὐτοῖς τῶν δικαίων, οὐχὶ πάνδεινον[9] τῷ μείζονι μέρει (φημὶ δὴ τῇ τοῦ οἰκείου μέλους συντηρήσει) κινδυνεύειν αὐτοὺς μὴ[10] ὁμοίως ἀξιοῦσθαι τῶν δικαίων, ἀλλ' εἶναι ἀνεπίσχετον τὴν ζημίαν, εἰ τοῦτο ἐπὶ γνώμην ἥκοι θατέρῳ μέρει ἀλογῆσαι τοῦ οἰκείου μέλους; τί οὖν φημι ἐγώ; ἐάν περ τοῦ ἑνὸς μέρους ἐν αἰχμαλωσίᾳ ὄντος τὸ ἀπείρατον διαμεμενηκὸς τῆς αἰχμαλωσίας ἑτέροις πρὸς συνάφειαν ἴδοι, ἐπανέλθοι δὲ τῆς αἰχμαλωσίας τὸ ἐν ταύτῃ κατεσχημένον, ἄδειαν εἶναι αὐτῷ[11] τὸ οἰκεῖον εἰ βούλοιτο ἐπαναλαμβάνειν μέλος, καὶ μηδαμῶς διότι ἑτέρῳ συνήφθη τοὺς ἐξ ἀρχῆς καινοτομεῖσθαι γάμους. εἰ γὰρ ἡ γενομένη πρὸς ἕτερον ὕστερον συνάφεια δόξει τισὶν ἀδιάλυτος ἂν διαμεῖναι, πῶς οὐ δικαιότερον ἡ ἀρχῆθεν τῶν γάμων συνάφεια πρὸς τὴν οἰκείαν

---

[7] Codd. τὴν ἐκ τοῦ γάμου ἀνισότητα. Ἰσότητα jam Steph. reposuit. [8] Locus omnino corruptus. Stephanus, quocum Agylaeus facit: πῶς δὲ εἰ μέχρι καὶ τῶν φαυλ. αὐτῆς ἡ περιουσία. Equidem conjecerim: πῶς δ' εἰ μέχρι καὶ τῶν φαυλοτάτων αὐτῶν περιουσία κτλ. [9] Agyl. legit πάνδηλον. Male. [10] Legerim καὶ μὴ ὁμ. [11] Scrimg. αὐτῇ.

κατάστασιν ἐπανελεύσεται; καὶ εἰ, διότι ἀλλοτρίῳ μέρει συνῆπται, οὐκ ἐπιτρέπει τὶς διασπᾶν, πῶς οὐκ εὔλογον, διότι τοῦ οἰκείου ἀπεῤῥάγη μέρους[12], τοῦτο πρὸς τὴν ἰδίαν οἰκειότητα συναρμόζειν; καὶ[13] φησὶν, ἀλλὰ κέρδος γίνεται τῶν αἰχμαλώτων ἐκ τῆς κατὰ προπέτειαν τῶν δευτέρων γάμων ὁμιλίας ἡ ἀντεισαγωγὴ τῆς ἐκτίσεως. ἀλλ' οὗτος ὁ λόγος ἄμεινον[14] ἦν μὴ ὅτι γε χειλέων προελθεῖν, ἀλλὰ μηδ' ἐπὶ διάνοιαν τῶν ταῦτα πεφρονηκότων ἀναβεβηκέναι. πῶς γὰρ οὐκ ἐσχάτως εἰς φρένα δυστυχὴς καὶ ἄπορος, ὃς τοῦ οἰκείου μέλους ἀλλάττεται χρήματα;

Θεσπίζομεν[15] οὖν, μηδαμῶς ἔτι πρὸς συνάφειαν ἑτέρου τὸν ἀπείρατον μεμενηκότα τῆς αἰχμαλωσίας ἔρχεσθαι, ἀλλ' ὅσοις ἂν δήποτε χρόνοις ἐν αἰχμαλωσίᾳ ᾖ[16] τὸ ἐκεῖ ταλαιπωρούμενον, περιμένειν τὸ ἕτερον, κἂν μήτε ἔγγραφος δήλωσις μήτε ἄγραφος ἐκεῖθεν καταλαμβάνῃ. εἰ δὲ παρὰ τόνδε τὸν νόμον βουληθεῖέν τινες τῇ πρὸς δευτέρους γάμους ὁμιλίᾳ τῶν προτέρων διαῤῥήγνυσθαι καὶ οὐχὶ κατὰ τὴν παρατήρησιν τὴν ἐν τῇ ριζ' νεαρᾷ[17] περὶ τῶν γυναικῶν τῶν ἐν ἐξπεδίτοις ὄντων κειμένην, ἴστωσαν ὡς ταῖς ποιναῖς ὑποκείσονται ταῖς ἐν τῇ εἰρημένῃ διατάξει τεταγμέναις, δηλονότι ἀδείας οὔσης, ὡς ἔφαμεν, εἰ ἀναῤῥυσθείη τῆς αἰχμαλωσίας τὸ ἐκεῖ ταλαιπωρούμενον, τὸ οἰκεῖον εἰ βούλοιτο ἐπαναλαμβάνειν μέλος.

NOV. XXXIV.

De tutore, qui pupillam vitiat[1].

ΔΙΑΤΑΞΙΣ λδ'.

Περὶ ἐπιτρόπου φθείροντος[2] τὴν ἐπιτροπευομένην παῖδα[3].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Δεινὸν μὲν τοὺς ὅσοι χρηστοὶ προσδοκηθέντες ἔσεσθαι ὑπὸ τῶν προσδοκησάντων πίστεως ἠξιωμένοι τινὸς ἀντὶ τοῦ ἀγα-

---

[12] Malim *μέλους*. [13] Steph. vult *ναὶ* pro *καὶ*. [14] Steph. emendat *ἀμείνων*. [15] Ab hoc verbo initium facit Ecl. [16] Ita Ecl., quod et Stephano et Agylaeo placuerat. Codd. *ἦν*. [17] Justiniani Nov. 117 c. 11. — Zuich. et Meerm. addunt scholium: *αὕτη κεῖται ἐν βι. τῶν βασιλ. κη' τί. ζ' κεφ. ζ' καὶ ἀνάγνωθι αὐτήν.*

[1] Ecl. Nov. 21. Excitatur in Basil. ed. Heimb. V p. 898; Prochiro aucto I, 14; Harm. V, 12, 54. [2] Ecl. *φθείραντος*. [3] In Zuich. et Meerm. hoc scholium legitur: *αὕτη μετεῤῥύθμισε τὴν α' διάτ. τοῦ ι' τί. τοῦ θ' βι. τοῦ κώδ. τῶν βασιλ. βι. ξ' τί. νζ'.*

θοὺς καὶ πιστοὺς ὀφθῆναι ἐχθροὺς ἀποφανθῆναι καὶ ἀπίστους. τοσοῦτον δὲ ὑπέρδεινον τὸ κακὸν ἐπὶ τῶν λαχόντων ὀρφανικῶν παίδων ἐπιτροπὴν, εἶτα[4] ἀντὶ τοῦ σωτήριον πρόνοιαν τῶν ἐπιτροπευομένων σχεῖν αὐτοὺς ὀφθῆναι τούτων λυμαντικοὺς, ὅσῳ[5] καὶ μείζονος ἠξιώθησαν πίστεως παρὰ τῶν εἰς τοῦτο καταστησάντων αὐτούς. δῆλον γὰρ, ὡς πεπεισμένος ὁ γονεὺς οὓς καταλείπει παῖδας ὀρφανικοὺς πατρικῆς ἀπολαύσειν προστασίας παρὰ τοῦ τὴν ἐπιτροπὴν ἐγχειριζομένου, δίδωσι ταύτην αὐτῷ. καλῶς οὖν οἱ πρὸ ἡμῶν τιμωρούμενοι τὸν ἀντὶ πατρὸς, ἀντὶ σωτῆρος παιδὸς ὀρφανικῆς δεδειγμένον φθορέα (ἐξορίᾳ γὰρ τοῦτον ὑποβάλλουσι, καὶ τῶν προσόντων ζημιοῦσι τῇ ἀφαιρέσει), οὐκ ἐφύλαξαν[6] ἐπὶ καλοῦ σχήματος τὸ καλὸν, οὐδ᾽ ἥν τινα περὶ τοῦ ὑβρισμένου καὶ δεινὰ παθόντος γυναίου ὑπὲρ τοῦ βοηθεῖν[7] τῇ ταύτης δυστυχίᾳ λαμβάνοντες ὁρῶνται πρόνοιαν, ἐν τῷ διορίζεσθαι τὴν τοῦ φθορέως ὕπαρξιν πρὸς τὸ δημόσιον ἄγεσθαι, οὐ συνιδόντες[8], ὡς ἐκ τούτου γίνεται αὐτοῖς νομίζειν ἀδικίαν ἀμύνασθαι, μὴ μέντοι σώζειν τὸ βούλημα. ποῦ γὰρ ἀδικίας ἄμυνα, μὴ τοῦ ἀδικηθέντος ἀπολαμβάνοντος τὸ ἀδίκημα μηδὲ τὴν κατασχοῦσαν αὐτὸν συμφορὰν διὰ τῆς τοῦ νόμου ἐπικουρίας ἀποφυγόντος; ποία δ᾽ ἀποφυγὴ τῷ γυναίῳ τῆς συμφορᾶς, ὅτε οὐ μόνον οὐ[9] παραμύθιον εὑρίσκει τῆς δυστυχίας, ἀλλὰ καὶ πορίζόμενον ἑτέρῳ[10] κέρδος ὁρᾷ ἐκ τῆς ἰδίας ὕβρεως καὶ[11] αἰσχύνης;

Ἵνα οὖν ὥσπερ κηλῖδα μῶμόν[12] τινα τῷ νόμῳ προστριβομένην καθάρωμεν, τὸ προσφέρεσθαι τῷ δημοσίῳ τὴν ὕπαρξιν τοῦ φθορέως ἀποθεσπίζομεν, κελεύομεν δὲ ἐκεῖ ταύτην ἀπιέναι, οὗ τὴν ἀδικίαν καὶ τὸ δυστύχημα ὁ τῆς ὑπάρξεως κύριος κατεβάλετο.

---

[4] Apud Scrimg. εἶτα deest. [5] Ecl. ὅσον. [6] Scrimg. ἐφύλ. δὲ. [7] Codd. μὴ βοηθεῖν, Ecl. autem negationem non habet, eamque tam Steph. quam Agyl. delendam esse censuerunt. [8] Ecl. συνειδότες. [9] Negatio abest ab omnibus, sed necessario supplenda erat. [10] Codd. ὕστερον ἔτεσιν. Ecl. ἕτερον. [11] Particula καὶ deest in Codd., sed habetur in Ecl. [12] Ita Ecl. Codd. μώμῳ τινά. Forte μωμητήν.

NOV. XXXV.

De raptu mulieris[1].

ΔΙΑΤΑΞΙΣ λε΄.

Περὶ ἁρπαγῆς καὶ βίας γυναικός[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Οὔτε πρὸς τὸν ἐκκλησιαστικὸν ἀπαυθαδιαζόμενοι νόμον[3], *οὔτε τὸν τῆς πολιτείας ἁπλῶς συγκροτοῦντες τὴν περὶ τοῦ κορικοῦ ἅρπαγος γνώμην ἐκφέρομεν, ἀλλ᾽ οἷον ὁδόν τινα τοῦ βίου τοῖς πράγμασι τὴν συμφέρουσαν κατανοήσαντες, ἐπείπερ εἴδομεν τῇ τοῦ ἱεροῦ συμπαθείᾳ νόμου ὥσπερ ἀναιδευόμενον τὸ κακόν, τῇ δὲ τοῦ πολιτικοῦ νόμου αὐστηρίᾳ καταστελλόμενον, διὰ τοῦτο τῆς μᾶλλον ἐπαμυνούσης τῇ καταστάσει τῶν πραγμάτων ἐγενόμεθα προνοίας. βούλεται μὲν γὰρ ὁ πολιτικὸς νόμος οὐ μόνον τὸν δι᾽ ἁρπαγῆς καὶ βίας φθορέα γεγονότα κόρης θανάτῳ ὑπαγορευθῆναι*[4], *ἔτι δὲ καὶ πρὸς τῇ τοῦ θανάτου δίκῃ καὶ τὴν ὕπαρξιν ἀφαιρεῖσθαι, ὅταν εὐγενεῖς ὦσιν αἱ φθειρόμεναι, ἀλλὰ κἀκείνους, οἳ συναντιλήπτορες ὤφθησαν τοῦ ἀνοσιουργήματος, τὴν αὐτὴν ὑφίστασθαι ποινὴν καὶ ζημίαν, καὶ τοῦτο γίνεσθαι*[5] *οὕτως, κἂν ἑαυτὴν ἑκοῦσα ἡ γυνὴ τῷ ἅρπαγι ἐνεχείρισεν. οὐ μὴν ἀλλὰ καὶ τὸν ταύτης πατέρα ἐν συνειδήσει καταστάντα τῆς πράξεως ὑπερορίᾳ κολάζει· καὶ οὐ τοσοῦτον μόνον, ἀλλὰ καὶ εἰ μὴ παρὰ τὸν καιρόν, καθ᾽ ὃν ἡ ἁρπαγὴ τετόλμηται, συνειδὼς*[6] *ἐλέγχεται, ὅμως δὲ ὀλιγωρίᾳ διδοὺς τὴν τοῦ θυγατρίου διαφθορὰν καὶ ἀφιεὶς τῆς δίκης τὸν ἔνοχον, ἢ τὸν τοιοῦτον γάμον ἀποδεχόμενος, ποινὴν ὑπέχει τῆς ὀλιγωρίας φυγὴν ὑπερόριον. ταῦτα μὲν ἐδόκει τοῖς πάλαι.*

Ὁ δ᾽ ἀείμνηστος ἡμῶν πατὴρ οὐκ εἰς μόνην τὴν ἁρπαγὴν τοῦ γυναίου ἀποσκοπήσας ἀλλὰ καὶ πρὸς τὰ ἄλλα παρακολουθήματα, πρὸς ἐκεῖνα τὴν ψῆφον ἐναρμόζεται, καὶ θεσπίζει[7], *μετὰ μὲν ὅπλων ἤτοι ξιφῶν ἢ ἄλλων τινῶν ἄνευ ξίφους ἀναι-*

---

[1] Ecl. Nov. 22. Laudatur in Basil. ed. Heimb. V p. 899, a Psello v. 844—850, Bals. ad Phot. IX, 29 et ad syn. Trull. c. 92 (ed. Rhalli I p. 214 et II p. 522). [2] Rubricam ex Ecl. supplevi. — In Zuich. et Meerm. notatum est: *αὕτη ἀνῄρηται τὴν διάτ. τοῦ ιγ΄ τί. τοῦ θ΄ βι. τοῦ κώδ. ἥτις κεῖται βι. τῶν βασιλ. ξ΄ τί. νη΄, ἐναλλαγεισῶν δηλονότι τῶν ποινῶν κατὰ τὴν δύναμιν τῆς παρούσης νεαρᾶς.* [3] Syn. Trull. c. 92. [4] Zuich. et Meerm. *ὑπάγεσθαι.* [5] Ita iidem. Scrimg. *γενέσθαι.* [6] Codd. *συνειδότος,* quod Spang. defendit. [7] Prochir. XXXIX, 40.

ῥετικῶν τῆς ἁρπαγῆς γεγενημένης, ξίφει τιμωρεῖσθαι τὸν βιασάμενον, ὡς δι᾽ ὧν μεθ᾽ ὅπλων ἐπὶ τὴν πρᾶξιν ἐχώρησεν οὐκ ὄντος αὐτοῦ καὶ μιαιφονίας ἀθῴου· τοὺς δὲ συνεπειλημμένους ἢ συνειδότας ἢ συνεισάγοντας[8] σπουδὴν ῥινὸς ἐκτομῇ καὶ μάστιξι καὶ κουρείᾳ τῇ ἐν χρῷ τιμωρεῖσθαι· ὅπλων δὲ μὴ συμπαρόντων τῇ βίᾳ, μὴ[9] μέχρι φόνου τὴν δίκην ὁρᾶν ὡς οὐδὲ τῆς μιαιφονίας χώραν ἐχούσης, ἀλλὰ τὸν μὲν αὐθέντην τῆς ἁρπαγῆς εἰς χειρὸς κινδυνεύειν ἀποκοπὴν, τοὺς δὲ συνυπουργησαμένους ἢ κοινωνήσαντας ἄλλως μάστιξι καὶ κουρείᾳ καὶ ὑπερορίᾳ τὴν δίκην εἰσπράττεσθαι. περὶ μὲν οὖν τῆς εἰς τὸ σῶμα ζημίας οὗτος ὅρος· ἃ δ᾽ εἰς χρήματα ἀφορᾷ, ταῦτα τὸ ἀμεταποίητον καὶ ἐνεργὸν συγκεχώρηται φέρειν τῆς ἀρχῆθεν νομοθεσίας. ἀλλὰ ταῦτα μὲν ὁ ἡμέτερος ἀποθεσπίζει πατήρ· οἷς σύμψηφον γνώμην καὶ ἡμεῖς ἀναδεχόμενοι τήν τε ἐν τῷ παρόντι καιρῷ καὶ τῷ ἔπειτα[10] τιμήν τε καὶ ἐνέργειαν τῇ νομοθεσίᾳ ἐπισφραγιζόμεθα.

NOV. XXXVI.

Ut succedat captivi filius[1].

ΔΙΑΤΑΞΙΣ λς΄.

Περὶ τοῦ κληρονομεῖν τὸν τοῦ αἰχμαλώτου παῖδα[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Εἰ τῆς πολιτείας ἐρείσματα καὶ κρηπῖδες οἱ νόμοι, εἴ γε μέλλοι αὐτὴ[3] ἐν τῷ ἀσφαλεῖ εἶναι, τοὺς νόμους χρὴ τὸ ὑγιὲς διασώζειν. νόμου δὲ ὑγείαν τί ἄν τις ἄλλο ἢ τὸ δίκαιον φαίη; περὶ τούτου[4] οὖν, ὥστε δικαίως διακεῖσθαι τοὺς οἳ τὴν ἡμετέραν ἄγουσι πολιτείαν νόμους, ἀεὶ στρέφοντες τὴν διάνοιαν, καὶ τὸν νόμον ἐκεῖνον, ὃς βούλεται τὸν ἐκ δύο αἰχμαλώτων[5] μηδὲ κληρονομεῖν τῶν διαφερόντων τοῦ ἐν τοῖς πολεμίοις μεμενηκότος, τοῦτον οὖν κατανοήσαντες κινδυνεύοντα τῆς τῶν νόμων ὑγείας (ἥπερ[6] ἐστὶ τὸ δίκαιον) ἀποστερεῖσθαι, μετα-

---

[8] Ita Ecl. Codd. συνείσοντας ἀγαγόντας. [9] Ecl. μηδὲ. [10] Ita Ecl. Codd. τῷ εἰς ἔπειτα.

[1] Ecl. Nov. 23. [2] In Zuich. et Meerm. adscriptum est: αὕτη ἀνῄρηται τὴν α΄ διάτ. τοῦ ν΄ τί. τοῦ η΄ βι. τοῦ κώδ. ὁ μὲν ν΄ τί. τοῦ η΄ βι. τοῦ κώδ. ἐστὶν ἐν βι. τῶν βασιλ. λδ΄ τί. β΄. ἡ δὲ α΄ διάτ. οὐκ ἐδέχθη. [3] Zuich. et Meerm. αὕτη. Non male. [4] Steph. et Agyl. emendant τοῦτο. [5] Codd. αἰχμαλωσίαν. [6] Zuich. et Meerm. εἴπερ. Haud inepte.

σκευάζειν αὐτὸν πρὸς τὸ ὑγιὲς προεθυμήθημεν. ὅτι γὰρ οὐκ ἐνδίκως ταῦτα ὁρίζει, οὐ χαλεπὸν συνιδεῖν. τίνα γὰρ ἰσχὺν ἡ τῶν τόπων ἰδιότης ἔχει ὁρίζειν τῷ παιδὶ τὴν κληρονομίαν; οὐ γὰρ δὴ ἐκεῖνό τις ἀνθυποφέρει, ὡς δούλου χρηματίζοντος τοῦ γονέως διὰ τὸ δουλικὸν σχῆμα ὁ παῖς ἀπόκληρος ἔσται. πῶς γὰρ ὁ νόμος τῆς πολιτείας, ὃς εἰ τῷ αἰχμαλώτῳ λύσις ἐγεγόνει τῆς αἰχμαλωσίας, ἐλεύθερον τοῦτον ἐγνώριζεν, οὐ συγχωρήσει τῷ ἐξ ἐκείνου φύντι ἐλευθέρῳ κληρονομεῖν, ἀλλὰ τῇ ἐν τοῖς πολέμοις[7] δουλείᾳ τὴν περὶ τούτου[8] ἐπιτροπὴν δώσει; τίνι δὲ καὶ διαφέρειν οἴσεταί τις τὰ τοῦ αἰχμαλώτου; τοῖς συγγενέσι; καὶ πῶς οὐκ ἀπαντῶσα ἡ δουλεία τούτοις εἰς τὴν κληρονομίαν τὴν εἴσοδον ἀποκλείει; ἢ πῶς οὐ πολὺ πρότερον ἐξέσται κληρονομεῖν συγκεχώρηται[9], ἀλλὰ τῷ δημοσίῳ δοθήσεται; καὶ πῶς οὐ περιφανὲς τὸ ἀδίκημα; εἰ γὰρ ἐκ τοῦ δημοσίου εὔλογόν ἐστι τοὺς αἰχμαλώτων ἐκφύντας βοηθείας τυγχάνειν, πῶς οὐχὶ περιφανὴς ἀδικία, τὸν τοῦ αἰχμαλώτου μὲν παῖδα τῆς περιουσίας ἀποστερεῖν, προσνέμειν δὲ ταύτην τῷ δημοσίῳ; εἰ δὲ καὶ πολλάκις ἐνίων γονέων πονηρῷ[10] ἀποχρησαμένων συνειδότι, καὶ διὰ τοῦτο τιμωρίαις ὑποβεβλημένων καὶ πικρῶς ἐξ ἀνθρώπων ἠφανισμένων, οἱ παῖδες οὐ κωλύονται νόμῳ κύριοι τῆς περιουσίας καθίστασθαι, τίνα λόγον ἔχει, διότι προαίρεσις εὐσεβὴς σεμνύνει τοὺς γονέας (πολλάκις δὲ καὶ μαρτυρίου αἷμα τὸ λαμπρὸν τοῦ φρονήματος αὐτῶν καὶ ἐν αὐτοῖς θαυμαστωθῆναι τοῖς ἀσεβέσι πεποίηκε), μὴ συγχωρεῖν τοῖς ἐξ ἐκείνων φυεῖσι κυρίους[11] εἶναι τῶν ὑπαρχόντων; οὐδαμῶς οὖν τῷ ἡμετέρῳ κράτει ὑγιῶς ἔχουσα ἡ διάταξις φαίνεται.

Διὰ[12] τοῦτο θεσπίζομεν ἀπὸ τοῦ νῦν, ἄν τε τοῦ τῆς αἰχμαλωσίας ζόφου περικεχυμένου τοῖς γονεῦσι πρὸς αὐγὰς ἡλίου ἦλθεν ὁ παῖς ἄν τε ὑπὸ φωτὶ ἐλευθερίας τὰς ὠδῖνας ἀπέλυσε[13], τὰ τῶν γονέων κληρονομείτω, κἄν τε ἀμφοτέροις τοῖς γονεῦσι τῶν τῆς αἰχμαλωσίας δεσμῶν ἡ λύσις περιέσται ἢ μή, κἄν τε ἑνὸς τετυχηκότος[14] τῆς λύσεως θάτερος ἐν τοῖς δεσμοῖς τῆς συμφορᾶς καταστρέψει τὸν βίον κἄν τε ἀμφότεροι οἱ γονεῖς ἐν

---

[7] Emendant *πολεμίοις*. Non opus. [8] Scrimg. *τούτων*. Sed de tutela liberorum nequaquam sermo est. [9] Locus corruptus. Steph. et Agyl. *οἷς συγκεχώρηται* legendum conjiciunt: Beck *οἷς πολὺ πρότ.* legit. Neutrum placet. Fortasse *ἐξωτικῷ* pro *ἐξέσται* legendum. Osenbrüggen plura excidisse opinatur, quum filiorum expressam mentionem desideret. [10] Scrimg. *πονηρῶς*. [11] Forte *κυρίοις*. [12] Inc. Ecl. [13] Steph. et Agyl. supplent *ἡ μήτηρ*, quod nec Ecl. agnoscit. [14] Ecl. *εὐτυχηκότος*.

τῇ αἰχμαλωσίᾳ τελευτήσωσιν· εἰ μὴ ἄρα γε τὴν τελευτὴν προφθάσῃ διαθέμενος· τότε γὰρ ἐκεῖνα κληρονομήσει, ἃ ἐν τῇ βουλῇ τοῦ διαθεμένου γονέως κεῖται, φυλαττομένης τῷ παιδὶ τῆς ἐκ τοῦ νόμου τετραουγκίου βοηθείας.

NOV. XXXVII.

Ut domini testamento manumissus, si illum decessisse aditamque ejus hereditatem esse ignoret, testari possit.

ΔΙΑΤΑΞΙΣ λζ΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ[1].

Καὶ τῷ παρόντι νόμῳ ἐλλείποντι πρὸς τελείαν κατάστασιν ὅπερ ἐνδεῖ τούτου τῇ προσθήκῃ τὸ πρέπον αὐτῷ ἀποδιδόαμεν σχῆμα. φησὶ τοίνυν περὶ οἰκέτου ἐν δεσποτικῇ αὐτοῦ διατυπώσει ὁρισθέντος ἐλευθερίας ἀξιωθῆναι, ἀγνοοῦντος δὲ τὸ διάταγμα καὶ διὰ τοῦτο λογισμοῖς ἀμφιβόλοις ἐλευθερίας ἀντεχομένου, τέως μὲν μηδαμῶς αὐτὸν διὰ τὴν ἄγνοιαν τῆς ἐλευθερίας ἀποστερεῖσθαι, ἀλλὰ διάγειν αὐτὸν ἐλευθέρως, διατίθεσθαι δὲ αὐτὸν ὡς ἐλεύθερον ἐπ᾿ ἀδείας μὴ ἔχειν· οἷον μεταγνοὺς μέχρι τέλους ἣν δίδωσιν ἐλευθερίαν αὐτῷ παρεῖναι. μὴ γὰρ οὔσης ἐξουσίας ὡς ἐλευθέρῳ διατίθεσθαι τὰ οἰκεῖα, πῶς οὐχὶ πάλιν πρὸς τὴν προτέραν ἐπανήξει δουλείαν;

Ἡμεῖς οὖν φαμὲν, ἐπειδήπερ τάξιν καὶ διαγωγὴν ἐλευθέραν παρέσχεν ὁ νόμος, καὶ τὰ ἄλλα παρέξειν ἃ τῇ ἐλευθερίᾳ συνέπεται. εἰ γὰρ κωλύειν αὐτὸν ἔδει τὰ τῶν ἐλευθέρων πράττειν, τί τὴν ἐλευθερίαν[2] οὐκ ἐκώλυσεν; ἀλλὰ τούτων ἄξιον κρίνων[3], πῶς οὐχὶ κἀκείνων ἀξιώσει τῶν πραγμάτων, ἃ ποιεῖν κυρίως[4] ἔχει τὸ τῆς ἐλευθερίας ἀξίωμα; ἔστω τοιγαροῦν ὁ ἠλευθερωμένος ἀληθῶς ἐλεύθερος, καὶ διατιθέσθω περὶ τῶν οἰκείων, ὅσα δεσποτικὴ γνώμη ἔδωκεν αὐτῷ ἀναφαίρετα, ὡς ἂν βούλοιτο διατίθεσθαι. οὐ γὰρ πρέπον ἐν τῷ φανερῷ τιμὴν τῆς ἐλευθερίας λαβόντα δι᾿ ὑπόληψιν ἄδηλον ἀτιμάζεσθαι καὶ τοῦ διατιθέναι ἀπείργεσθαι.

---

[1] Zuich. et Meerm. scholium habent: αὕτη ἀνῄρηται διγ. ιδ΄ τοῦ α΄ τί. τοῦ κη΄ βι. τῶν διγ. τῶν βασιλ. βι. λε΄ τί. α΄ κεφ. ις΄. [2] Verba τί τὴν ἐλευθ. apud Scrimg. exciderunt. [3] Codd. κρίνειν. Beck: κρίνων, quod recepi. Alii κρίνει vel ἔκρινε. [4] Zuich. et Meerm. κῦρος. Non male.

NOV. XXXVIII.

Ut imperatoris servi de rebus suis quomodo velint statuere possint.

ΔΙΑΤΑΞΙΣ λη'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ[1].

Ἐμοὶ δοκεῖ καὶ τοῦτο πλεονεξία τὶς εἶναι, εἰ καὶ τὸ πρᾶγμα σχῆμα εὐπρόσωπον ὑποδύεται τὴν ἐκ τοῦ νόμου διάταξιν, λέγω δὴ τὸ μὴ τοῖς οἰκέταις παραχωρεῖν περὶ τῶν οἰκείων πραγμάτων διατίθεσθαι, ἀλλὰ τῶν καμάτων αὐτῶν καὶ τῶν ὡς εἰκὸς πολυπόνων μόχθων τὴν κτῆσιν τὴν ἑκάστου δεσποτικὴν χεῖρα συλλέγειν· καὶ θαυμάζω τὸν ἐξ ἀρχῆς θέμενον τὸν νόμον, πῶς οὐδέν τι μέτριον καὶ ἐπιεικὲς τούτῳ προσένειμε. πλὴν ἀλλ' οἵ τε πατέρες τοῦ τοιούτου νόμου καὶ ὁ νόμος ἐχέτωσαν παρὰ τοῖς ἄλλοις τὸ ἀποδεκτὸν, ὡς ἡ ἑκάστου φέρει γνώμη, ἐγὼ δὲ τούτοις οὐδαμῶς ἀπονέμω χώραν ἀποδοχῆς οὐδ' ἐπὶ τοῖς ἐμοῖς οἰκέταις συγχωρήσω κεῖσθαι τὸ δόγμα πᾶσαν ἄδειαν περὶ τῆς τῶν πραγμάτων διοικήσεως τούτοις παρεχόμενος[2].

Τοιγαροῦν ἀπὸ τοῦ νῦν καὶ πρὸς τὸν μετέπειτα βίον ἔστωσαν οἱ βασιλέως οἰκέται τὰ οἰκεῖα πράγματα ἀληθῶς οἰκεῖα κεκτημένοι ἐν τῷ μὴ τὴν ἐξουσίαν ἀφαιρεῖσθαι ὡς ἂν βούλωνται περὶ αὐτῶν ὁρίζειν, ἄν τε πρὸς ἡλίου αὐγὰς περιστρέφωνται ἄν τε τὸν βίον ὦσι καταλύοντες, μηδ' ἕνεκα τῆς δουλείας ὧν ὑπῆρχον κύριοι πραγμάτων ἐξωθούμενοι τῆς κυριότητος. περὶ μὲν οὖν βασιλέως οἰκετῶν οὗτος κεκαινίσθω καὶ κρατείτω νόμος, τοῖς δ' ἄρχουσι καὶ τῷ ἄλλῳ τῆς πολιτείας πληρώματι, εἴ γε μὴ βούλοιντο πρὸς τὴν ἡμετέραν γνώμην ἀφορᾶν, ἐξέσται πρὸς τὸν ἀρχαῖον περὶ τῶν δουλικῶν πραγμάτων νόμον ὁρᾶν.

NOV. XXXIX.

Ut prodigus quae ex re ipsius sint facere possit[1].

ΔΙΑΤΑΞΙΣ λθ'.

Περὶ τοῦ τὸν ἄσωτον τὰ συμφέροντα διοικεῖν[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Οὐδεὶς ἐν ἀνθρώποις οὕτως εἰς ἄκρον κατήντησε τελειότητος, ὡς μηδέποτε ἀσύμφορόν τι ἑαυτῷ πραγματεύεσθαι, καὶ

---

[1] Iidem notant: *αὕτη ἐξεφωνήθη ὑπὲρ οὗ νόμος οὐκ ἦν.* [2] Sic edo ex conj. Stephani. Codd. *ἄδειαν παρεχόμενον περὶ τῆς — τούτοις παρέχομαι.*

[1] Ecl. Nov. 24. [2] Zuich. et Meerm. addunt scholium: *αὕτη ἀνῄρηται τὸ*

οὐδεὶς οὕτως οἶμαι δυστυχὴς ἄκρως εἰς φρένας, ὡς μὴ πολλάκις ἑαυτῷ χρήσιμος γενέσθαι. οὔτε γὰρ τὸν πάντη τῇ ἑαυτοῦ συνέσει θαῤῥοῦντα πάντα πράττειν ἀνεμεσήτως ἐᾷ τὸ θεῖον, οὔτε τὸν ἐνδεᾶ συνέσεως πλάστης ὢν καὶ τοῦ ἰδίου πλάσματος κηδεμὼν διὰ παντὸς ἀφίησι τῇ ἀσυνεσίᾳ σφάλλεσθαι. τοῦτο ἐπροοιμιασάμην δι' ἐκεῖνον τὸν νόμον, ὃς παντάπασιν ἀποκωλύει τὸν ἄσωτον περὶ τῶν οἰκείων ἢ βούλεσθαί τι ἢ διατίθεσθαι. καίτοιγε ἐχρῆν ἐνορῶντα εἰς τὰ οἰκονομούμενα πρὸς τὴν ἐκείνων θεσπίζειν κατάστασιν ἀλλὰ μὴ οὕτως ἁπλῶς, καὶ εἰ μὲν[3] ἀσύμφορόν τι διῳκονόμητο, μὴ δέχεσθαι, εἰ δὲ λυσιτελὲς, καταδέχεσθαι· νῦν δὲ οὐδὲν τοιοῦτον διορίζει, ἀλλὰ καθάπαξ ἀποκλείει τῷ ἀσώτῳ τὴν περὶ τῶν οἰκείων βουλήν.

Τοῦτο ἡμεῖς ὀρθῇ ψήφῳ μὴ προσήκειν ὑπολαμβάνοντες διαστειλάμενοι θεσπίζομεν[4], ἃ μὲν κρίσις ἐσφαλμένη καὶ τὸν ἄσωτον χαρακτηρίζουσα λέγει, μήτε ἀποδοχῆς μήτε κυρώσεως ἀξιούσθωσαν, ἃ δὲ πρὸς τὸ λυσιτελὲς ὁρᾷ, μηδαμῶς ἀναπόδεκτα τυγχάνειν μηδ' ἀθετεῖσθαι[5]. τί γὰρ, εἰ ὁ ἄσωτος κλῆρον τοῖς οἰκείοις ἐβουλήθη καταλιπεῖν, ἢ πένησι τὰ ἑαυτοῦ διανεῖμαι, ἢ οἰκετῶν τὸν βαρὺν τῆς δουλείας ἀπαυχενίσαι κλοιὸν, ἆρ' ὅτι ἄσωτος, διὰ τοῦτο μὴ ἐξεῖναι[6] αὐτῷ τοιαῦτα βούλεσθαι[7]; τί δὲ, εἰ χωρίον ἔχων ἑαυτῷ ἐπιζήμιον, ἄλλος δέ τις τῶν δυναμένων θεραπεῦσαι τὴν ζημίαν βουληθεὶς αὐτοῦ ἐν κτήσει γενέσθαι πλέον ἢ ὅσου ἄξιον τὸ χωρίον ἀντιδιδοὺς ἐκείνῳ τὴν ζημίαν κουφίζει, ἆρ' ἡ ἀσωτεία τὴν ἐκείνῳ συμφέρουσαν καὶ βουλὴν καὶ πραγματείαν κωλύει; ἀλλ' οὐχ ὁρῶ τὸν τρόπον. ὅπερ οὖν ἔφην, τῶν πραγμάτων τηρείσθωσαν αἱ καταστάσεις· κἂν μὲν ἐκεῖναι οὐδέν τι τοῦ ἀσώτου τρόπου ὀφθείησαν ἔχουσαι, εἶναι βεβαίους τὰς διατάξεις, εἰ δ' ἁμαρτάνουσαι τοῦ σώφρονος λογισμοῦ φαίνοιντο, μήτ' ἀποδοχῆς μήτε βεβαιώσεως ἀξιούσθωσαν.

ιη' δίγ. τοῦ α' τί. τοῦ κγ' βι. τῶν διγ., τῶν βασιλ. βι. λε' τί. α' κεφ. κ'.
[3] Codd. κἂν μή. Emendavit Steph. [4] Hoc verbo incipit Ecl. [5] Ecl. ἀπαιτεῖσθαι. [6] Steph. ἐξῆν, Spang. ἐξέσται vult legi, Agyl. λεκτέον supplet. Non opus. [7] Ecl. βουλεύεσθαι. Non male.

NOV. XL.

Ut captivi testamenti factionem habeant et ne servi eorum, qui intestati et sine herede decedunt, fisco inferantur[1].

ΔΙΑΤΑΞΙΣ μ'.

Περὶ τοῦ τοὺς ἐν αἰχμαλωσίᾳ διατίθεσθαι καὶ περὶ τοῦ μὴ εἰσκομίζεσθαι τοὺς οἰκέτας τῶν ἀδιαθέτων καὶ ἀκληρονομήτων τελευτώντων[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Οἱ πάλαι τῆς τῶν νόμων ἐκθέσεως πεποιημένοι τὴν πρόνοιαν πολλὰ τῶν τοῦ βίου πρὸς κατάστασιν ἀγαγόντες, καὶ μαρτύριον ἱκανὸν τῆς αὐτῶν φιλανθρώπου γνώμης τοὺς νόμους καθ' οὓς ἡ πολιτεία διευθετεῖται καταλελοιπότες, οὐκ οἶδα ὅπως τὸ περὶ τῶν αἰχμαλώτων μέρος, οἷς οὐ διδόασι κυριότητα περὶ τῶν ἰδίων πραγμάτων διατίθεσθαι, οὐχ ὁμοίως τῇ ἄλλῃ τούτων ὁμολογεῖν πεποιήκασι φιλανθρωπίᾳ. ἃ μὲν γὰρ περὶ διαθηκῶν αὐτοῖς ἡ νομοθεσία[3] περιέχει, λίαν φιλανθρώπως νενομοθέτηται. τὸ γὰρ ἐνίοτε μαρτύρων καταλαμβανούσης ἀπορίας ὁρίσαι καὶ ἀριθμῷ ἐλάττονι μαρτύρων ἐπισφραγίζεσθαι τὰ διατετυπωμένα, οὐ μὴν ἀλλὰ καὶ ἀμαρτύρους πολλάκις οὔσας κυροῦσθαι τὰς διατάξεις (ὥσπερ ἐπὶ τῶν ἐν παρατάξει πιπτόντων ὡρίσατο), μεγάλη τῆς φιλανθρωπίας ἀπόδειξις· ἡ δὲ περὶ τῶν αἰχμαλώτων νομοθεσία οὐκέτι ἀδελφὴ οὖσα τῶν εἰρημένων ὁρᾶται οὐδὲ τῆς αὐτῆς ἀποκυηθεῖσα φιλανθρωπίας. οἷς[4] γὰρ οὐ παραχωροῦσιν αὐτοῖς περὶ τῶν οἰκείων διατάττεσθαι, οὐ μόνον οὐχὶ φιλάνθρωπόν τι περὶ αὐτῶν ἐγνώκασιν, ἀλλὰ καὶ τρόπον ἕτερον τὴν αἰχμαλωσίαν ἐπιτείνουσι. πῶς γὰρ οὐχὶ τούτους πάλιν αἰχμαλωτίζουσιν; ἢ πῶς οὐκ αὔξεται τὸ δεινὸν καὶ ἄλγος ἀπαραμύθητον, καὶ τοῦ θανάτου κέντρον ἐπωδυνότερον κατὰ τῆς καρδίας αἰχμάλωτος φέρων ἄπεισι τῶν ἀνθρωπίνων, ὅταν οὐ μόνον ἐν αἰχμαλωσίᾳ καταστρέφῃ τὸν βίον,

---

[1] Ecl. Nov. 25. 26. Cf. Harm. V, 1, 19. [2] Ecloga, quae ex hac Novella vicesimam quintam et vicesimam sextam effecit, illi rubricam: *περὶ τοῦ τοὺς ἐν αἰχμαλωσίᾳ διατίθεσθαι,* huic vero: *περὶ τοῦ μὴ εἰσκομίζεσθαι κτλ.* praemittit. Scrimg. posteriorem tantum habet eamque corruptam, dum scribit: *τῶν κληρονομησάντων τελευτώντων.* — Zuich. et Meerm. notant: *αὕτη ἀνῄρηται τὸ η' δίγ. τοῦ α' τί. τοῦ κη' βι. καὶ τὸ δ' καὶ ς' θέ. τοῦ α' διγ. τοῦ γ' τί. τοῦ αὐτοῦ κη' βι. [τῶν διγ.], τῶν βασιλ. βι. λε' τί. α' κεφ. ι' καὶ βι. λε' τί. β'.* — Codex autem Eclogae Paris. 1355 in margine notat: *ἄδεκτος.* [3] Cf. Proch. XXI, 16. [4] Fortasse *εἰ* vel *ἐν οἷς* legendum.

ἀλλὰ καὶ εἴ τινα ἐν τοῖς ὁμοφύλοις οἶδεν ἑαυτῷ προσοῦσαν ὕπαρξιν, περὶ ταύτης οὐκ ἐστὶ βουλεύεσθαι κύριος, ἀλλ' ἐξωθεῖται τῶν οἰκείων ὡς ἀλλοτρίων, καὶ τῶν πόνοις οἰκείοις κτηθέντων τῆς οἰκονομίας ἐκβάλλεται, ὧν ἐκεῖνος προκινδυνεύων εἰς τὰ τῶν δορυλήπτων κατέστη δεινά; πῶς δὲ, εἴ τινές εἰσι τῷ αἰχμαλώτῳ κατὰ γένος διαφέροντες ἢ τέκνα ἢ γυνὴ ἢ ἀδελφὴ ἢ ἕτεροι οὓς ἐπικλήρους οἶδεν ὁ νόμος, οὐχὶ πάντες ὁμοίως πρὸς τὴν ἐξ ἀδιαθέτου ἐρχομένην αὐτοῖς κληρονομίαν ἀποβλέψαντες τῇ ταύτης ἐλπίδι τὴν περὶ τοῦ συγγενοῦς αἰχμαλώτου τῆς ἐλευθερίας παρήσουσιν ἐπιμέλειαν; ἴσμεν γὰρ τὸ ἀνθρώπινον, ὡς εὐαρίθμητοι λίαν φίλτρον ἀληθινὸν διασώζουσι καὶ τούτου μόνον ἕνεκα πρὸς βοήθειαν τῶν ἀλγεινοῖς περιστοιχιζομένων ἡ γνώμη αὐτοῖς ἐπεγείρεται, οἱ πλεῖστοι δὲ προσδοκίᾳ τοῦ τυχεῖν τινος χάριτος ἐπὶ βοήθειαν χωροῦσι τῶν χρῃζόντων τῆς βοηθείας. πόθεν οὖν ὑπὲρ τῶν αἰχμαλώτων ἢ τῶν συγγενῶν τις ἢ ἕτερος[5] ἀναλάβοι φροντίδα; εἰ μὲν γὰρ ἦν ἐπ' ἀδείας αὐτοῖς περὶ τῶν οἰκείων βουλεύσασθαι, ἔμελλόν τινες ἀναλογιζόμενοι ὡς οὐκ ἀκερδὴς αὐτοῖς ἔσται ὁ πόνος, μὴ ῥᾳθύμως αὐτὸν ἀναδέχεσθαι· ἐνενόουν γὰρ ὡς εἰκὸς, ὡς ἢ τῆς σπουδῆς αὐτῶν εἰς πέρας διεξελθούσης καὶ τῶν αἰχμαλώτων ἐλευθερίας τυχόντων[6] ἕξουσί τινα χάριν ὑπὲρ ὧν διεσπούδασαν, ἢ κἂν τὴν ἐκείνων σπουδὴν ὁ θάνατος προφθάσας ἐν δεσμοῖς ὄντα λάβοι τὸν ἄνθρωπον, ἐν τῇ περὶ τῶν οἰκείων διατάξει ἔσται τινὸς πλείονος ἀξιῶν μερίδος τὸν ὑπὲρ αὐτοῦ πεφροντικότα τῶν ἄλλως[7] ἠμεληκότων· οὐ γὰρ ἀμνημονήσειν αὐτὸν καὶ παρὰ φαῦλον τοὺς πόνους ποιήσεσθαι ὑπελάμβανον. τούτοις οὖν ὥσπερ ἔφην τοῖς λογισμοῖς ἔμελλόν τινες οὐ ῥᾳθύμως εἰς τὴν ὑπὲρ ἐλευθερίας τῶν αἰχμαλώτων σπουδὴν διανίστασθαι· νῦν δὲ, τῶν μὲν κωλυομένων διατάττεσθαι, τῶν δὲ ἐξ ἀδιαθέτου κληρονόμων εἰς τὴν ὕπαρξιν ἐμβαινόντων, οὐκ οἶδα εἴ τις εὑρεθείη τοὺς ὑπὲρ τῆς ἀναῤῥύσεως πόνους ἀναδεξόμενος. ἥ τε γὰρ ἐλπὶς τῆς ἐξ ἀδιαθέτου κληρονομίας, καὶ ἡ ἐνθύμησις τοῦ μή ποτε διὰ κενῆς κάμοι, τὰς ἑαυτοῦ[8] σπουδὰς τοῦ θανάτου προλαβόντος καὶ τὸν αἰχμάλωτον ἐξ ἀνθρώπων ἀφανίσαντος, ὀκνηρότερον (ἵνα μὴ λέγω παντελῶς ἀπρόθυμον) ποιεῖ πρὸς τὴν ἐπιχείρησιν, ὅπερ οὐκέτι ὁμοίως συνέβαινεν, εἰ μὴ ἄκυρον αὐτοῖς ἡ νομοθεσία εἰργάζετο τὴν διάταξιν. εἰ δὲ γὰρ λύτρον ψυχῆς

---

[5] Steph. vult ἑταῖρος. [6] Zuich. et Meerm. τοῦ αἰχμαλώτου ἐλ. τυχόντος. [7] Malim ἄλλων. [8] Codd. εἰς ἑαυτοῦ. Emendarunt Steph. et Agyl.

ἡ ἰδία κτῆσις, πῶς οὐχὶ καὶ κατὰ τοῦτο ἀδικίαν ἀκροτάτην ὑπομένουσιν οἱ αἰχμάλωτοι, οὐκ ἐώμενοι παρὰ τοῦ νόμου περὶ τῶν προσόντων ὁρίζειν, ἂν τοῦτο βούλωνται, ὑπὲρ ψυχῆς αὐτῶν τινα διανενεμῆσθαι τῶν πραγμάτων; ἔτι γε μὴν καὶ τὰ περὶ ἐλευθερίας ἀτόπως ἐκ τούτου διακείμενα, καὶ τὸ μᾶλλον ἀτοπώτατον, ὅτι μὴ διδομένης ἀδείας τοῖς αἰχμαλώτοις διαθέσθαι ἀνακύπτουσι πολλάκις τῆς ὑπάρξεως κτήτορες, οὓς ἡ τῶν ἐχθίστων εἶχε μοῖρα καὶ οὐδ᾽ ἐνορᾶν αὐτοὺς ἐν ζῶσιν ὄντες ἠνείχοντο, οὗ τί ἂν εἴη φαυλότερον; τοῦτο οὖν οὕτως ἔχον οὐκ ἔδοξε τῇ βασιλείᾳ ἡμῶν δίκαιον παριδεῖν, ἀλλ᾽ ὥσπερ ἐν τοῖς ἄλλοις κατὰ δύναμιν τὴν παρὰ τοῦ κρείττονος διδομένην ὥστε τὴν ἡμετέραν πολιτείαν εὖ διοικονομεῖσθαι πεφροντίκαμεν, οὕτω πρὸς τὸ ἄμεινον καὶ τὰ περὶ τῶν αἰχμαλώτων ἐπανορθοῦν διεγνώκαμεν.

Θεσπίζομεν[9] τοίνυν, ἀπὸ τοῦ παρόντος μηδαμῶς τοὺς ἐν αἰχμαλωσίᾳ τῷ ἀπείργοντι αὐτοὺς διατίθεσθαι νόμῳ ὥσπερ καὶ τὸ πρότερον ὑποκεῖσθαι, ἀλλ᾽ ἐξεῖναι τούτοις, εἰ μὲν οἷόν τε παρουσίᾳ πέντε μαρτύρων, εἰ δὲ μὴ τριῶν, εἴτε γραφῇ παραδοῦναι τὴν βούλησιν εἴτε ἀγράφῳ διατάξει ἐκτίθεσθαι, δηλονότι ὅρκῳ βεβαιούντων τῶν εἰς τὴν μαρτυρίαν παραληφθέντων τὸ ἀπαραποίητον τῇ τοῦ τελευτήσαντος διατυπώσει, ἄντε παίδων ὄντων ἐκείνους καταλείποιτο[10] τῆς περιουσίας κυρίους, ἄντε μὴ παῖδας ἔχων ἑτέρους εἰς τὸν κλῆρον εἰσάγῃ. οὐ γὰρ δίκαιον ἡγούμεθα, τοὺς ἐπίσης[11] μετέχοντας τοῦ κοινοῦ τῆς πολιτείας ὀνόματος μὴ ἴσῃ μοίρᾳ τῶν τοῦ νόμου δικαίων τιμᾶσθαι, καθ᾽ οὓς τὸ ὁμόφυλον πολιτεύεται, ἀλλὰ τοὺς μὲν ἀπειράτους αἰχμαλωσίας ἔχειν ἐξουσίαν ὡς αὐτοῖς δοκεῖ περὶ τῶν ἰδίων βουλεύεσθαι, τοὺς δὲ μή, ὥσπερ ἔγκλημα ἔχοντας ὅτι προπολεμοῦντες τῶν ὁμοφύλων εἰς πεῖραν ἁλώσεως ἦλθον. εἰ μέντοιγέ τις τῶν δορυαλώτων ἢ ἐθελοντὴς ἢ ὑφ᾽ ὧν κατέχεται[12] βίαν ὑπομένων ἐπὶ ταύτην ἔλθοι τὴν γνώμην, ὥστε τὰ αὐτοῦ πράγματα εἰς τοὺς πολεμίους χωρεῖν διατυπῶσαι, τότε οὐδαμῶς τὰ δεδογμένα βέβαια ἔσται[13], ἀλλ᾽ ὡς μὴ κατὰ τὸ πρέπον τῷ χριστιανῶν[14] πολιτεύματι γεγενημένη ἐκπεσεῖται ἡ διάταξις[15].

Ταῦτα μὲν διωρίσθω περὶ τῶν διαθήκῃ τὸ τῆς ζωῆς τέλος προφθάσαι[16] διανοηθέντων. εἰ δ᾽ ἡ τέλειος ἐπιστᾶσα τοῦ βίου

---

[9] Incipit Ecl. Nov. XXV. [10] Ecl. καταλίποι [11] Zuich. et Meerm. ἐπίσως. [12] Ecl. addit πολεμίων. [13] Scrimg. ἐστίν. [14] Sic Ecl. Codd.: κατὰ τὸν πρέποντα χριστιανῷ. [15] Scrimg. διάθεσις. [16] Ita edo ex Ecl. Scrimg.: περὶ

ἡμέρα ἐξ ἀνθρώπων ἀδιάθετον ἀφανίσοι τὸν ἄνθρωπον, παρόντων μέν τινων οἷς ὁ κλῆρος διαφέρει ἀνιόντων ἢ κατιόντων, πρὸς αὐτοὺς ἡ περιουσία πορεύσεται, μὴ ὄντων δέ τινων προσώπων, πρὸς οὓς ἡ κληρονομία ὁρᾷ τῶν τοῦ ἐξ ἀνθρώπων ἀφανισθέντος αἰχμαλώτου πραγμάτων (φημὶ δὴ μήτε οὓς ἀνιόντας μήτε οὓς κατιόντας οἰκειοῦται τὸ τοῦ τεθνηκότος γένος), πρότερον σκοπεῖν μὲν[17] κελεύομεν, εἴ τισιν ὑπόχρεως ἦν, καὶ τῶν χρεῶν ὑπεξαιρουμένων τὰ περιλειπόμενα πράγματα διχῇ διαιρεῖσθαι, εἴς τε τρίτον καὶ δίμοιρον, καὶ τὸ μὲν τρίτον εἰς τὴν ὑπὲρ ψυχῆς διανομὴν ἀφορίζειν[18], τοῦ δὲ ἑτέρου μέρους ἐν τοῖς βασιλείοις ταμείοις γίνεσθαι τὴν ἀνάληψιν, ἄνευ μέντοιγε τῶν οἰκετῶν. ταῦτα γάρ, εἰ μὴ τῶν χρεῶν ἡ ἐκπλήρωσις ἐκποδὼν σταίη, πάντα ἐλευθερίᾳ τετιμῆσθαι βουλόμεθα. τὸν[19] αὐτὸν δὲ τύπον τηρεῖσθαι τῆς τῶν πραγμάτων διοικήσεως καὶ ἐφ᾽ ὧν οὐ πάρεισι χρέα, ὅταν ὡς εἴρηται κληρονόμων ἄπορος ἀπίοι τοῦ βίου ὁ τῇ αἰχμαλωσίᾳ κάτοχος.

Ἡ μὲν οὖν εἰς ἐπίνοιαν ἡμῶν ἥκουσα περὶ τῆς νομοθεσίας ἢ τοὺς αἰχμαλώτους ἐλύπει[20] διόρθωσις, διὰ τοῦδε τοῦ θείου ἡμῶν νόμου ἐκτέθειται, ἡ δὲ σὴ μεγαλοπρέπεια τὸ θέσπισμα[21] τοῖς ὑπὸ χεῖρα ἐγνωσμένον καταστησάτω, ὡς ἂν δήλου πᾶσι γεγονότος, ἅπαντες περὶ τῶν οἰκείων, καὶ οὓς ἡ αἰχμαλωσία ἔχει, ὡς ἂν ἐθέλωσι διορίζωνται.

NOV. XLI.

Ut in civitatibus quinque, in itineribus vero et agris tres testes ad testamentorum fidem sufficiant.

ΔΙΑΤΑΞΙΣ μα΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ[1].

Ἐν πᾶσι μὲν τοῖς κατὰ τὸν βίον πράγμασιν, ὅσα τὴν διὰ μαρτύρων ἀπαιτεῖ πίστιν, ὀφειλόμενόν ἐστι προσεῖναι τὴν διὰ τούτων[2] βεβαίωσιν, μάλιστα δὲ χρήζουσι διατάξεις[3], αἳ γίνονται

τὴν διαθήκην – προφθάσει, quae corrigenda esse etiam Steph. et Agyl. viderunt. [17] Ecl. πρῶτον μὲν σκοπεῖν. [18] Ecl. ἀφορίζεσθαι. [19] Inc. Ecl. Nov. XXVI. [20] Sic Ecl. Codd.: ἐλύσει. [21] Verba τὸ θέσπ. Ecloga non habet

[1] Zuich. et Meerm. notant: αὕτη ἀνῄρηται τὴν λα΄ διάτ. τοῦ κη΄ τί. τοῦ ϛ΄ βι. τοῦ κώδ., τῶν βασιλ. βι. λε΄ τί. β΄ κεφ. τελευταῖον. [2] Scrimg. τοῦτο. [3] Codd. διατάξεων, quod Agyl. emendavit in ἐκεῖναι τῶν διατάξεων. Vulgatam defendit Spangenberg.

πρὸς τὴν τελείαν ἡμῶν τῆς ζωῆς ἡμέραν ἀποβλεπόντων, της τοιαύτης βεβαιώσεως. οὐ γάρ ἐστι περιλειπόμενος τρόπος, ὃς ὀρθῶς αὐταῖς διαιτήσει, εἰ μὴ τὸ ἐκ τῶν μαρτύρων πρόσεστιν ἀσφαλές. ἔδει οὖν, ὅσον ἀναγκαῖον τυγχάνει βεβαίας εἶναι τὰς ὑπὸ[4] τῶν ἐκ τοῦ ζῆν ἀπιόντων ἀνθρώπων πραγματευομένας[5] διατυπώσεις, τοσοῦτον αὐτὰς ἀσφαλίσασθαι διὰ τῆς μαρτυρίας. ἀλλ' ἐπεὶ ὁρῶμεν πολλάκις ὑπὸ τῆς ἀπορίας τῆς ἣν ἐπιζητεῖ ἀκριβείας τὰ πράγματα πρὸς τὴν ἐνδεχομένην κατάστασιν μὴ[6] καθιστάμενα (μὴ γὰρ παρόντος χρῆσθαι τῇ ἀκριβείᾳ, ἀνάγκη χρῆσθαι καθὼς ἄν τις εὔπορος ᾖ), οὐκ ἔξω προνοίας ἡμῖν ἐφάνη καὶ περὶ τοῦ ἀριθμοῦ τῶν ταῖς διαθήκαις ὀφειλόντων μαρτύρων παρεῖναι διορίσασθαι. τοῦτο μὲν οὖν εἰς νοῦν ἦλθε καὶ τῷ ἀειμνήστῳ ἡμῶν πατρὶ διαιτῆσαι, πλὴν ἔοικεν οὐ πάνυ τὶ ἀκριβῶς ἔχειν τὸ διορισθέν[7]. τῶν γὰρ πρὸ αὐτοῦ νομοθετῶν οὓ μὲν ἑπτὰ παραλαμβάνεσθαι μάρτυρας οὓ δὲ πέντε γνώμην ἐξενηνοχότων (ἑπτὰ μὲν ἐν πόλεσιν ἃς εἰκὸς πολυανδρουμένας μὴ ἀπορίαν ἔχειν[8], πέντε δὲ ἐν τοῖς ἀγροῖς καὶ ὁδοιπορίαις διὰ τὴν πολλάκις φθάνουσαν τῶν εἰς πίστιν ἀξίων περιτυγχανόντων ὀλιγότητα), τούτων οὕτως ἐπ'[9] ἐκείνων διακριθέντων, καὶ ὁ ἡμέτερος πατὴρ τὸν ὑπερέχοντα ἀριθμὸν παριδὼν ἔν τε πόλεσιν ὁμοίως καὶ ἀγροῖς καὶ ὁδοιπορίαις ἀπένειμε τὴν διὰ πέντε μαρτύρων ταῖς διαθήκαις βεβαίωσιν, πρὸς τὴν νῦν κατασχοῦσαν τὸν βίον ἔνδειαν τῆς ἀρετῆς[10] ὡς ἐμοί γε δοκεῖ ἀπιδών. ὅμως, ὅπερ εἴρηται, οὐ πάνυ τις ἀκρίβεια τῷ δόγματι πρόσεστι. τάχα γάρ τις ἐρεῖ, ὡς οὐκ ἴσον ἐχρῆν ἀπονεῖμαι τὸν ἀριθμὸν, ἀλλ' εἰς τὸ βραχύτερον συστεῖλαι τὴν ἐν ἀγροῖς καὶ ὁδοιπορίαις γενομένην μαρτυρίαν.

Ὃ οὖν ἐκεῖνος παρεῖδεν, τοῦτο ἡμεῖς οὐ παριδόντες, θεσπίζομεν, ἐν μὲν ταῖς πόλεσι τὴν διὰ πέντε μαρτύρων χορηγουμένην ταῖς διατάξεσι κύρωσιν τυγχάνειν ἀποδοχῆς, ἐν ὁδοιπορίαις δὲ καὶ ἀγροῖς καὶ ταῖς ἄλλαις ὀλιγανδρούσαις χώραις εὐαπόδεκτον εἶναι καὶ τὴν διὰ τριῶν.

---

[4] Scrimg. ἀπό. [5] Codd. πραγματευομένων, quod defendit Spang. Agyl. delendum esse censuit. [6] Negatio, quae ab omnibus abest, necessario supplenda erat. [7] Cf. Proch. XXI, 15. [8] Codd. ἀποχωρεῖν, quod ferri non potest Spang. conjecit ἀπορεῖν vel ἀπορήσειν. [9] Malim ὑπ'. [10] Hoc non satis aptum est: forte ἀσφαλείας (sc. διὰ μαρτύρων) scribendum.

NOV. XLII.

De testamento non scripto vel in scripturam redacto[1].

ΔΙΑΤΑΞΙΣ μβ'.

Περὶ ἀγράφου διατυπώσεως ἢ τῆς ἤδη γραφείσης[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἔοικεν ἡ πολλάκις ἐν τοῖς λόγοις ἐπικαθημένη ἀσάφεια δεινή τις εἶναι σφάλλειν τὰ πράγματα, ὥσπερ τὶς ἀχλὺς ἐφηπλωμένη καὶ τὸ νοερὸν συμφέρουσα τῆς ψυχῆς καὶ τῆς ὀρθῆς τῶν πραγμάτων παραστρέφουσα διοικήσεως. ταύτην οὖν τὴν τῆς ἀσαφείας ἀχλὺν ἐπεὶ κατακεχυμένην ἐγνώκαμεν τῶν διατάξεων ἐκείνων, αἳ τὰ περὶ διαθηκῶν ὁρίζουσι, καὶ βλάβην οὐ τὴν τυχοῦσαν τοῖς πράγμασι φέρουσι[3], καλῶς ἔχειν ὑπελάβομεν τοῦτο ἀνακαθᾶραι, καὶ ὅπως δεῖ κυροῦσθαι διαθήκας ἢ μή, ἀναμφισβητήτῳ διορίσαι νόμῳ καὶ μὴ ἀντιλαβὰς ἑκατέρωθεν ἔχοντι. ἤδη γὰρ οἱ πρὸ ἡμῶν περὶ διαθηκῶν[4] διαλαβόντες διχῆ τὰ περὶ τούτων διεῖλον, καὶ ἃς μὲν ἐγγράφως γίνεσθαι ἃς δὲ ἀγράφως ὡρίσαντο, καὶ τρόπον ὑποθέμενοι, δι' οὗ ἂν ἑκάστη κυρωθείη τῶν διαθηκῶν[4], ἥ τε ἔγγραφός φημι καὶ ἡ ἄγραφος· καὶ ἡ μὲν τῆς ἐγγράφου κύρωσις ἐν τῷ τὴν διατύπωσιν ἀπαρτισθῆναι καὶ ταῖς μαρτύρων ὑπογραφαῖς καὶ τοῖς σφραγίσμασιν ἔτι παρόντος ἐν ἀνθρώποις τοῦ διαθεμένου, ἡ δὲ τῆς ἀγράφου ἐν τῷ πέντε[5] μάρτυρας εἰς ἀξιοπιστίαν οὐκ ἀμφιβόλους συνομολογῆσαι λαβεῖν ἀκοαῖς τὰ διατεταγμένα αὐτὰ ἐκείνου τῇ τοῦ διατιθεμένου γλώσσῃ. τούτων δὲ οὕτως ἐχόντων προστάττουσι τὴν ἔγγραφον διαθήκην, εἰ μὴ πάντα ὁμοῦ συνέλθοι εἰς τελείωσιν[6] τῆς γραφῆς ἣ μηνύει τὴν βούλησιν τοῦ διαθεμένου, καὶ μαρτύρων ὑπογραφαὶ ταύτῃ μαρτυροῦσαι τὸ γνήσιον καὶ σφραγῖδες ἀξιοπιστίαν παρεχόμεναι ταῖς ὑπογραφαῖς, εἰ μὴ ταῦτα πάντα ὁμοῦ συνδράμῃ πρὶν ἢ ἐξ ἀνθρώπων ἀφανισθῆναι τὸν οὗ ἡ διαθήκη, ἀκυροῦσθαι αὐτὴν καὶ ἐγγράφως καὶ ἀγράφως. ἐκ τούτου δὴ τοῦ προσδιορισμοῦ[7] πάνυ

---

[1] Ecl. Nov. 27. Cf. Harm. V, 1, 6. [2] Zuich. et Meerm. adscribunt scholium: *αὕτη ἀνῄρηται τὴν ιβ' διάτ. τοῦ κγ' τί. τοῦ ς' βι. τοῦ κώδ., τῶν βασιλ. βι. λε' τί. β' κεφ. ιζ'.* [3] Spang. mallet *φέρουσαν.* [4] Scrimg. *διαθετικῶν.* [5] Agyl. legendum censet *ἑπτά.* Corruptela sane inesse videtur: fortasse *ζ' ἢ ε'.* Cf. Nov. praecedentem. [6] Zuich. et Meerm.: *εἰ μὴ πάντα ὁμοῦ συνέλθοι, τελείωσις τῆς γραφῆς κτλ.*, quod Spang. praestare putat. [7] Scrimg *προδιωρισμένου.* Deinde Spang. vult legi *μὴ πάνυ ἁπλῶς*, quo minime opus est

ἁπλῶς (ἵνα μὴ λέγω κακῶς) ἔχοντος σύγχυσις ἔχει καὶ ἀπορία τὰ περὶ διαθηκῶν πράγματα. οἷς μὲν γὰρ δοκεῖ παντελῶς ὥσπερ τὰ νόθα τῶν σπερμάτων ἐκρίπτειν τὴν διαθήκην, καὶ ἄλλοις μὲν ἐκ τῆς περιουσίας ἐπιτρέπειν ὠφελεῖσθαι, τῷ θανόντι δὲ οὐδὲ τὸ βραχύτατον ὠφελείας ἐκ τῶν οἰκείων μετεῖναι (εἴπερ τὶς θανοῦσιν ὠφέλεια γίνεται· γίνεται δὲ ἀναζώντων ἐνίων εὐεργεσίας ἐλέῳ ἐκ τῆς ἐκείνου ἀποβιώσεως). ἀλλὰ γάρ, ὥσπερ εἶπον, οἱ μὲν οὕτως ἀξιοῦσι παντελῶς εἴργειν τὸν ἄνθρωπον τῆς τῶν οἰκείων ὠφελείας, οἱ δὲ φιλανθρωπότερον διακείμενοι νέμουσι τῇ μὴ λαβούσῃ διαθήκῃ τὸ τέλειον διὰ τῶν σφραγίδων, εἰ καὶ μὴ ἔγγραφον, ἀλλ' ὁποίαν ἂν ἡ ἀγράφως κυρουμένη διαθήκη λαμβάνοι βεβαίωσιν. οὕτως οὖν τὴν ἀμφισβήτησιν ταύτην πρὸς βλάβην οὖσαν ὁρῶντες τοῖς πράγμασι, τῆς φιλανθρωποτέρας τῶν δικαστῶν μερίδος γινόμεθα, καὶ τοῦ παλαιοῦ νόμου τὸ ἀχλυῶδες καὶ ἀμφίδοξον εἰς ἁπλὴν καὶ τρανὴν μεταβάλλομεν εἴδησιν.

Τοιγαροῦν[8] θεσπίζομεν, τὴν κατὰ τὰ ὀφείλοντα ταῖς ἐγγράφοις διαθήκαις παρακολουθεῖν ἀτελῆ διαθήκην, εἰ διὰ μαρτυρίας ἀγράφου πίστεως οὐκ ἀπορεῖ, βεβαίαν εἶναι κατὰ τὴν τῶν ἀγράφων διαθηκῶν κύρωσιν· εἰ δ' ἀπορεῖ τῆς διὰ μαρτύρων πίστεως, τότε ὡς μηδὲν ἔχουσαν ἀληθείας ἐχέγγυον ἀκυροῦσθαι. τίς γὰρ ἀκολουθία, μᾶλλον δὲ πῶς οὐ παντάπασιν ἄλογον καὶ ἀνόητον, νῦν μὲν τοὺς μάρτυρας τοιαύτης ἀξιοῦσθαι ἀποδοχῆς, ὡς καὶ τὰ μηδ' ὅλως γραφῇ δοθέντα κυροῦν, νῦν δ' αὐτοὺς παρὰ φαῦλον τίθεσθαι, ὡς μὴ ὄντας ἀξίους τὰ διὰ[9] γραφῆς δηλούμενα βεβαιοῦν; καίτοι[10] τρόπον τινὰ ἐνταῦθα ἰσχυροτέρα γίνεται ἡ πίστις. πῶς δὲ οὐχὶ μετὰ τοῦ παραλόγου[11] καὶ ἀναιδῆ τοῦ δικαίου προδοσίαν ἔχει; τί γάρ, εἰ τῆς διατάξεως ἀρχὴν μὲν λαβούσης γραφῇ δίδοσθαι καὶ τὰ διατεταγμένα ἀκοαῖς ἐνηχήθησαν οἱ τούτοις τὴν ἀξιοπιστίαν χαριζόμενοι μάρτυρες, εἶτα ἢ τὸν γραφέα νόσος κατέσχεν ἢ καὶ θάνατος αὐτὸν προανήρπασε, μετ' οὐ πολὺ δὲ καὶ τὸν διαθέμενον (οἷα πολλὰ τοῖς ἀνθρώποις ἀπροόρατα συμπτώματα ἔρχεται), διὰ τοῦτο ἄδικα πείσονται στερούμενοι τῆς ἐν τῇ βουλῇ τοῦ θανόντος κειμένης εὐεργεσίας οἱ ταύτης ἀπολαύειν παρ' αὐτοῦ ἠξιωμένοι[12]; καὶ τὸ σχετλιώτατον, οὐ μέχρι τῶν ζώντων ἕστηκε

---

[8] Ecl. incipit. [9] Praepositionem omittunt Zuich. et Meerm. Scrimg. *παρά*, pro quo ex Ecl. *διὰ* posui. [10] Ecl. *καίτοιγε*. [11] Sic Ecl. Zuich. et Meerm. *μετὰ ταῦτα παραλόγου*. Scrimg. *μ. ταῦτα παράλογον*. [12] Zuich. et Meerm. *ἀξιώμενοι*.

τὸ κακὸν, ἀλλὰ καὶ τὸν θανόντα διώκει, καὶ ἀποστερεῖ τοῦτον (ὅσον ἧκεν εἰς γνώμην τῶν ἀκυρούντων τὴν διαθήκην) τῆς παρὰ τοῦ οἰκτίρμονος θεοῦ συμπαθείας, ἧς μεθέξειν αὐτὸν ἐλπὶς ἐκ τοῦ εὖ ἑτέροις γενέσθαι ἐκείνου τῶν ἀνθρωπίνων ἀπογενομένου. διὰ τοῦτο ταῦτα συνεγνωκὸς τὸ ἡμέτερον κράτος σαφῆ καὶ ἀναμφίβολον ἐθέσπισε τύπον, ὥς, εἴπερ μόνον οἱ μαρτυροῦντες φαῖεν οἰκείαν τοῦ ἀνθρώπου τὴν διαθήκην, μὴ ἀθετεῖσθαι αὐτὴν ἀλλὰ βεβαίαν εἶναι, κἂν μὴ μόνον[13] αἱ σφραγῖδες ἐνεδέησαν ἐπικεῖσθαι, ἀλλὰ καὶ αἱ τῶν μαρτύρων ὑπογραφαὶ μετὰ σφραγισμάτων[14] ἐλλείπουσιν.

NOV. XLIII.

Ut isographis testamenta firmentur, et de eo, si vel tres testes fuerint[1].

ΔΙΑΤΑΞΙΣ μγ΄.

Περὶ τοῦ κυροῦσθαι διὰ ἰσογράφων τὰς διαθήκας, καὶ περὶ τοῦ εἰ καὶ τρεῖς τυγχάνοιεν μάρτυρες[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Οὐχ ὑπὲρ ὧν οἱ προλαβόντες ἡμᾶς τὴν ἀσφάλειαν τοῖς πράγμασιν εἰσηνέγκαντο μέμφεσθαι τούτους ἔχοντες νόμον εἰσάγομεν, ἀλλὰ κἀκείνους ἐν ἀποδοχῇ ποιούμεθα τῆς ἀκριβείας, καὶ τὰ πράγματα, ὅτι μὴ οἷόν τε πρὸς τὸ τῆς γνώμης αὐτῶν ἀκριβὲς ἕπεσθαι[3], ἐφ᾽ ὅσον ἐγχωρεῖ μὴ ἐκπίπτειν τῆς ὀφειλομένης ὁρίζομεν καταστάσεως. τί οὖν ἐστιν, ὅ φημι; ἐκρίθη τοῖς πάλαι περὶ διαθηκῶν ἐπισκεψαμένοις ὑφ᾽ ἑπτὰ μάρτυσι, πέντε δὲ τὸ ἔλαττον, ταῖς ἀποβιωσίμοις διατάξεσι προσεῖναι τὸ κῦρος, καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλ᾽ ὑπάρχειν καὶ γραμμάτων μὴ ἀμαθεῖς τοὺς τὴν μαρτυρίαν κατατιθεμένους, εἰ[4] ἐν πόλεσιν εἴησαν αἱ διατάξεις πεποιημέναι, ἐν αἷς οὐκ ἔστιν ἀπορία

---

[13] Ecl. καὶ μὴ μόνον εἰ. Non male. [14] Nonnulli Eclogae Codd. μετὰ τῶν ἐσφραγισμένων.

[1] Ecl. Nov. 28. Laudat Blast. Δ, 3 (ed. Bev. II p. 92). [2] Plurimi Eclogae Codd. in fine rubricae addunt verbum μαρτυρεῖν. — In Zuich. et Meerm. notatum est: αὕτη ἀνῄρηται τὴν λα΄ διάτ. τοῦ κγ΄ τί. τοῦ ς΄ βι. τοῦ κώδ., τῶν βασιλ. βι. λε΄ τί. β΄ κεφ. τελευταῖον. [3] Scring. ἔσεσθαι. [4] Idem καὶ pro εἰ, quod Zuich. et Meerm. suppeditant.

γραμμάτων· ἐν ταῖς ἄλλαις δὲ χώραις, οὗ μὴ πάνυ τὰ τῆς παιδείας καὶ μαθήσεως ἐπιχωριάζει, ἐκεῖ τὰ τῶν μαρτύρων μὴ ἀκριβολογεῖσθαι, μηδὲ μόνους ἐκείνους ἐπιζητεῖν, οἳ διὰ παιδείας ἤχθησαν, ἀλλ' εἶναι πρὸς τὸ μαρτυρεῖν εἴσοδον καὶ γραμμάτων ἀμνημονεύτοις. τοῦτο μὲν οὖν, ὅπερ ὁ νόμος διώριζε μόναις[5] *γίνεσθαι χώραις, ἐν αἷς οὐκ ἔστιν εὐθηνία γραμμάτων, ἡ συνήθεια πανταχοῦ λαβοῦσιν ἔδωκεν πράττεσθαι καὶ τόποις καὶ πόλεσιν, κἂν διὰ μαθήσεως πεπαιδευμένων ἀνδρῶν ὦσιν εὔποροι. ὃ καὶ τῇ βασιλείᾳ ἡμῶν ἀρέσκον ὤφθη καὶ νόμων ἀξιοῦσθαι τῆς βεβαιώσεως.*

Θεσπίζομεν[6] *τοίνυν, ἐν πάσῃ χώρᾳ καὶ πόλει καὶ ὑπ' ἀμαθῶν κυροῦσθαι τὰς διαθήκας, εἰ μόνον ἐκ τοῦ τρόπου τὸ ἀξιόπιστον οἱ μάρτυρες ἀποφέρονται. καὶ τὸν ἀριθμὸν δὲ οὐ μόνον ἄχρι τῶν πέντε περιορίζομεν, ἀλλ' ἐν τόποις, ἐν οἷς ὡς εἰκὸς συμβαίνει*[7] *σπάνιν ἀνδρῶν εἰς μαρτυρίαν ἀξίων εἰσιέναι, καὶ μέχρι τριῶν φθάνοντα τὸ εὐαπόδεκτον ἔχειν, καὶ εἶναι ἀθετήσεως κρείττω τὴν μαρτυρίαν.*

NOV. XLIV.

A quibus obsignari testamenta oporteat.

ΔΙΑΤΑΞΙΣ μδ'[1].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Καὶ πάντα μὲν ἄλλα ὅσα γραφῇ πραγματεύονται ἄνθρωποι, ἀναγκαίως ἐπιζητεῖ τὴν ἀκριβῆ τῆς μαρτυρίας παράστασιν, μάλιστα δὲ ἐκεῖνα, ὅσα τῆς ἀνθρωπίνης πλάσεως εἰς διάλυσιν ὁρώσης καὶ τῆς ἐκ τοῦ σαρκίου παρισταμένης ἐκδημίας γράμμασιν ἐκτιθέντες, τούτοις τοὺς ἑαυτῶν λογισμοὺς ἀναχωροῦντες τῶν ἀνθρωπίνων καταπιστεύουσιν. ἃ μὲν γὰρ ἔτι περιόντων ἐν βίῳ ἐγράφη, κἂν ᾖ[2] *ἐσφραγισμένα, τούτων φωρᾶται τὰ σφάλματα ἐκ τῆς τῶν λόγων συνεξετάσεως αὐτοῦ τε τοῦ γράψαντος καὶ τῶν, περὶ ὧν τὴν γραφὴν ἐποιήσατο*[3]*· ἃ δὲ τῆς*

---

[5] Steph. vult *ἐν μόναις*. [6] Inc. Ecloga. [7] Ecl. et Blast. *συμβαίνειν*.

[1] Scholium in Zuich. et Meerm. accedit hoc: *αὕτη ἀνῄρηται τὴν ιη' καὶ κγ' διάτ. τοῦ κγ' τί. τοῦ ς' βι. τοῦ κώδ. κεῖται μὲν ὁ κγ' τί. τοῦ ς' βι. τοῦ κώδ. ἐν βι. τῶν βασιλ. λε' τί β'· αὗται δὲ αἱ δύο διατάξεις οὐκ ἐδέχθησαν.*
[2] Malim *κἂν μὴ ᾖ*. [3] Spang. ex Zuich. et Meerm. *ἐποιήσαντο* praefert.

ἀνθρωπίνης ζωῆς ἀπιόντων διατυποῦται, ταῦτα οὐκ ἂν ᾖ φαύλως ἔχοντα καταμαθεῖν, εἰ μὴ παρῇ ἡ ἐκ τῶν μαρτύρων ἀσφαλὴς ψῆφος. ἀλλὰ γὰρ ἄριστον[4] καὶ τοῦτο τὸ μέρος τῷ νομοθέτῃ διατέτακται, ἐν οἷς βουλόμενος μὴ εἰς ἀνάγκην ὅρκων[5] πολλάκις καθίστασθαι τοὺς μαρτυροῦντας ταῖς διαθήκαις, τὸ βέβαιον αὐτὰς κελεύει σφραγῖδι πορίζεσθαι τοῦ λαχόντος τὴν τῶν κήνσων ἐπιστασίαν, ὃς νῦν τὴν τοῦ γενικοῦ προσηγορίαν ἀποφέρεται. καὶ γὰρ τὸ[6] μὴ ὥσπερ ὁμαλὴν καὶ ἕτοιμον ἐν τοῖς ὅρκοις παρέχειν τὴν εἴσοδον, ἀλλ᾽ ἐπισήμῳ σφραγῖδι ταῖς[7] διαθήκαις δόντα τὸ βέβαιον τὴν τῶν ὅρκων ἐπίσχεσιν προνοηθῆναι ποιήσασθαι, εὐβουλότατόν τε καὶ ἄριστον. ταῦτα μὲν ἐπὶ τῶν πρόσθεν· ἡ δὲ συνήθεια μετὰ ταῦτα ἐπὶ τοῖς μάρτυσι τὴν σφραγῖδα τῇ διαθήκῃ προσμαρτυρεῖν μετήγαγεν ἐκείνου, ὃς δὴ πρὸς τὸ τοῦ κοιαίστωρος ἀναβεβηκὼς ὁρᾶται ἀξίωμα. οὕτω μὲν καὶ τοιαύτη τοῖς πρὸ ἡμῶν ἀρίστη ἀσφάλεια ἔδοξεν.

Οἷς ἑπόμενοι καὶ ἡμεῖς, ἵνα μᾶλλον ἀμείνων ᾖ, κελεύομεν τῇ μὲν σφραγῖδι τοῦ ἐπὶ τῶν κήνσων καθεστηκότος ἀνδρὸς, ὅτι μηδὲ μέτεστιν αὐτῷ νῦν τῆς τῶν νόμων ἐπιμελείας καὶ διοικήσεως, μηδέν τι πρὸς τὴν ἐπισήμανσιν τῶν διαθηκῶν μετεῖναι (ὥσπερ οὐδὲ ἐπισημαίνονταί γε ταύτῃ)[8], τὴν δὲ νῦν ἀντ᾽ ἐκείνης ἐπισημαινομένην αὐτῇ[9] τοῦ κοιαίστωρος σφραγῖδα μηδὲ ταύτην μόνον ἐπισφραγίζειν τὰ διατετυπωμένα, ἀλλὰ καὶ τοὺς μεγαλοπρεπεστάτους ἡμῶν μαγίστρους καὶ πατρικίους καὶ τὸν τῆς πόλεως ἔπαρχον καὶ τοὺς ἄλλους, οἳ ἐπὶ τῶν κρίσεων καθεστήκασι, τοῖς ἑαυτῶν σφραγίσμασι τὰς διατυπώσεις τῇ ἀξιοπιστίᾳ σεμνύνειν. ἀλλ᾽ ἐν μὲν τῇ προκαθημένῃ τῶν πόλεων οὗτοι, ἐν δὲ ταῖς ἄλλαις χώραις καὶ πόλεσιν οἵ τε στρατηγοὶ καὶ οἱ καθ᾽ ἑκάστην ἐπαρχίαν κριταὶ τοῦτο ἴστωσαν καὶ ποιείτωσαν.

---

[4] Steph. et Agyl. *ἄριστα* scribi volunt. [5] Zuich. et Meerm. *ὅρκου.* [6] Codd. *τὴν,* quod emendavit Agyl. [7] Scrimg. *διτταῖς.* [8] Scrimg. *ταύτην.* [9] Scrimg. *ἐπισημαινομένης αὐτός.* Et *αὐτὸς* quidem etiam Zuich. et Meerm. habent. Ego Spangenbergii conjecturam recepi. Osenbrüggen vel *αὐτοῦ* vel *αὐτὰς* legendum censuit.

NOV. XLV.

Ut sententiam judices in litteras referant suaque manu obsignent[1].

ΔΙΑΤΑΞΙΣ με΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Τῆς ἀσφαλείας τῶν ἤδη φθασάντων κεκρίσθαι πραγμάτων καὶ ὥστε μή τινα ὑποψίαν καὶ ἀμφισβήτησιν ταῖς κρίσεσι παρακολουθεῖν προμηθουμένοις ἡμῖν, καὶ τοῦτο παρέστηκε διορίσασθαι, τὸ ἕκαστον, οἳ κρίνειν καὶ διαλύειν δίκας ἔλαχον, περὶ ὧν ἂν ἐξενέγκοι κρίσιν, ἔγγραφον ἀπολύειν τὴν ψῆφον οἰκείᾳ αὐτοῦ διασημανθεῖσαν χειρὶ, ὥστε μήτε ἐκεῖνον ἔξαρνόν ποτε τοιαύτης καταλαμβανούσης περιπετείας δύνασθαι γεγονέναι, μήθ᾽ ἑτέρῳ τινὶ ἐξεῖναι ὑποβολιμαίαν καὶ νόθον διαπλασάμενον κρίσεως γραφὴν εἴς τινα τῶν κρινόντων ἀναφέρειν αὐτήν.

Πᾶς τοίνυν δικαστικῷ τετιμημένος ἀξιώματι οὕτως ἐκ τοῦ παρόντος ποιείτω καιροῦ, ἔγγραφα[2] ἀπολύων ἃ ἐδίκασε καὶ διασεσημασμένα ὑπὸ τῆς οἰκείας χειρός.

NOV. XLVI.

Abrogatio quarundam de curiis et decurionibus latarum legum.

ΔΙΑΤΑΞΙΣ μϛ΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ[1].

Ὥσπερ τῶν[2] ἄλλων ἁπάντων τῶν κατὰ τὸν βίον πραγμάτων ἑκάστου τὴν μεταχείρισιν ἡ χρεία παρέχεται, καὶ ἃ μὲν φέρει τινὰ εὐχρηστίαν, ταῦτα ἐν λόγῳ ποιούμεθα, ἃ δὲ μηδὲν

---

[1] Haec Novella integra habetur in Paris. gr. 1385 A. Ibi rubrica est: *περὶ τοῦ ἕκαστον δικάζειν λαχόντα τῶν παρ᾽ αὐτοῦ κεκριμμένων ἔγγραφον ἀπολύειν τὴν ψῆφον οἰκείᾳ χειρὶ ὑποσημαινομένην.* — Eadem Novella laudatur in *Πείρᾳ* LI, 19. [2] Codd. *ἄγραφα.* Emendavit Agyl. Mox Zuich. et Meerm. notant: *καὶ αὕτη κρατεῖ καὶ πράττεται.*

[1] In Zuich. et Meerm. notatum est: *αὕτη ἀνῄρηται τὸ γ΄ διγ. τοῦ β΄ τὸ κϛ΄ τί. θε. τοῦ νβ΄ τῶν διγ. καὶ διάτ. ζ΄, ιβ΄, ιδ΄, ιθ΄, κγ΄ (κη΄), κθ΄, λϛ΄ τοῦ λβ΄ τί. καὶ διάτ. α΄ τοῦ νε΄ λη΄ πθ΄ ρα΄. οὐκ ἐδέχθη[σαν] διὰ τούτων [τοῦτο?] οὐδ᾽ ἐν τοῖς βασιλικοῖς.* Haec Spang. ad Nov. praecedentem traxit, ideoque extricare non valuit. Laudantur autem loci ex libro L tit. 2 Dig., et ex lib. X tit. 32 et 35 Cod., denique Novv. Justiniani 38 et 89 de curialibus tractantes. [2] Articulum Scrimg. non habet.

συντελεῖ, ἐν τῷ μηδενὶ τιθέμεθα, οὕτω πάντως καὶ πρὸς τὴν σύνταξιν τῶν νομίμων κεφαλαίων δεήσει ἁρμόζεσθαι· ὧν μὲν οὖν ἐστί τις χρῆσις δεξιόν τι φέρουσα τῇ πολιτείᾳ, τούτων ἀναγκαίως καὶ κειμένων καὶ τιμωμένων, ὧν δὲ ἢ οὐδαμῶς ἢ φαύλη ἡ μεταχείρισις, τούτων οὐ μόνον ἀξιουμένων λόγου τινὸς, ἀλλὰ καὶ τῆς τῶν νόμων θέσεως διακρινομένων τε καὶ ἀποβλήτων γινομένων.

Ταῦτά φαμεν, ἐπεὶ τοῖς πάλαι νόμοις τινὲς ἐκτεθειμένοι[3] περί τε βουλευτῶν καὶ βουλευτηρίων τοῖς μὲν βαρείας τινὰς καὶ δυσυποίστους ἐπέτρεπον λειτουργίας, προνόμιον δὲ τοῖς βουλευτηρίοις παρεῖχον ἀρχῶν τινων προβολῆς καὶ διοικήσεως αὐτεξουσίου τῶν πόλεων. οἳ νῦν, ὅτι πρὸς ἑτέραν κατάστασιν τὰ πολιτικὰ μεταπεποίηται πράγματα καὶ πρὸς μόνην τὴν βασίλειον πρόνοιάν τε καὶ διοίκησιν ἀνήρτηται πάντα, ὡς μάτην περιπλανώμενοι τῷ νομίμῳ ἐδάφει ἐκεῖθεν τῷ ἡμετέρῳ ὑπεξάγονται δόγματι[4].

NOV. XLVII.

Abrogatio legis, quae senatui praetores, decurionibus vero praefectos constituere concedebat.

ΔΙΑΤΑΞΙΣ μζ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ[1].

Πάλαι μὲν ἄλλην ἐχούσης τῆς πολιτείας κατάστασιν ἄλλως καὶ τῶν πραγμάτων ἡ τάξις ἐτάττετο. μὴ γὰρ πάντων ὑπὸ τῆς βασιλικῆς διασκοπουμένων προνοίας, ἀλλ' ὄντων τινῶν, ἃ τῆς συγκλήτου ἔργον ἦν διασκέψασθαι καὶ χειροτονεῖσθαι, ὑπ' ἐκείνης καὶ τὴν προβολὴν ἐλάμβανον[2]. πραίτωρες γοῦν ἐν τῇ προκαθημένῃ τῶν πόλεων τρεῖς ὑπὸ ταύτης εἰς τὴν τῶν πραγμάτων διοίκησιν καθίσταντο, καὶ ἡ τάξις αὕτη νόμου προῄει θεσπίσματι. ἀλλὰ γὰρ οὐ μόνον ἐν τῇ φερούσῃ πόλει τὸ κράτος, ἀλλὰ καὶ ἐν ταῖς ἄλλαις ὑπὸ τῶν οὕτω καλουμένων βου-

---

[3] Codd. ἐκτεθειμένοις. [4] Codd. ὑπεξάγοντι δόγματα.

[1] Zuich. et Meerm. adscriptum habent: αὕτη ἀνήρηται τὴν β' διάτ. τοῦ λθ' τί. τοῦ α' βι. τοῦ κώδ., ἥτις κεῖται ἐν βι. τῶν βασιλ. ϛ' τί. ζ' κεφ. ϛ'. (Heimb. c. 7) ἀνάγν. τοῦ ϛ' βι. τί. γ' (ιγ'?) κεφ. θ' (α'?), ὃ περὶ προβολῆς ἀρχῶν ἐπιτρέπει. [2] Steph. excidisse aliquid suspicatur, veluti ἀρχαί τινες ἐλάμβανον. Malim ὄντων τινῶν, οὓς τῆς συγκλ. κτλ.

λευτῶν στρατηγοί τινες (οὐχ οἵους ἡ νῦν οἶδε στρατηγικὴ ἀρχή), καὶ τιμιώτεροι δέ τινες καὶ ἄλλην ἐγκεχειρισμένοι φροντίδα[3] προβέβληντο.

Τότε μὲν οὖν ἄλλως τῶν πραγμάτων διακειμένων ἡ χρεία τὸν νόμον ἐζήτει· νῦν δὲ τῆς βασιλικῆς φροντίδος πάντων ἐξηρτημένων καὶ σὺν θεῷ τῇ ταύτης προνοίᾳ καὶ σκοπουμένων καὶ διαιτωμένων, καὶ χρείαν οὐδεμίαν ἐκείνου τοῦ νόμου παρεχομένου, μετὰ τῶν ἄλλων, οἳ τῆς πολιτείας ἐκβέβληνται, καὶ τοῦτον συνεκβεβλῆσθαι ὁρίζομεν. ὥσπερ γὰρ οὐκ οὖσι τοῖς νόμοις ἡ τῶν πραγμάτων χρεία παρέχει προελθεῖν τὴν ἀρχήν, οὕτως οὐ πρὸς τὸ χρήσιμον τοῖς πράγμασι δόγματος κειμένου, ἀκόλουθον ἐξαλείφειν αὐτό.

NOV. XLVIII.

Ne mulieres in contractibus testimonium praebeant[1].

ΔΙΑΤΑΞΙΣ μη'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ[2].

Οὐκ οἶδ᾽ ὅπως μὴ σκεψάμενοι γνώμην ἀκριβῆ[3] ταῖς γυναιξὶν ἔδοσαν ἄδειαν εἰς τὸ μαρτυρεῖν προϊέναι οἱ παλαιοὶ, οὐδὲ τὸ πρόχειρον εἰς ἐνθύμησιν ἐνθυμηθέντες, ὅτι γυναικὶ ἀκοσμίαν φέρει ἡ ἀφειδὴς πρὸς τὰς ἀῤῥένων ὄψεις ἀπάντησις, σώφρονας δὲ καὶ κοσμίους ἡ ἐκεῖθεν καθίστησιν ἀποφυγή. πῶς οὖν ἐπέτρεψαν εἰς μαρτυρίαν παραλαμβάνεσθαι, ἐξ ἧς συμβαίνει πολλάκις ἐν δήμοις πολυανθρώποις αὐτὰς ἀναστρέφεσθαι καὶ χρῆσθαι τῇ γλώσσῃ ἀνευλαβέστερον ἢ κατὰ γυναικὸς λαλιὰν, τοῦτο ὥσπερ εἶπον ἐπῆλθέ μοι ἀπορεῖν. τί γὰρ ἡ γυναικῶν μαρτυρία τούτοις ἐνομίσθη προϊέναι εἰς πράγματα, αἷς[4] ὁμοίως τοῖς ἀνδράσι μαρτυρεῖν συγκεχωρήκασι, καθάπερ τὰς σκυθικας γυναῖκας ἀκούομεν ὁμοῦ τοῖς γαμέταις συνεξοπλίζεσθαι; καὶ τοῦτο δὴ πῶς οὐχὶ μετὰ τοῦ ἀδόξου καὶ πολλὴν

---

[3] Zuich. et Meerm. φορτίδα.

[1] Excitatur in Basil. ed. Heimb. II p. 399, a Bals. ad syn. Trull. c. 70 (ed. Rhalli II p. 469) et Blast. Δ, 8 (ed. Bev. II p 104). [2] Zuich. et Meerm. notant: αὕτη ἀνῄρηται τὸ γ' καὶ ιη' δίγ. τοῦ ε' τί. τοῦ κβ' βι. τῶν διγ., τῶν βασιλ. βι. κα' τί. α' κεφ. γ' θέ. η' καὶ κεφ. ιε'. [3] Zuich. et Meerm. γνώμῃ ἀκριβεῖ. [4] Forte οἷς, ut ad πράγματα referatur.

σύγχυσιν καὶ ἀνατροπὴν ἔχει τῶν ὁρίων[5] τῆς φύσεως, οἷς τὸ τῶν θηλειῶν καὶ ἀῤῥένων γένος διεστείλατο; πῶς δ' οὐ προδίδωσι τὴν γυναιξὶν ὀφειλομένην αἰδῶ τε καὶ κοσμιότητα; ὧν καὶ τὴν οἴκοι ἐντυχίαν δεῖ τετηρημένην εἶναι, καὶ μὴ παντελῶς ἀφειμένην καὶ ἄνετον. ἡ γὰρ εἰς τὴν μαρτυρίαν εἴσοδος ἀνοίγουσα χώραν τῇ μὴ[6] προσηκούσῃ γυναιξὶ παῤῥησίᾳ, δι' ὧν ἐν πολυανθρώποις δήμοις ἐγκαταμίγνυνται καὶ τοῖς τῶν ἀνδρῶν ἐνστρέφονται πράγμασι, τὴν κειμένην ἐν τῇ γυναικείᾳ φύσει ὑποστολήν τε καὶ αἰδῶ ὑφαιρεῖται, καὶ προκόπτειν αὐτὰς ἐπασκεῖ πρὸς ἀναίδειαν. οὐ μὴν ἀλλὰ καὶ ὕβριν τρόπον τινὰ τοῖς ἀνδράσι φέρει τὸ γινόμενον· τί γὰρ ἂν ἕτερον τοῦτο ἢ ὕβρις (καὶ ὕβρις ἡ βαρυτάτη) ἔσται, εἰς ἐκεῖνα τὰ πράγματα ὧν κυριωτάτη ἀνδράσιν ἡ μεταχείρισις τὸ παριέναι τὸ θῆλυ γένος;

Διὸ μᾶλλον τῇ συνηθείᾳ, ἣ[7] τὸ πταῖσμα τοῦ νόμου διορθουμένη ἀπέκλεισεν αὐταῖς τὴν ἐπὶ τὸ μαρτυρεῖν εἴσοδον, καὶ ἡ βασιλεία ἡμῶν προστιθεμένη, ψῆφον οἰκείαν ποιεῖται τὸ ταύτης δόγμα, καὶ ἀπαγορεύει νόμῳ ὅλως γυναῖκας ἐπὶ τὰ τῶν συμφώνων μαρτύρια ἔρχεσθαι. ἐν πράγμασι δὲ γυναιξὶν ἰδιάζουσιν, οὗ μὴ θεμιτὸν ἐντυγχάνειν ἀνδράσιν (φημὶ δὴ ἐπί τε ὠδίνων, καὶ εἴ τι ἕτερον ὃ μόνη θῆλυς ὄψις ὁρᾷ), τὰ οἰκεῖα καὶ ἀῤῥένων ὀφθαλμοῖς ἀθέατα μαρτυρείτωσαν.

NOV. XLIX.

Ne servi ad dicendum testimonium admittantur[1].

ΔΙΑΤΑΞΙΣ μθ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ[2].

Ἡ μαρτυρία μέγα τὶ καὶ ἀναγκαῖον ὂν εἰς τὴν τῶν πραγμάτων τοῦ βίου ἀσφάλειαν, οὐκ ἐκ τῶν ἐπιτυχόντων προσ-

---

[5] Zuich. et Meerm. ὀρέων. [6] Codd. negationem omittunt, Steph. supplevit. [7] Codd. τὴν συνήθειαν ἤ. Quae ego mutavi, quum conjectura Agylaei (infra legentis προστιθεμένη τε) non sufficere videretur.

[1] Allegatur in Basil. ed. Heimb. II p. 424. [2] In Zuich. et Meerm. notatum est: τὸ μὲν δίγ. (Dig. XXVIII, 1, 20 §. 7) ἐστὶν ἐν βι. τῶν βασιλ. λε' τί. α' κεφ. κβ' (κ') θέ. ζ'. ὁ δὲ ι' τί. τῆς β' ἰνστιτ. οὐκ ἔστιν εἰς τὰ βασιλικά. ὁ δὲ κγ' τί. τοῦ ς' βι. τοῦ κώδ. ἐστὶν ἐν βι. τῶν βασιλ. λε' τί. β'. πλὴν ἡ α' διάτ. παρελείφθη.

ώπων ἀλλ᾽ ὧν οὐκ ἄτιμος ἡ πολιτεία δικαία ἐστὶ συνίστασθαι. καλῶς οὖν ἀκριβολογεῖται περὶ τούτου τοῖς νόμοις, καὶ οὐχ ἁπλῶς παντὶ διδόασι πάροδον πρὸς τὴν εἴσοδον τῆς μαρτυρίας. πλὴν ἀλλ᾽ ἐπείπερ τοῖς ὑπὸ δουλικὴν τελοῦσι τύχην ἔνιοι τῶν νόμων ἔδοσαν εἰς μαρτυρίαν ἔν τισι τῶν πραγμάτων εἰσιέναι[3], ὀρθῶς ἡμῖν ἔχον ἐφάνη καὶ τὰ περὶ τούτου παρασημήνασθαι·

Ὥστε καθόλου τοὺς μὴ μετασχόντας πολιτείας ἐλευθέρου εἰς τὸ μαρτυρεῖν ἀπροσδέκτους καθίστασθαι, καὶ τὸν[4] ἐν τῇ νεαρᾷ νομοθεσίᾳ[5] κρατεῖν καὶ περὶ πάσης ἁπλῶς μαρτυρίας ὁρίζειν καὶ ἐν παντὶ πράγματι, ἄν τε διαθῆκαι ὦσιν ἄν τε τις ἑτέρα τοῦ βίου πραγματεία παραλαμβανομένη[6]. εἰ γὰρ οὐκ ἔξεστι μαρτυρεῖν ἐκείνοις, ὅσοι καίτοι πολιτείας ἐλευθέρου ὄντες μὴ τὸν βίον ἐλευθερίως καὶ ἀξίως ἧς ἔλαχον ἐλευθερίας διαζῶσιν, οὐδ᾽ ἐφ᾽ ὅσον δυνατὸν ἀδούλωτον τοῦ νοῦ συντηροῦσι τὸ ἀξίωμα, ἀλλὰ πρὸς δουλείαν ὧν οὐ δεῖ πράξεων ὑπάγονται, οὐδὲ τούτοις παρασχεθήσεται μαρτυρεῖν, ὅσοις ὁ βίος ἐλεύθερος οὐ γνωρίζεται. εἰ γὰρ καὶ ἕτερος ἐνταῦθα τρόπος δουλείας, ἀλλ᾽ ὅμως δουλεία, ἣν μετέχειν οὐκ ἄξιον τοῦ τῆς ἐλευθερίας ἀξιώματος.

NOV. L.

Ut donationes ultra D solidos in scripturam redigantur[1].

ΔΙΑΤΑΞΙΣ ν΄.

Περὶ τοῦ τὰς δωρεὰς τὰς μέχρι φ΄ νομισμάτων οὔσας ἐγγράφως γίνεσθαι[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἐπειδὴ πολλοί ἐστιν ὅτε μὲν χάριτας ἀμειβόμενοι ὅτε δὲ μόνῃ χρηστῇ προαιρέσει κινούμενοι δωρεαῖς ἐνίους δεξιοῦνται, καὶ περὶ τούτου τοῦ μέρους διαστείλασθαι ἔδοξεν, οἵας τε χρὴ ἀνατρέπτους[3], καὶ οἵας ἀκύρους εἶναι. οἱ μὲν οὖν παλαιοὶ περὶ τούτου διασκοποῦντες γνώμην ἐξέφηναν, ἐκείνην τὴν δωρεὰν

---

[3] Cf. Dig. XXII, 5, 7. [4] Malim τὸ. [5] Nov. Justiniani 90 c. 6. [6] Scrimg. ἄν τε τὴν ἑτέραν τοῦ βίου πραγματείαν παραλαμβανομένη.

[1] Ecl. Nov. 29. Laudatur in Πείρᾳ LIII, 2 et Harm. III, 1, 17. [2] Zuich. et Meerm. hocce scholium habent: αὕτη ἀνῄρηται τῆς ρξθ΄ (l. ρξβ΄) νεαρᾶς κεφ. α΄ καὶ τοῦ κγ΄ τί. τοῦ η΄ βι. τοῦ κώδ. διάτ. λδ΄ τῶν βασιλ. βι. μζ΄ τί. α κεφ. οδ΄ καὶ κεφ. ξδ΄. [3] Malim ἀτρέπτους.

ἐκπίπτειν τοῦ βεβαίου[4], ἢ χρυσίων πεντακοσίων ὑπερτείνει τιμῆς, εἰ μὴ πρᾶξις δημόσιος ἐμφανὲς τὸ δῶρον ποιήσει, κἂν ἰδιαζούσῃ καὶ μυστικωτέρᾳ γραφῇ τοῦ δωρησαμένου ὁ λαβὼν ἀποφέρεται τῆς προαιρέσεως τὴν ἀσφάλειαν· οὐκ οἶδα τί βουλόμενοι ταύτῃ τῇ περιττῇ ἀκριβολογήσει. ἐγγράφως γὰρ πεπραγματευμένης τῆς δωρεᾶς καὶ μαρτυρίας οὐ δεχομένης παραίτησιν[5] ταύτῃ συναπτομένης, τί πλέον ἀκριβολογεῖσθαι ἔδει; Ἡμῖν[6] τοίνυν τὴν περίεργον[7] ταύτην ἀκριβολογίαν (ἣν οὐδὲ τηρηθεῖσαν[8] ἐπὶ δωρεαῖς ὅλως ἴσμεν) δοκεῖ καὶ θεσπίσματι καταπαύσασιν ἐκεῖνο ἐκθεῖναι, ἵνα δωρεὰ ἡ χρυσίων ὑπερέχουσα πεντακοσίων ἔγγραφος μὲν οὖσα ἀναθέτητος διαμένῃ, ἐγγράφου δὲ συστάσεως ἐρήμη γνωριζομένη ἀβέβαιος ᾖ κατὰ τὸ ὑπερβαῖνον μέτρον τῶν πεντακοσίων νομισμάτων, κἂν ὑπὸ μάρτυσιν ὁ τῆς δωρεᾶς ἀντιποιούμενος ταύτης ἀντιποιῆται. καὶ γὰρ ἡ μέχρι τῶν πεντακοσίων τιμωμένη, εἰ καὶ ἄγραφος εἴη, τρισὶ μάρτυσι κυρουμένη φέρει τὸ βέβαιον· καὶ δέον τούτῳ τῷ τύπῳ ἐξεταζομένας ἰσχύειν ἢ ἀκυροῦσθαι τὰς δωρεάς.

NOV. LI.

De invento thesauro, cujus esse debeat[1].

ΔΙΑΤΑΞΙΣ να΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἦν μὲν ἀγαθὸν καὶ σωτήριον τοῖς θείοις ἡμᾶς καὶ σωτηρίοις πείθεσθαι νόμοις· οὕτω γὰρ πολιτευόμενοι ἥκιστα νόμων ἀνθρωπίνων προσεδεήθημεν, καὶ τῷ ἐκεῖθεν φωτὶ ἀσφαλῶς

---

[4] Scrimg. *βεβαίαν*, cui Agyl. cum Steph. addi vult *εἶναι*. *Βεβαίου* habent Zuich. et Meerm. [5] Scrimg. *οὐ δεχομένης παρ᾽ αὐτῆς*, pro quo cum Steph. *ἐνδεχομένης παρ᾽ αὐτῆς* editores fere dederunt. Equidem, licet Zuich. *ἐνδεχ.* habeat, tamen *οὐ δεχ.* retinui, et mox *παραίτησιν* scripsi auctoribus Zuich. et Meerm. [6] Inc. Ecloga. [7] Ecl. *ἀπερίεργον*. Fortasse rectius. [8] Codd. *τὴν ῥηθ.* Ecl. vero *τηρηθεῖσαν*.

[1] Haec Novella inserta reperitur Codici Marc. 172 fol. 211 (et Pal. 55 ex eo descripto) et Vatic. 1187 fol. 305. In illo sic est: *Λέοντος εὐσεβοῦς βασιλέως ῥωμαίων κεφάλαια κατ᾽ ἐκλογὴν ἐκ τῆς νεαρᾶς αὐτοῦ νομοθεσίας. στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων. περὶ τοῦ ἐξεῖναι παντὶ τῷ θησαυρὸν ἀνευρόντι τῶν οἰκείων πόνων κερδαίνειν κατὰ τὸν ἐν τῇ θειοτάτῃ ἡμῶν διατάξει ἐκτεθειμένον προσδιορισμόν. — περὶ εὑρέσεως θησαυροῦ. — ἦν μὲν ἀγαθὸν — κυριότητα.* Hinc rubrica Novellae duplex suppleri poterit. — Caeterum Zuich. et Meerm. adscriptum habent scholium: *αὕτη ἐκαίνισε*

ὁδηγούμενοι οὐκ ἂν τῆς ἐκ νόμων βοηθείας ἀνθρωπίνης εἰς χρείαν[2] κατέστημεν. ἀλλ᾽ ἐπεὶ τοῦ πηλοῦ καὶ τῆς ἰλύος χαλεπὸν ὑπεράνω πάντας γενέσθαι καὶ τοῖς πρὸς οὐρανὸν ἐπαίρουσι θείοις ἐντάλμασιν ἐπαρθῆναι, ἐφεῦρε καὶ ἡ ἀνθρωπίνη πρόνοια διὰ δογμάτων οἰκείων σωτηρίαν τῷ ἀνθρωπίνῳ βίῳ. διὰ τοῦτο καὶ νῦν, τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν οἰκτίρμονας εἶναι παρεγγυωμένου, καὶ τῶν ἀπορίᾳ πιεζομένων τοὺς, ὅσοι τῶν ἐκείνου δωρεῶν ἀπολαύοντες ἐν εὐπορίᾳ διαβιοῦσι, παραμυθεῖσθαι τὴν στενοχωρίαν, ἐπείπερ τινὲς ἀχάριστοι μὲν περὶ τὸν δεσπότην ὄντες, ἀσυμπαθεῖς δὲ περὶ τὸ συγγενὲς, οὐ μόνον οὐκ ὀρέγουσι χεῖρα ἐλέου τοῖς χρήζουσιν, ἀλλ᾽ ὥσπερ φθονοῦντες καὶ αὐγαῖς ἡλίου τοὺς ἑαυτῶν σκυθρωποὺς ὁρᾶν θησαυροὺς, γῇ τούτους κατορύττουσιν, ἐδέησε καὶ περὶ ταύτης τῆς ἀπανθρώπου ἐπινοίας νόμον εἰς βίον ἐλθεῖν. ὃς πάλαι μὲν ἐκτεθειμένος, πλεονεκτηθεὶς δὲ παρ᾽ ἧς πολλὰ τῶν καλῶν διαλυμαίνεται πλεονεξίας καὶ ὑπ᾽ αὐτῆς τὸ οἰκεῖον κράτος ἀφῃρημένος, νῦν παρὰ τῆς ἡμετέρας βασιλείας τοῦτο πάλιν ἀνακομίζεται. ἐκέλευε γὰρ ὁ νόμος τὸν τῷ κατορωρυγμένῳ περιτυχόντα θησαυρῷ[3], εἰ μὲν βασιλικὸν εἴη τὸ χωρίον ἢ δημόσιον ἄλλως, διακληροῦσθαι τὸν εὑρόντα καὶ τὸ δημόσιον ἐπίσης τὸ εὕρημα· εἰ δ᾽ ὁ τόπος, ὃς τὸν θησαυρὸν εἰς φῶς ἤνεγκεν, οὔτε βασίλειος οὔτε δημόσιος ἀλλ᾽ ἑτέρου τινὸς προσώπου, ἀμφοτέροις ὁμοίως τῷ τε περιτυχόντι καὶ τῷ τοῦ χωρίου δεσπότῃ τοῦτο[4] ἐπίσης διανέμεσθαι· εἰ δὲ τοῦ εὑρόντος τὸ χωρίον, αὐτοῦ καὶ τὸ πᾶν εὕρημα εἶναι. ταῦθ᾽ ὁ νόμος ἐθέσπισεν. ἀλλ᾽ ἡ φαύλη πλεονεξία οὐκ οἶδ᾽ ὅπως τοῦτον παραλογισαμένη, κέρδος ἄδικον τῷ δημοσίῳ χαριζομένη ἐκείνῳ μέχρι τοῦ νῦν τὸν εὑρισκόμενον δίδωσι θησαυρὸν εἰς ἀπραξίαν τὸν νόμον περιστήσασα. τί οὖν ἐκ τούτου συμβαίνει; γνῶσιν ἔχοντες θησαυρῶν κατορωρυγμένων, ἐννοοῦντες, ὅτι τοῖς αὐτῶν πόνοις ἡσθήσονται ἕτεροι, αὐτοὶ δὲ μάτην ὑποστήσονται τὸν κάματον, οὐ μόνον δὲ ἀλλ᾽ ἐνίοτε καὶ πικραῖς ἐξετάσεσιν ὑποβεβλήσονται, παρὰ φαῦλον ποιοῦνται τὴν ἔρευναν καὶ λαμβάνει οὕτως αἰώνιος ἀπόκρυψις καὶ ἀπώλεια, ὧν ἡ φανέρωσις ὠφέλειαν ἀνθρώποις ἔμελλε πραγματεύεσθαι.

τί. α΄ τῆς β΄ ἰνστιτ. ἐκ συνηθείας πάλαι σιωπηθέντα· οὗτος ὁ τίτλος τῆς β΄ ἰνστ. οὐκ ἐδέχθη εἰς τὰ βασιλικὰ, ἀλλ᾽ ἀντ᾽ αὐτοῦ βι. μα΄ τῶν διγ. τί. α΄ ἐν βι. τῶν βασιλ. ν΄ τί. α΄. ζήτει οὖν τοῦ τοιούτου ν΄ βι. τί. α΄ κεφ. λ΄ καὶ κεφ. ξ΄. [2] Zuich. et Meerm. ἐν χρείᾳ. [3] Scrimg. τὸν κατορωρυγμένον — θησαυρόν. Zuich. et Meerm. τῷ κτλ. [4] Malim τοῦτον.

Κελεύομεν τοίνυν, κατὰ τὴν δικαιοσύνην τοῦ ἀρχαίου νόμου καὶ ἀπὸ τοῦ παρόντος γίνεσθαι, καὶ θησαυροῦ εὑρεθέντος, εἰ μὲν ὁ τοῦτον ἐξαγαγὼν τόπος τῶν δημοσίων ἢ τῶν βασιλείων εἴη χωρίων, μετὰ τοῦ δημοσίου τὸν εὑρίσκοντα μερίζεσθαι, εἰ δ' ἑτέρου τινὸς προσώπου, παραπλησίῳ τρόπῳ αὐτόν τε τὸν εὑρίσκοντα[5] καὶ τὸν κύριον τοῦ τὸν θησαυρὸν ἀναδόντος χωρίου τὴν διανομὴν ποιεῖσθαι. εἰ μέντοιγε πρὸς ἀγνωμοσύνην ἴδοι ὁ τοῦτον εὑρὼν καὶ μὴ πᾶν τὸ εὑρηθὲν ἀνομολογῆσαι βουλήσεται, ἀλλὰ παρακατάσχοι δόλῳ καὶ ψεύδει ἐκ τοῦ εὑρήματος, τότε κενοὺς αὐτῷ γίνεσθαι τοὺς πόνους, καὶ μηδὲν ὅλως αὐτὸν λαμβάνειν ὡς κακοῦργον καὶ τῶν ἀλλοτρίων κλέπτην, ἀλλ' εἶναι μόνου ἐκείνου τὴν εὐεργεσίαν, ὃς ἔχει τοῦ χωρίου τὴν κυριότητα.

NOV. LII.

Ut tam veterum principum quam recentiorum numi, modo justi ponderis probaeque materiae sint, valeant.

ΔΙΑΤΑΞΙΣ νβ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ[1].

Εἰ νεῦρα τῶν πραγμάτων[2] αἱ τούτων εὔποροι ἀφορμαί, εὐστάθεια δὲ πολιτείας ἐκ τῆς τῶν πραγμάτων δυνάμεως, καλῶς ἄρα οἱ παλαιοὶ τὴν ἔνδειαν ὡς νόσον καὶ φθορὰν κἀντεῦθεν ἐδίωκον, ἐκ τοῦ βούλεσθαι πᾶσαν ἰδέαν νομίσματος, κἂν εἰς τοὺς πάλαι καὶ πρόπαλαι ἀναφέροιτο βεβασιλευκότας, ὁμοίως ἐμπολιτεύεσθαι. ἀλλὰ τούτῳ τῷ καλῷ οὐκ οἶδα τί παθόντες οἱ πρὸς τὰ σκῆπτρα ὕστερον καταστάντες οὐκ ἔδοσαν ἐπὶ τοῦ αὐτοῦ μεῖναι σχήματος, ἀλλ' ὥσπερ τῇ εὐπορίᾳ τῶν ὑπηκόων διαβασκήναντες, τὸ ἀπολίτευτον μὲν τοῖς φέρουσι τῶν πρὸ αὐτῶν ἀρξάντων νομίσμασι τὴν μορφὴν κατεψηφίσαντο, μόνοις δὲ τοῖς ἑαυτῶν ἀπένειμαν πολιτεύεσθαι, οὐ βουληθέντες συνιδεῖν τὴν ἐκ τούτου περιϊσταμένην καινοτομίαν τὰ πράγματα, οὐδὲ τὴν βλάβην, ὅση χωρεῖ μὲν διὰ πάντων, μάλιστα δὲ κατὰ τῶν ἀπορωτέρων καὶ χρηζόντων μείζονος βοηθείας καὶ ἀντιλήψεως. καὶ γὰρ τὸ τῶν ἐμπόρων πλῆθος καὶ τοὺς ἄλλως ἐκ

---

[5] Zuich. et Meerm. εὑρηκότα.

[1] Zuich. et Meerm. adscribunt: *αὕτη ἐκαίνισε τὴν α' καὶ γ' διάτ. τοῦ ια' τί. τοῦ ια' βι. τοῦ κώδ. παραλόγως σιωπηθείσας· τῶν βασιλ. βι. νδ' τί. ιη'.*

[2] Agyl. *χρημάτων* legi vult.

χειρῶν βιοῦντας καὶ ὅλως τὸ γεωργικὸν γένος εἰς μεγάλην ἀπορίας ἀνάγκην συνελαύνει, οὐκ ἐχόντων ἑτέρωθεν ἐρανίζεσθαι τὴν τῶν πραγμάτων εὐπορίαν, ἐκείνης καταλυθείσης τῆς ἀφορμῆς[3], ἣ τέως αὐτοῖς συναντελαμβάνετο. Διὰ τοῦτο ἡμεῖς τῶν νεωτέρων τὴν καινοτομίαν οὐκ ἀγαπῶντες, τῇ δὲ προνοίᾳ τῶν ἀρχαίων ἑπόμενοι θεσπίζομεν, κατὰ τὴν ἐκείνων φιλάνθρωπον καὶ πολιτικωτάτην γνώμην πᾶν εἶδος νομίσματος, ἀπαραποίητον τὴν μορφὴν ἔχον καὶ τὴν ὕλην ἀκίβδηλον καὶ τὴν ὁλκὴν τέλειον, ἄν τέ τινος ᾖ τῶν προγενεστέρων ἄν τε τῶν ὀψιγόνων, δι' ἴσου καὶ τιμᾶσθαι καὶ πολιτεύεσθαι. δίκη δὲ τοῖς καταφρονεῖν ἀπονοηθεῖσι τοῦ ὁρίσματος αἱ εἰς τὸ σῶμα διὰ μαστίγων πληγαὶ καὶ τριχῶν κουρεία ἐν χρῷ, καὶ προσέτι χρυσίου τριῶν λιτρῶν ἡ ἀπότισις.

NOV. LIII.

Ut cuique tam intra civitates quam extra mortuos sepelire liceat[1].

ΔΙΑΤΑΞΙΣ νγ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἐμοὶ φαίνεται μὴ μόνον ὅσα τῷ βίῳ συμφέρει τῶν πολιτευομένων ταῦτα πρέπον ὁρίζειν τοὺς νόμους τῆς πολιτείας, ἀλλὰ καὶ περὶ τῶν ἤδη καταλυσάντων τὸν βίον τὰ πρέποντα ἀνθρωπίνῃ σκέπτεσθαι συμπαθείᾳ, καὶ μὴ δι' ὧν ἀτιμίᾳ μὲν καὶ ὕβρει τῶν μεθισταμένων τὰ σώματα παραδίδοται, αἰσχύνη δὲ τῇ κοινῇ τῶν ἀνθρώπων φύσει περιγίνεται[2], ταῦτα νομοθετεῖν. πῶς γὰρ οὐκ ἐστὶ τὴν ἀνθρωπίνην φύσιν αἰσχύνειν, ὅταν μὴ βούληται ὁ νόμος[3] γῇ κρύπτεσθαι, εἰ μὴ ἔξω πόλεων φέροιτο τὸ βληθὲν ὑπὸ τοῦ θανάτου σῶμα; εἰ μὲν γὰρ τοῦτο διορίζων περὶ ἐκείνων ἔλεγε τῆς ταφῆς, οἷς εὔπορον τὴν ἐκφορὰν ἐποίει ἡ ἔτι ἐν βίῳ περιόντων αὐτῶν εὐπορία, ἴσως ἂν εἶχέ τινα πρόφασιν παρακελευόμενος, καίτοιγε καὶ τότε ἐχρῆν πρὸς συμπάθειαν ὁρᾶν φίλων, συγγενῶν, οἰκείων τοῦ τεθνηκότος, οἷς μέγα εἰς παραμύθιον τοῦ ἄλγους καὶ τῆς ἀποστερή-

---

[3] Malim μορφῆς.

[1] Laudatur in Basil. ed. Heimb. I. p. 640 et V p. 648. [2] Scrimg. παραγίνεται. [3] Dig. XLVII, 12, 5 et Cod. III, 44, 12, qui loci in Basilica non sunt recepti.

σεως τοῦ ποθουμένου τάφου περιπτύξεις καὶ ἐπ' αὐτῷ χεόμενα δάκρυα ἔξω κειμένου τῆς πόλεως οὐκ εὐχερῶς ἐπιτελεῖσθαι πέφυκεν[4]. ἀλλ' ὅμως εἰ ἐκείνοις[5] τὴν ταφὴν ἔκδημον ἐποίει τῆς πόλεως, οἷς οὐκ ἄπορον αὐθημερὸν γίνεσθαι, ἣν τις ἀφορμὴ τοῦ δόγματος τῷ ἀσυμπαθεῖ. νῦν δὲ κατὰ πάντων ὁμοίως φερομένης τῆς ἀσυμπαθείας, πῶς οὐ πρόδηλον τὸ ἄτοπον καὶ ἡ κατὰ τῆς φύσεως νομοθεσία καὶ αἰσχύνη; ὧν γὰρ ἔτι ζώντων ἄπορος ἦν ὁ βίος καὶ ἔρημος, πῶς θανόντες αὐθημερινῆς ταφῆς εὐπορήσουσι; πῶς δὲ τῆς ταφῆς ἀπόρου τυγχανούσης, οὐχὶ ἐπὶ συχναῖς ἡμέραις οὕτω διαμένοντες ἐλεεινὸν ὁμοῦ καὶ φρικτὸν κείσονται θέαμα καὶ τὴν ταπεινὴν ἀνθρώπων φύσιν αἰσχύνοντες; χωρὶς δὲ τούτων πῶς οὐκ ἐστὶ δίκης ὑπεύθυνον, ἐνίοτε τῶν ὁμιλησάντων τῷ θανάτῳ θεραπόντων θεοῦ χρηματιζόντων καὶ ὑπὸ τῆς ἄνω δόξης περιεπομένων ἐῤῥίφθαι αὐτῶν ἄταφον τὸ σῶμα;

Οὐδαμῶς οὖν νόμοις τῆς ἡμῶν πολιτείας συγκαταλέγεσθαι τοῦτον τὸν νόμον θεσπίζομεν, ἀλλ' ὥσπερ ὑπὸ τῆς συνηθείας καλῶς ὤφθη καταφρονούμενος, οὕτω καὶ ὑπὸ δόγματος ἡμετέρου ἔστω παντελῶς ἀθετούμενος, καὶ πᾶς, ὃς ἂν βούληται εἴτε τειχῶν ἔξωθεν εἴτε τῆς πόλεως ἐντὸς τοὺς τελευτῶντας τιμᾶν τῇ ταφῇ, ἄδειαν ἐχέτω περαίνειν τὸ βούλημα.

NOV. LIV.

Ut dominicis diebus omnes ab operibus vacent[1].

ΔΙΑΤΑΞΙΣ νδ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἀρίστη μὲν ἡ σπουδὴ τῶν πρὸς ἔκθεσιν ἐπιδεδωκότων ἑαυτοὺς τῶν ὅσα τῷ βίῳ συμφέρει ἐντάλματα, καὶ ἄξιον αὐτούς, ἐν οἷς ὁρῶνται πρὸς τὴν ὠφέλειαν τῶν ὑποχειρίων ὅλην τὴν φροντίδα συντείνοντες, ἀποδέχεσθαι τῆς φιλοστοργίας καὶ

---

[4] Scrimg. τοῦ ἔξω κειμ. Caeterum huic periodo vitium inesse plerique censuerunt. Emendarunt Steph. et Agyl. ἃ ἐπὶ τοῦ ἔξω κειμένου, Spangenb. οἷς μέγα εἰσὶ παραμ. et ἃ ἔξω κειμένου. Non opus, si cum Zuich. et Meerm. articulum τοῦ ante ἔξω deleveris. [5] Scrimg. ἐκείνους. Emendavit Steph.

[1] Laudatur a Balsamone ad syn. Trull. c. 62 (ed. Rhalli II p. 462) et ad syn. Laodic. c. 29 (ed. Rhalli III p. 197) et in Resp. 53 (ed. Rhalli IV p. 486), nec non a Blast. K, 37 (ed. Bevereg. II p. 169) et Harm. I, 4, 6.

τὰ τεθέντα τηρεῖν εὐλαβῶς. ἄξιον δὲ πολὺ πλέον ἐκείνοις μᾶλλον τὴν τοιαύτην ἀπονέμειν εὐλάβειαν, οἳ πλέον ὤφθησαν καὶ ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας οἷα[2] πάσης τῆς γῆς νομοθέται ἀναδεξάμενοι μέριμναν, καὶ οὓς ἔθεντο νόμους τούτους ἐπίπροσθεν ἄγειν τῶν ἄλλων νόμων· οὐ μόνον δὲ δι' ὅπερ εἶπον, ὅτι πλέον εἰς τὴν τῶν ἀνθρώπων ὠφέλειαν, μᾶλλον δὲ ἀσύγκριτον ἀνεδέξαντο καὶ εἰσενέγκαντο πρόνοιαν, ἀλλ' ὅτι καὶ θείῳ ἐχάραξαν τὰ δόγματα πνεύματι[3]. ἐπεὶ οὖν τῷ νόμῳ τῶν κορυφαίων μαθητῶν[4], ὃς πάντας ἐπιτρέπει ἀργίᾳ τιμᾶν τὴν ἡμέραν τῆς δεσποτικῆς ἀναστάσεως, ὁρᾶται νόμος[5] ἀντιφθεγγόμενος, ἐνῆν[6] μὴ πάντας ὁμοίως κωλύειν ἐργάζεσθαι, ἀλλ' ἐνίοις ἄνετον τὴν ἐργασίαν δίδοσθαι. φησὶ γάρ· „δικασταὶ[7] μὲν καὶ δῆμοι τῶν πόλεων, καὶ οἱ ἐκ τεχνῶν βιοῦντες ἀργείτωσαν ἐν κυριακῇ, μόνοι δὲ γεωργοὶ ἐργαζέσθωσαν.“ καὶ ἡ αἰτία τῆς λύσεως τῆς τιμῆς τῆς ἡμέρας ἄλογος· δοκεῖ γὰρ σωτηρίας[8] εἶναι τῶν καρπῶν, ἐστὶ δὲ ἀληθῶς[9] οὐδέν· οὐ γὰρ τὸ σπουδαῖον τῆς γεωργίας, ἀλλὰ τοῦ καρποδότου ὁ ἔλεος[10] ἐπειδὰν δοκῇ τὴν εὐθηνίαν παρέχεται τῶν καρπῶν.

Ἀλλὰ γὰρ ἐπεὶ τοιοῦτός τις εἰς γένεσιν ἦλθε νόμος, ὀλιγωρῶν μὲν τῆς τοῦ δεσπότου τιμῆς, ἀντιδογματίζων δὲ τοῖς κατὰ πάντων ἐναντίων παρὰ τοῦ ἁγίου πνεύματος λαβοῦσι τὰ νικητήρια, ὁρίζομεν καὶ ἡμεῖς ἃ τῷ ἁγίῳ ἔδοξε πνεύματι καὶ τοῖς ὑπ' αὐτοῦ μεμνημένοις[11] ἀποστόλοις, ὥστε πάντας ἐν τῇ θείᾳ καὶ τὴν ἀφθαρσίαν ἡμῖν ἐγκαινισαμένῃ[12] ἡμέρᾳ σχολάζειν ἀργίᾳ[13], καὶ μήτε γεωργὸν μήτε τινὰ ἕτερον[14] ἅπτεσθαι ἔργων ἐν ταύτῃ τῶν μὴ[15] νενομισμένων. εἰ γὰρ οἱ πάλαι τὰς σκιὰς καὶ τοὺς τύπους τιμῶντες διὰ τοσαύτης ἦγον τιμῆς τὴν τοῦ σαββάτου ἡμέραν, ὡς παντελεῖ αὐτοὺς ἀπραξίᾳ[16] διδόναι, πῶς εἰκὸς οὓς ἡ χάρις θεραπευτὰς ἔχει καὶ ἡ ἀλήθεια, τούτους μὴ τιμᾶν τὴν ἡμέραν, ἣ[17] τὸ τίμιον παρὰ τοῦ δεσπότου ἐπλούτησε

---

[2] Codd. *οἱ.* Emendavit Steph. [3] Scrimg. *πατέρες.* [4] Cf. Photii Nomoc. VII, 4. Apostolorum canon, qui hoc diserte praecipiat, nullus est: c. 66 vix huc quadrat. [5] Cod. III, 12, 3. (Basil. VII, 17, 19.) [6] Zuich. *ἐν ᾧ* habet. Steph. *ὃς ἔκρινε* emendat, Osenbrüggen *ἐν τῷ.* Non opus: *ἐνῆν* significat: *licitum erat.* [7] Ita Zuich. Scrimg. *ἕκαστα.* [8] Scrimg. *σωτηρία.* Sed rectius Zuich. *σωτηρίας,* hoc sensu: *videtur quidem salutis fructuum interesse, sed revera nihil est.* [9] Scrimg. *ἐστὶ δὲ ἡ ἀληθῶς.* [10] Ita recte Zuich. Scrimg. *ἥλιος.* [11] Vulgo *μεμνημ.* Veram lectionem praestat Balsamon. [12] Ita Bals. Scrimg. *ἐγκαινισμένῃ.* [13] Ita Zuich. et Bals. Scrimg. *ἀργήσεως.* [14] Deest apud Scrimg. [15] Negationem omittit Zuich. et deleri vult Spang. [16] Scrimg. *παντελῆ αὐτῇ ἀπραξίαν.* Zuich. *παντ. ἑαυτῇ ἀπραξίᾳ.* Veriora Bals. praestat. [17] Bals. *ἥτις.*

καὶ ἡμᾶς ἠλευθέρωσε τῆς ἐκ φθορᾶς ἀτιμίας; ἢ πῶς οὐ παντελῶς ἀσυνείδητον, ἑπτὰ ἡμερῶν οὐσῶν ὧν εἰς δεσποτικὴν τιμὴν ἀνεῖται μία, μὴ[18] ἀρκεῖσθαι ἡμᾶς ταῖς ἓξ[19] ἀποκεχρημένους εἰς ἔργα, καὶ[20] ἀναφαίρετον τῷ δεσπότῃ ἐκείνην τηρεῖν, ἀλλὰ καὶ ταύτην κοινοποιεῖσθαι[21] καὶ τῶν ἡμετέρων ἔργων νομίζειν καιρόν;

NOV. LV.

Ut Judaei secundum Christianismi ritus vivant.

ΔΙΑΤΑΞΙΣ νε΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Οἱ ἔμπροσθεν εἰς τὰ σκῆπτρα καταστάντες περὶ τοῦ πάλαι μὲν διὰ τὴν πρὸς αὐτοὺς θεόθεν ἐπισκοπὴν περιωνύμου τῶν ἑβραίων γένους, γεγονότος δὲ ἐκ τῆς πρὸς τὸν χριστὸν καὶ θεὸν ἡμῶν ἀπονοίας περιωνύμου ἐν συμφοραῖς, διαφόρους ἐξέθεντο νόμους[1], οἳ περὶ καταστάσεως τῆς ἐκείνων ζωῆς διαλαμβάνοντες κελεύουσι ταῖς θείαις γραφαῖς ἐντυγχάνειν αὐτοὺς, καὶ τῶν οἰκείων ἐθίμων μὴ εἴργεσθαι, ἀλλὰ καὶ τοὺς παῖδας πρὸς τῇ συγγενείᾳ τοῦ αἵματος καὶ τῷ ἐκ τῆς περιτομῆς συγγενεῖ προσοικειοῦσθαι αὐτούς. ἀλλὰ ταῦτα μὲν οἱ ἔμπροσθεν ὡς εἶπον εἰς τὴν βασιλείαν παρελθόντες. ὁ δὲ τῆς θείας λήξεως βασιλεὺς, οὗ τῆς σπορᾶς ἡμῖν ἡ βλάστη, ἅτε δὴ πλέον τῶν ἄλλων σχὼν ἔρωτα τῆς αὐτῶν σωτηρίας, οὐκ ἀρκεσθεὶς[2] καταλιπεῖν τούτους καθὼς οἱ πρὸ ἐκείνου ἐν μόνῃ τῇ τῶν προλαβόντων νόμων διατάξει, ἀλλὰ τοῦτο μὲν τῶν ἱερῶν λογίων ἀναπτύξεσι, τοῦτο δὲ ἐν ταῖς αὐτῶν[3] νουθετήσεσι πρὸς τὴν σωτήριον τῶν χριστιανῶν μεταστήσας λατρείαν τῷ ζωοποιῷ τοῦ βαπτίσματος ἐτελείωσεν ὕδατι. καὶ ἔργῳ μὲν, δι᾽ ὧν αὐτοὺς εἰς τὸν νέον κατὰ χριστὸν μορφωθῆναι ἄνθρωπον ἔπεισε, τὸν παλαιὸν ἀποθέσθαι παρεσκεύασεν, καὶ ὅσα τῆς παλαιότητος ἐγνωρίζετο, περιτομὴν, σάββατον καὶ εἴ τι ἕτερον, ἐκείνῳ συναπημφίασεν. ἀλλ᾽ οὕτω μὲν ἔργῳ τοῦ ἰουδαϊκοῦ φρονήματος μετατάξας αὐτοὺς, οὐκέτι καὶ νόμον ψηφίσματι τοῖς προτέροις

---

[18] Codd. negationem non habent. Steph. supplevit, eique suffragatur Bals. [19] Ita recte Bals. Codd. ἔξω. [20] Particulam *καὶ*, quae a Codd. abest, praestat Bals. [21] Ita Zuich. et Bals. Scrimg. *κοινὴν ποιεῖσθαι*.

[1] Nov. Justiniani 146. [2] Zuich. et Meerm. *ἠρκέσθη*, quod fortasse praestat. [3] Iidem *ἑαυτῶν*. Non male.

νόμοις, οἳ παρεῖχον ἄδειαν ἰουδαϊκῶς ζῆν, καὶ τὴν ἀφωνίαν καὶ ἀργίαν ἐθέσπισεν.

Ἡμεῖς οὖν ὅπερ ὁ ἡμέτερος παρῆκε[3] πατὴρ εὔλογον κρίναντες ἀναπληρῶσαι, παντὶ νόμῳ ἀρχαιοτέρῳ τῷ περὶ ἑβραίων νομοθετοῦντι σιγᾶν ἐπιτρέπομεν, καὶ μὴ ἄλλως αὐτοὺς τολμᾶν πολιτεύεσθαι, ἢ ὡς ἡ καθαρὰ καὶ σωτήριος τῶν χριστιανῶν πίστις βούλεται. εἰ δέ τις ἁλοίη[4] τῶν μὲν χριστιανικῶν θεσμῶν ἀφιστάμενος, πρὸς δὲ τὰ ἰουδαίων ἐπαναστρεφόμενος ἔθη καὶ δόγματα, τοῦτον κατὰ τοὺς περὶ ἀποστατῶν ἐγκειμένους νόμους εἰσπράττεσθαι τὴν τιμωρίαν.

NOV. LVI.

De oris maritimis[1].

ΔΙΑΤΑΞΙΣ νϛ'.

Περὶ προθύρων θαλαττίων.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Καὶ οὗτος ἡμῖν ὁ νόμος[2], ὃς ἀφαιρεῖται τῶν θαλαττίων χωρίων τὴν ἐξουσίαν τῶν οὗ[3] παρὰ τοῖς προθύροις θάλασσα ὁρᾶται (ἀλλὰ γὰρ οὐ μόνον τοῦτο, ὑπάγει δὲ καὶ τῇ περὶ τῆς ὕβρεως ἀγωγῇ κωλύοντα[4] τοὺς ἐκεῖ ἀποκεχρῆσθαι τῇ ἁλιευτικῇ τέχνῃ προθυμουμένους), οὐ δίκαια ἐπιτρέπων ἐφάνη. πᾶν γάρ, ὃ μὴ ἀδίκῳ λόγῳ πρὸς ἐξουσίαν τινὶ περιῆλθεν, εἴτε γονέων κλῆρος εἴτε πόνων ἰδίων κτῆμα εἴθ' ἑτέρῳ τινὶ μὴ ἀπηγορευμένῳ τρόπῳ, πῶς οὐχὶ καὶ πρὸς τὴν ἐπιτροπὴν τοῦ τὴν ἐξουσίαν ἔχοντος ἀνακείσεται, κἀκείνῳ τὰς ὠφελείας πολὺ πρότερον, ἀλλ' οὐχ ἑτέρῳ παρέξει; οὐκ ἔστιν οὖν πρὸς τὸ εὐθὺ ἀφορῶντος νόμου ἑτέρους εἰσάγειν πρὸς τὴν ὠφέλειαν οὗ μηδὲν ὑπεβάλοντο, καὶ ἀποστερεῖν ἐκείνους ταύτης, οἳ πάντως γε ἢ τίμημα ἢ συγγενείας δίκαιον ἢ ἄλλον τινὰ τρόπον οὐκ ἀπηγορευμένον εἰς τὴν τοῦ χωρίου κατεβάλοντο κτῆσιν. τὸ δὲ καὶ τοὺς ὑπὲρ αὐτοῦ ἐτησίους φόρους ἀπαιτεῖσθαι μέν, ὡς αὐτῷ διαφέροντος τοῦ τόπου, ἀπελαύνειν δ' ἐκεῖθεν τὸν ἔξω τῆς ἐκείνου γνώμης βουλόμενον τῇ ὠφελείᾳ χρῆσθαι μὴ δύνασθαι, ἀλλ' εἰ

---

[3] Vulgati *παρεῖκε* scribunt. [4] Zuich. et Meerm. *ἀλλοίη*.

[1] Ecl. Nov. 30. Laudatur ab Harm. II, 1, 54. [2] Dig. XLVII, 10, 13 §. 7. [3] Malim *ὧν*. [4] Forte *τὸν κωλ.*

τοῦτο ποιεῖν ἐθελήσοι, ταῖς περὶ ὕβρεως αἰτίαις ἐτάζεσθαι, πῶς οὐχὶ μετὰ τοῦ ἀδίκου παντελῶς καὶ παράλογον; τί δὲ, εἰ ὁ τοῦ χωρίου δεσπότης οὐκ ἀμαθὴς ἁλιευτικῆς, ἆρα καθευδεῖται μὲν αὐτὸς ἀργῶν, ἄλλοις δ' ἐπιτρέψει τὰ τῶν προθύρων κέρδη θηρᾶν; ἢ τὴν μὲν ἀργίαν οὐκ ἀσπάσεται, ἑτέρων δὲ πρόθυρα ἁλιεύων περινοστήσει, ἐν δὲ τοῖς οἰκείοις ἐργάζεσθαι αὐτῷ οὐκ ἐξέσται; ἀλλ' οὐχ ὁρῶ τίνα τρόπον οὕτως ἔσται.

Τοιγαροῦν[5] θεσπίζομεν, τῶν ἰδίων προθύρων ἕκαστον ἀκωλύτως δεσπόζειν, καὶ κύριον εἶναι τοὺς[6], εἴ τινες βουληθεῖεν χωρὶς τῆς αὐτοῦ ἐπιτροπῆς τῆς τῶν προθύρων ἀπολαύειν ὠφελείας, ἐκδιώκειν. ὥσπερ γὰρ ἐπὶ τῆς ξηρᾶς ἔχει, καὶ πᾶς τῆς[7] οἰκίας δεσπότης μετὰ τῆς χρήσεως ταύτης καὶ τῶν προθύρων ἔχει τὴν κτῆσίν τε καὶ αὐλὴν[8], οὕτως εὔλογον καὶ ἐπὶ τῆς θαλάσσης ὑπολαμβάνομεν ἔχειν, καὶ ὥσπερ ἐν τῇ ξηρᾷ ἐκ τῶν ἀλλοτρίων οὐδενὶ συγχωρεῖται παρὰ γνώμην τοῦ κεκτημένου καρπίζεσθαι, ἀλλ' εἰ καρποὺς ἐκεῖθέν τις συναγάγοι, ἢ λαμβάνων[9] τὴν χάριν τῇ τοῦ δεσπόζοντος φιλοφρονήσει ἢ τὴν ὑπὲρ τοῦ τόπου κατατιθέμενος πρόσοδον, οὕτω καὶ ἐν τῇ θαλάσσῃ εἶναι ὁρίζομεν.

NOV. LVII.

De intervallo remorarum piscatoriarum[1].

ΔΙΑΤΑΞΙΣ νζ'.

Περὶ ἀποστάσεως ἐποχῶν[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἐπειδὴ πλείστων νόμων περὶ ἰχθύων διοριζόντων θήρας ἐκεῖνο τὸ μέρος ἀδιόριστον ὁρᾶται νόμῳ, ὃ ἐποχὴν ὀνομάζειν ἐγνώκασιν (ὡς ἔοικεν οὔπω τούτου τοῦ ἐπιτηδεύματος γνωρίμου τυγχάνοντος καθ' ὃν καιρὸν εἰς γένεσιν οἱ νόμοι προήρχοντο), βουλόμεθα καὶ τοῦτο νόμου διάταξιν ἀποφέρεσθαι.

---

[5] Ecl. incipit. [6] Codd. τοὺς δ' εἴ. Ecl. τοῦ εἴ. [7] Ecl. τις. [8] Ecl. τὴν χρῆσιν habet pro τὴν κτ. τε καὶ αὐλήν. [9] Codd. et Ecl. λαμβάνοι. Sed aut λαμβάνων legendum, aut infra cum uno Eclogae Codice legendum κατατιθέμενός ἐστι.

[1] Ecl. Nov. 31. Meminit ejus Psellus v. 851—857, Attal. in appendice. [2] Rubricam ex Ecloga supplevi. Meerm. ad marginem notat: καὶ αὐτὴ περὶ ἀποστάσεων ἐποχῶν. Cf. infra Nov. 102 – 104.

Ἥνπερ οὖν ἀντὶ νομικοῦ[3] ψηφίσματος γνώμην οὐκ ἔξω τοῦ πρέποντος φερομένην ἔδοξεν ἐν τούτῳ τῆς θήρας τῷ ἐπιτηδεύματι διαιτᾶν τῇ συνηθείᾳ, φαμὲν δὴ[4] τὸ μέχρι τριακοσίων ἑξήκοντα καὶ πέντε ὀργυιῶν παρατεινόμενον μέτρον τῶν ἀποστάσεων, τοῦτο ἡμεῖς νόμου τιμῶντες ἀξιώματι ἀπὸ τοῦ παρόντος νόμον εἶναι θεσπίζομεν. εἰ γὰρ καὶ χωρὶς τοῦ τετιμῆσθαι τούτῳ δὴ τῷ προνομίῳ[5] καλῶς ἔχειν δοκεῖ τοῖς νῦν τὰ περὶ ἐποχῶν ταύτῃ τῇ γνώμῃ ῥυθμίζεσθαι, ἀλλ᾽ ὅμως ἵνα μᾶλλον ἐν τῷ βεβαίῳ ᾖ καὶ ἡ περὶ αὐτὴν εὐλάβεια διηνεκῶς σώζοιτο, νόμος ἔστω, καὶ ἀλλήλων ἀφιστάσθωσαν αἱ ἐποχαὶ τὸ νενομισμένον τῇ συνηθείᾳ τῶν τριακοσίων ἑξήκοντα καὶ πέντε ὀργυιῶν διάστημα· δηλονότι ἐξ ἑκατέρου μέρους τοῦ τοιούτου μέτρου τοῦ διαστήματος λαμβανομένου, ὡς εἶναι τὰς μὲν ἑκατὸν ὀγδοήκοντα δύο καὶ ἥμισυ ἀπὸ τῶν ὁρίων τοῦ ἑνὸς διηκούσας μέρους, τὸ δὲ λοιπὸν μέτρον διήκειν μέχρι τοῦ γειτονεύοντος. ταῦτα δέ φαμεν περὶ τῶν μεταγενεστέρων τοῦ παρόντος νόμου δεχομένων τὴν σύστασιν καὶ παραγωγήν[6]· αἱ γὰρ προφθάσασαι τὸ νῦν δεδογμένον ἐποχαὶ κἂν μὴ τῷ διορισθέντι ἀφεστήκασι διαστήματι, οὐδὲν ἐκ τοῦ νόμου καινοτομηθήσονται, ἀλλὰ διαμενοῦσιν ἐφ᾽ ἧς ἐξ ἀρχῆς ἔλαχον στάσεως.

NOV. LVIII.

Ne ex sanguine cibus conficiatur[1].

ΔΙΑΤΑΞΙΣ νη΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Καὶ πάλαι τῷ νομοθέτῃ μωσῇ θεὸς ἐντέλλεται[2] αἷμα ου φάγεσθαι, καὶ παρὰ τῶν κηρύκων τῆς χάριτος ἀπέχεσθαι τῆς τοιαύτης νενομοθέτηται[3] βρώσεως. καὶ οὕτω κἂν τῇ παλαιᾷ κἂν τῇ νέᾳ χάριτι συμφώνως ἀθεμίτου δοκοῦντος καὶ ἀποβλήτου τοῦ πράγματος, εἰς τοσοῦτον αὐθαδείας μᾶλλον δὲ παραπληξίας ἥκουσιν ἄνθρωποι, ὡς μηδ᾽ ἑτέρᾳ τῶν νομοθεσιῶν ὑπέχειν εὐήκοον οὖς. ἀλλ᾽ ἀναίδην οἱ μὲν κέρδους ἕνεκα οἱ δὲ τὸ γαστρίμαργον θεραπεύοντες καταφρονοῦσι μὲν τοῦ παραγ-

---

[3] Ita Ecl. Zuich. et Meerm. νομίκου. Scrimg. νομίμου. [4] Scrimg. δὲ Zuich. ἐπὶ. [5] Ecl. νόμῳ. [6] Ecl. προαγ. Non male.

[1] Laudatur a Bals. ad syn. Trull. c. 63 (ed. Rhalli II p. 463) et a Blast. Π, 13 (ed. Bevereg. II p. 221). [2] Gen. IX, 4. [3] Actor. XV, 29. Apostol. c. 63.

γέλματος, βρῶμα δὲ ποιοῦνται τὸ ἀπηγορευμένον[4] εἰς βρῶσιν αἷμα. ἀνήνεκται[5] γὰρ ταῖς ἡμετέραις ἀκοαῖς, ὅτιπερ ὡς χιτῶσι τοῖς ἐντέροις[6] τοῦτο διαλαμβάνοντες, καθάπερ τὶ τῶν συνήθων βρωμάτων διδόασι τῇ γαστρί.

Τοῦτο οὐκ ἀνασχετὸν ἡ βασιλεία ἡμῶν ὑπολαμβάνουσα, οὐδ᾽ οὕτω παράνομον ἐπίνοιαν πρὸς μόνην γαστέρα κεχηνότων ἀνδρῶν[7] ὑβρίζειν μὲν θεῖα ἐντάλματα, ὑβρίζειν δὲ τῆς ἡμετέρας πολιτείας τὸ ἔντιμον ἀνεχομένη, κελεύει τὸ τοιοῦτον ἄγος μηδ᾽ ὅλως τινὰ εἰς τόλμαν ἐκφέρεσθαι ἐπιτηδεύειν, μήτε πρὸς οἰκείαν χρῆσιν μήθ᾽ ὥστε ἄλλους ὠνουμένους ἐναγεῖ καταμιαίνεσθαι βρώματι. καὶ ἴστω πᾶς τις ὁ φωραθεὶς κατολιγωρήσας ἀπὸ τοῦ παρόντος καιροῦ τοῦ θείου ἐντάλματος, καὶ τὸ αἷμα βρῶμα ποιούμενος (κἄν τε πιπράσκων κἄν τε ὠνούμενος εἴη), ὡς[8] τῶν τε προσόντων δημεύσει ὑποβληθήσεται, καὶ μετὰ τὸ εἰς τὸ σῶμα πικρῶς αἰκισθῆναι καὶ ἐν χρῷ κουρείᾳ ἀτιμασθῆναι φυγῇ τῆς πατρίδος ἀϊδίῳ ζημιωθήσεται. ἐπὶ ταύτῃ δὲ τῇ δίκῃ καὶ τοὺς ἐν ἑκάστῃ πόλει ἐπάρχοντας μὴ ἀφεῖσθαι ἀνεγκλήτους προστάσσομεν, ἀλλὰ καὶ αὐτοὺς (οὐκ ἂν γὰρ τοῦτο παρενομεῖτο εἰ τῷ πρέποντι δραστηρίῳ ἀρχικοῖς ἀνδράσι τὴν ἀρχὴν διεκόσμουν) δέκα λιτρῶν χρυσοῦ ζημίαν ὑπέχειν τῆς ἀμελοῦς καὶ ῥᾳθύμου τῶν ὑποχειρίων ἐπιστασίας.

NOV. LIX.

Abrogatio legis, quae hominem liberum se vendere permittit[1].

ΔΙΑΤΑΞΙΣ νθ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Εἷς καὶ οὗτος νόμος[2] ἐστὶ τῶν μὴ πρεπόντων τῇ εὐταξίᾳ τῆς ἡμῶν πολιτείας μήτε ἀποδοχῆς ἀξίων μήτε χώραν ὀφειλόντων λαβεῖν ἐνεργείας, ὃς τὸν ἐλεύθερον μὲν πεφυκότα, φαυλότητι δὲ γνώμης τὸ τίμιον τῆς ἐλευθερίας ὑβρίζοντα καὶ τὴν οἰκείαν ἐμπορευόμενον δούλευσιν[3] ἐπὶ τῷ[4] κέρδος μιαρὸν ἀντὶ τῆς δουλείας τοῦ καταβεβλημένου τιμήματος συμμοιράσασθαι,

---

[4] Meerm. ἀπηγορευθὲν. [5] Zuich. et Meerm. ἀνηνέχθη. [6] Ita ex conj. Agylaei. Codd. ἑτέροις. [7] Scrimg. τῶν ἀνδρ. Agyl. conj. ἀνθρώπων. [8] Steph. et Agyl. ex conj. addiderunt.

[1] Laudatur in schol. Basil. ed. Heimb. III p. 178. [2] Dig. I, 5, 5 §. 1. [3] Zuich. δούλωσιν. [4] Scrimg. ἐπὶ τὸ. Zuich. ἐπεὶ τὸ. Ego sequor Stephani conjecturam.

ἀσωφρόνιστον ἐῶν, οὐκ ἐπανορθοῖ τὴν παρανομίαν. τοιγαροῦν τοῦ τὰ οἰκεῖα οὕτω τιθεμένου[5] *τὸν νόμον ὃς παραχωρεῖ τὴν παραφροσύνην βεβαίαν ὑπάρχειν, ἀλλὰ μὴ μετὰ τοῦ ἀνατρέπειν τὴν ἄτιμον ἐμπορίαν καὶ ποιναῖς ἁρμοζούσαις καθυποβάλλει τοὺς τοιαῦτα ποιεῖν ἀφρονευομένους, οὔτε νόμου προαίρεσιν διασώζειν ἴσμεν οὔτε τῆς πρεπούσης νόμοις αἰδοῦς τε καὶ τιμῆς ἐπιτυγχάνειν νομίζομεν ἄξιον. εἰ γὰρ ὅπερ πατὴρ τέκνοις, τοῦτο δεῖ τοῖς πολίταις εἶναι τοὺς νόμους, πρὸς ἓν*[6] *μόνον τὸ συμφέρον καὶ σωτήριον τῶν πολιτευομένων ὁρῶντας, ποῦ δίκαιος οὗτος νόμοις συνεξετάζεσθαι, τοιαύτην βλάβην καὶ ζημίαν συγχωρῶν ἐπικεῖσθαι τοῖς ἀνοήτως ἑαυτοὺς εἰς ταύτην ὑποβεβληκόσι;*

Τοῦτο οὖν ἐξοστρακίζοντες καὶ τῶν νόμων ἐκφυλλοφοροῦντες ἡμεῖς θεσπίζομεν, εἴ τις οὕτως ὀφθείη δυστυχῶν εἰς φρένας, καὶ δουλείαν ἐλευθερίας ἀντικαταλλαττόμενος ἑαυτὸν ἀπεμπολοίη, μὴ συνεστηκέναι, ἀλλὰ ἀνατρέπεσθαι τὴν πρᾶξιν, αὐτοῦ τε τοῦ προδότου τῆς ἰδίας ἐλευθερίας καὶ τοῦ συγκακουργοῦντος αὐτῷ πληγαῖς τε εἰς τὸ σῶμα σωφρονιζομένων, καὶ τῆς ἐλευθερίας ἐν τῷ οἰκείῳ τηρουμένης σχήματι τῷ τῆς ἀνοίας ἀνδραπόδῳ.

NOV. LX.

Qua poena castratores affici debeant[1].

ΔΙΑΤΑΞΙΣ ξ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Πρᾶγμα τολμώμενον μὲν ἀφειδῶς ὡς μηδεμιᾶς παρὰ θεῷ δοκοῦν ἔνοχον δίκης, μάλιστα δὲ ὂν ἄξιον δίκης, ἡ ἐκτομὴ τῆς ἐντεθειμένης ὑπὸ θεοῦ τῇ φύσει δυνάμεως πρὸς διαδοχὴν τοῦ γένους, πάλαι μὲν τιμωροῦντι νόμῳ διὰ προνοίας ἐγεγόνει τοῖς νομοθέταις λαβεῖν ἐκκοπήν, ὥστε τῆς τοιαύτης ἐπινοίας καθαίρειν τὴν ἡμετέραν πολιτείαν· οὐκ οἶδα δὲ ὅπως δέον εἴπερ τινὶ ἄλλῳ τούτῳ πείθεσθαι τῷ παραγγέλματι καὶ φείδεσθαι λωβᾶν τῇ φύσει, οὐχ οὕτω ποιοῦσιν, ἀλλ' ὥσπερ τὶ τῶν ὠφελίμων

---

[5] Haec verba *τοῦ — τιθεμένου* aut corrupta aut post *παραφροσύνην* collocanda esse videntur. [6] Abest a Zuich.

[1] Excitatur in schol. Basil. ed. Heimb. V p. 878 et a Bals. ad Apost. c. 21 (ed. Rhalli II p. 30).

τὴν κατὰ τοῦ γένους τοιαύτην ἐπιβουλὴν λογιζόμενοι, τὰ δι' ὧν γένεσις ἀνθρώπου πρὸς φῶς ἔρχεται ἀποκείροντες ἀνθρώπους[2], ἕτερον αὐτοὶ πλάσμα καὶ οὐχ οἷον οἶδεν ἡ τοῦ πλάστου σοφία τῷ κόσμῳ παρεισάγειν φιλονεικοῦσι. τοῦτο οὖν ἡμεῖς οὐκ ἀνεκτὸν[3] ἡγούμεθα παριδεῖν, ἀλλὰ νόμῳ τὴν περὶ αὐτοῦ ποινὴν ὁρίζοντες πειρώμεθα σὺν θεῷ τῆς τόλμης ἐπισχεῖν τοὺς οὕτω μὴ διευλαβουμένους τῷ θείῳ λυμαίνεσθαι πλάσματι. ἡ μὲν οὖν τῶν προλαβόντων νομοθετῶν ψῆφος[4] τοὺς τοῦτο τολμῶντας εἰς τὴν αὐτὴν ἀντιπεριΐστησι λώβην τοῖς παθοῦσι τοὺς λωβησαμένους, καὶ ὅπερ αὐτοῖς ἐπιθυμητὸν ἔδοξεν ἐν ἄλλοις ἰδεῖν, τοῦτο καὶ ἐν ἑαυτοῖς[5] ὁρᾶν κατεπράττετο, οὐ λίαν ἔμοιγε[6] ἀδίκως εἰ καὶ μὴ λίαν πρεπόντως ὁρίζουσα. οὐδὲ γὰρ ὅτι ἐκεῖνος ἐτόλμα οἷον ἀντιπλαστουργεῖν τῷ θεῷ, διὰ τοῦτο καὶ τὸν ἐκδικοῦντα μιμεῖσθαι καὶ ἀντιπλαστουργεῖν ἔχει καλῶς, πλὴν ἀλλὰ πρός γε τὴν ἀπόνοιαν οὐ λίαν ὥσπερ ἔφην ἄτοπον. ἐπὶ τούτῳ δὲ καὶ ἄλλως ἐτιμωρεῖτο τοὺς ἀνόσιον ἔργον τολμῶντας· τά τε γὰρ προσόντα ἐδημοσίου, καὶ ἀϊδίῳ φυγῇ κατεδίκαζε, καὶ τὸν ὑποστάντα τὴν ἀδικίαν δοῦλον ὄντα ἐλευθερίᾳ ἐτίμα. ἡ μὲν οὖν τῶν προλαβόντων νομοθεσία τοιαύτη, ἡμεῖς δὲ περὶ τοῦ πράγματος ψῆφον ἐξάγοντες, τὸ μὲν ἀντιλωβᾶσθαι τοὺς ἐπιβούλους τῆς φύσεως παραπλησίῳ λώβῃ ἀπαγορεύομεν, τοῖς δ' ἄλλοις ἐπ' αὐτῷ ὡρισμένοις, εἰ καὶ κἀνταῦθα πρὸς τὸ φιλανθρωπότερον ἡ δίκη ὁρᾷ, ἀλλ' οὖν ὑποκεῖσθαι αὐτοὺς οὐκ ἀπαρέσκει[7].

Θεσπίζομεν οὖν, πρῶτον μὲν τὸν[8] προσκαλεσάμενον τὸν ἐνεργοῦντα τὴν κακοτεχνίαν, ἐφ' ᾧ ἐνεργῆσαι[9], εἰ μὲν[10] τῷ καταλόγῳ τῶν βασιλείων ἀνθρώπων τελεῖ, ἐκκόπτεσθαι τοῦ καταλόγου, ἔπειτα δὲ καὶ δέκα λιτρῶν χρυσίου εἰς τὸ δημόσιον ἀναφερομένων ζημίαν ὑπέχειν καὶ μέχρι δέκα ἐτῶν ὑπερόριον τῆς πατρίδος γίνεσθαι, τὸν δὲ τῆς κακοτεχνίας ἐργάτην καὶ αὐτὸν πρῶτον μὲν μάστιξι ταῖς εἰς τὸ σῶμα καὶ ἐν χρῷ κουρείᾳ ἀτιμάζεσθαι, ἔπειτα δὲ καὶ τῶν ὄντων ἀποστερεῖσθαι καὶ ἴσῳ καιροῦ μέτρῳ τῆς ἐνεγκούσης φεύγειν. ὁ δὲ τὴν ἀδικίαν ὑποστὰς, εἰ μὲν τῶν ὑπὸ δουλείαν τελούντων εἴη, τὸν ὑπόλοιπον

---

[2] Legerim ἀνθρώποις. [3] Codd. ἠνεκτόν. Steph. et Agyl. ἀνεκδίκητον. [4] Justiniani Nov. 142 c. 1. [5] Scrimg. αὐτοῖς. [6] Agyl. supplet δοκεῖν. Recte. [7] Basil. οὐ πάνυ τὶ ἀπαρεσκόμεθα. [8] Addo ex Basil. [9] Ita ex Basil. Vulgo: ἐνεργήσει. [10] Quid si, qui castratorem arcesserit, non sit ex catalogo τῶν βασιλείων ἀνθρώπων, sed privatus? Lacuna nimirum hic est sive legis sive Codicum.

χρόνον τῆς αὐτοῦ ζωῆς δουλικῆς τύχης ἀμείνων ἔσται· εἰ δὲ τῶν ἐλευθέρων προσώπων, ὡς αὐτὸς ἑαυτῷ δι᾽ ὧν κατεδέξατο οὐκ ὢν τῆς ἀδικίας ἀναίτιος, τῆς[11] οἰκείας γνώμης ὅπερ ἔπαθε τοῦτο κερδήσει. εἰ μέντοιγε (οἷα πολλὰ συμβαίνει) βλάβην ὑποστάντος τοῦ ζώου[12] ἡ ἐκτομὴ τὴν θεραπείαν φέρει, τοῦτο οὔθ᾽ ἡμῖν, οὔτε τῷ νόμῳ ὑπεναντίον δοκεῖ· οὐ γὰρ λώβη, ἀλλὰ βοήθεια τοῦ πλάσματος τὸ πρᾶγμα ἐστί.

NOV. LXI.

Tributorum exactores, si plus quam debeant exegerint, qua poena afficiendi sint[1].

ΔΙΑΤΑΞΙΣ ξα΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ὡς ἦν μακάριον καὶ τῷ βίῳ σωτήριον τὴν εὐθεῖαν τοῦ δικαίου τρίβον βούλεσθαι τοὺς ἀνθρώπους βαδίζειν· οὐ γὰρ οὔτε νομοθέταις ἐδέησεν αὐστηρίαν ἐνδείξασθαι, οὔτε τιμωροὶ νόμοι εἰς χαλεπότητα κινδύνων τινὰς περιΐστων· νῦν δ᾽ ὑπαρχούσης λυσιτελοῦς καὶ σωτηρίου τῆς δικαίας πορείας, οὐκ ἐθέλουσι τῶν ἀνθρώπων οἱ πλεῖστοι ταύτην πορεύεσθαι, ἀλλ᾽ ὡς ἐπίπονον καὶ τραχεῖαν καὶ ταλαιπωρίαν φέρουσαν τοῖς ὁδίταις ἐκκλίνουσιν. εἰσὶ γὰρ, εἰσὶν[2], οἷς ἀρέσκει τὰ χείριστα, καὶ ταύτης μὲν ἀπονεύοντες, πρὸς δὲ τὴν ἧς ἐπέστρωται ἄκανθα συχνὴ[3] ἀδικίαν καὶ ἧς πρὸς ἀπωλείας κρημνοὺς ἐλαύνουσιν[4] οἱ ὁδῖται προθύμως βαδίζοντες. ὧν καὶ τὸ ἄτακτον ὅρμημα κολάζειν[5] οἱ πάλαι δικαιώσαντες, ὥσπερ τινὶ χαλινῷ τῷ νόμῳ ἔθεντο γνώμην ἀναχαιτίζειν. ἀλλ᾽ ὑπὲρ μὲν τοῦ σπουδὴν αὐτοὺς ἀναλαβεῖν ἐξελαύνουσαν ἀδικίαν, συνισταμένην δὲ τῷ δικαίῳ (καὶ τίς γὰρ ἂν οὐκ ἀποδέξαιτο;) καὶ τὸ ἡμέτερον ἀποδέχεται κράτος· ὅτι δὲ μὴ κατ᾽ ἀξίαν τοῦ πταίσματος ἔν τισι γνωρίζειν[6] ἔγνωσαν τὴν ποινὴν, οὐκ ἐν ἀποδοχῇ τὴν τοιαύτην ψῆφον ἐθέ-

---

[11] Steph. et Agyl. ἀπὸ τῆς scribendum esse censuerunt. [12] Hoc mihi verbum suspectum est. Forte σόον.

[1] Laudantur in schol. Basil. ed. Heimb. II p. 453 et V p. 652. [2] Haec minus recte habere videntur: fortasse exciderunt quaedam. [3] Zuich. et Meerm. ὑπέστρωται — συχνήν. Agyl. vult συχνά. [4] Spangenb. conj. καὶ ὑφ᾽ ἧς — ἐλαύνονται. [5] Spang. et Beck κολάζει, typorum vitio, ut videtur. [6] Steph. conj. ἔν τισιν ὁρίζειν. Non male.

μεθα. τῆς κρίσεως γὰρ ἀπαντώσης κατὰ λόγον τοῦ ἁμαρτήματος τοῖς ἐξημαρτηκόσι, δίκης ὡς ἀληθῶς ἐστὶ ψῆφος καὶ δίκαιον τὸ τούτοις ἐπιτιθέμενον τέμημα, βαρυτέρας δὲ κολάσεως ἢ ἐφ᾽ ὅσον ἔδει κολασθῆναι τὸ πταῖσμα προϊούσης, οὐκέτι δίκης ἔργον, ἀδικίας δὲ μᾶλλον εἴη τὸ γινόμενον.

Διὰ τοῦτο ἄρα τῶν πρὸ ἡμῶν ἐκτεθεικότων νόμον[7], ὃς τοὺς ἐπὶ συλλογὴν τῶν δημοσίων φόρων καθισταμένους (διοικητὰς δ᾽ αὐτοὺς ἡ συνήθως ὁμιλία καλεῖν οἶδε) τολμῶντας ὑπερεκτείνειν πλέον τοῦ νενομισμένου τὰ τέλη, βαρυτάτην εἰσπράττεται δίκην (θανάτου γὰρ τὸ πταῖσμα τιμᾶται), ἐπεὶ μὴ κατὰ λόγον συγγινώσκομεν ὑποβάλλοντα[8] τοὺς ἁμαρτάνοντας τῇ τοσαύτῃ ζημίᾳ, τούτῳ μὲν χώραν ἀποδοχῆς οὐ προσνέμομεν, θεσπίζομεν δὲ τὸν εἴ τις τοιούτῳ ἁλῷ περιπίπτων ἐγκλήματι, ἅπαξ μὲν τοῦ πράγματος τολμηθέντος, διπλῇ ἀπαιτήσει ζημιοῦσθαι οὗ ὑπερεκτείνων[9] ὤφθη τέλους τὴν εἴσπραξιν, εἰ δ᾽ ἐπιμένοι τοῦτο πράττων, τετραπλάσιον ἀναστρέφειν τῷ ἠδικημένῳ τὸ ληφθὲν, καὶ ἀτίμως τῆς[10] ἐμπεπιστευμένης φροντίδος ἐξίστασθαι· καὶ εἶναι ἀπό γε τοῦ νῦν τοῦ τοιούτου ἐγκλήματος ταύτην τὴν ζημίαν, ἀλλὰ μὴ περὶ ψυχὴν κινδυνεύειν τοὺς ἀδίκους εἰς χρήματα.

NOV. LXII.

De poena ejus, qui rem aliquam publicam vendiderit.

ΔΙΑΤΑΞΙΣ ξβ΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἄξιον μὲν τοὺς δημοσίων ἀδικημάτων ἐνόχους κολάζειν καὶ τοιαύταις ὑπάγειν τιμωρίαις, αἳ μέλλουσιν ὅτι μάλιστα πρὸς τὸ σῶφρον ἐπανάγουσαι τοὺς εὐκόλως ἐπὶ τοῦτο ὁρμῶντας ἀνακόπτειν τὰ ἀδικήματα· οὐ μὴν διὰ τοῦτο πλέον ἢ ὅσον ἄξιον τιμωρεῖν προσῆκε, οὐδ᾽ ὑπερόριον αὐτοῦ βιάζεσθαι εἶναι τὸ δίκαιον οὐδὲ σχήματι τῆς αὐτοῦ ἐκδικήσεως τῇ ἀδικίᾳ συνίστασθαι. τὸ μὲν γὰρ κατὰ τρόπον τοῦ ἁμαρτήματος τὸν ἐξημαρτηκότα κολάζεσθαι τοῦτο δικαίου ἐκδίκησις, τὸ δὲ μεῖζω

---

7 Codd. *νόμων*, quod emendavit Steph. Intelligitur l. un. C. *de superexactorib.*
8 Sc. *τὸν νόμον*. Vulgo *ὑποβάλλοντες*. 9 Codd. *ὑπὲρ ἐκείνων*. Emendavit Steph. 10 Vulgo *τὸν*, quod ferri non poterat.

τοῦ πταίσματος ἀπαιτεῖσθαι τὴν εἴσπραξιν οὐκ οἶμαι σώζειν τὴν ὑπὲρ τοῦ δικαίου προαίρεσιν.

Διὸ[1] *τὸ ἡμέτερον κράτος ἐν τοῖς ὑπὸ τῶν προγεγονότων νενομοθετημένοις, ἐν οἷς ποιναῖς ὑποβάλλουσι τούς τι ἀπεμπολεῖν τοῦ δημοσίου ὑπάρχον τολμήσαντας, ψῆφον*[2] *οὐκ ἐκ τοῦ δικαίου προσφερομένην ἐπείπερ κατέμαθεν, οὐκέτι διορίζεται ταύτην ἰσχὺν ἔχειν [εἰς]*[3] *τὰ τοιαῦτα τῶν ἐγκλημάτων. ποῦ γὰρ δίκαιόν τῳ*[4]*, διότι ἀπημπόλησέ τι ὃ ζημίαν τῷ δημοσίῳ φέρει, ζημίαν ἀπαραμύθητον τὴν ἀφαίρεσιν τῆς ζωῆς ὑπάρχειν; οὐδαμῶς οὖν ἄξιον τὸ πταῖσμα κολάζειν θανάτῳ, οὐδέ γε κρίνεσθαι ταύτῃ συγχωροῦμεν ἡμεῖς τοὺς ἁλισκομένους, ἀλλ' ὃς ἂν δημόσιον*[5] *ἀπεμπολῶν φωραθῇ, τὸ τετραπλάσιον ἀποδιδοὺς ἀποχρῶσαν ἐχέτω τὴν τιμωρίαν.*

NOV. LXIII.

De poena illorum, qui res vetitas ad hostes transvehunt.

ΔΙΑΤΑΞΙΣ ξγ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Καὶ τοῦτο τῆς αὐτῆς ὂν αἰτίας τὸ ἔγκλημα καὶ ἴσῃ δίκῃ παρὰ τῶν πρὸ ἡμῶν ὑποβεβλημένον, ἡμεῖς ἐξαιροῦντες αὐτὸ τῆς παραμύθιον οὐ δεχομένης κολάσεως (φημὶ δὴ τῆς θάνατον[1] *ἐχούσης τὸ ἐπιτίμιον), φιλανθρωποτέρας ὥσπερ καὶ τὰ προειρημένα ἀξιοῦμεν δίκης. νενομοθέτηται*[2] *μὲν γὰρ τοῖς πάλαι περὶ τοῦ μὴ δεῖν πρὸς τοὺς πολεμίους διαπορθμεύεσθαι ἃ συγκροτεῖν αὐτοὺς μέλλει καὶ βιαιοτέρους ἀποτελεῖν, καὶ τοὺς καταφρονητὰς τοῦ θεσπίσματος ψῆφος τοῦ ζῆν ἐξεκόμιζεν.*

Ἡμεῖς δὲ καὶ τοῦτο, εἰ καὶ δριμεῖαν ἀπαιτεῖ τὴν ποινήν, ὅμως φιλανθρωποτέρᾳ διδόντες τοιαῦτα διοριζόμεθα· εἰ μὲν εἴη κύριος τῆς νεὼς ὁ τῶν ἀπηγορευμένων διακομίζεσθαι τοῖς ἐναντίοις τὴν εἰσαγωγὴν ποιησάμενος, γνώμης μὴ[3] *κοινωνήσας τοῖς ναύταις, μόνος ὑφιστάσθω τὴν ποινὴν καὶ ἔτι*[4] *παντὸς*

---

[1] Codd. *διά*. Steph. conj. *διὰ τοῦτο*. [2] Cf. l. 3 et 4 C. *quae res venire non poss.* [3] Ex conjectura addo, quum in libris tam Mss. quam editis desit. [4] Zuich. et Meerm. *τόν*. Vulgo *τῷ*. [5] Steph. conj. *δημόσιόν τι*.

[1] Scrimg. *θανάτου*. [2] Cf. l. 2 C. *quae res exportari non deb.* [3] Scrimg. *γνώμην μέν*. Hoc *μὲν* in *μὴ* mutandum esse vidit Steph. [4] Agyl. conj. *καὶ ἐπὶ παντὶ τῷ φόρτῳ, εἴγε*. Spang. mavult: *καὶ ἐπὶ παντὸς τοῦ φόρτου, εἴγε*.

τοῦ φόρτου, καὶ εἴ γε μὴ πάνυ ἀπορία πιέζοι, καὶ τρίτην τῆς ἄλλης περιουσίας τῷ δημοσίῳ καταβαλλέτω μοῖραν. εἰ δὲ πρὸς τοὺς ναύτας τὸ τολμηθὲν ἀφορᾷ (οἷα πολλὰ συμβαίνει τὴν πονηρίαν ἀποκρυψαμένων), ὁ μὲν ἀμείνων ἔστω ποινῆς, οἱ δὲ τὴν δίκην οὐ διαλύσουσιν[5], ἀλλὰ πρῶτον μὲν ταῖς εἰς τὸ σῶμα πληγαῖς καὶ τῇ ἐν χρῷ τιμωρείσθωσαν κουρείᾳ, ἔπειτα δὲ προσούσης εὐπορίας τετραπλάσια ζημιούσθωσαν ὧν εἰσαγωγίμων ἐποιήσαντο· εἰ δ' εἶεν ἄποροί τε καὶ πένητες, ἔστωσαν ἐπὶ ταῖς μάστιξι καὶ τῇ ἀτίμῳ τῶν τριχῶν ἀποβολῇ καὶ τὴν ἐλευθερίαν ἀποβάλλοντες, διὰ τοῦ[6] πρὸς δουλείαν ἐκδότους γενέσθαι. τοὺς γάρ, ὅσον ἐπ' αὐτοὺς ἧκεν, οὐ μόνον εἰς δουλείαν πλείστους ἄγοντας ἀλλὰ καὶ βίον πικρῶς ἐξάγοντας, καὶ τοῦτο φιλάνθρωπον[7] καὶ μετρίως ἔχουσα εἴσπραξις, τὸ ζωῆς οἰκετῶν ἠξιῶσθαι. ἀλλὰ ταῦτα μὲν γνώμης κοινῆς οὐκ ὄντος τοῦ ἀδικήματος. εἰ δὲ κοινὴ σκέψις καὶ πονηρία τοῦτο κατέπραξεν, ὥσπερ· ὁμοῦ τοῦ κακοῦ ἐργάται οὕτω καὶ τὴν δίκην ἔσονται ὑποσχόντες, οἷς διωρισάμεθα τρόποις ἑκατέρου μέρους κολαζομένου.

NOV. LXIV.

De poena eorum, qui naufragium suppresserint.

ΔΙΑΤΑΞΙΣ ξδ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἐκεῖνο δὲ λίαν θαυμάζω, πῶς ὁ τὰ ἐκ θαλαττίου[1] κινδύνου ἀποκρυπτόμενος τοσοῦτον ἔδοξεν ἁμαρτεῖν, ὥστε θάνατον ἐπάγειν αὐτῷ τὴν τοιαύτην ἁμαρτίαν. ὅτι μὲν γὰρ ἁμαρτίαν οὐ μετρίαν τολμᾷ, ἐκείνους ἀποστερῶν τῶν ἰδίων, οἷς ἴσως καὶ παρ' ἑαυτοῦ ἐπαρκῶν[2] τις εἰς ἔλεον καταστὰς οὐκ ἂν ἣν περιφέρουσι διὰ τῶν ἐγκάτων ὀδύνην καταπραΰνων ὀφθείη (εἰκὸς γὰρ πολλὴν ζημίαν καὶ τῶν ὄντων ἀποβολὴν ὑπομεῖναι), τοῦτο τῶν φαινομένων ἐστίν. ὅτι δὲ χρὴ ζωῆς ἀποστερεῖσθαι τοὺς καθ' ὧν ἡ ἔκπληξις ἔχει τὴν χώραν, τοῦτο συνιδεῖν οὐκ ἔχω.

Mutatione non opus: *καὶ ἔτι* est *etiamnum*. [5] Steph. conj. *διαλύξουσι*, Spang. *διαφεύξουσι*. [6] Scrimg. *τοῦτο*. Emendavit Steph. [7] Steph. et Agyl. haec corrupta esse censent. Atqui oratio sic procedit: *τὸ … ἠξιῶσθαι τοὺς … ἐξάγοντας, καὶ τοῦτο φιλάνθρωπον κτλ.*

[1] Scrimg. *θαλάττης*. [2] Ita recte conj. Osenbrüggen, ut jam Stephani et Agylaei conjecturis non sit opus. Codd. *ἐπαρκεῖν*. Mox pro *οὐκ ἂν* lege *καί*.

τί γὰρ τοσοῦτον ἀφείλετο, ὃ γένοιτ' ἂν ἰσοστάσιον ψυχῆς, ἧς τὴν εἴσπραξιν κατακρίνεται; κάκιστος μὲν οὖν καὶ ἀλιτήριος ὁ τοιούτου κέρδους ἐλάττων[3], τοῦτο δὴ τὸ παρ' ἐνίων γινόμενον, περισυλῶν τεθνηκότας, οὐ μὴν ἡ πονηρία τοιαύτης ἀξία δίκης. οὐ γὰρ δίκαιον ἀντὶ πράγματος ὑλικοῦ καὶ ῥέοντος ἄϋλον καὶ ἀθάνατον πρᾶγμα τὴν ψυχὴν λαμβάνειν. εἰ γὰρ πολλάκις οὐδὲ ἐν πράγμασιν ὕλης τιμωμένη ἡ ζημία πολλὴν τὴν ὑπερβολὴν ἔχει, ἵνα μὴ τῷ ὑπερβάλλοντι ὥσπερ τινὰ περίοδον ἡ ἀδικία λαμβάνῃ, πῶς οὕτως ἀστάθμητος ζημία καταλάβοι τοὺς ἀποκρυψαμένους τὰ τῶν ναυαγούντων, οὐκ οὔσης τῆς ὑπερβολῆς λόγῳ ῥητῆς, ἣν πρὸς τὸ ἀδίκημα ἡ εἴσπραξις ἀποφέρεται;

Κελεύομεν οὖν καὶ τοῦτο μηκέτι οὕτως εὐθύνεσθαι, ἀλλ' ἀντὶ τοῦ παρακατασχεθέντος εἴδους ἀποτιννύειν τετραπλοῦν τὸν ἀποκρυψάμενον, καὶ τοιαύτῃ δίκῃ ὁρίζεσθαι τὸ ἁμάρτημα.

NOV. LXV.

De incantatorum poena[1].

ΔΙΑΤΑΞΙΣ ξε'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ὁ μὲν εἰπὼν μέμφεσθαι τῷ οἴνῳ καὶ τὸ τούτου εὔθυμον ἀποστρέφεσθαι διὰ τὸ τῶν μεθύσων κακόθυμον, ἔοικε διὰ φαύλην χρῆσιν τὸ μὴ καθ' ἑαυτὸ φαῦλον ὂν διασύρειν. ἐγὼ δὲ νόμον ἐκτεθειμένον ὑπὸ τῶν πάλαι νομοθετῶν[2] διασκεπτόμενος, ὃς γοητείαν μὲν φαύλην ἡγούμενος τιμωρεῖται, πάλιν δ' αὐτὴν ἀποδέχεται (οὐκ ἐκ τῆς τῶν χρωμένων αὐτῇ προαιρέσεως φαύλην δεικνυμένην, ἀλλ' οἴκοθεν πηγάζουσαν τὴν κακίαν, ὥσπερ οἱ κοπρῶνες τὴν δυσωδίαν), μέμφεσθαι τοῖς νενομοθετηκόσιν οὐκ ἂν φαίην, ἵνα δὲ μὴ μέμφοιντο τὸ τὴν μέμψιν ἔχον νομοθέτημα ἐκκαθαίρειν[3] δικαιῶ τοῦ τῶν νόμων ἐδάφους. βούλεται μὲν γὰρ εὐθύνειν γοητείαν, ὅτι τὸ σῶφρον τοῦ νοῦ ἀφαι-

---

[3] Fortassis: ἕνεκα. Certe aliquid corruptum est. Nam quod vertunt: „Igitur pessimus quidem est et sacrilegus, qui se istiusmodi lucro mancipat, ac sane ille ... mortuos spoliat", id nec satis aptum est (quippe de iis, qui cum mercibus ipsi ex naufragio superstites sunt, modo ante imperator loquutus est), nec ex vulgata lectione elici potest.

[1] Laudatur apud Blast. *M*, 1 ed. Bever. II p. 176. [2] Cf. l. 4 C. *de malef. et mathemat.* [3] Conj. Agyl. Scrimg. εἰ καθαίρειν.

ρουμένη ἀναβακχεύει τοὺς λογισμοὺς πρὸς οἴστρους καὶ μανίας ἐρωτικὰς, ἀποδέχεται δὲ πάλιν αὐτὴν, ὡς σπερμάτων καὶ καρπῶν θεραπείαν καὶ ἄλλων δέ τινων καλῶν ὡς οἴεται χορηγὸν, καὶ ὅπερ ὡς ἐπίβουλον κολάζει, τοῦτο πάλιν ὡς εὐεργέτην[4] τιμᾷ. ἡμεῖς δὲ τὴν τοιαύτην μαγγανείαν ὀλεθρίαν μὲν ὑπάρχειν πειθόμεθα, καλοῦ δέ τινος αἰτίαν οὐκ ἂν πεισθείημεν. εἰ δὲ καὶ φαίνοιτό τις[5] φέρειν τοιοῦτον (ὡς δοκεῖ τῷ ταύτην ἀποδεχομένῳ νόμῳ), οὐ χρηστὸν ἀλλὰ δέλεαρ καὶ πάγην πρὸς τὸ τῶν κακῶν ἔσχατον τὴν τοῦ ὄντος ἀγαθοῦ ἔκπτωσιν ἁλίσκουσαν ἴσμεν[6] τοὺς πειθομένους δαιμονίοις σκαιοῖς ἀντὶ τοῦ πλάστου καὶ δεσπότου προσανέχειν παρασκευάζοντα, καὶ τὰς βλάβας διὰ τῆς τῶν ἐκτὸς ἀλυπίας εἰς τὴν ψυχὴν δέχεσθαι τοὺς ταύτην ἀποδεχομένους. ὅπερ πολλάκις οἱ πρὸς τὰς πληγὰς δειλοὶ πάσχουσιν, οὐ βουλόμενοι ταύτας ἐπὶ τῶν χειρῶν δέξασθαι, κατὰ τῆς κεφαλῆς ἢ τῆς γαστρὸς ὑποδέχονται.

Εἴ τις δὴ ὅλως τοιαῦτα φωραθείη μαγγανευόμενος, εἴτε προφάσει τῆς τοῦ σώματος θεραπείας εἴτε ἀποτροπῆς τῆς τῶν καρπίμων βλάβης, τὴν ἐσχάτην εἰσπραττέσθω ποινὴν, τὴν τῶν ἀποστατῶν κόλασιν ὑφιστάμενος.

NOV. LXVI.

De plagio[1].

ΔΙΑΤΑΞΙΣ ξς'.

Περὶ ἀνδραποδισμοῦ.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ὥσπερ οὐκ ἐστὶ καλὸν τὰ τῆς δίκης ζυγὰ πλέον ἢ προσῆκεν ἐπικλίνεσθαι τῇ συμπαθείᾳ, οὕτως οὐδ' ὑπερβολὴν* αὐστηρότητος τοῖς ἁμαρτάνουσι βαρυτέραν ἢ ὅσον ἀπαιτεῖ τὸ ἁμάρτημα τὴν δίκην ἐπιτίθεσθαι. τὸ μὲν γὰρ, λέγω δὴ τὸ ἄκαιρον συμπαθὲς, τοῖς[2] ἔξω φέρεσθαι τοῦ πρέποντος οὐκ εὐ-

---

[4] Steph. εὐεργέτιν scribi vult. [5] Scrimg. τι. Zuich. et Meerm. rectius τις, ut sit quo referatur participium παρασκευάζοντα, quod paulo infra legitur. [6] Scrimg. ἴσμεν τὲ ἔγνωμεν. Sigla τὲ significat τουτέστι, ut proinde ἔγνωμεν glossema sit. Plerique tamen ἴσμεν τε καὶ ἔγνωμεν scribendum censent.

[1] Ecl. Nov. 32. Excitatur in Basil. ed. Heimb. V p. 826 et a Bals. ad syn. Gangr. c. 3 ed. Rhalli III p. 102. * Legerim ὑπερβολῇ. [2] Codd.: τοὺς — εὐλαβουμένους.

λαβουμένοις[2] *ποιήσειεν ἂν καταφρόνησιν καὶ πρὸς τὴν τόλμαν τῶν φαύλων ὀξυτέραν τὴν προθυμίαν, τὸ δὲ βαρυτέρᾳ κολάζειν ποινῇ τὸ ἁμάρτημα ἀλλ᾽ οὐ καθ᾽ ὅσον ἄξιον, οὐκ ἐστὶ δικαίου ἐκδίκησις ἀλλ᾽ ἐν σχήματι δίκης ἀδικίας ἄρχειν· τὸ γὰρ μὴ πρὸς μέτρον τοῦ πταίσματος τιμωρεῖσθαι τὸν πταίσαντα ἀδικεῖν ἐστιν, οὐχὶ τὰ δίκαια ποιεῖν. τί δήποτε τοῦτο ἐῤῥήθη; ὅτι νόμος*[3] *(οὐκ οἶδ᾽ ὅπως τοῦτο γνοὺς*[4] *διορίσασθαι*[5] *θανάτῳ ζημιοῦσθαι τὸν ἠνδραποδικότα δοῦλον ἀλλότριον) οὐ σταθμούμενος τὴν τιμωρίαν τῷ ἁμαρτήματι, οὐδ᾽ ὅτι ἡ τοῦ βίου ζημία*[6] *ἐπιφέρεσθαι ἄξιον καὶ οὐχ ὅτι κτήματος ἐγένετό τις ἀπώλεια ἣν δυνατόν ἐστι παραμυθήσασθαι, διὰ τοῦτο ἀπαραμυθήτῳ ὑπάγει ἀφαιρέσει τὸν ἑαλωκότα.*

Τοιγαροῦν διὰ τοῦτο τοὺς μὴ ἄξια θανάτου ἡμαρτηκότας οὐ δίκαιον ἀνασκεψάμενοι πικρὰν οὕτω τιμωρίαν εἰσπράττεσθαι, ὅνπερ ἡ συνήθεια παρὰ φαῦλον ἐποιήσατο νόμον (οὐκ ἀφαιρέσει τῆς ζωῆς τιμωρουμένη, ἑτέρως δὲ κολάζουσα τὸν ἀνδραποδιστὴν), καὶ ἡμεῖς τῶν νομίμων ἐκβάλλοντες διατάξεων, τὸ ἐκείνῃ δόξαν νόμῳ κυροῦμεν, καὶ[7] *κελεύομεν τὸν εἴ τις ἁλῷ οἰκέτην ἀλλότριον ἀνδραποδισάμενος, τῇ τε ἀποδόσει τοῦ οἰκέτου καὶ τῇ ἀποτιμήσει τούτου ζημιοῦσθαι, καὶ ἔτι τῆς ἐκ τοῦ ἐπιτηδεύματος προσόδου ὅση ἂν τῷ δεσπότῃ προσεγεγόνει*[8] *μὴ ἀπολωλότος τοῦ οἰκέτου ἰσαρίθμῳ ἐκτίσει, τούτου δ᾽ ἐπέκεινα μὴ βαρύνειν τοῖς ἐξαμαρτοῦσι*[9] *τὴν ποινήν. ἔχει γὰρ οὕτως ἀποχρώντως τῷ μὲν ἀπολωλεκότι ἡ ὠφέλεια, τῷ δὲ κλέψαντι ἡ τιμωρία, οἷα δὴ κἀκείνου τὸν οἰκέτην ἐν προσθήκῃ ἀπέχοντος καὶ τῆς ἐξ αὐτοῦ ὠφελείας ἣν ἔσχεν ἂν μὴ ἀνδραποδισθέντος οὐ κεκαινοτομημένου*[10], *καὶ τούτου ἀξίως τετιμωρημένου*[11] *τῇ τε διπλῇ ἀποδόσει τῆς κλοπῆς καὶ τιμωρουμένου τῷ μηδὲν κερδᾶναι τῆς τοῦ*[12] *κλαπέντος δουλείας.*

---

[3] Vide l. 7 C. ad l. Fab. de plag. [4] Scrimg. *γάρ*. [5] Agyl. conj. *διώρισται* et mox *ζημιοῦται*. Beck: *διωρίσατο*. Non opus, si recte distinguas. [6] Codd.: *ἡ τοῦ βίας ζημίας*. [7] Ecl. incipit. [8] Editi: *καὶ ἔτι τοῦ ἐπιτ. προσόδῳ καὶ ὅσαν* (sic) *ἂν τῷ δεσπ. προλαμβάνῃ*. Zuich. et Meerm. *καὶ ἔτι τῇ ἐκ τοῦ ἐπιτ. κτλ.* Ecloga: *καὶ ἔτι τῇ ἐκ τοῦ ἐπιτ. προσόδῳ ὅσῃ* et reliqua, ut in textu posuimus. Emendavimus *τῆς — προσόδου*, ut ab *ἰσαρ. ἐκτίσει* pendeat. [9] Ita Ecl. Reliqui *ἐξαμαρτάνουσι*. [10] Ecl. *καινοτομουμένου*, praeter unum Cod. qui *καινοτομουμένης* habet. [11] Zuich. et Meerm. *τιμωρουμένου*. [12] Articulus *τοῦ* deest apud Scrimg.

NOV. LXVII.

De transfugis ad hostes, qui sponte revertuntur[1].

ΔΙΑΤΑΞΙΣ ξζ'.

Περὶ τῶν αὐτομολησάντων πρὸς ἐχθροὺς καὶ ἑκουσίως ἐπανελθόντων.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Καὶ τὸ ἄγαν αὐστηρὸν καὶ ἀπότομον, καὶ τὸ λίαν ὑπεῖκον καὶ πλέον ἢ προσῆκε φιλάνθρωπον, ὁμοίως ἀμφότερα τοῦ ὠφελίμου τὸ βλάβος ἔχει. ὅ τε γὰρ τῷ ἀποτόμῳ ἀμέτρως χρώμενος καὶ ὁ τὸ ἐπιεικὲς ἄκρατον φέρων, ἑκάτερος, κἄν τε ἑνός τινος ἄν τε οἰκίας ἄν τε πόλεως ἐπιστατῇ, εἰς τὸ ἀσύμφορον εἴη ἂν τοῖς ὑπ' αὐτοῦ διοικουμένοις ἐγκεχειρημένος τὴν ἐπιστασίαν. χρὴ γὰρ τὸν καλῶς ἐπιστατήσοντα, ὥσπερ τῶν χωρίων τὰ εὔκρατα καὶ πρὸς ὑγείαν ἐπιτήδεια μικτὰς ἔχει συμμέτρως τὰς τοῦ ἀέρος διαθέσεις, οὕτω καὶ αὐτὸν εὔκρατον ἑαυτὸν παρέχειν τῇ ἐμμέτρῳ[2] πρὸς τὴν συμφέρουσαν ἐπιστασίαν μίξει τῶν διαθέσεων, καὶ μήτε τῷ ἀποτόμῳ βαρὺν καὶ ἀφόρητον εἶναι, μήτε τῷ πέρα τοῦ προσήκοντος ἐπιεικεῖ καταπεφρονημένον καὶ ἀνηγεμονικόν. ὅπερ οὖν ἐπὶ ἀέρος φαμὲν, τοῦτο πάντως καὶ ἐπὶ νόμων ἁρμόζει σώζεσθαι. χρὴ γὰρ τοὺς νόμους, ἡγεμόνας ὡς ἀληθῶς τῆς πολιτείας ὄντας, ἣν εἶπον κρᾶσιν διαφυλάττειν, καὶ πρός τε ἀποτομίαν καὶ φιλανθρωπίαν μὴ παρὰ μέτρον ὁρᾶν, εἴ γε μέλλοιεν οἱ ἐπ'[3] ἐκείνοις ὑγιαίνειν πολιτευόμενοι. ταῦτα ἡμῖν λέγεται πρὸς τὴν ἀποτομίαν ὁρῶσιν, ἣν ὁ κατὰ τῶν εἰς πολεμίους αὐτομολησάντων κείμενος νόμος[4] ἐνδείκνυται. βούλεται γὰρ τὸν ηὐτομοληκότα, εἴ ποτε πρὸς γνώμην μεταμελείας ἴδοι καὶ τὸ προλαβὸν ἁμάρτημα διὰ τῆς πρὸς τὰ οἰκεῖα ἐπαναστροφῆς ἰάσασθαι βουληθῇ, ἔκδοτον εἰς βρῶσιν θηρίοις γίνεσθαι ἢ ἀνασκολοπίζεσθαι. τοῦτο ἐμοὶ πολλῆς μὲν αἴτιον βλάβης τῇ πολιτείᾳ δοκεῖ, πολλὴν δὲ καὶ τῶν πρὸς σωτηρίαν ὁδηγούντων λογισμῶν ἀποφέρειν τὴν ἐναντιότητα. ἀνάγκην γὰρ ἐπάγει τοῖς πρὸς τοὺς πολεμίους αὐτομολήσασι μηδέποτε τῶν οἰκείων μεμνῆσθαι, μηδὲ τῆς πρὸς τὴν πατρίδα ἐπαναδρομῆς ἀναλαμβάνειν τὸν ἔρωτα. οὐδεὶς γάρ, ὅστις τοιαύτην ἐκδεχο-

---

[1] Ecl. Nov. 33. Allegatur in Basil. ed. Heimb. V p. 868 et Harm. VI, 8, 4.
[2] Scrimg. *οἰκτρῷ*, ex quo Steph. *ἰσομέτρῳ*, Agyl. *συμμέτρῳ*, Beck *ἐμμέτρῳ* effecerunt. [3] Malim *ὑπ'*. [4] Videsis l. 3 §. 10 D de re militari.

μένην αὐτὸν τιμωρίαν εἰδὼς ἀντὶ τῆς ἐν τοῖς πολεμίοις βιώσεως οὕτω πικρῶς ἐν τῇ πατρίδι θανεῖν προαιρήσεται.

Διόπερ ταύτην μὲν τὴν ἀποτομίαν, ἵνα μὴ λέγω ἀδικίαν (πῶς γὰρ οὐκ ἄδικον, τὸν ἁμαρτάνοντα, εἶτα ἐξ αὑτοῦ πρὸς τὴν τοῦ ἁμαρτήματος ἀναφρονήσαντα ἴασιν, κολάζειν οὕτω πικρῶς;), ἐκ τῶν δικαιοτάτων ἐλαύνομεν νόμων, κελεύομεν[5] δὲ, εἴ τις αὐτόμολος εἰς τὴν πατρίδα ἐπαναδράμοι, ἅπαξ μὲν τοῦτο ποιήσας, συγγνώμης τυγχανέτω· δεύτερον δὲ, εἰς τριετῆ δουλείαν διαπωλείσθω· ἐκ τρίτου δὲ ποιησάμενος τὴν αὐτομολίαν, εἶτα ἐπαναζεύξας, εἰς διηνεκῆ καὶ ἀΐδιον οἰκετείαν πιπρασκέσθω. τὸν γὰρ οὕτως ἀβέβαιον καὶ παλίμβουλον[6] ἀνάξιον ἀπολαύειν ἐλευθερίας. εἰ μέντοιγε ὁ πρὸς ἐχθροὺς αὐτόμολος οὐκ ἐξ οἰκείας γνώμης, ἀλλὰ ληφθεὶς ὑφ᾽ ἑτέρων εἰς τὴν πατρίδα ἐπαναχθῇ, καὶ μάλιστα εἰ αἵματος ἐμφυλίου τὴν δεξιὰν ἔχει μεμολυσμένην, τοῦτον θανάτῳ κολάζειν, οἷα δὴ πολέμιον, οὔτε ἄδικον[7] οὔτε ἀπότομον.

NOV. LXVIII.

Ut monachi et clerici tutores fieri possint, ab administratione vero et gubernatione pupillorum arceantur[1].

ΔΙΑΤΑΞΙΣ ξη´.

Περὶ τοῦ ἐπιτροπεύειν μοναχοὺς καὶ κληρικοὺς, ἀπείργεσθαι δὲ οἰκονομίας καὶ προστασίας ὀρφανῶν[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Τοῖς μὲν πάλαι νομοθέταις (μονοειδοῦς ὡς εἰκὸς ὑπαρχούσης κατ᾽ ἐκεῖνο καιροῦ τῆς ἐπιτροπῆς, καὶ μόνων ἀποφερομένων τὴν κλῆσιν, οἳ προστασίαν ὑπεδύοντο γονέων ἐρήμων) ἔδοξεν ἀποφήνασθαι, μὴ μετέχειν τοῦ πράγματος μήτε μονάζοντας μηδ᾽ ὅσους ὁ ἱερὸς οἰκειοῦται κλῆρος. καὶ καλῶς ἔδοξε[3]· συν-

---

[5] Inc. Ecloga. [6] Ecl. παλίμβολον. [7] Nonnulli Codices Eclogae ἄτοπον ἄδικον.

[1] Ecl. Nov. 34. Laudat Bals. ad Phot. VIII, 13 (ed. Rhalli I p. 159) et ad syn. Chalced. c. 3 (ed. Rhalli II p. 224); Aristenus ad c. l. (ibid. p. 225); Harm. V, 12, 23. [2] Zuich. et Meerm. scholium adscribunt: αὕτη ἀνῄρηται τὸ ιβ κεφ. τῆς ρκγ´ νεαρᾶς, τῶν βασιλ. βι. γ´ τί. α´ κεφ. γ´. — Cf. Epanag. IX, 1 ibiq. schol. [3] Conj. Steph. Scrimg. ἔλεξε.

εἶδον γάρ, ὡς τοὺς ἀνακειμένους πρὸς θείαν λειτουργίαν δεῖ τῶν ἔξωθεν ὄχλων καὶ περισπασμῶν ἀπηλλάχθαι, ὅσην δὲ παιδοτροφίαι καὶ ἄλλως οἰκονομίαι εἰς τὸ περισπᾶν καὶ ἀφέλκειν τῆς ὀφειλομένης θεῷ θεραπείας ἰσχὺν ἔχουσιν, ἠγνόησεν οὐδείς. ὑπαρχούσης οὖν οὐκ ἀνεκτῆς δυσχερείας τῷ πράγματι, μάλιστά γε καὶ διὰ τὴν ἐκ τοῦ χρόνου παράτασιν (ὅλον γὰρ ὡς τὰ πολλὰ βίον τῇ πολυπόνῳ[4] φροντίδι τὴν ἐπιτροπὴν ταύτην οἱ λαχόντες συνδέδενται), καλῶς ὅπερ εἶπον τὸ δόγμα προσήνεγκαν.

Ἀλλ' ἐπεὶ τοῖς μεταγενεστέροις οὐκ ἐτηρήθη μόνως ἐφ' ἧς ἐλέγετο[5] ἐπιστασίας ἡ κλῆσις, ἠξίωσαν δὲ κἀκείνους ἐπιτρόπους καλεῖν τούς, ὅσοις οἱ τὸν βίον ἀπολιμπάνοντες χρησταῖς περὶ αὐτῶν ὑπολήψεσιν ἐπὶ τοῦτο προτρεπόμενοι διατάξεις, αἳ περὶ τῶν ὑπόντων[6] ἤρεσαν πραγμάτων, ἐγχειρίζουσι καὶ τῶν μετὰ τὴν ἐκδημίαν πιστεύουσι τὴν διοίκησιν· ἐπεὶ οὖν καὶ τούτων ἐπιτρόπων ὀνομαζομένων ἀμφισβήτησις πρόεισιν, εἰ καὶ μονασταὶ τὸν ἱερὸν ὑπελθόντες κλῆρον ταύτης μεθέξουσι τῆς ἐπιτροπῆς διὰ τὸ δοκεῖν τὸ ῥηθὲν τοῦτο μὴ καταδέχεσθαι ψήφισμα, θεσπίζομεν[7] ἡμεῖς διαστειλάμενοι, ἐκείνης μὲν τῆς ἐπιτροπῆς κωλύεσθαι ἣν μόνην[8] ὁ πρεσβύτερος εἰδὼς χρόνος παρέσχε ψῆφον ἐξενεχθῆναι[9] τὴν μὴ διδοῦσαν εἰς ταύτην πάροδον τοῖς εἰρημένοις προσώποις, τοῦ δὲ μεταγενεστέρου τῆς ἐπιτροπῆς εἴδους ἐξεῖναι καὶ μονάζουσι καὶ κληρικοῖς κοινωνεῖν. οὔτε γὰρ αἱ φροντίδες οὕτω βαρεῖαι[10], ὥστε πρὸς ἑαυτὰς καταδῆσαι καὶ τῆς ἱερᾶς ἀφελκῦσαι ὑπηρεσίας, καὶ ἄλλως δὲ ὅσον μᾶλλον οὗτοι τῶν λαϊκαῖς προσηλωμένων ἀνάγκαις καὶ τῇ[11] κάτω συμφυρομένων[12] ἰλύϊ διαζῶσιν εὐλαβέστερόν τε καὶ ὑψηλότερον, ἐλπὶς ἀμείνω[13] καὶ εὐλαβεστέραν[14] καὶ[15] τὰς τῶν ἀποδημούντων διατάξεις ἀποφέρεσθαι τὴν ἐκπλήρωσιν.

---

[4] Conj. Steph. Codd. οὐ πόνῳ vel εὐ πόνῳ. [5] Scrimg. ἐγένετο. [6] Codd. εἰπόντων. Emendavit Steph. [7] Inc. Ecloga. [8] Codd. καὶ ἥν. Nostram lectionem suppeditavit Ecl. [9] Ecl. ἐπενεχθ. [10] Ita Ecl. Codd. hic addunt ὑπηρεσίας, quod in ταύτης τῆς ὑπηρεσίας mutare voluit Agyl. [11] Ita Ecl. Scrimg. ἀνάγνως καὶ τῷ. [12] Zuich. Meerm. et nonnulli Codd. Eclogae συμερομ. [13] Agyl. conj. τοσοῦτον ἀμείνω. Non opus. [14] Zuich. et Meerm. εὐλαβεστέρους. Eclogae Codices modo ἐλευθερωτέραν, modo ἐντελεστέραν habent. [15] Ita Ecloga. Codd. et editi πρὸς habent pro καί.

NOV. LXIX.

Ut caeci, illiterati et foeminae testamentum facere possint[1].

ΔΙΑΤΑΞΙΣ ξθ'.

Περὶ τοῦ διατίθεσθαι τυφλοῖς καὶ ἀγραμμάτοις καὶ γυναιξίν [2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἐπειδὴ ἀμφισβητεῖται περὶ τοῦ πῶς δεῖ τυφλοὺς διατίθεσθαι, καὶ ἡ ἀμφιβολία ἔκ τε τῶν νομίμων πρόεισι τόπων[3] καὶ ὧν ἀλλήλοις περὶ τούτου ἀντιθεσπίζουσι νόμοι, καὶ τῆς νῦν πολιτευομένης συνηθείας, οὐδὲ τοῦτο ἄκαιρον ἡμῖν ἐνομίσατο μέρος εἰς ἐπίσκεψίν τε καὶ ἀνακάθαρσιν. καὶ γὰρ ὁ μέν τις ἀπαγορεύει τῶν νόμων[4] τυφλῷ διάταξιν κατὰ τὸν μυστηριώδη προέρχεσθαι τρόπον, καὶ μὴ ἄλλως προσεῖναι ταύτῃ κῦρος ὁρίζεται, εἰ μὴ παρουσίᾳ μαρτύρων ἐγγυᾶται ἢ προελθόντα στόματος τυφλοῦ τὰ διατεταγμένα ἢ τοῖς ἐκείνου[5] ὠσὶν ὑπάρχειν ἐνηχημένα (οὐ γὰρ ἀξιοῖ ἐν μόνῳ γραφεῖ τὴν τούτων πίστιν ἐξωχυρῶσθαι), ὁ δέ τις τῶν νόμων[6] εὐρύχωρον ἀνοίγει τὴν πάροδον καὶ γυναίοις καὶ ἀγραμμάτοις ἀνθρώποις εἰς τὸ πρὸς μυστικωτέρας διατάξεις καθίστασθαι, μηδὲν ἕτερον ἀκριβολογούμενος, ἢ τὸ τὸν[7] διατιθέμενον, οὐκ ὄντα μὲν ἀμαθῆ γραμμάτων, οἰκείᾳ ὑπογραφῇ τὴν διάταξιν ἀσφαλίζεσθαι, εἰ δ' ἐλάττων ἐκεῖνος παρέχειν τὴν τοιαύτην ἀσφάλειαν, ἄλλον ἀνθ' ἑαυτοῦ πρὸς τὴν ὑπογραφὴν παραλαμβάνειν. οὕτω μὲν οὖν ἐκ τῶν νόμων στασιάζοι ἂν τὰ πράγματα· πῶς γὰρ εἰ γύναια καὶ γραμμάτων ἀδίδακτοι ἄνθρωποι κατὰ τὸν ἀναχωροῦντα τρόπον τῆς τῶν πολλῶν γνώσεως διατάξονται ἐν μόνῳ τῷ γράφοντι σαλευούσης τῆς πίστεως, οὐχὶ καὶ ὁ τυφλὸς ἐκ τῆς αὐτῆς αἰτίας ἀκώλυτον σχοίη τὸ διατίθεσθαι; ἀλλὰ γὰρ καὶ τὰ τῆς συνηθείας, οὐ μόνον τὰ ἐκ τοῦ νόμου, πρὸς τὸν νόμον ὁρᾶται μαχόμενα. καὶ

---

[1] Ecl. Nov. 35. Harm. V, 1, 22. [2] Haec rubrica in Ecl. est: eadem in Zuich. nisi quod *τυφλοὺς καὶ ἀγραμμάτους καὶ γυναῖκας* scribat. [3] Forte *τύπων*. [4] Sc. l. 3 C. qui test. fac. poss. [5] Agyl. legit *τοῖς ἑαυτῶν*· pessime, quippe qui totum hunc locum male interpretatus sit. Praesentibus testibus coecus aut ipse voluntatem suam oretenus declaret aut in scripturam redactam dum a tabulario recitatur auribus suis percipiat necesse est. [6] Justiniani Nov. 119 c. 9. [7] Sic lego. Zuich. et Meerm. *τὸ αὐτὸ*. Scrimg. *τὸ αὐτὸν*, quod Steph. in *τὸ τὸν αὐτὸν*, Osenbrüggen in *τὸ αὐτὸν τὸν* mutandum censet, licet *αὐτὸν* ob sequens *οἰκείᾳ* abundet.

γὰρ οἶδεν αὕτη καὶ γυναίων καὶ ἀνδρῶν οὐ διὰ γραμμάτων ἠγμένων καὶ τυφλῶν[8] διατάξεις ἐν μυστηρίῳ κειμένας μὴ τὴν ἰσχὺν ἀφαιρεῖσθαι.

Ἐπεὶ[9] οὖν οὕτω ταῦτα[10], καὶ ἡμεῖς ταῖς μυστικαῖς διατυπώσεσιν, ἄν τε τυφλῶν ἄν τέ τινων ἑτέρων ὦσι προσώπων, προσεῖναι θεσπίζομεν σύστασιν, τοῦτο προσεπιθεσπίζοντες, ὥστε πρὸ τῶν μαρτύρων ἐνόρκιον ἐκκεῖσθαι ὑπογραφὴν[11] τῶν τὰς διατάξεις γραφόντων, ὡς εἴησαν ἀληθῶς ἐκεῖνα γράψαντες ἅπερ ἀκηκόεσαν, αὐτῆς ἐκείνης[12] ὑποφθεγξαμένης τῆς τοῦ διαθεμένου[13] γλώσσης· καὶ εἴ τις ἔλεγχος μετὰ ταῦτα ψευδογραφίας ἀναφαίνοιτο, τίμημα προσκεῖσθαι τοῦ ἁμαρτήματος, εὐπόροις μὲν οὖσιν αὐτοῖς τὴν τῶν ἰδίων ὑπάρξεων ἀλλοτρίωσιν, ἐῤῥήμοις δὲ περιουσίας σφοδραὶ μάστιγες καὶ φυγὴ ὑπερόριος ἐπικείσεται ἡ ζημία. ἔτι δὲ καὶ τοῦτο τοῖς[14] θεσπισθεῖσιν ἐπισυνάπτομεν· ποῖον;[15] εἴ ποτε ἡ διάταξις δεηθείη ὅρκων[16] οἷα πολλὰ εἰς βεβαίωσιν, καὶ αὐτοὺς τοὺς γεγραφότας τὴν διάταξιν σὺν τοῖς μάρτυσιν ἐπομνυομένους[17] συνεπισχύειν τὴν πίστιν καὶ τὴν ἀλήθειαν.

NOV. LXX.

De grassationibus, et ut omnes ultionem patiantur, si homo interfectus sit[1].

ΔΙΑΤΑΞΙΣ ο'.

Περὶ ἐφόδων καὶ τεθνηκότος ἀνθρώπου πάντας ἀμύνασθαι[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἁπανταχοῦ τὸ κοινὸν τῆς γνώμης κατόψοιτ' ἄν τις οὓς ἡ κοινωνία συνάπτει ἐν μιᾷ καὶ τοιαύτῃ[3] μοίρᾳ τιθέμενον. οὕτω

---

[8] Codd. οὐ διὰ γραμμάτων κειμένων (Meerm. ἠγμένων) τυφλῷ. Emendavit Steph. [9] Inc. Ecloga. [10] Codd. ταῦτα non habent: supplevi ex Ecl. [11] Scrimg. ἐνορκίων — ὑπογραφάς. [12] Malim ἐκείνοις sc. τοῖς γράφουσιν. [13] Ecl. διατιθεμένου, quod fortasse praestat. [14] Ita Ecl. Codd. τούτοις. [15] Ita Codd. et Ecl. Agyl. vult τοῖον δὲ ὡς. Fortasse ποιὸν scribendum, ut cum praecedente τοῦτο jungatur. [16] Ecl. ὁρκίων. [17] Ecl. ἐπομνυμένους.

[1] Ecl. Nov. 36. Cf. Basil. ed. Heimb. V p. 273 schol. 11. [2] In editis simpliciter est περὶ ἐφόδων, pleniorem rubricam ex Ecl. damus. [3] Malim τῇ αὐτῇ.

γὰρ καὶ συνέμποροι τὸ ἐκ τοῦ κέρδους ἢ τῆς ζημίας ἴσον διαλαγχάνουσιν· καὶ συνοδῖται πολλάκις εὑρήματι περιτυχόντες, εἰ καὶ μὴ κατ' ἴσον ἔβαλον ἐπ' αὐτὸ τὰς τῶν ὀμμάτων βολάς, ὅμως διὰ τὴν ἐκ τῆς ὁδοιπορίας κοινωνίαν κοινὴν τὴν τοῦ εὑρήματος κτῆσιν πεποίηνται· καὶ συστρατιῶται δέ, εἰ καὶ μὴ πάντες σὺν ὁμοίῳ τόνῳ ἐπὶ τοὺς ἐχθροὺς τὰς χεῖρας ἐξέτειναν, ἀλλὰ τῶν ἀριστείων τὴν ἰσότητα φέρουσι. καλῶς ἄρα καὶ τῷ παλαιῷ ἔδοξε νομοθέτῃ[4] τὴν αὐτὴν ὑπέχειν ποινὴν τοὺς πονηρᾷ γνώμῃ συναπτομένους καὶ κοινῇ πρός τινα πρᾶξιν τιμωρουμένην νόμῳ καθισταμένους, ἄν τε γυναίου ἁρπαγὴ τὸ πεπραγμένον εἴη, ἄν τε πατρὸς ἄν τέ τινος ἑτέρου ἀναίρεσις, εἰ καὶ μὴ πάντες ἐπίσης τῷ πραχθέντι παρέσχον τὴν ἐνέργειαν.

Τοιγαροῦν[5] καὶ ἡμεῖς τοῖς προτεθεσπισμένοις συμφθεγγόμενοι περὶ τῶν ἅμα καὶ κοινῶς[6] ἔφοδον κατὰ ζωῆς ἀνθρώπου[7] πεποιημένων ὁρίζομεν, ὥστε πάντας, ὁπόσοι δ' ἂν καὶ εἶεν, τῇ[8] αὐτῇ καθυποβάλλεσθαι δίκῃ, εἰ καὶ μὴ ὡσαύτως ἐνήργηται παρὰ πάντων ἡ πρᾶξις. οὐ γὰρ ὅτι μὴ αὐτός τις τὴν χεῖρα ὑπουργῆσαι τῷ θανάτῳ παρέσχετο, διὰ τοῦτο ἀθῷος ἀπιέναι δυνήσεται. τί γάρ, εἰ καὶ μὴ τὴν ἰδίαν δεξιάν, ἀλλὰ τὴν ἑτέρου ἐτόνωσε πρὸς τὴν ἀναίρεσιν; ὅτι γὰρ ἡ τὸν θάνατον καταπραξαμένη χεὶρ ὑπὸ τῆς κοινῆς πονηρίας κινουμένη τὴν πρᾶξιν ἐτόλμησε, δῆλον. οὐκ ἂν γάρ, εἰ μὴ συνεκρότει ταύτῃ τῶν ἄλλων ἡ συνδρομή[9], ἑτοίμη ὤφθη τῷ φόνῳ ὑπηρετήσασθαι. διὰ τοῦτο καθὼς εἴρηται πάντας τὴν αὐτὴν ὑφίστασθαι εἴσπραξιν τῆς δίκης ψηφιζόμεθα, κἂν ὡς εἰκὸς ἐπὶ μιᾶς τινος πληγῆς τὸ θανεῖν ἀπαντήσῃ, τῶν δ' ἄλλων αἱ χεῖρες οὐ συνεφήψαντο.

---

[4] Laudant l. 2. 6. 7 D. ad l. Pompej. de parricid. l. 28 §. 10 D. de poenis. l. un. C. de raptu virg. Nov. Justiniani 134 c. 13. [5] Inc. Ecloga. [6] Ecl. *κοινῇ*. [7] Ecl. *ἀνθρώπων*. [8] Ecl. *ἐν τῇ*. [9] Basil. *εἰ μὴ συνεκροτεῖτο παρὰ τῆς τῶν ἄλλων συνδρομῆς*.

NOV. LXXI.

De iis, qui in locis arabilibus vel vineis aedificaturi sunt[1].

ΔΙΑΤΑΞΙΣ οα΄.

Περὶ μελλόντων[2] κτίζειν ἐν ἀροσίμοις τόποις καὶ ὑπαμπέλοις.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Γνώμην ἀρίστην τε καὶ ἐννομωτάτην παρὰ τοῦ ἀειμνήστου γονέως ἡμῶν καὶ βασιλέως ἐξενηνεγμένην περὶ τῶν καινάς τινας οἴκων κατασκευὰς ἐν τόποις, οὓς τέως ἄροτρον ἔτεμνε καὶ ἀμπελῶνες εἶχον, εἰς[3] ἀποκλήρωσιν βουλομένων κατασκευάζειν, ἐν ὁπόσῳ τῶν γειτονευόντων ὁρίων διαστήματι συστήσεται ἡ καινὴ αὕτη κατασκευὴ, δεῖν ἐκρίναμεν νόμου τιμῆς[4] ἀξιῶσαι, ἐπεὶ μὴ παρὰ τοῦ πατρὸς εἰς τὴν τῶν νόμων ἐγράφη συμπολιτείαν[5].

Ὁρίζομεν οὖν κατὰ τὴν ἐκείνου γνώμην, τοὺς ἐπὶ νοῦν βαλλομένους ἐν ἀροσίμοις τόποις καινῶν οἰκήσεων κατασκευὴν, εἰ μὲν ἡ ἀφθονία παρέχει τῆς χώρας, δυσὶ τόξου βολαῖς ἐκ τῶν γειτόνων ὁρίων ποιεῖσθαι[6] τὸ διάστημα τῆς νέας κατασκευῆς· εἰ δ᾽ οὐ χαρίζεται δι᾽ ἔνδειαν ἀφθονίας τοσοῦτον μέτρον ἡ χώρα τῷ διαστήματι, μετρείσθω[7] καὶ μιᾷ τόξου βολῇ. ἐντὸς δὲ τοῦ εἰρημένου ὁρίσματος οὐδενὶ παρέχεται ἄδεια τῆς τοιαύτης τῶν οἰκήσεων νεουργίας. καὶ ἡ αἰτία λόγου ἥττων· συνεγγίζει γὰρ καὶ ἡ βλάβη τοῖς γειτονεύουσι καρποῖς μετὰ τῆς πλησιαζούσης οἰκίας.

---

[1] Ecl. Nov. 37. Laudatur in Πείρᾳ IX, 8; apud Attal. in appendice; apud Harm. II, 4, 137. [2] Ecl. τῶν μελλ. [3] Ecl. ὡς ἀπ. [4] Scrimg. τιμῇ. [5] Scrimg. ἐγράφησαν πολιτείαν. [6] Ecl. μεμετρῆσθαι. [7] Ecl. μετρεῖσθαι.

NOV. LXXII.

Ut valeant pacta, etiamsi absque poena inita sint[1].

ΔΙΑΤΑΞΙΣ οβ'.

Περὶ τοῦ κυροῦσθαι τὰ σύμφωνα τὰ ἄνευ προστίμου γεγενημένα.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Τῷ προστάσσοντι νομίμῳ ψηφίσματι ἀπὸ ψιλοῦ συμφώνου μὴ τίκτεσθαι ἀγωγὴν, ἀλλὰ μόνην παραγραφὴν, ἐνίους ὁρῶμεν προσπταίοντας[2]. *ἀξιοῦντες γὰρ ἅπαν σύμφωνον ἀπροστίμητον ψιλὸν ὑπάρχειν, κἄν τε γραφῇ συντεθειμένον ᾖ, κἄν τε τῶν συμφωνούντων ἰδιόχειρος ἐνέργεια τὸν θεῖον σταυρὸν ἐντάξῃ τοῖς γράμμασι, κἄν τε τῆς θεαρχικῆς τριάδος αἱ κλήσεις προσκέοιντο, εἰ μὴ καὶ προστιμήματος*[3] *ζημία ἐμφέροιτο*[4], *εἰς τὸ ἀσύστατον τὸ συμφωνηθὲν ἀποῤῥίπτουσι, κακῶς εἰδότες καὶ κάκιστα*[5] *τὴν ἰδίαν κρίσιν κυροῦντες, οἵ γε πολλῆς τῶν θείων ἐπίπροσθεν τὰ κοινὰ καὶ ἀνθρώπινα τιμῆς ἀξιοῦσι. τί γὰρ, τοσοῦτον κατά γε τὴν ὄντως ἀνθρώπῳ ἁρμόζουσαν κρίσιν ἡ τοῦ προστίμου ζημία παρέχει τοῖς συμπεφωνημένοις ἀξίωμα, ὁπόσον θεῖος ἐν αὐτοῖς ὁρώμενος τύπος καὶ κλῆσις τῆς μακαρίας θεότητος;*[6]

Θεσπίζομεν οὖν, ἐν παντὶ συμφώνῳ, ἐν ᾧ ἂν τὸ ἐκ τῶν θείων τούτων[7] *συναντιλήψεων ἐχέγγυον πρὸς τὴν ἀξιοπιστίαν προσῇ, τὴν ἰσχὺν παρεῖναι κραταιάν τε καὶ ἄλυτον, κἂν μηδεὶς λόγος προστιμήσεως συγγέγραπται*[8].

---

[1] Ecl. Nov. 38. Videsis Basil. ed. Heimb. I p. 564 schol. 6, Bals. ad syn. Carthag. c. 13 (ed. Rhalli III p. 328), Blast. *E*, 22 (ed. Bevereg. II p. 135), Harm. I, 9, 7. — In Ecloga lib. I—X, Basil. X, 10 haec leguntur: *ἐστὶ δὲ καὶ ἑτέρα νεαρὰ τοῦ κυροῦ λέοντος τοῦ φιλοσόφου λέγουσα, ὅτι ἐάν τις τελείας ἡλικίας ὑπάρχων εἰ καὶ μὴ κατὰ ἀκουιλιανὴν ἐπερώτησιν διαλύσηται, ἐγγράψῃ δὲ τῷ διαλυτικῷ ἐγγράφῳ τὸ ὄνομα τοῦ παντοδυνάμου θεοῦ, στέργειν ὀφείλει καὶ μὴ βουλόμενος τὴν διάλυσιν.* Quae quidem de Nov. 72 dicta esse oportet, nisi deperditae Novellae vestigia esse suspiceris. [2] Ita Ecl. rectius ut opinor. Vulgo *προσπαίοντας*. [3] Ecl. *τιμήματος*. [4] Vulgo *ἐκφέρ.* Ecl. veriorem lectionem suppeditavit. [5] Ecl. *κάκιον*. Non male. [6] Sic est in Ecl. Vulgo *θειότ.* [7] Ecl. *τούτων* non habet. [8] Ecl. *συνεγέγραπτο*. Non male.

NOV. LXXIII.

Ut nemo cum mulieribus in ecclesiarum coenaculis habitet[1].

ΔΙΑΤΑΞΙΣ ογ΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Πρᾶγμα κακῶς μὲν καὶ πρὸ τῶν κωλυόντων αὐτὸ δικαίων γινόμενον, χεῖρον δὲ μετὰ τὸ κωλυθῆναι τολμώμενον (φημὶ δὴ τὸ ἐν τοῖς τῶν ἐκκλησιῶν ὑπερῴοις, ἅπερ ὁ πολὺς ἄνθρωπος κατηχούμενα καλεῖν ἔγνω, συνοικεῖν τινας γυναιξὶν) οὐκ ἄξιον παριδεῖν, οὐκοῦν οὐδὲ παροφθήσεται ἡμῖν. ἦν μὲν οὖν αὕτη ἡ τόλμα οὐκ οἶδ᾽ ὅπως ἄχρι τῆς ἕκτης συνόδου ἀτιμώρητος, κατὰ ταύτην δὲ τὴν ἱερὰν σύνοδον[2] τὸ πρᾶγμα ἐπιστασίας ἀξιωθὲν, ἱερεῖς μὲν ὄντας τοὺς τοιούτους οἰκήτορας ἐνόχους ἔδειξε καθαιρέσεως, ἀφορισμὸν δ᾽ ἐπήνεγκε λαϊκοῖς. ἀλλὰ γὰρ οὐκ ἀπέχρησεν εἰς παντελῆ ἐκδίκησιν τῶν ἐκκλησιῶν τὸ ἱερωσύνης ψήφισμα. ἤδη γὰρ τῆς αὐτῆς παραμενούσης τόλμης καὶ καθ᾽ ὃν χρόνον[3] διεῖπε τὰ σκῆπτρα ὁ περιώνυμος ἐν βασιλεῦσι πατὴρ ἡμῶν, ἐδέησε βασιλικὴν χεῖρα καὶ πρόσταγμα τὴν τοιαύτην προπέτειαν τῶν ἱερῶν ἐξελαύνειν οἴκων.

Ὅπερ οὖν καὶ ἀπὸ τοῦ παρόντος κρατεῖν βουλόμενοι, ὁρίζομεν, μηδένα μηδαμῶς μήτε ἱερέα μήτε τῶν ἐκ τοῦ λαοῦ γυναιξὶ συνοικοῦντα ἐν τοῖς λεγομένοις κατηχουμένοις οἰκεῖν. εἰ δέ τις εὑρίσκοιτο τὸν ἅγιον οἶκον οὕτω κοινοποιῶν, τοῦτον μὲν βασιλείῳ χειρὶ ἀτίμως ἐκεῖθεν ἐξωθεῖσθαι, τὸν δὲ παρασχόμενον τὴν κατοίκησιν (εἴτε ἱερεὺς εἴτε τὶς ἕτερος εἴη ὁ τὴν ἐπιτροπὴν τοῦ ναοῦ ἔχων) καὶ αὐτὸν κινδυνεύειν ἕνεκά γε τῆς τοιαύτης καταφρονήσεως καὶ τῶν ἱερῶν κοινοποιΐας τῇ τῆς ἐπιτροπῆς ἀφαιρέσει.

---

[1] Excitatur a Bals. ad syn. Trull. c. 97 (ed. Rhalli II p. 538), Joanne Citri in Resp. (ed. Rhalli V p. 408), Blast. *E*, 15 (ed. Bev. II p. 121). [2] Syn. Trull. c. 97. [3] Codd. *τρόπον*. Emendavit Steph.

NOV. LXXIV.

Ne ante legitimum matrimonii tempus futuris conjugibus benedicatur[1].

ΔΙΑΤΑΞΙΣ οδʹ.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἐπειδὴ ἐν τοῖς περὶ γάμων τῇ τε ἱερᾷ καὶ μεγάλῃ ἕκτῃ συνόδῳ ἐντελλομένοις ἐν τῷ ϟθʹ[2] κανόνι καὶ[3] τοῖς τῷ πολιτικῷ νόμῳ[4] δοκοῦσιν ὑπεναντιότης δοκεῖ ἀναφαίνεσθαι (ἡ μὲν γὰρ ἀπαγορεύει παντελῶς τὴν μεμνηστευμένην ἔτι τοῦ μνηστῆρος ἐν ἀνθρώποις ὄντος πρὸς γαμικὴν ὁμιλίαν ἑτέρῳ συνάπτεσθαι μοιχείας τὸ πρᾶγμα ὁρίζουσα, ὁ δὲ πολιτικὸς νόμος οὐκ ἀξιοῖ τὴν τοιαύτην διάλυσιν οὔτε τοῦ μεγάλου ἐγκλήματος, ἀλλ' ἐπὶ μόνῃ τῇ τῶν ἀῤῥαβώνων καὶ τῶν προστιμήσεων ποινῇ τὴν ἐνοχὴν περιγράφει, εἰ πρωϊαίτερον τοῦ γαμηλίου καιροῦ ἡ ἐπ' αὐτῆς νενομισμένη τελεσθήσεται εὐλογία), ἐπεὶ οὖν τὸ καίριον τῆς ἐναντιότητος ἀκριβὴς λόγος ἐντεῦθεν ὁρᾷ· τὸ γὰρ μετὰ τὴν εὐλογίαν διΐστασθαι, τοῦτο ἂν εἴη μνηστείας ἀληθὴς λύσις· Θεσπίζομεν μὴ τελεῖσθαι τὰς εὐλογίας, πρὶν ἂν ὁ νόμιμος τοῦ γάμου συμφθάσῃ καιρὸς, ὃς ἐπὶ μὲν ἀνδρῶν πεντεκαιδέκατον περιμένει ἔτος, ἐπὶ δὲ γυναικῶν τῷ τρισκαιδεκάτῳ συμπεριγράφεται. οὕτω γὰρ καὶ τὰ τῆς εὐλογίας κατὰ λόγον ἕξει, καὶ ἡ τῶν συνελθόντων διάλυσις τελείου γάμου τυγχάνουσα οὐκ ἐναντιουμένης τῇ ἐκκλησίᾳ καὶ παρὰ[5] τοῦ πολιτικοῦ νόμου τεύξεται κρίσεως.

NOV. LXXV.

Ut qui viginti annorum est, hypodiaconus creari possit[1].

ΔΙΑΤΑΞΙΣ οεʹ.

Ὁ αὐτὸς βασιλεὺς στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ[2].

Εἰ ἐν πολιτικοῖς πράγμασι δογμάτων ἱερῶν παριοῦσα[3] διάταξις πολλάκις πολιτικῶν δογμάτων περὶ τῶν αὐτῶν διατασ-

---

[1] Cf. infra Nov. CIX. [2] Imo c. 98. [3] Codd. καὶ ἐν τῷ ϟθʹ κανόνι ἐν τοῖς. Emendaverunt Agyl. et Beck. [4] Cf. l. 1 sqq. C. de sponsal. [5] Scrimg. περί. Emendavit Steph.

[1] Cf. supra Nov. XVI. [2] Zuich. et Meerm. notant: αὕτη ἀνήρηται τὸ κϛʹ (nobis ιγʹ) κεφ. τῆς ρκγʹ νεαρᾶς καὶ ἐβεβαίωσε τὸν τῆς ἁγίας συνόδου κανόνα ἐν τῷ ιεʹ κανόνι. ἐν βι. τῶν βασιλ. γʹ τί. αʹ κεφ. κϛʹ. ὁμοίως ταύτης τῆς νεαρᾶς φησι ἡ ιϛʹ, ἥτις καὶ ἐκράτησε. [3] Malim προϊοῦσα.

σόντων κυριωτέρα καθίσταται, πόσῳ μᾶλλον αἱ ἱεραὶ ψῆφοι ἐν πράγμασιν οἰκείοις τῶν πολιτικῶν ψηφισμάτων κρατήσουσι; τί οὖν ἐστὶν ὅ φημι; τὸν ὑποδιάκονον ἡ ἕκτη σύνοδος εἰκοστῷ ἔτει ἀποθεσπίζει προάγεσθαι. ταύτῃ πολιτικὸς ἀντιλέγων νόμος πέμπτον ἐπὶ τοῖς εἴκοσι χρόνον συνεπιμετρεῖσθαι παρακελεύεται.

Ἄξιον οὖν ὑπειληφότες εἶναι τῷ ἱερῷ νόμῳ τὴν ἱερὰν ἀκολουθεῖν ἁγιστείαν, θεσπίζομεν καὶ ἡμεῖς, τῷ εἰκοστῷ ἔτει τῆς τοιαύτης τυγχάνειν τοὺς ἀξίους χειροθεσίας.

NOV. LXXVI.

De poena falsum testimonium dicentium sacerdotum[1].

ΔΙΑΤΑΞΙΣ ος'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Τὰ πρὸς τοὺς θεοκήρυκας (λέγω δὲ[2] πρὸς τοὺς θείους ἀποστόλους) ἀναφερόμενα θεῖα θεσπίσματα[3] ἱερεῖς μὴ εὐορκεῖν ἐλεγχομένους ἀπογυμνοῦσι τοῦ ἱεροῦ ἀξιώματος. τῆς πολιτείας οἱ διατάκτορες νόμοι[4] πρὸς τοῦτο τὸ μέρος τῶν πραγμάτων ἐγκύπτοντες τὴν ψευδομαρτυρίαν διχῇ διαιροῦσι, καὶ ἣν μὲν ἂν φωράσωσι προελθοῦσαν ἐπὶ ἐγκλήμασι καθαιρέσει τῶν ψευδομαρτυρησάντων ἱερέων τιμῶνται, τὴν δ' ἐπὶ τοῖς χρηματικοῖς ἀφορίζοντες ἐπί τινα χρόνον, ἀλλ' οὐ καθαιροῦντες τοὺς ἁμαρτόντας κολάζουσιν.

Ἡμεῖς οὖν κελεύομεν, τοῦ ψευδομαρτυρήσαντος ἐνορκίου γινομένου, εἴτε χρηματικὸν τὸ αἴτιον εἴτε ἐγκληματικὸν, καθαιρεῖσθαι τοὺς ἀνιέρους ψευδομάρτυρας, εἰ δ' ὅρκος οὐκ ὤφθη τὸ ψευδομαρτύρημα συγκροτῶν, ἀφορίζεσθαι μὲν ἐπὶ τρισὶν ἐνιαυτοῖς τοὺς ἀληθείας σεμνότητι τὸ ψεῦδος ἐνδῦσαι πειρασαμένους (τὸν δ' ἀφορισμὸν δῆλον ὅτι μοναστήριον, ἐν ᾧ δεήσει αὐτοὺς σὺν ἀκριβεῖ πολιτείᾳ διάγειν, ἐμπιστευθήσεται)· καὶ τῆς

---

[1] Laudat Bals. ad c. 10 Basilii ad Amphil. ed. Rhalli IV p. 128. — Theod. Hermop. quem vocant lib. III tit. 1: ἡ δὲ ος' νεαρὰ τοῦ βασιλέως κυροῦ λέοντος τοῦ σοφοῦ τοὺς ἱερεῖς ψευδομαρτυρήσαντας ἐνόρκως ἐν οἱῳδήτινι δικαστηρίῳ καθαιρέσει καθυποβάλλει. εἰ δὲ ὅρκος [μὴ] ἐπηκολούθησε τῇ ψευδομαρτυρίᾳ, ἐπὶ τρισὶν ἐνιαυτοῖς ἀφορίζει ἐν μοναστηρίῳ. [2] Forte δή. [3] Apost. c. 25. [4] Nov. Justiniani 123 c. 20.

ἐπὶ τῷ ἁμαρτήματι προσηκούσης μετανοίας γεγενημένης εἰς τὴν οἰκείαν αὐτοὺς τάξιν ἀποκαθίστασθαι.

NOV. LXXVII.

De falso [1].

ΔΙΑΤΑΞΙΣ οζ'.

Περὶ πλαστογραφίας [2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἐν πολλοῖς μὲν καὶ ἄλλοις, μάλιστα δὲ ἐν τῷ νομίμῳ ἐδάφει οὐκ ἀνέγκλητον ἡ ἀσάφεια. δεῖ γὰρ οἶμαι, εἴ που καὶ ἄλλοθί που, σκολιᾶς διαπλάσεως ἀμοιρεῖν τὸν λόγον καὶ πρὸς τὸ εὐθὺ ἐναρμόζεσθαι. οὐ γὰρ μυστήρια τοῦ νόμου τὰ θέσμια, ὥστε ἀναχωρεῖν αὐτὰ τῆς τῶν πολλῶν καταλήψεως, ἀλλ', εἴ γε οἷόν τε ἦν, ἐχρῆν μηδένα λανθάνειν ταῦτα, μὴ ἄνδρα, μὴ παῖδα, μὴ γύναιον, ὡς μάλιστα τούτου τῇ πρὸς τὸ ἄμεινον τῶν ἀνθρώπων ἀγωγῇ καὶ τῇ τοῦ βίου λυσιτελείᾳ συνεπιλαμβάνοντος. διὰ τοῦτο ἡμῖν κατ' ἐκεῖνο τὸ μέρος [3] τῶν νομίμων ἐπιστήσασι κεφαλαίων, ἐν ᾧ λέξεσιν αὐταῖς, ὥσπερ ἐπ' αὐτῷ τούτῳ τοῦ νομοθέτου λαθεῖν ζητοῦντος ὅ τι καὶ λέγοι, οὕτω διείληπται· ὁ πλαστογράφος ἐπὶ μεγίστῳ ἁμαρτήματι ἀποτέμνεται· τούτου δὴ τοῦ μεγίστου ἁμαρτήματος, ὁποῖόν ποτε καὶ ὑπείληφεν ὁ νομοθέτης αὐτὸ [4], ἀδήλου ὄντος καὶ πρὸς τὸ ἀόριστον ἀποτέμνοντος τὸν νοῦν· συνείδομεν αὐτοὶ σαφῆ τινα καὶ ὡρισμένην τῷ λόγῳ δοῦναι χώραν.

Θεσπίζομεν [5] τοίνυν τὸν τοιαῦτά τινα πλαστογραφήσαντα, δι' ὧν τὸ πλαστογράφημα ἰσχὺν λαμβάνει θανάτῳ ὑπάγειν τὸν [6] καθ' οὗ συνεπλάσθη, αὐτὸν παραδιδόμενον [7] τῇ τιμωρίᾳ, ἣν καθ' ἑτέρου ἐσκέψατο παλαμήσασθαι, ἀποτέμνεσθαι [8].

---

[1] Ecl. Nov. 39. Cf. Bas. ed. Heimb. I p. 705, V pag. 799. [2] Rubricam Codd. non habent; supplevi ex Ecloga. [3] Omnes *βάρος*, quod ferri non potest. Intelligitur autem l. 22 C. ad l. Cornel. de falsis. [4] Ita Zuich. et Meerm. Scrimg. *αὐτός*. [5] Inc. Ecloga. [6] In Basil. *τὸν* deest. [7] Ecl. *παραδίδοσθαι — καὶ ἀποτέμνεσθαι*. [8] Cf. ad hanc Nov. quae Osenbrüggen exposuit in Praef. p. VIII.

NOV. LXXVIII.

Ne amplius senatusconsulta fiant.

ΔΙΑΤΑΞΙΣ οη΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ὥσπερ καὶ ἐφ᾽ ἑτέρων ὧν μὴ πρὸς χρείαν τὰ πράγματα καθίστατο νόμων[1] ὤφθημεν πεποιηκότες, τουτέστι τοῦ νομίμου ἐδάφους τὸ περιττὸν ὑπεξαιροῦντες, οὕτω κἀνταῦθα ποιοῦντες τὸν εἰσάγοντα νόμον[2] πρὸς νομοθεσίαν[3] τὴν σύγκλητον τῆς ἐν τοῖς νόμοις συμπολιτείας θεσπίζομεν διακρίνεσθαι. τῶν γὰρ πραγμάτων ἀχρηστίαν αὐτοῦ καταγνόντων, ἐξ οὗ τὸ[4] μόναρχον κράτος τὴν τούτων ἀνῆπται διοίκησιν, καὶ ἄκαιρον καὶ μάταιον τὸν ἄχρηστον μετὰ τῶν χρείαν παρεχομένων συντάττεσθαι.

NOV. LXXIX.

De poena sacerdotis, diaconi aut subdiaconi, si post assumtum ordinem mulieri in matrimonium jungatur[1].

ΔΙΑΤΑΞΙΣ οθ΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Τὰ ἅπαξ ἀνατεθειμένα τῷ θεῷ ἀναφαίρετα δεῖν εἶναι τεθέσπισται[2], καὶ τοῦτο οὐ μόνον ἐπὶ κειμηλίων ἀνιερουμένων, ἀλλὰ πολύ γε καὶ μᾶλλον ἐπ᾽ ἀνθρώπων, οἷς διὰ τοῦ κλήρου προσγένηται ἡ πρὸς τὸ θεῖον ἀνάθεσις, κἂν (οἷα πολλὰ τὰ ἀνθρώπινα πταίσματα) τῆς τάξεως, ἐν ᾗ διαπρέπειν κατεκληρώθησαν, ἡ τύραννος αὐτοὺς ἐξωθήσοιεν ἁμαρτία.

Οὐκ ἀποδεχόμενοι οὖν τῆς προαιρέσεως τὸν παλαιὸν νομοθέτην[3], ὃς βούλεται πρεσβύτερον ἢ διάκονον ἢ ὑποδιάκονον μετὰ τὴν ἐπ᾽ αὐτῷ χειροθεσίαν συναψάμενον γυναικὶ[4] παντε-

---

[1] Ita edo ex conj. Georg. d'Arnaud. Codd. *καθίστα τὸν νόμον*. [2] Intelligitur l. un. C. de SC. [3] Scrimg. *προνομοθεσίαν*. Emendavit Steph. [4] Vulgo *τὸν*.

[1] Allegat Bals. ad syn. Trull. c. 6. 21 (ed. Rhalli II p. 319. 353) et ad syn. Neocaes. c. 9 (ed. Rhalli III p. 86) et ad Nicolai respons. 8 (ed. Rhalli IV p. 424), nec non Blast. *Γ*, 4 (ed. Bev. II p. 62). [2] Bals. *καθίσταται*. — Indicatur Nov. 123 c. 27. [3] Indicatur Nov. Justiniani 6 c. 5. [4] Bals. *συναφθέντα* vel *συναπτόμενον γαμετῇ*.

λῶς τοῦ κληρικοῦ[5] *ὑπεξίστασθαι σχήματος καὶ πρὸς τὸν λαϊκὸν βίον ἐπαναστρέφεσθαι, ἀκυροῦμεν*[6] *τὸ δόγμα, θεσπίζομεν δὲ μόνῃ τῇ ὑποχωρήσει τῆς τάξεως, ἐφ᾽ ᾗ πρὸ τοῦ γάμου ἐγνωρίζοντο, ἀρκεῖσθαι τὴν δίκην αὐτοῖς, τοῦ δὲ κληρικοῦ σχήματος καὶ τῆς ἄλλης ἐν ταῖς ἐκκλησίαις ὑπερησίας, ἧς ἐφάπτεσθαι οὐκ ἀθέμιτον, μὴ παντάπασι τὴν ἀλλοτρίωσιν καταδικάζεσθαι.*

NOV. LXXX.

Ut purpurae segmenta et particulae in publicis mercimoniis sint.

ΔΙΑΤΑΞΙΣ π΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Οὐκ οἶδα ὅπως οἱ ἄνω τοῦ χρόνου τὴν ἁλουργίδα στολισάμενοι αὐτοκράτορες εἰς τὸ τοιαῦτα νομοθετεῖν κατέστησαν[1], *ὥστε μηδαμῶς ἁλουργόν τι μέρος ὤνιον γίνεσθαι μήτε συγχωρεῖν τινι τοιοῦτον πιπράσκειν ἢ ἐξωνεῖσθαι χρῶμα. τὸ μὲν γὰρ ὁλόκληρον ὕφασμα ἀπεμπολεῖσθαι κωλύειν, τάχα φέρει τινὰ οὐκ ἄλογον*[2] *πρόφασιν τῷ νομοθετήματι, τμῆμα δὲ καὶ μερὶς βραχεῖα ὠφέλειάν τινα καὶ χρείαν οὐχ ὑπερκειμένην τῷ τε πιπράσκοντι καὶ τῷ ἀγοράζοντι παρεχόμενα, ταῦτα δὴ κωλυόμενα τίνα εὐπρεπῆ αἰτίαν καὶ φθόνου τῶν ὑπηκόων καθαρεύουσαν τῇ τοῦ νομοθέτου συστάσει*[3] *γνώμῃ; ποία γὰρ ἐκ τούτων πρὸς τὸ ὑπερέχον τῆς βασιλείου δόξης ἢ ἐναντίωσις ἢ κοινότης ἀπαντᾷ;*

Οὐκ ἀρεσκόμενοι τοίνυν τῷ δόγματι διοριζόμεθα ἡμεῖς τὰ ἁλουργὰ μέρη καὶ τμήματα, σεμνοπρεπείας μοῖραν παρεχόμενα τοῖς ὑπηκόοις ἢ χρείαν ἄλλην οὐκ ἀπηγορευμένην, καὶ ἀπεμπολεῖσθαι καὶ ἀγοράζεσθαι. δεῖ γὰρ μετὰ τοῦ καὶ ἄλλως εὐεργετεῖν τὸ ὑπήκοον μηδὲ σεμνοπρεπείας φθονεῖν αὐτοῖς τὴν βασιλείαν.

---

[5] Bals. et Blast. *τοῦ τοιούτου ὑπεξ.* Non male. [6] Ita ex Bals. et Blast. reposui. Vulgo *ἀκυροῦσθαι.*

[1] Videatur l. 1 C. quae res venire non poss. l. un. C. de vestib. holov.
[2] Codd. *εὔλογον.* Emendavit Steph. [3] Agyl. *συστήσει.*

NOV. LXXXI.

Ne ex auro et pretiosis lapillis quidquam confici in universum prohibitum sit.

ΔΙΑΤΑΞΙΣ πα΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Καὶ τοῦτον δὲ τὸν νόμον[1], *ὃς ἁπλῶς ἀφαιρεῖται τὴν ἐξουσίαν τοῦ ἐκ χρυσοῦ καὶ λίθων δρᾶν τι κατασκεύασμα, ἐπὶ μόνοις δὲ τοῖς γυναικείοις κοσμίοις καὶ τὴν οὕτω καλουμένην*[2] *δακτυλίων τὴν κατασκευὴν ὁρίζει, τῆς αὐτῆς ὄντα κατανοήσαντες προαιρέσεως τῷ περὶ ἁλουργίδος διαλαμβάνοντι, εἰς τὴν αὐτὴν ἐκείνῳ χώραν τιθέαμεν. οὐ γὰρ ἁπλῶς ἐχρῆν τὴν ἐκ τῆς ὕλης τοῦ χρυσοῦ χορηγίαν εἰς τὴν ἐργασίαν κωλύειν, ἀλλὰ τὰ εἴδη τῶν ἔργων, ἐπεὶ τό γε καθόλου*[3] *ἐκ χρυσοῦ καὶ λίθου ἀπαγορεύειν ἐργάζεσθαι πλεονεξία σαφής*[4]*· τὸ δὲ καὶ βαρεῖαν οὕτω ποινὴν ὑπέχειν τὸν ἁλισκόμενον ἐφ᾽ ὁτῳοῦν παραβάντα τὸν νόμον (φημὶ δὴ τὴν τῶν ρ΄ λιτρῶν ἔκτισιν καὶ προσθήκην ἐπὶ τούτῳ τῆς κεφαλῆς τὴν ἀφαίρεσιν), τίς λόγος τὸ μὴ οὐχὶ κορυφαῖον εἶναι βιαίου τὸν νόμον παραιτήσεται; ἐῶ δὲ τὴν ἄλλην ἀτοπίαν, ὁπόσην καὶ καθ᾽ ἱερῶν κειμηλίων ἐνδείκνυται καὶ ἄλλων τινῶν ἡ ἐργασία ποινῆς*[5].

Ἡμεῖς οὖν γινώσκομεν οὐχ ἁπλῶς κωλύεσθαι τὸ ἐκ χρυσοῦ καὶ λίθων ἔργον ποιεῖν, ἀλλ᾽ ἐκεῖνα τὰ κατασκευάσματα, ἃ μόνοις ἐφεῖται βασιλεῦσι, καὶ ὧν ἡ χρῆσις πρὸς τὸν ὄγκον τῆς βασιλείας καὶ τὴν ταύτης χρείαν ὁρᾷ. εἰ δέ τις ἢ κειμήλιον ἱερὸν ἢ ἕτερόν τι οὐκ ὂν ἰδιωτικῆς ἀξίας καὶ τιμῆς ὑπερκείμενον[6] *δύναιτο ἐργάζεσθαι, ἀνέγκλητον τὴν ἐπὶ τῷ ἔργῳ ἐχέτω προαίρεσιν.*

---

[1] Intelligitur l. un. C. nulli licere in frenis. [2] Malim *τῶν οὕτω καλουμένων*. [3] Codd. *καθά*. Steph. et Agyl. *καθαρῶς*, Beck *καθάπαν*. Sed *καθό* legendum est *καθόλου*. [4] Ita Zuich. et Meerm. Scrimg. *σαφῶς*. [5] Aliquid deesse asterisco apposito indicavit Steph. Legerim *ποινῇ ὑποκειμένῃ*. [6] Ita ex conj. Agylaei. Codd. *ὑποκείμ*.

NOV. LXXXII.

De testamento resignato apud praesidem[1].

ΔΙΑΤΑΞΙΣ πβʹ.

Περὶ τῆς ἀσφραγίστου διαθήκης παρὰ τοῦ ἄρχοντος.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Πολλὰ τῶν πραγμάτων κατά τινα τύχης περιπέτειαν εἰς γένεσιν ἥκοντα ἀβασανίστῳ μὲν κρίσει αἰτίαν ἐγκλήματος ἀποφέρεται, τυχόντα δὲ συνεπισκέψεως ἀφείθη τοῦ αἰτιάματος. οἷόν τι λέγω; πολλάκις οὐκ ἐκ προνοίας ἀλλὰ τυχηρά τις ἦλθεν βολὴ σιδήρου ἢ λίθου εἰ τύχοι ἐπί τινα· αὕτη σὺν μὲν ἀπερισκέπτῳ κρίσει ὑπαίτιον τὸν βαλόντα ποιεῖ, ὑπ' ἐξέτασιν δὲ τεθεῖσα καὶ βάσανον οὐχ εὑρίσκει πρόφασιν εὔλογον εἰς αἰτίαν περιβολῆς[2]· ὥστε ἐφ' ὧν ἡ σύμβασις τυχηρὰ, ἐκ τῶν ἔξωθεν εἰκότων λογισμῶν μᾶλλον ἢ ἐκ τοῦ πράγματος ἄξιον τὸ ζητούμενον διαιτᾶν. διὰ τί οὖν εἴρηται ταῦτα; ἐπειδὴ ἐνίοτε χρείας καλούσης ἀναπτυσσομένη διαθήκη καταλιμπάνεται οὕτω συμβαίνοντος ἀσήμαντος εἰς τὸ ἔπειτα, ἢ καὶ τοῦ χρόνου (οἷα φιλεῖ) τὴν σφραγῖδα εἰς ἀφανισμὸν περιστήσαντος ἐρήμη τῆς ἐκ τοῦ ἐσφραγίσθαι γίνεται πίστεως, ἐκ τούτου δὲ ἀμφιβολία τὶς ἐνεδρεύει ταῖς τοιαύταις διατάξεσιν, ἡμῖν ἔδοξεν ἑτέρῳ τρόπῳ βοηθουμέναις εἰς πίστιν αὐταῖς συνεπιλαβέσθαι.

Διὰ[3] τοῦτο κελεύομεν, κἂν μὴ τῆς σφραγῖδος ἡ σωτηρία περίεστι τῇ διαθήκῃ, εἰ[4] τὴν ἀξιοπιστίαν αἱ ὑπογραφαὶ δύναιντο προσμαρτυρεῖν, μὴ διαμαρτάνειν τοῦ εἶναι βεβαίαν αὐτήν. ὥσπερ γὰρ τὰς οὔπω[5] ἀναπτυχθείσας διατάξεις αἱ ὑπογραφαὶ κυροῦσι κἂν ὡς εἰκὸς τῇ σφραγῖδι τὸ ἀδιάφθορον μὴ σώζοιτο, οὕτω καὶ τὰς μετὰ τὸ ἀνεπτύχθαι[6] ἢ ἀσφραγίστους διαμεῖναι λαθούσας ἢ τὴν ἐκ τῶν σφραγίδων ἀσφάλειαν τῷ χρόνῳ συληθείσας ἡγούμεθα δίκαιον εἶναι καὶ ἐκ μόνης τῆς ἐκμαρτύρου ὑπογραφῆς μὴ στερίσκεσθαι πίστεως. ἐκεῖνο μέντοιγε προσεπιθεσπίζομεν, ὡς, εἰ τοῦ κριτοῦ ὀλιγωρίᾳ εἰς το ἀσφράγιστον ἡ διαθήκη περισταίη, ποινὴν αὐτῷ τῆς ὀλιγωρίας δυοκαίδεκα λιτρῶν ἔκτισιν[7] ἐπιτίθεσθαι.

---

[1] Ecl. Nov. 40. Harm. V, 1, 7. [2] Agyl. legi vult: *εἰς αἰτίας περιβολήν*. [3] Ecl. incipit. [4] Codd. et Ecl. *εἰ.* Emendavit Cujacius. [5] Codd. et editi: *οὕτω*. [6] Ecl. *ἀναπτύχεσθαι* vel *ἀναπτύσσεσθαι*. [7] Ecl. *ἔκθεσιν*.

NOV. LXXXIII.

Ut ad trientes usuras pecunia licite mutuetur.

ΔΙΑΤΑΞΙΣ πγ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Καλὸν μὲν ἦν καὶ σωτήριον τοῖς τοῦ πνεύματος νόμοις ῥυθμιζόμενον τὸ ἀνθρώπινον μηδὲν ἀνθρωπίνης προσδεῖσθαι παραγγελίας. ἐπεὶ δὲ πρὸς τὸ ὕψος τοῦ πνεύματος οὐκ ἐστὶ παντὸς ἐπαρθῆναι οὐδὲ τοῦ θείου νόμου τὸ ἀπήχημα δέξασθαι, ἀλλ' εὐαρίθμητοι πάνυ οὓς ἐκεῖ ἄγει τῆς ἀρετῆς ἡ ἀνάβασις, ἀγαπητὸν, εἰ καὶ κατὰ νόμους ἀνθρωπίνους βιώσειε. τοὺς λεγομένους τῶν δανείων τόκους πανταχοῦ τοῦ πνεύματος ἡ ψῆφος ὑπὸ κατάκριμα τίθεται, καὶ τοῦτο συνιδὼν ὁ ἀείμνηστος ἡμῶν βασιλεὺς καὶ γονεὺς τὴν καταβολὴν τῶν τόκων οἰκείῳ διέγνω κωλύειν θεσπίσματι[1]. γίνεται οὖν τοῦτο δι' ἄρα πενίαν[2] ὑπόθεσις οὐ πρὸς τὸ ἄμεινον, ὅπερ ἦν σκοποῦ τῷ νομοθέτῃ, πρὸς δὲ τὸ χεῖρον φέρουσα. οἱ γὰρ πρὶν ἐλπίδι τῶν τόκων πρὸς τὸ δάνειον πρόθυμοι, τεθέντος τοῦ νόμου τὸ μηδὲν δύνασθαι[3] κέρδος ἐξάγειν ἐκ τοῦ δανείσματος ἀφιλάνθρωποί τινες καὶ ἀμείλικτοι πρὸς τοὺς δεομένους τῆς τοιαύτης φιλανθρωπίας καθίστανται. οὐ μὴν ἀλλὰ καὶ ὅρκων προβλήσεις καὶ κατὰ τὸ εἰκὸς ἀθετήσεις ἐντεῦθεν ὁρῶνται αἰτίαν λαμβάνοντα, καὶ ἁπλῶς διὰ τὴν ἐπιπολάζουσαν ἐν βίῳ κακίαν ἡ ἀρετὴ τοῦ νόμου οὐ μόνον οὐκ ὤνησεν, ἀλλὰ καὶ προσεζημίωσεν.

Οὐκ ἔχοντες αἰτιᾶσθαι τὸν νόμον ἐκ τῶν οἰκείων (μὴ γένοιτο), διὰ τὸ ὥσπερ εἶπον μὴ ἐφικνεῖσθαι τοῦ ὕψους αὐτοῦ τὸ ἀνθρώπινον τὸ καλὸν παύομεν ὅρισμα, ἀνθορίζοντες ἐπὶ τόκῳ τὴν χρῆσιν τῶν δανείων προέρχεσθαι, καθὼς τοῖς παλαιοτέροις ἔδοξε νομοθέταις, φημὶ δὴ τῷ λεγομένῳ ἀπὸ τρίτης ἑκατοστῆς, ὅπερ ἐστὶ κεράτιον ἓν ἐφ' ἑνὶ ἑκάστῳ νομίσματι ἀνὰ πᾶν ἔτος τοῖς δανεισταῖς εἰς κέρδος γινόμενον.

---

[1] Prochir. XVI, 14. [2] Haec corruptissima sunt: Steph. *πενίας*, Agyl. *διὰ πενίαν* legendum esse conjecit. Interim *τούτῳ* pro *τοῦτο* lege. [3] Scrimg. *ονεσθαι*, quod Steph. in *δύνασθαι* mutavit. Zuich. et Meerm. *οἴεσθαι*. Forte *τῷ μηδὲν — οἴεσθαι.*

NOV. LXXXIV.

Ut emere et aedificare liceat magistratibus in urbe, similiterque extra urbem, praeterquam duci[1].

ΔΙΑΤΑΞΙΣ πδ'.

Περὶ τοῦ ἀγοράζειν τοὺς ἄρχοντας τοὺς ἐν τῇ πόλει καὶ νεουργεῖν, ὁμοίως καὶ τοὺς[2] ἔξω πλὴν στρατηγοῦ.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Τὰ περὶ ἀρχόντων τοῖς πρὸ ἡμῶν δεδογμένα[3], λέγω δὴ ὥστε τοὺς τῆς βασιλίδος πόλεως ἄρχοντας μήτε τὶ τῶν ἐν κινήσει μήτε τῶν οὐ κινητῶν ἀγοράζειν, μήτε μὴν οἰκοδομεῖν προάγεσθαι βασιλικοῦ μὴ ἐπιτρέψαντος νεύματος· ἔτι δὲ μηδ' εἴ τις προβαίη δωρεὰ ἐν τῷ τῆς ἀρχῆς χρόνῳ, μηδὲ ταύτην τὸ βέβαιον ἀποφέρεσθαι, πλὴν εἰ μὴ μετὰ τὴν τῆς ἀρχῆς ἀποκίνησιν ἐγγράφῳ κυρώματι ὁ τὴν δωρεὰν πεποιημένος αὐτὴν ἐπιῤῥώσῃ ἢ πέμπτον ἔτος μετὰ τὴν τῆς ἀρχῆς ἀπόθεσιν παρελάσῃ· ταῦτα εἰ καὶ ὅσον πρὸς ἀκρίβειαν τοῦ μὴ χώραν εὑρίσκειν τὴν βίαν εὐλόγως διώρισται, ἀλλ' ἐπεὶ καὶ δι' ἑτέρου τρόπου τῇ βίᾳ τὴν πάροδον εὔπορον ἀποκλείειν, οὐκ ἀναγκαῖα ἡμῖν καταφαίνεται. τοιγαροῦν καὶ πεπαῦσθαι ταῦτα βουλόμεθα, μάλιστά γε ὅτι ἐξ ὧν μηδὲ τιμὴ ἔτυχεν, ὅσαι ἡμέραι ἀνεκδικήτου τῆς παραβασίας αὐτῶν ἀφιεμένης, καὶ πρὸ τοῦ δόγματος ἡμῶν οὐκ ἔφερε τὴν ἐνέργειαν. πῶς οὖν οὐκ ἀναγκαῖα; ὅτι παντὶ, καὶ πλουσίῳ καὶ πένητι, τοῖς κατὰ τήνδε τὴν πόλιν ἀναπεπετασμένης τῆς βασιλικῆς ἐντεύξεως καὶ ἐπιδεήσεως, ἔξεστι τῷ εἴ τις βίαιον[4] ὑπομένοι, διὰ τοῦ βασιλέως ἐπιδεηθῆναι μὴ πάντως ὑπὸ τούτου βιάζεσθαι βουλομένου καταπεπονῆσθαι. ὥστε τίς ἀνάγκη, ὥσπερ ἐν χώρᾳ πάσης ἐρήμῃ βοηθείας, ἐν πόλει, οὗ ἄφθονος ἡ βοήθεια, τοσαύτην ἀκριβολογίαν ποιεῖσθαι;

Θεσπίζομεν[5] οὖν, κατὰ τὴν νῦν κρατοῦσαν τῶν πραγμάτων κατάστασιν καὶ ἀγοράζειν[6] καὶ κτίζειν τοὺς ἄρχοντας, καὶ ἐπὶ ταῖς ἐκ προαιρέσεως δεξιώσεσιν ἀνεγκλήτους εἶναι, ὡς οὐκ ἀπο-

---

[1] Ecl. Nov. 41. Cf. Harm. III, 3, 7. Theod. Hermop. quem vocant, lib. VI tit. 3: *ἡ δὲ πδ' νεαρὰ τοῦ βασιλέως τοῦ φιλοσόφου τοῖς ἐν κωνσταντινουπόλει ἄρχουσιν ἐπιτρέπει καὶ κινητὰ καὶ ἀκίνητα ἀγοράζειν.* [2] Codd. *τοῖς*. [3] Cf. l. un. C. *de contract. judic.* [4] Steph. *τι* addere jubet. [5] Ecl. incipit. [6] Scrimg. *ἐργάζειν*.

ρούντων τῶν ὑφισταμένων τὸ βίαιον, ὁπότε τὶ συμβαίη τοιοῦτον, εἰς ἀποφυγὴν διὰ τῆς πρὸς βασιλέα ἐπιβοήσεως[7]. περὶ δὲ τῶν κατ᾽ ἐπαρχίας ἀρχόντων ἐκεῖνο προσδιορίζειν ἐγνώκαμεν, τὸ τὸν στρατηγὸν μήτε ἀγοράζειν, μήτε τὶ τῶν εἰς ἰδίαν ἀπόλαυσιν ἐν τῷ καιρῷ τῆς στρατηγίδος οἰκοδομεῖν[8] τιμῆς, μήτε πρὸς δωρεᾶς οἰκείωσιν ἀκωλύτως ἔχειν· τοὺς δ᾽ ἄλλους ὑποβεβηκότας ἄρχοντας, ἀναφερομένου τῷ στρατηγοῦντι τοῦ πράγματος σὺν τῇ ἐκείνου διαγνώσει ἢ ἀπείργεσθαι ἢ περαίνειν τὴν διοίκησιν.

NOV. LXXXV.

Ut patres secundis nuptiis abstinentes portionem capiant[1].

ΔΙΑΤΑΞΙΣ πε΄.

Περὶ τοῦ τοὺς μὴ διγαμήσαντας πατέρας λαμβάνειν μοῖραν[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἐπεὶ περὶ τῶν ἐπὶ παισὶν ὀπίσω καταλειπομένων τῶν ὁμοζύγων οὐδὲν ἐπεσημηνάμεθα πατέρων περὶ τοῦ ὑποβόλου, τοῦτο δὲ καὶ προλιποῦσαι[3] τὸν βίον αἱ γαμεταὶ λαμβάνουσι δωρουμένης τῆς συνηθείας, οὐδέν τι κατὰ τοῦτο καινοτομεῖν ἡμεῖς τὴν συνήθειαν διαγνόντες, ὁρίζομεν, καθάπερ καὶ μέχρι τοῦδε νενόμισται, δίδοσθαι ταῖς γυναιξὶ τὸ ὑπόβολον, τοῖς δὲ ἀνδράσι πρὸς μὲν δευτέραν ἐλθοῦσι γαμικὴν συζυγίαν μηδὲν ἐξεῖναι λαμβάνειν, τιμῶσι δὲ τὴν πρώτην συνάφειαν δῶρον τῆς τοιαύτης τιμῆς ἀφορίζεσθαι τούτοις μοῖραν παιδός. ταύτην δὲ τὴν μοῖραν ἐκλογισμῷ ὑποβάλλεσθαι, κἂν μὲν φαίνοιτο ἐπ᾽ ἴσον φθάνουσα τῷ ὑποβόλῳ ἢ ὑπερεκτεινομένη, ἐξαρκεῖσθαι ἐπὶ ταύτῃ τὸν λαμβάνοντα, διὰ τὸ πάντως ἢ κερδαίνειν ἢ μηδεμίαν ζημίαν ὑφίστασθαι· εἰ δ᾽ οὐκ ἐξικνεῖται ἡ μοῖρα, ἀλλ᾽ ἐνδεῖ τοῦ ὑποβόλου, μήτε τὶ τῶν οἰκείων ὁ ἀνὴρ διδότω, μήτε τῶν τῆς γυναικείας ὑπάρξεως[4] ἀντιλαμβανέτω.

---

[7] Scrimg. *ἐπιβιώσεως*. Steph. conjecerat *ἐπιδεήσεως*. [8] Ita recte Beck. Codd. et Ecl. *οἰκονομεῖν*.

[1] Ecl. Nov. 42. Harm. IV, 13, 7. [2] Zuich. et Meerm. notant: *αὕτη ἐξεφωνήθη ὑπὲρ οὗ νόμος οὐκ ἦν*. [3] Steph. legi vult *προλιποῦσι*. [4] Ecl. *τῆς γυναικὸς ὑπάρξεων*.

NOV. LXXXVI.

De poena episcoporum, sacerdotum et clericorum, qui se advocationibus, sponsionibus, redemturis aliisve similibus dedunt[1].

ΔΙΑΤΑΞΙΣ πϛʹ.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Τοὺς πρὸς τὸ θεῖον καὶ ἱερὸν βῆμα ὑπὸ τῆς θείας ἀγαθότητος ἐξειλεγμένους οὐ μόνον τῆς ἄλλης αἰσχρότητος τῆς ἁμαρτίας ἄξιον καθαρεύειν, ἀλλὰ καὶ τῆς ὁπόση τοῖς κοινοῖς καὶ βιωτικοῖς ἐπισυνέστηκε πράγμασιν ἀηδίας. ὥσπερ γὰρ οὐκ ἔξεστι τὰ ἄλλα τῆς ἀχράντου καὶ ἱερᾶς ἁγιστείας κειμήλια διὰ τῆς κοινῆς καθυβρίζεσθαι χρήσεως, τὸν αὐτὸν τρόπον οὐδὲ τοῦ ἀχράντου θυσιαστηρίου τὰ ἔμψυχα κειμήλια κοινοποιεῖσθαι προσήκει τῇ κοινῇ συγχρήσει, ἀλλὰ μένειν ἐν ᾗ ἀφιέρωνται τάξει τὴν ἀφιέρωσιν ἄχραντον σώζοντα. λίαν ἄρα ἱεροπρεπῶς ἡ τῶν θεοκηρύκων ἀποστόλων ψῆφος[2] τοὺς συνηγορίαις ἢ ἐγγύαις ἢ μισθώσεσιν ἢ τοῖς ἄλλοις παραπλησίοις προσνέμοντας ἑαυτοὺς ἐπισκόπους ἢ ἱερεῖς ἢ κληρικοὺς τῆς ἱερᾶς ἀπογυμνοῖ τάξεως. οἱ γὰρ τὴν παρὰ τοῦ παναγίου πνεύματος διδομένην αὐτοῖς τιμὴν οὕτω περιυβρίζοντες καὶ τὸ ἑαυτῶν μέρος τὸ ὕψος ταπεινοῦντες τῆς χάριτος, δικαίως οἷα τῆς εὐεργεσίας ἀνάξιοι, ἧς τὸ μέγεθος οὐκ αἰσθάνονται, τὴν ἀφαίρεσιν κατακρίνονται. πλὴν ἀλλ' ἐπειδὴ πρὸς τὴν ἀκρότητα τοῦ πολιτεύματος τῶν θείων ἐκείνων νομοθετῶν ὁ παρὼν βίος ἐντείνεσθαι ἀτονώτερος, ἐν οἷς οὐκ ἀσύγγνωστον[3] τὸ ἁμάρτημα, οἶμαι οὐκ ἔσται αὐτοῖς ἀπαρέσκον μετρίαν τινὰ δοῦναι συγγνώμην τοῖς σφαλλομένοις.

Διὰ τοῦτο ἡμεῖς οὐκ ἀντινομοθετοῦντες (ἄπαγε), ἀλλὰ μᾶλλον τῷ ἱερῷ θεσπίσματι συνεπόμενοι, καὶ ὥστε μηδὲ πρόφασιν ἀπολογίας περιλείπεσθαι τοῖς ὑπ' αὐτοῦ καταδικαζομένοις, ὁρίζομεν, τοὺς τὴν οἰκείαν τάξιν ἀρχιερεῖς ἢ ἱερεῖς ἢ ὅλως τινὰ κληρικὸν διὰ συνηγορίας ἢ ἐγγύης ἢ τῶν τοιούτων τρόπων ἀθετοῦντας ἀφορίζεσθαι καὶ σχολάζειν ἐπί τινα χρόνον τοῦ τὰ θεῖα ἐνεργεῖν· καὶ οὕτως ἀξίαν τοῦ ἁμαρτήματος ἐπιδεδειγμένοι μετάνοιαν εἰς τὴν τῶν θείων μεταχείρισιν εἰσαγέσθωσαν, ἀκοί-

---

[1] Laudat Bals. ad Phot. VIII, 13 (ed. Rhalli I p. 159) et ad syn. Chalced. c. 4 (ib. II p. 224), et Blast. *K*, 32 (ed. Bev. II p. 167). [2] Apost. c. 6. 81. [3] Codd. *ἄγνωστον*. Emendavit Steph.

νους[4] ἑαυτοὺς ἐκ τῆς βιωτικῆς συγχρήσεως πρὸς τὰ ἔπειτα πάσῃ δυνάμει συντηρεῖν καθομολογήσαντες. εἰ δὲ πάλιν τοῖς αὐτοῖς φωραθεῖεν καταχραινόμενοι, τέλεον ὡς ἀνίεροι καὶ ἀνάξιοι τῆς ἱερᾶς ἐνεργείας ἀποπαυέσθωσαν.

NOV. LXXXVII.

De ecclesiasticorum alea ludentium poena[1].

ΔΙΑΤΑΞΙΣ πζ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Οὐδ' ὅσοι τῆς ἱερᾶς τάξεως κύβοις σχολάζουσιν, οὐδ' οὗτοι πρᾶγμα τολμῶσι μετρίας τινὸς ἄξιον δίκης. πῶς γάρ; οἵ γε ὀφείλοντες συντεταγμένῃ διανοίᾳ καὶ ἀμετακινήτῳ νοῒ τῆς πρὸς τὸ θεῖον ἐνατενίσεως ὅσον ἀνθρωπίνῃ δυνατὸν φύσει ἀχώριστοι τοῦ ἀγαθοῦ διαμένειν· οἱ δὲ ἀντὶ τούτου καὶ μειρακιώδεις ἐπείγονται[2] παιδίας. καὶ τούτους οὖν κατὰ τὸ θεόκριτον τῶν θείων ἀποστόλων ψήφισμα[3] ἔνδικον τῆς ἱερατείας ἀποτέμνεσθαι.

Πλὴν ἐπείπερ κἀκεῖνο φιλανθρώπως κελεύει προσδιορισάμενον μὴ παυομένους ὑφίστασθαι τὴν ποινήν, ὁρίζομεν καὶ ἡμεῖς, τοὺς ἐν τῷ κυβεύειν τὴν ἱερὰν λῆξιν κιβδηλεύοντας ἐν μοναστηρίοις περιορίζεσθαι (τὴν δὲ τοιαύτην περιόρισιν ὁ τριετὴς ἐκμετρείτω χρόνος), καὶ ἀποχρώσης τῷ πταίσματι ὀφθείσης τῆς θεραπείας ἀποδίδοσθαι καὶ τούτοις τὴν προτέραν χώραν· εἰ δ' αὖθις ἐν τοῖς παικτοῖς[4] ἀγαπῷεν ἐμματαιάζειν, οἷα δὴ ἀθύρματα[5] τῆς παναγοῦς τῆς ἐκκλησιαστικῆς καταστάσεως παντελῶς ἐξωθεῖσθαι καὶ ἀποβάλλεσθαι.

---

[4] Forte ἀποίνους.

[1] Laudat Bals. ad Phot. XIII, 29 (ed. Rhalli I p. 329) et Blast. K, 35 (ed. Bev. II p. 168). [2] Steph. aut ἐπάγονται aut εἰς μειρ. legendum esse censet. Fortasse pro καὶ reponendum est κατά. [3] Apost. c. 42. 43. [4] Vulgo πακτοῖς. Emendavit Cotelerius. [5] Steph. et Agyl. καθάρματα scribi volunt. In mentem venerat οἷα δὴ ἀνθρώπινα, sed ἀθύρματα defendi potest, si cum sequenti τῆς παναγοῦς jungatur.

NOV. LXXXVIII.

Celebribus quibusdam in ecclesia viris festi dies constituuntur[1].

ΔΙΑΤΑΞΙΣ πη΄.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Τῷ σεβασμίῳ τῶν σεπτῶν ἀποστόλων θεσπίσματι[2] πρὸς δόξαν καὶ τιμὴν ἐκπεφωνημένῳ τῶν τε ἱερωτάτων ἡμερῶν, αἳ τὸ ἑορτάζειν ἡμῶν τῷ τῶν ὅλων δεσπότῃ κομίζουσι, κἀκείνων δὲ, ὅσαι τάς τε αὐτῶν τούτων τῶν ἀοιδίμων νομογράφων καὶ τῶν ἄλλων καλλινίκων ἀγωνιστῶν οἳ σφαγαῖς οἰκείαις τὴν δυσσέβειαν ἐτροπώσαντο τὰς τελειώσεις μηνύουσιν, ἀξίου τυγχάνοντος καὶ τούτου συνεπισυνῆφθαι, ὥστε καὶ τῶν μετ᾽ ἐκείνους ἐν τῇ ἐκκλησίᾳ διαλαμψάντων θεηγόρων ἀνδρῶν καὶ φωστήρων δίκην τὸ τῆς ἐκκλησίας στερέωμα πράξεσι καὶ διδάγμασι καταπυρσευσάντων μὴ ἀγεράστους μηδ᾽ ἀνεόρτους εἶναι τὰς μνήμας, τὸ λεῖπον προσαναπληροῦντες θεσπίζομεν, καὶ τούτων τὰς ἱερὰς τῆς τελειώσεως ἡμέρας τιμαῖς ἱεροπρεπέσι κατασεμνύνεσθαι. ὧν ἐστί γε τὰ ὀνόματα· ἀθανάσιος, ὁ ἐν ἀρχιερεῦσι θεοῦ περιώνυμος· βασίλειος, ἡ βασίλειος τῆς ἐκκλησίας σεμνότης· γρηγόριος, ὁ τῆς θεολογίας ἐπώνυμος· γρηγόριος, ὁ γλυκὺς τῆς ἐκκλησίας ποταμὸς καὶ ὑπέρλαμπρος· ἰωάννης, τὸ πάγχρυσον στόμα τοῦ πνεύματος· καὶ σὺν τούτοις κύριλλος καὶ ἐπιφάνιος, ὧν καὶ τὰ κατορθώματα καὶ τὸ κλέος τοῖς εἰρημένοις ἐφάμιλλον.

---

[1] Laudatur in Cod. Vindob. jurid. gr. 1, in scholio marginali ad titulum Synopseos περὶ ἀπράκτων ἡμερῶν. Quod sic audit: Ουτος ὁ τίτλος ιά καὶ ιβ΄ ἐστὶ τοῦ γ΄ βι. τοῦ κώδ. τὸ δὲ τεμποριβους οὐ κεῖται ἐν τῷ κώδικι. ἐν δὲ τοῖς ἰνστιτούτοις οὐ κεῖται οὗτος ὁ τίτλος. ἐπιγέγραπται δὲ κατὰ τὸ παλαιὸν de feriis et dilationibus et diversis temporibus. πρὸς δὲ τὸ de feriis φησὶν ὁ ἀνώνυμος· „ἐλλιπῶς ἔχει τὸ ῥητὸν πρὸς τὴν ἐπιγραφήν· οὔτε γὰρ διεξῆλθε περὶ διαφόρων καιρῶν ἀλλὰ περὶ μόνης ἡμέρας.“ ταύταις ταῖς ἀπράκταις ἡμέραις προσέθηκε ἡ πα΄ (l. πη΄) νεαρὰ τοῦ κυροῦ λέοντος καὶ τὰς τῶν τῆς ἐκκλησίας φωστήρων, ὧν ὀνόματα βασίλειος ὁ μέγας κτλ. [2] Apost. c. 66.

NOV. LXXXIX.

Ne matrimonia citra sacram benedictionem confirmentur[1].

ΔΙΑΤΑΞΙΣ πθ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ὥσπερ τὰ τῆς υἱοθετήσεως πράγματα πρὸς τὸ ἀδιάφορον διακείμενα παρεῖδεν ἡ ἀρχαιότης, ἣν χωρὶς εὐχῶν καὶ τελετῆς ἱερᾶς τελεῖσθαι νομίζουσα οὐδὲν ἐδόκει ὀλιγωρεῖν, οὕτως ἔοικε καὶ τὴν ἀκριβῆ τῶν συνοικεσίων παρεωρακέναι κατάστασιν καὶ δίχα τῆς νενομισμένης εὐλογίας αὐτὰ συγχωρεῖν. ἀλλὰ τοῖς μὲν ἀρχαίοις ἴσως ἂν πρόφασίς τις εὑρεθείη προαιρέσεως, ἡμῖν δὲ θείᾳ χάριτι πρὸς κοσμιωτέραν πολλῷ καὶ ἱερωτέραν ἐπίδοσιν τοῦ βίου καθεστηκότων τῶν[2] πραγμάτων οὐδ᾽ ἕτερον ἄξιον τῶν εἰρημένων παροφθῆναι.

Τοιγαροῦν καθάπερ ἐπὶ τέκνων εἰσποιήσεως ἱεραῖς ἐπικλήσεσι τὴν εἰσποίησιν προβαίνειν διορισάμεθα[3], οὕτω δὴ καὶ τὰ συνοικέσια τῇ μαρτυρίᾳ τῆς ἱερᾶς εὐλογίας ἐῤῥῶσθαι κελεύομεν, ὡς ἔνθα γε μὴ ὁρῷτο τοῖς συνοικεῖν βουλομένοις τοιαύτη διαιτῶσα ἁρμογὴ, οὐδὲ τὴν ἀρχὴν ῥηθήσεται συνοικέσιον, οὐδ᾽ ἐπιτεύξεται τῶν τοιούτου[4] δικαίων ἡ τοιαύτη συμβίωσις. μεταξὺ γὰρ ἀγαμίας καὶ γάμου οὐκ ἔστιν εὑρεῖν ἀκατηγόρητον τὸ γινόμενον. ἐστί σοι γαμικῆς πολιτείας ἔφεσις; ἀνάγκη τὰ τοῦ γάμου τηρεῖν· ἀλλ᾽ ἀπαρέσκει τοῦ γάμου τὰ πράγματα· διοικείτω σε ἀγαμία· καὶ μήτε γάμον κιβδηλεύσῃς, μήτε ψεῦδος τὴν ἀγαμίαν ὑποκορίζῃ[5].

---

[1] Laudatur a Mich. Attal. in App. Et Theodorus Hermopolita, quem vocant, sive Ecloga lib. I—X Basil. lib. II tit. 3 sic habet: *σήμερον οὐκ ἀπὸ ψιλῆς συναινέσεως ὁ γάμος συνίσταται, ἀλλ᾽ εἰ μὴ καὶ ἱερολογία προβῇ, οὔτε γάμος συνίσταται οὔτε κωλύονται οἱ συναλλάσσοντες ἀπ᾽ ἀλλήλων χωρίζεσθαι. καὶ τοῦτο διετυπώσατο διὰ νεαρᾶς νομοθεσίας αὐτοῦ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος κῦρις λέων ὁ φιλόσοφος καὶ ὁ τρισμακάριστος βασιλεὺς κῦρις ἀλέξιος ὁ κομνηνός.* Quem locum integriorem exhibet scholium ad Harm. IV, 4, 19. [2] Articulum ex conjectura addo. [3] Scil. Nov. 24. [4] Steph. conj. *τούτου.* [5] Codd. *ὑποκορίζοι σοι.* Emendavit Steph. Idem *ψευδῶς* legendum censuit.

NOV. XC.

Ut qui tertium matrimonium contrahunt, sacri canonis poenae obnoxii sint.

ΔΙΑΤΑΞΙΣ ϛʹ.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἔδει δὴ[1] πλάσμα τῆς θείας ἡμᾶς παλάμης καὶ νῷ καὶ λόγῳ τετιμημένους μὴ τῆς προσούσης ἔν τισιν ἀλόγοις ἀρετῆς ἡττᾶσθαι· οὐ γὰρ ἔξω κατηγορίας τὸ ἥττημα, οὐδὲ μώμων δικαίων ἐλεύθερον, ἀλλὰ τοσοῦτον ὑπόδικον, ὅσον τῆς ἀλόγου φύσεως ἡ λογικὴ περὶ[2] τὸ ἄμεινον. ἔδει οὖν τά τε ἄλλα καὶ ἐν τοῖς γαμικοῖς μὴ τὸ ἔλαττον τῆς ἐν αὐτοῖς σωφροσύνης προσεῖναι ἀνθρώποις. πολλὰ γὰρ τῶν ἀλόγων τοῦ ὁμοζύγου προαποφθαρέντος διὰ βίου τὴν χηρείαν ἀνασπάζεται[3], καὶ δευτέροις οὐκ ἐθέλει γάμοις τὸν πρῶτον ὥσπερ καταχωννύειν. ἐπεὶ δὲ τὴν τοιαύτην ἧτταν ἡ φύσις οὐ βαρεῖαν νομίζουσα, καίτοι βαρυτάτην, τῇ πρώτῃ οὐκ ἀρκεῖται γαμικῇ ὁμιλίᾳ ἀλλὰ καὶ πρὸς δευτέραν οὐδὲν αἰδουμένη χωρεῖ, καὶ μέχρι τούτου τὸ ἑαυτῆς ὤφειλεν ὁρίζειν ἐλάττωμα. ἀλλ' οὐχ οὕτω ποιεῖ, ἀλλ' οὔτε συγγνώμην ἐξ ἱεροῦ νόμου ἐπὶ τῷ ἐλαττώματι λαμβάνει, καὶ πρὸς τρίτον γάμον ἐκ τοῦ δευτέρου προάγεται, τῷ μὴ δίκην ἐν τούτῳ ἀπαιτηθῆναι, καὶ τῆς κειμένης ἐπὶ τῷ τρίτῳ ἐπιτιμήσεως[4] καταφρονήσασα, μάλιστά γε καὶ πολιτικοῦ νόμου[5] (οὐκ οἶδ' ὅπως) μὴ συμφωνεῖν ἐθελήσαντος τῷ δόγματι τοῦ πνεύματος, ἀλλὰ μέμψεως ἀφιέντος τοὺς μέχρι τῆς δευτέρας γαμικῆς μὴ στέρξαντας κοινωνίας.

Τοιγαροῦν ἡμεῖς τοῖς τῷ πνεύματι δοκοῦσιν ἑπόμενοι ὁρίζομεν, τοὺς εἰς τριγαμίαν καταστάντας ὑποκεῖσθαι τῇ δίκῃ, ἥνπερ αὐτῶν[6] ὁ ἱερὸς κανὼν ἐξενήνοχεν.

---

[1] Conj. Steph. — Codd. Ἐπειδή. [2] Steph. nimis audacter περὶ τὸ φρονεῖν ἄμεινον. Equidem conjecerim: φέρει τὸ ἄμεινον. [3] Steph. conj. ἀντασπάζεται. [4] Syn. Neocaes. c. 3. S. Basilii c. 4. 50. 80. [5] Intelligit l. 6 C. *de secundis nupt.* Vide enim Coll. I Nov. 28, et Prochir. IV, 25. [6] Malim αὐτοῖς.

NOV. XCI.

Ut concubinam habere non liceat[1].

ΔΙΑΤΑΞΙΣ ϞΑʹ.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἀπὸ τῆς αὐτῆς ἀδιαφορίας καὶ τὴν περὶ παλλακῆς κρίσιν ὁρᾶται ποιούμενος ὁ τοῖς οὕτως ἐπιψόγως συμφθείρεσθαι παλλακαῖς οὐκ αἰδουμένοις συγχωρῶν νόμος[2].

Οὐκοῦν οὐδὲ ταύτην τοῦ νομοθέτου τὴν διαμαρτίαν ὑβρίζειν τὴν ἡμετέραν πολιτείαν ἐῶμεν, ἀλλ' ὁ μὲν ἀΐδιον ἐχέτω σιγὴν, ἡμῖν δ' ἀπαγορεύεται κατὰ τὰ θεῖα καὶ πρέποντα χριστιανοῖς ἐντάλματα ἡ τοιαύτη ὕβρις οὐ μόνον τῆς πίστεως ἀλλὰ καὶ τῆς φύσεως. εἰ μὲν γὰρ κατὰ τὸ λόγιον οἰκεία ὑπάρχει πηγὴ, ἐκ τῶν οἰκείων ἀπαρύου σωφρόνως (ὅθεν ἐξὸν καθαρῶν ἀπογεύεσθαι[3] *ναμάτων, σὺ προκρίνεις τὸν βόρβορον)· εἰ δ' οὐχ ὑπάρχει, ἀλλ' οὐκ ἐστὶ τῶν ἀποῤῥήτων ἡ κτῆσις, οὐ χαλεπὸν δὲ τὴν κοινωνὸν τοῦ βίου εὑρεῖν.*

NOV. XCII.

De eo, qui aliquem dedita opera excoecavit[1].

ΔΙΑΤΑΞΙΣ ϞΒʹ.

Περὶ τοῦ ἐκτυφλώσαντος ἑκοντί.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Εἰ καὶ ἄλλως ἡμῖν περὶ τοῦ τοὺς ὀφθαλμοὺς χερσὶ βιαιοτάταις ἐξορύξαντος τῷ πρὸς ἀμφισβήτησιν αὐτῷ καθισταμένῳ ἡ κρίσις ἐξηνέχθη, ἢ ὡς οἱ παλαιοὶ νόμοι[2] *θεσπίζουσιν, ἀλλ' οὐκ ἦλθεν κατὰ διάνοιαν εἰς νόμον τὴν τοιαύτην διατυπῶσαι κρίσιν. ἐκρίθη μὲν γὰρ ἡμῖν, ὥσπερ καὶ ἐκρίθη, συμπαθέστερόν πως ἐπὶ τῷ πάθει διατεθειμένοις, καὶ ἐπειδήπερ οὐκ ἐνῆν*

---

[1] Videatur schol. ad Basil. ed. Heimb. III p. 169 et Bals. ad syn. Trull. c. 86 (ed. Rhalli II p. 505). [2] Jus Justinianeum (cf. Photii Nomoc. XIII, 5) intelligitur. Etenim jam Basilius in Proch. IV, 26 concubinatu interdixerat. [3] Sic Zuich. et Meerm. Scrimg. ἀπαγορεύεσθαι. Steph. conjecerat ἀπαρύεσθαι.

[1] Est in Ecl. Nov. 43. Cf. Psellus v. 858–864, Mich. Attal. in appendice, Harm. VI, 1, 6. [2] Sc. ex lege Cornelia de injuriis.

ἀνακαλεῖσθαι τὴν ζημίαν τῶν ὀφθαλμῶν τῷ τούτους ἀπολωλεκότι, ἔγνων μὴ τὸν ζημιώσαντα, κἂν δίκαιος ὑποσχεῖν τὴν αὐτὴν ζημίαν, τῷ ὁμοίῳ σκότει περιβαλεῖν, ἀλλ᾽ ἐπὶ τοσοῦτον ὁρίσαι τὴν εἴσπραξιν, ὥστε καὶ τὸν πράξαντα φέρειν σημεῖα[3] τῆς τιμωρίας, καὶ τὸν παθόντα παραμύθιόν τι, ὡς ἐν τοιαύτῃ συμφορᾷ καὶ βαθεῖ οὕτω σκότει ἐκ τῶν πόνων κεκτῆσθαι τοῦ τὸ σκότος αὐτῷ δημιουργήσαντος. ἀλλὰ γὰρ εἰ καὶ οὕτω κέκριται, οὐκ ἦν, ὥσπερ εἶπον, γνώμῃ τὸ κριθὲν ποιεῖν νομοθέτημα. ἐπειδὴ δὲ ὁ τῶν ἐν τοῖς θείοις ἡμῶν ἀποφερόμενος[4] (οὗ ἐγὼ πῶς ἂν ἀποπέμψαιμι τὴν ἀξίωσιν;) εἰς νόμους ἀξιοῖ[5] τὴν τοιαύτην κρίσιν διασκευασθῆναι διὰ τὸ τῆς διαθέσεως φιλάνθρωπον, ὡς ἂν ἀπό γε τοῦ νῦν εἴ ποτέ τι συμπέσοι τοιοῦτον τοιαύτης ἐπιτεύξηται διακρίσεως, οἵα κἀν τῷ παρόντι τῷ ἀδικήσαντι ὥρισται ἡ ζημία, πειθόμεθά τε τῇ προτροπῇ, καὶ τὸ δόγμα ὁρίζομεν.

Τοιγαροῦν[6] εἴ[7] τίς ποτε εἰς ὀφθαλμὸν[8] ἐπενέγκοι τινὶ ζημίαν, τοῦτον κελεύομεν, εἰ μὲν ἕνα, τῷ ἑνὶ καὶ αὐτὸν[9] ζημιοῦσθαι τὴν ἴσην ὑπέχοντα δίκην. εἰ δὲ κατὰ τῶν δύο τὰς κακούργους ἐπιβάλῃ[10] χεῖρας, ἐπειδήπερ ἐνταῦθα τὸ ἴσον τῆς ζημίας οὔτε τῷ ἀδικηθέντι προσόνησιν[11] (τίς γὰρ ὄνησις τῷ ἐν[12] σκότει ζῶντι, εἰ καὶ ἄλλον τὸ ἴσον ἔχοι σκότος;), καὶ τῷ ἐνόχῳ τῆς δίκης, εἰ καὶ μὴ ἀδίκως, ἀλλ᾽ ὅμως ὁ βίος ἀβίωτος· ἐπειδὴ ταῦτα οὕτω, κελεύομεν μὴ κατὰ τὸν ἴσον λόγον, ἀλλ᾽ ἑτέρως προέρχεσθαι τὴν ἐκδίκησιν, δι᾽ ὧν ὅ τε πεπονηρευμένος τιμωρηθήσεται, καὶ ὀνήσεταί τι ὃν ἡ πονηρία λελώβηκε[13]. νομίζομεν[14] δὲ οὕτως· ὁ ἀμφοτέρων ὀφθαλμῶν τινι τὴν ζημίαν ἐπενεγκὼν θατέρου μὲν τῶν ὀφθαλμῶν καὶ αὐτὸς ἀποστερείσθω, ὡς ἂν εἴη σημεῖον φέρων τοῦ οἰκείου πονηρεύματος· ἐπεὶ[15] δὲ καὶ χειρὸς ὀφείλει τῆς ἀνοσίου τὴν ἐκτομὴν, ἀντὶ τῆς ζημίας τῆς χειρὸς τῶν ὑπαρχόντων ζημιούσθω τὴν διμοιρίαν, καὶ ταῦτα εἰς παραμύθιον τοῦ βίου ὁ ὑπ᾽ αὐτοῦ ἐκκοπεὶς τοὺς ὀφθαλμοὺς λαμβανέτω. καὶ ἔσται ὁ μὲν ἀντὶ τοῦ ἐν σκότει βίου ἐξ ὧν

---

[3] Zuich. et Meerm. τὰ σημεῖα. [4] Haec corrupta esse patet. Agylaeus notat: „Si sacrorum officiorum magistrum intelligis, restitutus hic locus est." Stylianum autem, utpote ad quem constitutio directa sit, nolim intelligere. [5] Zuich. et Meerm. ἀξιοῦν. [6] Codd. εἰ γὰρ οὖν. Emendavit Steph. [7] Inc. Ecloga. [8] Ecl. ὀφθαλμούς. [9] Scrimg. αὐτῷ. [10] Ecl. modo ἐπιβάλοι, modo ἐπιλάβῃ. [11] Vulgo πρὸς ὄνησιν, quibus χωρεῖ addendum censet Agyl. [12] Ecl. ἐπὶ. [13] Ecl. λελώβηται. [14] Ecl. πῶς οὖν; νομίζομεν οὕτως. Steph. ὁρίζομεν scribi vult. [15] Ecl. ἐπειδή.

τὴν πρὸς τὸν βίον λαμβάνει χορηγίαν βραχεῖάν τινα τῆς συμφορᾶς ἀποφερόμενος ἄνεσιν, ὁ δὲ ὥσπερ εἴρηται δίκην τῆς πονηρίας τήν τε θατέρου ὀφθαλμοῦ[16] ἐκκοπὴν καὶ τὴν τῶν προσόντων ἀφαίρεσιν ἀντὶ τῆς τῶν χειρῶν ὑπεχέτω[17] ἀφαιρέσεως. ἀλλ' εἰ μὲν τῶν εὐπόρων εἴη, οὕτως ἡ ζημία προβαινέτω· εἰ δ' ὡς εἰκὸς τῶν ἀπόρων καὶ ἐν στενῷ τὸν βίον σαλεύων καὶ μηδεμίαν δεδυνημένος τῆς συμφορᾶς ἀντισήκωσιν παρασχεῖν τῷ διὰ τῆς ἐκείνου βιαιότητος ὑπ' αὐτῆς περιεστοιχισμένῳ, γινέσθω καὶ οὗτος[18] τῆς παραπλησίου συμφορᾶς καὶ κοινωνὸς καὶ μεριστὴς[19], καὶ τὸν βίον ἐχέτω ἐν σκότει τῇ ἀμφοτέρων τῶν ὀφθαλμῶν ἐκκοπῇ. καὶ εἴ τινες δὲ τῷ[20] κακουργήσαντι καὶ[21] πρὸς τὴν πρᾶξιν συνήραντο, εἰ μὲν αὐτόχειρες γεγόνασι τοῦ κακοῦ συνεξορύξαντες τοὺς ὀφθαλμούς, παραπλησίως καὶ αὐτοὶ κολαζέσθωσαν· εἰ δ' ἀπέσχοντο μὲν τοῦ τὰς χεῖρας τοῖς ὀφθαλμοῖς συνεπιβαλεῖν, ἄλλην δέ τινα συνέργειαν παρέσχον τῷ πανουργεύματι[22], τοῖς μὲν ὁρίζεσθαι τὴν ποινὴν μέχρι τῶν εἰς τὸ σῶμα πληγῶν καὶ τῆς ἐν χρῷ κουρείας, καὶ τῷ τρίτῳ μέρει τῆς τῶν ὑπαρχόντων ζημίας, τοὺς δ' αὐτουργοὺς τῆς[23] τυφλώσεως τοῖς προειρημένοις ὑπάγεσθαι.

NOV. XCIII.

Ut si sponsa ex alio gravida deprehendatur, sponsalia rescindi possint[1].

ΔΙΑΤΑΞΙΣ ϟγ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ[2].

Ἐπειδὴ τοῖς ἀρχαίοις τὰ περὶ μνηστείας διορισαμένοις οὐκ οἶδ' ὅν τινα τρόπον οὐκ εἰς τὸ ἀκριβὲς[3] ἔχει τὰ διωρισμένα (εἴτε μὴ βουληθέντων συμπεριλαβεῖν καὶ τοῦτο περὶ οὗ νῦν

[16] Ecl. ὀφθαλμῶν. [17] Ecl. ὑπέσχετο ὑφαιρ. [18] Scrimg. οὕτως. [19] Codd. μετριστής. Steph. μεριστὴς legentis conjectura confirmatur Ecloga. [20] Codd. τῷ κακουργήματι κακουργήσαντι. Agyl. τῷ τὸ κακούργημα κακουργ. Sed Ecl. cum Steph. facit, qui κακουργήματι delendum censet. [21] Ecl. καὶ non habet. [22] Ecl. πονηρεύματι, fortasse rectius. [23] Codd. καὶ τῆς, quod ex Ecl. correxi.

[1] Laudatur a Bals. ad syn. Trull. c. 98 (ed. Rhalli II p. 541) et in Proch. aucto I, 25. Cf. etiam Harm. IV, 1, 27. [2] Zuich. et Meerm. notant: αὕτη ἐξεφωνήθη ὑπὲρ οὗ νόμος οὐκ ἦν· ἐν τούτῳ πρῶτον. [3] Codd. ἄκριβον. Emend. Steph.

μέλλομεν θεσπίζειν ἐν τοῖς περὶ μνηστείας διαλύσεως, ἢ μὴ γεγενημένης περιπετείας τοιαύτης ὁποία νῦν ἐν τῷ παρόντι φανεῖσα τοῦ νόμου τὴν ἔκθεσιν ἀπαιτεῖ), ἡμεῖς καὶ τούτῳ τῷ μέρει τὸ λεῖπον ἀναπληροῦντες ἐν τῷ ἀκριβεῖ τὰ περὶ μνηστείας καθίσταμεν. ἡ μὲν οὖν ἀρχαία διάταξις[4] λύει τὴν μνηστείαν διαφόροις αἰτίαις (φημὶ δὲ τῷ ἑτεροδόξῳ τοῦ σεβάσματος, καὶ εἰ φρένες εἶεν μανιώδει πάθει περιπετεῖς, ἔτι δὲ καὶ ἄλλαις τισί· τούτων γὰρ ὁποτέρου[5] αἰτίαν ἔχοντος τοῦ ἑνὸς τῶν συνελθόντων εἰς τὴν μνηστείαν μέρους, κελεύει τὴν ἑνότητα ῥήγνυσθαι), ὃ δὲ νῦν παρ' ἡμῶν ἐπισκέψεως ἠξίωται, ἢ μὴ γεγενημένον ὥσπερ ἔφημεν κατ' ἐκεῖνο καιροῦ, ἢ μὴ ἂν οἰηθὲν τῶν[6] ἔσεσθαι, ἢ διὰ ποίαν ἄλλην αἰτίαν οὐ τέθειται[7] μετὰ τῶν μνήμης ἠξιωμένων. ἐστὶ δὲ τοιοῦτον· μεμνηστευμένη ἔλεγχον δίδωσι προελθούσης ἤδη τῆς μνηστείας ἀλλοτρίων σπερμάτων ὑποκλόπιος οὖσα, τὴν νυμφικὴν ὑποκρινομένη καθαρότητα.

Τὸ μὲν οὖν τοῖς ἀρχαίοις νόμοις ἀπερίληπτον τοῦτό ἐστι, ἡμεῖς δὲ τὸ ἐνδεὲς προστιθέντες ψηφιζόμεθα, μὴ μόνον τῷ κατὰ πίστιν ἑτέρῳ[8] μηδὲ τῇ τῶν φρενῶν ἐκστάσει ἢ ταῖς ἄλλαις αἰτίαις, ἀλλὰ καὶ τούτῳ μηδὲν[9] ἔλαττον, εἰ μὴ μᾶλλον, ἐναντιουμένῳ τῇ συνοικεσίᾳ διαζεύγνυσθαι οὓς ἡ δοκοῦσα, μὴ οὖσα δὲ, συνῆψε μνηστεία. ποῦ γὰρ μνηστεία ἀληθὴς, ἔνθα τὸ ταύτης ἀληθὲς οὐχ ὁρᾶται; ποῦ δὲ γαμικὴ ὁμόνοια, ποῦ δὲ στοργὴ καθαρὰ καὶ νυμφικὴ, ἔνθα πορνικὸν ἄγος καὶ διαστάσεως ἀφορμὴ καὶ μίσους ὑπόθεσις[10] καὶ ἀλλοτριότης; πάντα γὰρ ταῦτά ἐστιν ἐν τῇ τῶν νόθων καὶ ἀλλοτρίων σπερμάτων ὑποδοχῇ[11]. οὐ μὴν οὐδὲ λόγον ἔχει τὴν ἑτέρου σπορὰν ἑαυτῷ ὑποβάλλεσθαι ἕτερον, οὐδέ γε ἄξιον, τὸν μὲν[12] γαμέτην ἐλπίδι καθαρᾶς ἀπολαύσεως τῆς ἐκ τῶν[13] καθαρῶν παραγινομένης γάμων ἣν ὑπέλαβεν νύμφην εἰσοικίσασθαι, τὴν δὲ κατορχησαμένην τῶν γαμηλίων θεσμῶν, καὶ τὴν ἐλπίδα τῆς εὐφροσύνης δείξασαν τέφραν αὐτῷ ἐκ τοῦ ἑτέρῳ συνδιαφθαρῆναι, μετὰ τοῦ πορνικοῦ ἀγωγίμου γνωρίζεσθαι σύνοικον.

---

[4] Videatur l. 5 §. 1 C. de sponsal. [5] Steph. et Agyl. conj. ὁποτερανοῦν. [6] Vulgo οἰηθέντων. [7] Scrimg. τίθεται. [8] Steph. conj. ἑτεροδόξῳ. Male. [9] Codd. εἰ ante μηδὲν habent: expunxit Steph. [10] Scrimg. ὑποθέσεως. [11] Idem ἀποδ. [12] Codd. addunt γὰρ, quod delendum esse vidit Agyl. [13] Codd. ἐκ τῆς τῶν. Sed τῆς abundat.

NOV. XCIV.

Legis, quae de consulatu agit, abrogatio.

ΔΙΑΤΑΞΙΣ ϛδʹ.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἐπειδήπερ σκοπὸν ἡμῖν ἡ τῶν νόμων ἀνακάθαρσις ἔχει οὐ μόνον ἐκεῖνα τοῦ νομίμου ἐξαλείφειν ἐδάφους, ὧν ἡ γραφὴ[1] πολλάκις τῇ τῶν πραγμάτων καταστάσει διελυμαίνετο, ἀλλὰ καὶ ὅσα τῷ μακρῷ κατασιγασθέντα χρόνῳ ἀργὰ παντελῶς καὶ ὥσπερ διὰ σαπρίαν ἄψαυστα ὑπὸ χρείας πολιτικῆς ὁρᾶται κείμενα, ἀκόλουθόν ἐστι καὶ τὸν περὶ τῆς ὑπατείας νόμον[2], ὡς κατὰ μηδὲν ἐν τῷ παρόντι τῇ πολιτείᾳ προσήκοντα, σὺν τοῖς ἄλλοις ἀχρήστοις τῆς νομικῆς ἐξελεῖν καταστάσεως. πάλαι μὲν γὰρ τὸ ὑπατικὸν ἀξίωμα σεμνόν τε ἦν, καὶ τοὺς ὑποδυομένους αὐτὸ σεμνούς τε ἐδείκνυ καὶ τῷ μεγαλοπρεπεῖ διαφέροντας. διὰ τοῦτο ἄρα καὶ ὅσοι εἰς τὸ ὑπατεύειν καθίσταντο, ἣν ἐκ τοῦ ἀξιώματος αὐτοὶ προσέλαβον φιλοτιμίαν ἀντιδωρεῖσθαι τῇ πολιτείᾳ ἀξιοῦντες, φιλοτίμους δωρεὰς τοῖς πλήθεσι καθυπάτευον. ἀλλὰ πρὶν μὲν τῇ ἑκάστου προαιρέσει ἀνεῖτο τῆς φιλοτιμίας τὸ μέγεθος καὶ ἡ ἐλάττωσις, ὕστερον δὲ δόξαν οὕτω ῥητῷ μέτρῳ ψήφισμα νόμου τὸ φιλότιμον περιορίζει. ἀλλα γὰρ τοῦτο μὲν ἕως τὸ σεμνὸν τοῦ ὑπατικοῦ ἀξιώματος ἐν τῇ πολιτείᾳ διέπρεπεν ὡρᾶτο γινόμενον. νῦν δὲ τῆς πάντα[3] κινουμένης τοῦ[4] χρόνου φορᾶς καὶ ταύτην τὴν ὑπατικὴν μεγαλοπρέπειαν ἐκ τῆς πρὶν δόξης καὶ μεγαλότητος πρὸς ταπεινὸν μεταστησαμένης σχῆμα, καὶ τῶν εἰς τοῦτο προϊόντων οὐχ ὅπως[5] ἑτέροις ἱκανῶν ὄντων, ἀλλὰ μηδ᾽ ἑαυτοῖς ἐνίοτε ἀρκεῖν δυναμένων, ἐπεὶ διὰ τοῦτο σιγὴ βαθεῖα τὸν περὶ τῆς ὑπατείας νόμον κατέσχε, καὶ τοῦτον[6] ἤδη μετὰ τῶν ἄλλων ἀχρήστων, ὡς ἔφην, εἰκῇ ταῖς νομικαῖς διατάξεσιν ἐγκαταμιγνύμενον δόγματι τοῦ ἡμετέρου κράτους ἐκεῖθεν ἐκφέρομεν.

---

[1] Zuich. et Meerm. ἐγγραφή. [2] Intelligit Nov. Justiniani 105. [3] Scrimg. πάντων. Emend. Agyl. [4] Articulum non habet Scrimg. [5] Forte ὅλως. [6] Scrimg. τοῦ τόν, Zuich. et Meerm. τοῦτο.

NOV. XCV.

De loco superiore avulso[1].

ΔΙΑΤΑΞΙΣ ϛε΄.

Περὶ τοῦ ἀποσπασθέντος[2] ὑπεργείου[3] τόπου[4].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Καὶ τοῖς ἀρχαιοτέροις καὶ προλαβοῦσι τὴν γένεσιν νόμοις αἱ τῶν πραγμάτων χρεῖαι παρέσχον ὑπόστασιν. πρὸς γὰρ τὰ κατὰ τὸν βίον συμπίπτοντα ἡ τῶν ἑκάστοτε νομοθετῶν διαβλέψασα γνώμη πρὸς τὴν τούτων[5] φύσιν καὶ τὰ νομοθετήματα τίθεται. ἐπεὶ οὖν ἐκ τῶν ἐν βίῳ πραγμάτων ὥσπερ ἔφημεν τοῖς νόμοις ἡ ἀφορμὴ τῆς γενέσεως, χρείαν καινὴν[6] ὁρῶντες ἡμεῖς διά τινος καινότητα πράγματος καὶ ἣν οὐκ ἔνι πρὸς ἀρχαίαν ψῆφον ἀναφέρειν[7] νόμου γενέσεως, ὡς ἄν, εἴ ποτε καὶ ἄλλοτε τοιοῦτό τι συμβαίη, ἔχῃ[8] τὸ συμβὰν νομίμως γε[9] διακρίνεσθαι, ἐκτιθέμεθα νόμον πρὸς τὴν τοῦ πράγματος σύμβασιν.

Τίς οὖν ὁ νόμος; ἀγρῶν ἀλλήλοις διαφόρου δεσποτείας παρακειμένων, καὶ τοῦ μὲν ὑπερκειμένην ἔχοντος χώραν, τοῦ δὲ ὑποκειμένου ὄντος καὶ[10] ἐν ἐπιπέδῳ ὁριζομένου, ἐὰν ὁ ὑπερκείμενος ἀγρὸς μέρει τινὶ συγκατασπασθεὶς ἢ σὺν φυτοῖς[11] ἢ τούτων χωρὶς τὸν ὑποκείμενον τὸ ῥῆγμα δεξάμενον ἐπικαλύψῃ, μὴ ἁπλῶς ἔχειν ἄδειαν μήτε τὸν δεσπότην τοῦ ὑποβεβηκότος ἀγροῦ ὡς ἰδίας ἀντιποιεῖσθαι τῆς κατασπασθείσης ὕλης, ὅτι ἐν τοῖς αὐτοῦ ὁρίοις ἐπίκειται, μήτε μὴν τὸν τοῦ ὑπερκειμένου κύριον καὶ τὴν ῥῆξιν πεπονθότα κἀκεῖνον[12] προσφιλονεικεῖν τῶν ὁρίων κυριεύειν, ἃ τὸ ῥῆγμα ἐπιπεπτωκὸς ὑποδέδεκται, ἀλλὰ τὸν μὲν τοῦ ὑποκειμένου ἀγροῦ κύριον παραχωρεῖν τῷ τοῦ ὑπερτεθειμένου[13] ἀγροῦ κυρίῳ εἰ βούλοιτο τὴν συγκατασπασθεῖσαν[14] ὕλην, εἴτε σύμφυτος εἴη εἴτε φυτῶν ἔρημος[15], ἀνα-

---

[1] Ecl. Nov. 44. Harm. II, 4, 138. [2] Meerm. et plerique Codd. Ecl. *ὑποσπ.* [3] Legendum videtur *ὑπερκειμένου.* [4] In nonnullis Eclogae Codd. additur: *ἤτοι περὶ κατασπασμοῦ καὶ συγχώσεως γῆς καὶ ὕλης καὶ τὰ τούτων τίνι ὀφείλεται.* [5] Ita Ecl. Codd. *τούτου,* quod jam emendaverat Steph. [6] Codd. *καὶ νῦν.* Correxi ex Ecl. [7] Codd. *ἀναφαίνειν.* Emendaverat Steph. eique assentit Ecl. — Caeterum Spang. notat: „Non occurrisse videtur Leoni l. 9 §. 2 D. *de damno infecto.*" [8] Ecl. *ἔχοι.* [9] Ecl. *καί.* [10] Supplevi ex Ecl. [11] Zuich. et Meerm. nec non Ecl. *συμφύτοις.* [12] Videtur legendum *κἀκείνων,* ut habet unus ex Ecl. Codd. [13] Scrimg. et Zuich. *ὑπερτιθεμ.* [14] Ecl. *κατασπ.* [15] Vulgo *ἐρήμη.* Sed Ecl. *ἔρημος* habet.

λαβεῖν καὶ ἀνακομίζεσθαι, τὸν δὲ τῶν δύο αἱρεῖσθαι τὸ ἕτερον, ἢ[16] τὴν ὕλην λαβόντα καθὼς ἐξ ἀρχῆς δεσπόζειν αὐτῆς κειμένης ἐν τοῖς ἰδίοις ὁρίοις, ἢ εἰ τοῦτο μὴ βούλοιτο ἀπέχεσθαι παντελῶς αὐτὸν μετὰ τῆς ὕλης καὶ τῶν δεξαμένων ταύτην ὁρίων, καὶ μὴ παρέχειν πράγματα τῷ τοῦ ὑποδεξαμένου ἀγροῦ τὰ συγκατασπασθέντα δεσπόζοντι. ὥσπερ γὰρ οἰκιῶν παρακειμένων ἀλλήλαις, καὶ τῆς μὲν ἐχούσης ὑπερανέχουσαν τὴν κατασκευὴν τῆς δὲ ὑποκειμένην, εἰ συμβαίη τῆς ἄνωθεν καταπεσούσης οἰκίας ἢ τὴν κατενεχθεῖσαν ὕλην λαβεῖν[17] ἢ εἰ μὴ προαιροῖτο λαβεῖν ἐξίστασθαι καθάπαξ, καὶ μηδὲν ὅλως παρενοχλεῖν ἐκείνῳ τῷ μέρει, ὃ τὸ σύμπτωμα ὑπεδέξατο, οὕτω δὴ καὶ ἐνταῦθα προσῆκε[18] τὴν αὐτὴν ἀκολουθίαν καὶ τηρεῖσθαι καὶ φυλάττεσθαι.

NOV. XCVI.

De sepulcro violato[1].

ΔΙΑΤΑΞΙΣ ϛϛ'.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἐστὶν ἀσύγγνωστα τῶν ἁμαρτημάτων καὶ εἰς ποινῆς ἐπιφορὰν ἀπαραίτητα, ὅσα μόνην κακίαν ἔχει τῆς γνώμης, καὶ φυσικῆς ἀνάγκης ἀπολογίας ἡ πρᾶξις ἐστέρηται. ἃ δὲ μὴ ὁλοτελῶς ἐστι τῆς πονηρίας, ἀλλ' ἔχει καί τινα μῖξιν φυσικῆς τυραννίδος, ταῦτα τοῖς κατὰ μέτρον τῆς ἐν τῇ φύσει δυνάμεως κρίνειν προαιρουμένοις συγγνώμης οὐκ ἀποτεύξεται. ἐκ ταύτης ἐγὼ τῆς γνώμης στοχάζομαι τό τε πολιτικὸν καὶ ἱερὸν ψήφισμα πρὸς ἀντιλογίαν ἀλλήλων ἰδεῖν, ἐν ὅσῳ περὶ τῶν διερευνωμένων τὰς τῶν ἀποβιούντων θήκας ψηφίζονται. ὁ μὲν γὰρ πολιτικὸς νόμος[2] πρὸς μόνην τὴν δύστροπον ἀποσκοπήσας προαίρεσιν τὴν τοιαύτην ἁμαρτίαν κολάζει συγγνώμης ἀποστερῶν, ὁ δ' ἱερὸς[3] (οἶμαι πρὸς τὴν διοχλοῦσαν τῷ βίῳ πενίαν ἰδών, ἣ τοὺς στενοχωρουμένους πολλάκις τολμᾶν προάγει ἀτόλμητα) τιμωρίαν τοῖς ἁλοῦσιν οὐκ ἔταξεν.

---

[16] Suppleo ex Ecl. [17] Agyl. ὀφείλει suppleri vult. Non opus. [18] Vulgo προσήκει. Sed cum Ecl. προσῆκε scribendum fuit propter συμβαίη, quod praecedit.

[1] Laudatur in schol. Basil. ed. Heimb. V p. 648 et a Bals. ad Phot. Nomoc. XII, 23 ed. Rhalli I p. 326. [2] L. 8. 9 D. de sepulcro viol. [3] Cf. Phot. Nomoc. XIII, 23.

Ἡμεῖς οὖν πρὸς τὴν ἑκατέρου ψηφίσματος συγγνώμην ἁρμοζόμενοι καὶ καθ' ὅσον οἷόν τε ἦν δίκην καὶ συγγνώμην εἰς ἓν συνάπτοντες, τοὺς μὲν ἅπαξ τοῦτο τολμήσαντας θεσπίζομεν εὐμενοῦς καὶ μακροθυμούσης πρὸς τὸ τιμωρεῖσθαι τυγχάνειν τῆς δίκης, τοὺς δὲ τὸ συμπαθὲς ἀφορμὴν ποιησαμένους δευτέρου τολμήματος, ἀλλὰ μὴ νοῦν[4] λαβόντας ἐκ τούτου εἰς ἀναχώρησιν τῆς πονηρίας, ἀπαραιτήτως τὴν τιμωρίαν ὑφίστασθαι. αὕτη μάστιξι ταῖς κατὰ νώτου καὶ τριχῶν ὁρισθήσεται κουρείᾳ.

NOV. XCVII.

Ut juramentum praestet judex initio litis, et quum magistratus nominatur[1].

ΔΙΑΤΑΞΙΣ ϛζ.

Περὶ τοῦ ὀμνύειν τὸν κριτὴν ἐν ἀρχῇ τῆς δίκης καὶ εἰς τὸ[2] προβληθῆναι ἄρχοντα.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Εἰ καὶ δοκεῖ πως ἐναντιολογεῖσθαι τὸ παντελῶς ἐκκλίνειν τῷ[3] προστάσσοντι θείῳ κελεύσματι τὸ ὀμνῦναι ὁ ἐπ' ἀρχῶν προβολαῖς καὶ δίκης συστάσει ὁρίζων ὀμνύειν νόμος[4], ἀλλ' εἰ τὴν γνώμην τῶν λόγων τὶς διασκέψαιτο, οὐκ εἰς ἐναντιότητα γνοίη τοῦτον ἀποκεκριμένον, τοὐναντίον δὲ ἐκεῖνο σπουδὴν ποιούμενον καταπράττειν διὰ τῆς τοῦ ὅρκου παραλήψεως, ὅπερ ὁ θεῖος βούλεται νόμος[5] ἐν τῇ τοῦ μὴ ὀμνύειν ἐπιτροπῇ ἐξανύειν. καὶ γὰρ ὁ μὲν τῷ ψεύδει καθάπαξ ἀποκλείων τὴν πάροδον ἀπαγορεύει τέλεον ὀμνύεσθαι, ὁ δὲ τὸ αὐτὸ τοῦτο βουλόμενος εἰς δίωξιν ψεύδους τὸν ὅρκον σύμμαχον παραλαμβάνει. ὥστε καὶ ἡμῖν οὐ πρὸς τὸ σχῆμα τῶν ῥημάτων, ἀλλὰ πρὸς τὸν ἐγκείμενον σκοπὸν ἀπερείδουσι τὴν διάνοιαν ἔδοξεν οὐχ ὡς μαχομένην τῷ θείῳ καὶ δεσποτικῷ παραγγέλματι τὴν πολιτικὴν ἀτιμάζειν ψῆφον, ἀλλ' ὡς πρὸς τὸ αὐτὸ φερούσης συντηρεῖν αὐτῆς[6] τὴν τιμήν. ἄλλως τε δὲ καὶ τοῦτο συνείδομεν, ὡς τὸ δεσποτικὸν παρακέλευσμα οὐχ ἁπλῶς οὐδὲ πρὸς βιωτικῶν πραγμάτων

---

[4] Codd. μὴν οὖν. Correxit Steph.

[1] Ecl. Nov. 45. [2] Forte ἐν τῷ. [3] Malim τῷ παντ. ἐκκλ. προστ.
[4] Spang. allegat l. 14 C. *de judiciis*, tit. C. *de jurej. propter cal.*, et Novv. Justiniani 8 c. 7 et 49 c. 3. [5] Matth. 5, 34. [6] Codd. αὐτήν. Agyl. αὐτῇ.

ἐξηνέχθη κατάστασιν, ἀλλὰ πρὸς τελειοτέρας πολιτείας τοῖς ἀνιέναι πρὸς τὸ μακάριον ἐκεῖνο ὕψος ποθοῦσιν ἀνάβασιν, ὥσπερ καὶ τὰ ἄλλα, οἷον τό·[7] μὴ μεριμνήσητε τῇ ψυχῇ τί φάγητε, καί· μὴ θησαυρίζετε θησαυροὺς ἐπὶ τῆς γῆς, καὶ[8] ὅσα ὁμοδύναμα. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἀφωρισμένοις τοῖς τελειοτέροις φέρει τὴν γνώμην.

Διὰ[9] τοῦτο δὴ τὴν ἰσχὺν οἰκείαν[10] ἀμείωτον ὥσπερ ἔφην τῷ πολίτῃ[11] συντηροῦντες νόμῳ θεσπίζομεν καὶ ἡμεῖς, τούς τε καθισταμένους εἰς ἀρχῆς προβολὴν καὶ εἰς κρίσιν ἀμφισβητουμένου πράγματος εἰσιόντας δι' ὅρκων πιστοῦσθαι, ὡς τὸ ἀληθὲς πρὸ τοῦ ψεύδους τιμήσουσι, καὶ οὐδαμῶς τῆς εὐθείας ἐκτραπέντες ἐπὶ τὴν σκολιὰν τῆς ἀπάτης τρίβον χωρήσουσιν.

NOV. XCVIII.

Eunuchi ne uxores ducant[1].

ΔΙΑΤΑΞΙΣ ϟη'.

Περὶ τοῦ μὴ εὐνούχους ἐγγαμίζεσθαι[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἡ τῶν νόμων γένεσις καὶ κατάστασιν τῆς πολιτείας σκοπὸν ὑποβάλλεται[3], καὶ[4] τῇ φύσει ἐνίοτε ἀδικουμένῃ βοηθεῖν ἐπαγγέλλεται. οὐκοῦν δίκαιον καὶ νῦν περὶ τῆς ζητουμένης ὑποθέσεως (ἥ δέ ἐστιν, εἰ ἔξεστιν εὐνούχοις πρὸς γάμον συνάπτεσθαι) νόμον τυχεῖν γενέσεως. ἀλλὰ πρὸ τῆς τοῦ νόμου ἐκθέσεως ἄξιον πρὸς ἐξέτασιν καταστῆναι τοῦ πράγματος, καὶ συνιδεῖν, εἰ δυνατὸν τὴν τοιαύτην συνάφειαν ἀποφέρεσθαι γάμου κλῆσιν, μᾶλλον δὲ εἰ ὅλως ἐπ' αὐτῇ θέμις τελεῖσθαι, ἃ τῷ γάμῳ τελεῖται, οἷον εὐχὴν ἱερὰν ἢ τελετὴν ἢ ἀνθρωπίνην τινὰ τέρψιν καὶ θυμηδίαν, καὶ ὅσα ἐπὶ μνηστείᾳ γίνεται. ὁ μὲν γὰρ ἱερεὺς κατὰ μίμησιν τῆς ἄνωθεν παρὰ τοῦ πλάσαντος εὐλογίας τοῦ πρὸς αὔξησιν τὰ γένη συναρμόσαντος ἕστηκεν ἱερολογῶν, ἡ δὲ

---

[7] Matth. 6, 25. [8] Codd. *καὶ* non habent. Supplevit Agyl. [9] Inc. Ecloga. [10] Ecl. *τὴν οἰκείαν ἰσχύν*. [11] Steph. conj. *πολιτικῷ*. Sed et Ecl. *πολίτῃ* habet.

[1] Ecl. Nov. 46. Excitatur a Blast. *E*, 34 ed. Bev. II p. 138. [2] Rubricam addo ex Ecl. Cf. infra not. 21. — Zuich. et Meerm. adnotant: *αὕτη ἐξεφωνήθη ὑπὲρ οὗ νόμος οὐκ ἦν.* [3] Scrimg. *ἀποβ.*, quod in *προβ.* mutaverat Agyl. Veriora praestiterunt Zuich. et Meerm. [4] Iidem *κἄν*.

ἐξ ἀνθρώπων προϊοῦσα θυμηδία καὶ ἀγαλλίασις πρὸς τὸ τῆς γεναρχίας[5] τέλος ἀφορῶσα καὶ τοῦ γένους ἑκάστου τὴν βλάστην[6] λαμβάνει τὴν πρόοδον· οἵ τε γὰρ τῶν νυμφίων γεννήτορες, ἐν ἐλπίσιν ὄντες τοῦ γονὴν ἐπόψεσθαι τῶν οἰκείων σπλάγχνων, οἵ τε νυμφαγωγούμενοι τοῦ δοῦναι τῷ βίῳ γένους διαδοχὴν, τῆς περισταζούσης αὐτοὺς ἀπολαύουσιν ἡδονῆς. ᾧ δὲ μηδὲν ὕπεστι τοιοῦτον, ποίᾳ μὲν ἀνθρωπίνῃ εὐφροσύνῃ συνέλθοι;[7] ποίᾳ δ' ἱερᾷ συνεπιλήψεται τελετῇ; οὕτω δὲ τῆς συναφείας ὁρωμένης ἀνευφράντου καὶ ἀνιέρου καὶ ἀτελέστου καὶ ἀμεθέκτου εὐλογίας, πῶς ἡ γαμήλιος κλῆσις ἁρμόσει; μᾶλλον δὲ πῶς οὐχ οἷα καὶ ἐκθέσμῳ[8] κόλασις ἕψεται ἡ ἐπὶ τοῖς ἐκθέσμοις ὀφειλομένη; ἀλλ' ὅτι μὲν οὐδὲ τὴν ἀρχὴν γάμος δύναιτο ἂν λέγεσθαι, ὡς ἐν τύπῳ οὕτως· θεωρείτω δὲ μᾶλλον ὁ λόγος καὶ ἀκριβέστερον τὴν ἀδικίαν τοῦ πράγματος. τὸ ἄρσεν καὶ θῆλυ συναρμόζων ἐξ ἀρχῆς ὁ πλάστης πρὸς τὸν ἐκεῖθεν πληθυσμὸν ἀφορῶν διετίθει τὴν συναρμοστίαν, καὶ μὴν καὶ τῇ φύσει (καθόσον δυνατὸν οἷα δούλῃ σώζειν τοὺς δεδομένους παρὰ τοῦ κτίσαντος λόγους) σκοπὸς ἐπὶ τούτῳ γαμικὴν ὁμιλίαν συνίστασθαι, ἐφ' ᾧ τῶν γενῶν ἡ διαδοχὴ προΐοι μέχρις ἂν δι' αὐτῆς ὁ κτίσας βούλοιτο τὴν τοιαύτην ὑπ' αὐτῆς λειτουργίαν διακονεῖσθαι. εἰ οὖν ἐστὶ κἀνταῦθα ὃ καὶ τῷ πλάστῃ τῆς φύσεως καὶ τῇ φύσει νενόηται, μὴ κωλυέσθω τὸ κωλυόμενον· εἰ δ' οὐκ ἐστὶν (ὥσπερ οὐδ' ἐστὶν, ἀλλὰ πᾶν τοὐναντίον, ἄπορον μὲν εἰς πλήρωσιν τῆς δεσποτικῆς βουλῆς, ἔκφυλον δὲ καὶ οἷον μὴ ἔγνωκεν ἡ φύσις), πῶς οὐ παντὶ κωλυθήσεται τρόπῳ; εἰ δέ τις λέγοι τὸ φιλονεικεῖν ἡδὺ ποιούμενος, ὡς εἴ γε διὰ τὸ ἄγονον ἀποκλείεται γαμεῖν εὐνούχοις, πολλῶν καὶ ἄλλων ἀποκωλύσεις γάμους (οὐ γὰρ πάντες, ὅσοι πρὸς κοινωνίαν ἔρχονται, τοιαύτην φύσιν ἐκ τῆς κοινωνίας ἔδειξαν), πρὸς τὴν φιλονεικίαν ἕτοιμος ἡ ἀπόκρισις, ὅτι ἐπ' ἐκείνων μὲν, εἰ καὶ μὴ καρπὸς φύεται, ἀλλ' οὖν οὐκ ἐπὶ τούτῳ συνῆλθον οὐδ' ὥστε μὴ δοῦναι τῷ βίῳ τῆς γαμικῆς γεωργίας ὠφέλειαν, ἀλλὰ δῆλον ὡς πόθῳ μὲν παιδοποιΐας, ὑπειληφότες δὲ ὅτι πρὸς ἔργον ὁ πόθος χωρήσοι, εἰ καὶ πρὸς ἔκβασιν ἠτύχησεν ἡ ἐλπίς· ἐνταῦθα δὲ οὐκ ἔστι τοιοῦτον εἰπεῖν (πολλοῦ γε καὶ δεῖ), ἀλλ'

---

[5] Vulgo *γεωργίας*. Reposui *γεναρχίας*, quod respondeat *γεννήτορσι*, de quibus mox sermo redit. Quamquam et *γεωργίας* defendi potest, coll. *τῆς γαμικῆς γεωργίας*, quod inferius recurrit. [6] Vulgo *ἑκάστην τὴν βλάβην*, quod Steph. et Agyl. emendaverunt. [7] Osenbrüggen conj.: *ποία μὲν ἀνθρωπίνη εὐφροσύνη συνέλθοι; ποία δ' ἱερὰ — τελετή*. [8] Agyl. vult *ἐκ θεσμοῦ*. Male.

ἀκριβῶς εἰδότες οἱ κατὰ[9] τὴν ἔκφυλον συνιόντες μῖξιν, ὡς ἄγονοι καὶ ἄκαρποι, ἐπ' αὐτὸ τοῦτο καὶ συνῆλθον, καὶ καθάπερ τῇ φύσει ἐπιβουλεύοντες[10]. ἀμφότεροι τοίνυν καὶ κατὰ τοῦτο μόνον μισητοὶ, ἡ μὲν, ὅτι ἐξὸν αὐτῇ, εἰ τὴν διὰ γάμου ἐπόθησεν ὁμιλίαν, κοινωνῆσαι γονίμῳ φύσει τὴν ἄγονον ἠλλάξατο καὶ τὸ[11] ἄκαρπον, ὁ δὲ, ὡς τῇ ἑαυτοῦ ἀχρηστίᾳ περιϊστῶν εἰς τὸ ἄχρηστον εὐλογίας ἐνεγκεῖν τῷ ποιήσαντι. εἶτα καὶ χώραν μὲν, ἐξ ἧς ἄν τις ἕτερος καρπὸν δρέψαιτο, εἴ τις ὀφθείη διαλυμαινόμενος καὶ πρὸς τὸ ἀργὸν[12] αὐτῇ χρώμενος, ὡς πονηρὸν καὶ λυμεῶνα μισήσομεν καὶ εἰ δυνατὸν ἐφέξομεν αὐτοῦ τὴν προαίρεσιν, τὸν δ' εἴ τις ἐξ ἧς ὁ λογικὸς ἀναβλαστάνει στάχυς χώραν ἐξερημοῖ καὶ ἄχρηστον δείκνυσι, τούτῳ ὡς μηδὲν ἄδικον δρῶντι παραχωρήσομεν; καὶ τίς ἂν φαίη;[13] ἀλλά, φασι, παῦλος[14] εἶπε· κρεῖττον γαμεῖν ἢ πυροῦσθαι, ὥστε διὰ τὴν πύρωσιν ἀκώλυτον ἡ συνάφεια. ὁ τὸν παῦλον εἰς μέσον προάγων, πρόσχες τοῦ παύλου τοῖς ῥήμασι. γαμεῖν εἶπε, τουτέστι διὰ τῆς γαμικῆς ὁμιλίας συναρμόζεσθαι γυναικί. εἰ μὲν οὖν καὶ ἡ σὴ πρὸς γυναῖκα μῖξις συνάρμοσις γαμικὴ, καὶ ἀξία τυχεῖν εὐλογίας, ἥτις ὀφείλεται τοῖς νυμφαγωγουμένοις, γάμον αὐτὴν ἐξονόμαζε καὶ περισκόπει νύμφην· εἰ δ' εὐλογίας οὐκ ἂν οὐδ' ὄναρ ποτὲ μετάσχοις (τίς γὰρ ἂν ἢ ποία ἱερολογία ἐπὶ τοῖς ἀπ' ἐναντίας μὲν συναπτομένοις τῷ τοῦ πλάσαντος δόγματι, ἀπ' ἐναντίας δὲ τῷ νόμῳ τῆς φύσεως προέλθοι;), τί τὸν παῦλον εἰς συμφωνίαν ἕλκειν τολμᾷς τοῦ σοῦ ἀγάμου καὶ ἐκφύλου γάμου; ἄλλως τε δὲ καὶ τοῖς ἀποτέμνουσι τούτων τὴν ἀῤῥενοποιΐαν εἰ τοῦτο ἡ ἐπίνοια βούλεται (εἰ καὶ σφαλερῶς καὶ θεῷ ἀντιπράττοντες ἥκουσιν ἐπὶ τὴν πρᾶξιν), ὥστε μηκέτι δρᾶν αὐτοὺς ἅπερ ἄνδρες, ἀλλ' ὅσα γε τὴν πρὸς τὸ θῆλυ γένος ἐπιθυμίαν ἀπομαρᾶναι καὶ τῆς εὐνῆς ἀνυπόπτους φύλακας εἶναι (τοῦτο γὰρ ἡ κλῆσις ἐγγυᾶται), πῶς κατὰ τοῦτο δικαίαν οὐ χαλκεύσουσι καθ' ἑαυτῶν ἀγανάκτησιν, δι' ὧν οὐ μόνον τῇ φύσει ἐχθρὰν προαίρεσιν κέκτηνται, ἀλλὰ καὶ αὐτοῖς[15] ἐκείνοις, οἳ κἂν[16] κακοτέχνως ὅμως σπουδὴν ἔθεντο πρὸς τὸ δόξαν αὐτοῖς χρησίμους ὀφθῆναι, ἐναντιούμενοι ἀπεδείχθησαν, καὶ ξένον τὶ γένος

---

[9] Sic repono pro *καὶ*, quod Codd. praestant. Steph. et Agyl. *εἰς* emendant. [10] Nisi verbum desit, *ἐπιβουλεύουσιν* legerim. [11] Steph. et Agyl. *τὴν* legendum esse existimant. [12] Conj. Stephani. Codd. *ἄκρον*. [13] Steph. vult: *καὶ τί ἂν τις φαίη;* [14] 1 Corinth. 7, 9. [15] Scrimg. *ἐν τοῖς*. Meliora praestiterunt Zuich. et Meerm. [16] Codd. *καί*. Steph. conj. *εἰ καί*.

ὑπάρχουσιν, μήτε τῇ ἐξ ἀρχῆς προβαλούσῃ[17] φύσει, μήτε τῇ μετὰ ταῦτα μεταπλασαμένῃ κακοτεχνίᾳ συνοικειούμενοι;

Διὰ[18] τοῦτο θεσπίζομεν, τῶν εἴ τις[19] εὐνούχων πρὸς γάμον ἥκων φωραθείη[20], καὶ αὐτὸν μὲν τῇ τῆς πορνείας ὑποκεῖσθαι κολάσει, καὶ τὸν ἀνιέρως δὲ τολμήσαντα ἱερέα τὴν τοιαύτην συναρμοστίαν τελέσαι τῆς ἱερατικῆς ἀξίας ἀπογυμνοῦσθαι[21].

NOV. XCIX.

Ut actor primo de calumnia juret[1].

ΔΙΑΤΑΞΙΣ ϞΘʹ.

Περὶ τοῦ τὸν ἐνάγοντα πρῶτον ὀμνῦναι τὸν περὶ καλουμνίας ὅρκον[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ὅσα πρὸς εὐλάβειαν ὁρᾷ, ὅσα πρὸς δεξιότητα τρόπων, ταῦτα καὶ ἑνὶ ἑκάστῳ καὶ τῷ κοινῷ τῆς πολιτείας εὐχὴν καὶ ἀγώνισμα τίθεμαι καὶ παρ᾽ ἐμαυτοῦ προσεξευρίσκειν εἴ τι δυναίμην[3], καὶ παρ᾽ ἄλλων ἐξευραμένων[4] τὴν οἰκείαν παρέχειν ὠφέλειαν. διὰ τοῦτο ἐπὶ τοῖς ἄλλοις καὶ οὗτος ἡμῖν ὁ νόμος[5] οἷον ἀποφθαρεὶς τυχεῖν ἀναβιώσεως ἔδοξεν, ὃς κελεύει τὸν εἰς ἀνάγκην τοῦ ὀμνῦναί τινα καθιστῶντα αὐτὸν ἐπομόσασθαι πρότερον ἦ μὴν οὐ κακουργίᾳ τὸν ὅρκον αἰτεῖν, οὐδ᾽ ἀπὸ γνώμης δολιότητι[6] κινουμένης, ἀλλὰ ζητούσης πίστιν λαβεῖν περὶ ὧν ἡ ἀμφιβολία κυμαίνει τοὺς λογισμούς. καλῶς γὰρ τοῦ τοιούτου[7] θεσπίσματος δόξαντος τοῖς ἀρχαιοτέροις, οἱ νεώτεροι παρὰ φαῦλον θέμενοι τὸ ἐκεῖθεν ἀσφαλές, ὁρκίων[8] χρείας προβεβλημένης τὸν μὲν ἀπαιτούμενον ἀξιοῦσιν ὑπέχειν τὸν ὅρκον, περὶ δὲ τοῦ ἀπαιτεῖν ἐγνωκότος οὐδὲν πολυπραγμονοῦσιν.

---

[17] Malim προλαβούσῃ scribere. [18] Ecl. incipit. [19] Ecl. εἴ τις τῶν. [20] Ecl. ὀφθείη. [21] Codd. addunt: τὸ ὅλον δὲ ἐστὶ περὶ τοῦ μὴ εὐνούχους ἐγγαμίζεσθαι. Nempe rubrica subjicitur. Cf. superius not. 2.

[1] Ecl. Nov. 47. — Laudatur in schol. Basil. ed. Heimb. II p. 560, et in Epanag. aucta LI, 11 sic: *Λέοντος νεαρά. ὁ ὅρκον τινὶ ἐπάγων καὶ ἀπαραιτήτως ἀπαιτῶν πρότερον αὐτὸς ὀμνύτω, ὅτι τυχὸν οὐ κακούργως καὶ οὐ κατὰ δόλον αἰτεῖ τὸν ὅρκον ἀλλ᾽ ἀποφασίστως* (l. *ἀπροφ.*) *καὶ διὰ πίστωσιν τοῦτο ποιεῖ.* [2] Rubricam praepono ex Ecloga. [3] Ecl. *δύναμαι.* [4] Ecl. *ἐξευρημένα.* Rectius fortasse. [5] Spang. adducit l. 34 §. 4 l. 37 D. *de jurejur.* et l. 9 C. *de rebus creditis.* [6] Ita Ecl. Vulgo *δηλονότι.* [7] Ecl. *τοῦ τοιοῦδε.* Apud Scrimg. articulus *τοῦ* deest. [8] Steph. emend. *ὅρκων.*

Ὁρίζει οὖν τὸ ἡμέτερον κράτος κατὰ τὸ δόγμα τῶν πάλαι νομοθετησάντων τὸν τύπον τηρεῖσθαι τῶν ὅρκων, καὶ τὸν λαβεῖν ὡρμημένον παρὰ τοῦ διαμφισβητοῦντος ὅρκον[9] μέρους αὐτὸν πρότερον ὃ ζητεῖ παρασχεῖν[10] τῶν οἰκείων τρόπων ἐχέγγυον, ὡς οὐ κακομηχάνως, ἀλλ' ἀναγκαίως καὶ σὺν ἀπροφασίστῳ χρείᾳ πρὸς τὴν τοιαύτην ἦλθεν ἀπαίτησιν. οἶμαι γάρ, οὕτως ἀμφοτέρων πρὸς τὸ ἐπομνῦναι καθισταμένων ἢ πάντως λαμπροτέραν ἐπὶ τῶν ὅρκων προϊέναι τὴν ἀλήθειαν, ἢ τούτοις ὑποστολήν τινα δέξασθαι, καὶ οὐχ οὕτως προχείρως καὶ μετὰ προόδου ἑτοιμοτέρας, ὥσπερ νῦν προϊόντες ὁρῶνται, προάγεσθαι.

NOV. C.

De servis, qui liberis in matrimonium junguntur[1].

ΔΙΑΤΑΞΙΣ ρ'.

Περὶ συναπτομένων οἰκετικῶν προσώπων ἐλευθέροις[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Φιλανθρώπου γνώμης ὄντες οἱ νόμοι γεννήματα, τῇ ἑαυτῶν εὐταξίᾳ καὶ διαθετήσει καὶ περὶ τῶν μὴ πάνυ συχνῶς ἐπιχωριαζόντων ἀνθρώποις ἀμφισβητημάτων προαίρεσιν ποιοῦνται συνεισάγειν βοήθειαν. τοιαύτης δ' ὄντες φιλανθρωπίας, πῶς οὐ πολὺ πλέον εἰκότως περὶ τῶν ἐν βίῳ διὰ παντὸς στρεφομένων τὴν μέριμναν ἀναλήψονται; ὁ[3] γὰρ τὸ ἐπιμελὲς περὶ τῶν ἔλαττον λυπούντων εἰς φροντίδα φέρων, τὰ μᾶλλον ἀνιῶντα παρορῶν οὐδὲ τὴν περὶ τοῦ λυποῦντος ἔλαττον ἐπιμέλειαν δόξειεν ἂν ἐκ τούτου προμηθῶς ποιεῖσθαι.

Διὰ τοῦτο δὴ τῷ τῶν νόμων ἀξιώματι πλέον εἰς σεμνότητα νέμοντες, τὸ μέχρι νῦν ὑπὸ συνηθείας διοικούμενον, φημὶ δὲ τὸ περὶ τῶν ἐξ ἀνίσου τύχης ἐλευθέρου τε καὶ δουλευούσης νυμφαγωγοῦντος ἔρωτος πρὸς συζυγίαν ἁρμόζεσθαι φιλονεικούντων, τῇ νομίμῳ περιλήψει ἀποδιδόαμεν, καὶ θεσπίζομεν[4], ἐὰν ἐλευθερίᾳ τιμώμενον πρόσωπον δουλικῆς ἕλοιτο γάμον τύχης, ὑπὸ δυσὶ τούτοις τὸν γάμον ἔχουσι[5] πράγμασι συνίστασθαι τὴν

---

[9] Ecl. ὅρκιον. [10] Ecl. παρέχειν.

[1] Est in Ecl. Nov. 48. [2] Ecl. περὶ τῶν συναπτ. οἰκετικῷ προσώπῳ ἐλευθέρων. [3] Vulgo οὐ. Si ὁ legas, corruptela hujus loci, de qua Steph. queritur, sanatur. [4] Inc. Ecloga. [5] Ecl. συνέχουσι. Non male.

συνάφειαν· ἢ γὰρ καὶ τὴν ἴσην ἀναλαμβανέτω τύχην ὁ τῷ δουλικῷ προσώπῳ διὰ τοῦ ἔρωτος συναπτόμενος, ἢ καταβολὴν προσομολογείτω τιμήματος, δι᾽ οὗ ἀπολελυμένον τῆς δουλείας τὸ ὑπ᾽ αὐτῆς κατεχόμενον μέρος τῆς ἐλευθερίας γενήσεται[6]. *ἀλλὰ ταῦτα μὲν ἃ δεήσει καταβαλεῖν οἷον ἀῤῥαβῶνά τινα τοῦ ἀνίσου γάμου τὸν εἰς κοινωνίαν ὑπεισιόντα δουλικῆς ὁμιλίας*[7]. *τοὺς δέ γε δεσπότας ὁρίζομεν μηδ᾽ αὐτοὺς ἀφιλανθρωπότερον διατίθεσθαι, ἀλλὰ δουλεύειν μὲν προελόμενον τὸ πρόσωπον, ὃ τοῦ οἰκετικοῦ μέρους ἡρέτισεν*[8] *εἰς συνάφειαν, ὅρον εἶναι τῆς δουλείας τὴν τοῦ δεσπότου ἀποτελεύτησιν, ἧς ἀπαντώσης ἐλευθέρους ἀφίεσθαι μετὰ τῶν οἰκείων παίδων, εἴ γε καὶ παῖδας ὁ γάμος αὐτοῖς ἐχαρίσατο· εἰ δὲ μὴ σύνθοιτο δουλεύειν, μήτε τὴν ἀποπλήρωσιν τῆς τιμῆς ἐκ τοῦ ἑτοίμου ῥᾴδιος εἴη παρασχεῖν, τῆς μὲν ἐλευθερίας κατὰ βίαν οὐ ζημιωθήσεται*[9], *θητεύων δὲ παρὰ τῷ αὐτῷ δεσπότῃ, ἐφ᾽ ἑκάστῳ ἔτει τοῦ μισθοῦ δυσὶ λογιζομένου νομίσμασι, διαρκέσει τοσούτοις ὑπηρετῶν χρόνοις, ὅσοι τὴν ὁμολογηθεῖσαν*[10] *τιμὴν συγκεφαλαιωσάμενοι μέλλουσιν ἀποφῆναι τὸν δεσπότην τελείως ἀπέχοντα τὴν ὑπὲρ τοῦ δούλου λῆψιν, καὶ μηδὲν εὔλογον ἔτι πρὸς τὴν κατοχὴν ἀποφερόμενον.*

NOV. CI.

De servis in contubernio viventibus, si altera pars manumissa fuerit[1].

ΔΙΑΤΑΞΙΣ ρα΄.

Περὶ δούλων ἐν συντροφίᾳ ὄντων καὶ τοῦ ἑνὸς μέρους ἐλευθερωθέντος.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Οὐ μόνον ὁ τὴν ἀρχὴν ἐξ ἐλευθερίας καὶ δουλείας γινόμενος γάμος, ἀλλὰ καὶ ὃν οἱ κοινῶς ὑπὸ δουλείαν τελοῦντες καὶ

---

[6] Haec verba *τῆς ἐλ. γενήσεται* Stephano suspecta sunt, sed Ecl. consentit. [7] Me quidem judice hic nonnulla exciderunt, licet nec Ecloga lacunam indicet vel expleat; fortasse addendum: *χωρήσει πρὸς τοὺς δεσπότας*. Sin lacunam statuere nolis, initio legendum *ἀλλὰ ταῦτα μὲν δεήσει*, omisso *ἃ*, quod Codd. et Ecl. praestant. [8] Spang. *ᾑρέτισεν* scribi vult. [9] Ecl. *κατὰ βίαν ζημ.* negatione omissa. Quid si *κατὰ βίον* legamus? [10] Ita Ecl. Vulgo *ὁμολογισθ.*

[1] Ecl. Nov. 49, ad quam in Cod. Paris. 1355 notatur *ἄδεκτος*.

διὰ τύχης ὁμοίας ὑπῆλθον, καὶ οὗτος πολλάκις ἑνὸς αὐτῶν εἰ οὕτω τύχῃ παρὰ τοῦ δεσπότου λυθέντος δουλείας, τοῦ ἑτέρου μέρους τοῦ δεσμοῦ μὴ συναπολυθέντος, εἰς ἀνισότητα καθιστάμενος, ἐκ τοιαύτης αἰτίας οὐκ ὀλίγης ἀμφιβολίας καὶ ζητήσεως ἐκ τοῦ μὴ τυχεῖν νομικῆς διακρίσεως ἔριν ἀνακινῶν καθορᾶται. ὀφειλόμενον οὖν καὶ τοῦτο νομισθὲν τῷ ἡμετέρῳ κράτει τῆς προσηκούσης τυχεῖν διαλύσεως, τὸν δι' οὗ ῥυθμισθήσεται νόμον ἀπείληφε. τί δὲ τὸ νομοθέτημα;

Κελεύομεν τὸ τῆς δουλείας ἀπηλλαγμένον μέρος, ἂν τὴν πρὸς τὸ καταλειφθὲν δουλεύειν συνάφειαν ἀγαπᾷ, κατὰ τὸν νενομοθετημένον τύπον[2] ἐπὶ τῶν ἐξ ἐλευθερίας καὶ δουλείας συναρμοζομένων τὸ συνοικέσιον ἀδιάῤῥηκτον ἔχειν. δεῖ γὰρ ἢ τῆς διδομένης ἐλευθερίας αὐτῷ μὴ ἀντιποιεῖσθαι, ἀλλ' ἐξ ἴσου τὸν δούλειον ὑποβεβηκέναι ζυγὸν τῷ ἑτέρῳ μέρει, ἄχρις ἂν ἡ τέλειος ἡμέρα τοῦ βίου συναντήσῃ τῶν τὴν κυριότητα λαχόντι τοῦ μὴ ἀφειμένου τῆς δουλείας προσώπου, ἢ ἐάν περ τὸ ἀξίωμα τῆς ἐλευθερίας οὐκ ἀποδύηται, ἣν[3] ὑπὲρ τοῦ συζύγου μέρους ὁμολογήσει τιμὴν συντελέσασθαι. εἰ δὲ τοῦτο μὲν ὀπίσω ῥίψειε φροντίδος, ἀφορμὴν δὲ τὸ οἰκεῖον ποιούμενος ἄνετον πρὸς τὸ οἰκεῖον σχῆμα τοῦ βίου ἀναρπάζειν πειραθείη τὸ καταλειφθὲν εἰς δουλείαν μέρος, μὴ μόνον ἐκ τῆς αὐθαδείας ταύτης μηδὲν ἐξανύειν μηδ' ἰσχὺν ἔχειν ἐλευθερίαν ἑτέρῳ χαρίζεσθαι, ἀλλὰ καὶ αὐτὸν ἐκεῖνον ἧς ἔλαβεν ἐκπίπτειν τιμῆς καὶ πάλιν ὑποκύπτειν τῷ ζυγῷ τῆς δουλείας, ἅτε δὴ γνώμῃ περιυβρίσαντα μοχθηρᾷ χρηστὴν καὶ εὐεργέτιδα τοῦ ἰδίου δεσπότου προαίρεσιν, καὶ τὴν ἐκείνου κρίσιν ἀπονοηθέντα παρὰ φαῦλον ποιήσασθαι, ἣν ἐχρῆν δι' αἰδοῦς ἄγειν καὶ εὐλαβείας.

---

[2] Scil. Nov. 100. [3] Codd. et Ecl. τήν. Sed omnino ἣν reponendum, ut oratio sic procedat: δεῖ . . . συντελέσασθαι τιμὴν ἣν ὁμολογήσει.

NOV. CII.

De praediis maritimis, ut ad epochae constitutionem, cui pars non sufficit, vicinus etiam invitus adigatur[1].

ΔΙΑΤΑΞΙΣ ρβʹ.

Περὶ παραθαλασσίων χωρίων πρὸς ἐποχῆς κατάστασιν ἀνὰ μέρος μὴ ἀρκοῦντα[2] καὶ ἄκοντα τὸν μὴ θέλοντα ἄγεσθαι.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Μέγα[3] τῷ βίῳ χαρίζεται ἡ σὺν φρονήματι καὶ λογισμῷ τῶν πραγμάτων κοινώνησις. καὶ γὰρ καὶ δυνάμεώς τινι παρούσης ἐκ τοῦ κοινωνεῖν ἑτέρῳ παραπλησίως εὐποροῦντι δυνάμεως μᾶλλον ὀνησιμωτέρα καθέστηκεν ἡ δύναμις, καὶ πλουτοῦντες δὲ τρόπον ἄλλον τὸν πλοῦτον κοινοποιήσαντες γλυκύτερον τῆς ἀπὸ τοῦ πλουτεῖν ἀπολαύουσιν εὐπαθείας, καὶ στενοχωρούσης πενίας οὐκ ἀπορήσει παραμύθιον εὑρεῖν ἡ ἐν τοῖς ἔργοις κοινότης, δι' οὗ τὸ σφοδρὸν ἀλυπώτερον εἴη τῆς στενοχωρίας. ἀλλ' ὄντος οὕτω καλοῦ καὶ χρησίμου τοῦ κατὰ βίον κοινωνήματος, ξένη τὶς ἐνδυομένη κακία ταῖς τῶν ἀνθρώπων ψυχαῖς οὐ μόνον ἑτέροις ἐμποδὼν καθίσταται πρὸς ὠφέλειαν, ἀλλ' αἱρεῖσθαι πείθει τοὺς θάλποντας αὐτὴν ἀγαπᾶν καὶ τὰ οἰκεῖα καταβλάπτεσθαι, ἢ συγχωρεῖν ἐν τῷ κοινωνῆσαι τοῖς πλησίον προστιθέναι τὶ κέρδος αὐτοῖς.

Τοιοῦτόν τι προσῆλθε ταῖς ἡμῶν ἀκοαῖς γινόμενον ὑπ' ἐνίων, οἳ θαλαττίου νομῆς[4] εὐποροῦντες, καθ' ἑαυτὴν μὲν οὐ μέγα τὶ φέρειν κέρδος δεδυνημένης, σὺν δὲ τῇ γείτονι καὶ προσπαρακειμένῃ κοινωνούσης μᾶλλον τὴν ὠφέλειαν ἀποδιδούσης, οὐ βούλονται διὰ τὸ κακόγνωμον ἀναδέχεσθαι κοινωνίαν, οὐδὲ τὰ ἑαυτῶν καταμιγνύειν τοῖς γειτονεύουσι χωρίοις, ὡς ἂν ἀμφοτέροις ὑπάρξῃ τὶ κερδᾶναι, ἀλλὰ προκρίνουσι καὶ τὰ ἴδια ζημιοῦν, εἰ καὶ τῷ γείτονι πεφηνότες εἴησαν ἐπιζήμιοι. ἀλλὰ γάρ, εἰ καὶ πρὸς τὴν ἑαυτῶν βλάβην αναισθήτως οἱ τοιοῦτοι διάκεινται καὶ κακῶς ἑαυτοὺς διατιθέντες ὑπὸ κακοτροπίας ὀλι-

---

[1] Ecl. Nov. 50. Laudat Mich. Attal. in appendice. [2] Plerique Codd. Eclogae *ἀρκοῦντος* legunt. Steph. emendavit *ἀρκούντων*. Bodlej. 264 tamen *ἀρκούσης*. — Fortasse mox *τὸν γείτονα* pro *τὸν μὴ θέλοντα* legendum.
[3] Zuich. et Meerm. *μεγάλα*. Fortasse rectius. [4] Spang. *νομοῦς*. Beck et Osenbrügg. *νομάς*. Nescio quorsum.

γωροῦσι τοῦ πράγματος, ὥσπερ τὰ χαλεπὰ τῶν θηρίων πρὸς τὸ κακῶς παθεῖν ὁρμῶντες[5] ἵνα κακοποιήσωσι τοὺς πελάζοντας, ὅμως οὐκ ἀνέχεται τοιαύτην κακίαν ἡ βασιλεία ἡμῶν τῷ βίῳ παῤῥησιάζεσθαι, οὐδ' ὅτι ἐκεῖνοι προνοίας ὠφελούσης αὐτοὺς ἀνάξιοι τυχεῖν, διὰ τοῦτο καταλείψομεν ἀβοηθήτους. μέρος δέ τι καὶ ὑπὲρ αὐτῶν μὲν προνοούμενοι, μάλιστα δὲ καὶ ὑπὲρ τοῦ γειτονεύοντος μέρους, ὃ λυμαίνεται κακῶς ἡ τοιαύτη μισανθρωπία, θεσπίζομεν[6], ἐπὶ τῶν τοιούτων παραθαλασσίων χωρίων, ἐφ' ὧν ἰδία καὶ ἑκάστη μοῖρα πρὸς ἐποχῆς οὐκ ἐξαρκεῖ κατάστασιν, ἀνακοινοῦσθαι τὰ μέρη, ὥστε διὰ τῆς τοιαύτης ἀνακοινώσεως τοὺς κτήτορας ἐκ τῶν οἰκείων καὶ ὠφελεῖσθαι κτημάτων, καὶ μὴ βουλομένου θατέρου κοινωνεῖν προσώπου, πρὸς τὴν κοινωνίαν ἄκοντος συνωθουμένου. φιλάνθρωπον γὰρ καὶ ἄκοντά τινα μεταλαχεῖν ἴσμεν εὐεργεσίας, ἐνταῦθα δὲ πολὺ μείζων ἡ φιλανθρωπία, μὴ μόνον ἄκοντος εὐεργετουμένου τοῦ μὴ συνιέντος τῆς εὐεργεσίας, ἀλλὰ καὶ τοῦ παραλόγως αὐτῆς ἀποστερουμένου μὴ τὴν ἀποστέρησιν ὑπομένοντος.

NOV. CIII.

De iis, qui in maritimis praediis societatem ineunt ad epocham constituendam[1].

ΔΙΑΤΑΞΙΣ ργ'.

Περὶ τῶν ἐν θαλασσίοις νομαῖς ποιουμένων κοινωνίαν πρὸς ἐποχῆς ὑπόστασιν[2].

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Εἴωθε μὲν ἐπὶ τῶν γινομένων κοινωνημάτων πολλάκις ὁ τὸ πλέον μέρος ἐν τῇ κοινωνίᾳ συνεισφέρων τὸ πλέον τοῦ κέρδους πορίζεσθαι, καὶ καλῶς οἷς ἂν οὕτως ἀρέσκον ὀφθῇ τὸ πρᾶγμα γίνεται. πλὴν οὐδὲ διὰ τοῦτο καλῶς ἐπὶ τῶν θαλαττίων χωρίων κοινωνίας γεγενημένης ὁ τὸ πλεῖστον ἔχων ἐν τῷ τοιούτῳ χωρίῳ τοῦ τὸ ἔλαττον ἔχοντος δίκαιος ἀποφέρεσθαι μείζονα κέρδους ἀπόλαυσιν. οἷον εἰ τῷ μὲν ἑκατὸν εἴησαν ὀργυιαὶ κατ' ἰδίαν ἐξουσίαν καὶ κτῆσιν διαφέρουσαι, τῷ δὲ μὴ

---

[5] Fortasse ὁρμῶνται scribendum est. [6] Inc. Ecloga.

[1] Ecl. Nov. 51. [2] Verba πρὸς ἐπ. ὑπόστ. Ecloga non agnoscit.

τοσαῦται, πολὺ δὲ ἐλάττους, καὶ ταύτας ἡ κοινωνία πρὸς ἕνωσιν καταστήσασα τὴν ἐκεῖθεν ὠφέλειαν χορηγοῖ, δι' ἴσου τοῖς κοινωνοῖς εὔλογον νενεμῆσθαι τὴν πρόσοδον, ἀλλ' οὐχὶ πλείστῳ μέρει τὴν διανομὴν καὶ ἐλαχίστῳ προσῆχθαι. διὰ τί; ὅτι ἐν μὲν τοῖς ἄλλοις πράγμασι (φημὶ δὲ ἐν συνεισφορᾷ χρημάτων ἢ βοσκημάτων, εἰ βούλοιτο δέ τις καὶ τόπων κατὰ τὴν γῆν ὑπόντων) ἕκαστον τῶν εἰς ἕνωσιν μερῶν συνιέντων[3] ἱκανὸν καθ' ἑαυτὸ προσωφελῆσαι τὸν κεκτημένον ὁπόσον καὶ δυνατὸν ὠφελεῖσθαι, ἐν δὲ ταῖς θαλαττίαις νομαῖς οὐχ ὁμοίως ἔχει, ἐπεὶ μηδ' ὥσπερ ἐπ' ἐκείνων, οὕτως ἡ θαλαττία μερὶς ἐφ' ἑαυτῇ ἐπιμεριζόμενον τὸ ἴδιον ἔχει κέρδος. οὐ γὰρ διὰ παντὸς ἕστηκεν ἐν τοῖς αὐτοῖς ἡ ἄγρα προσμένουσα τοὺς θηρευτὰς, ἄλλως τε δὲ καὶ τοῦ δοκοῦντος πλείονος μέρους διὰ τὴν ἐλάττονος[4] ἔνδειαν ἀχρήστου τυγχάνοντος (τίς γὰρ ἐξ ἀτελοῦς χρῆσις ἢ ὄνησις;), ἡ δὲ προσθήκη τοῦ ἐλάττονος, ἀναπλήρωσις γινομένη τῆς ἀτελείας, καὶ χρήσιμον δείξασα τὸ μὴ καθ' ἑαυτὸ χρησιμεῦον, εὔλογον[5] ἂν εἴη τὴν ἰσομοιρίαν τῷ κτήτορι χορηγεῖν τῆς ἐπιλαγχανούσης χορηγίας ἐκ τοῦ μείζονος μὲν νομιζομένου μέρους, οὐδὲν δὲ συντελοῦντος χωρὶς τῆς συνεισφορᾶς τοῦ ἐλάττονος.

Διὰ[6] τοῦτο οὖν καὶ νόμον ἡ βασιλεία ἡμῶν ἐκφέρει τὸν ἀπό γε τοῦ νῦν νομίμῳ δικαιοσύνῃ περὶ τούτου διευθετοῦντα, καὶ ὁρίζομεν, ἐὰν δύο τινῶν θαλαττίων μερίδων ἕνωσις γένηται πρὸς ὑπόστασιν[7] ἐποχῆς, μία δ' αὐτῶν ᾖ μείζων, ἑτέρα δὲ ἐλάττων, ἴσῃ διανομῇ τὸ κέρδος ἐπέχειν τοὺς μερίδος ἑκατέρας δεσπόζοντας.

---

[3] Conj. Steph. Scrimg.: ἑκάστῳ — συνιέντος. [4] Scrimg. ἐλάττονα. Emendavit Steph. [5] Steph. et Agyl. εὔλογος scribere malunt, ut ad προσθήκη pertineat. [6] Inc. Ecloga. [7] Ecl. σύστασιν. Nec tamen ὑπόστασιν mutare volui, quum idem verbum supra in rubrica occurrat.

NOV. CIV.

De epochis, quae legitimum interstitium non habent[1].

ΔΙΑΤΑΞΙΣ ρδ'.

Περὶ ἐποχῶν μὴ ἐχουσῶν τὸ ἐκ τοῦ νόμου διάμετρον.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ἐπειδὴ ἐν ταῖς γείτοσιν ἐποχαῖς συμβαίνει πολλάκις ὡς τῆς[2] ἐκ τῶν γειτόνων ἀποστάσεως μὴ τὸ νενομισμένον σωζούσης μέτρον κινεῖσθαι φιλονεικίας καὶ ἔριδας, ὁρίζομεν καὶ περὶ τῶν τοιούτων ὑποθέσεων, ὥστε τὸ διωκόμενον μέρος ἐπειδὰν νομίμως ἁλίσκηται, παρούσης μὲν εὐπορίας τόπου, ποιεῖσθαι τῆς ἐποχῆς ἀναμφιβόλως τὴν μετάστασιν, ἔνθα μὴ μέλλοι γραφὴν ὑπομένειν ὡς παρορῶν τὸ τοῦ νόμου διόρισμα· μὴ παρούσης δὲ χώρας ἐφ᾽ ἣν μεταστήσεται, τῶν χρόνων ἐπιτηρεῖσθαι τὴν πάροδον, ὅσοις ἐπὶ τοῦ τόπου τοῦ ὑπ᾽ ἔγκλημα πίπτοντος ἔσχηκεν ἡ ἐποχὴ τὴν πῆξιν· κἂν μὲν ἐπιδημοῦντος τοῦ διώκοντος καὶ μηδὲν ἐπιμαρτυρουμένου ἔτεσιν ἐπὶ δέκα τὴν στάσιν ἐκέκτητο, διαμένειν αὐτὴν ἐπὶ τῆς αὐτῆς ἀμετακίνητον χώρας, εἰ δ᾽ ἀπόδημον ᾖ τὸ τὴν ἔγκλησιν ὑποβαλλόμενον πρόσωπον, οὐκ ἐξαρκέσει πρὸς τὸ ἀμετακίνητον ὁ δεκαετὴς χρόνος, ἀλλὰ δεήσει καὶ τοσοῦτον ἕτερον προσεξαριθμεῖσθαι, ὡς εἶναι τοὺς σύμπαντας εἴκοσι χρόνους. ἀλλ᾽ οὗτος μὲν ὁ διορισμὸς ἐπὶ προσώπων ἰδιωτευόντων. ἐκκλησίαι δὲ καὶ μοναστήρια, καὶ εἴ τις ἄλλος εὐαγὴς οἶκος, καὶ ὅσα πρὸς τὸ δημόσιον ἀναφέρεται, τὸν ῥηθέντα παρόψεται χρόνον, μέχρι τεσσαρακονταετίας τῶν δικαίων αὐτοῖς διασωζομένων. οὕτω δὲ περὶ τῆς ἐποχῆς[3] ἀποθεσπίζοντες στάσεως, ὅσαι διὰ χρόνων[4] παραδρομὴν τὸ ἀκίνητον ἕξουσι, κελεύομεν τοῦ προθυρίου κέρδους μὴ στερεῖσθαι τὸν τὴν ἔγκλησιν ποιούμενον, κἂν μὴ τὸ κράτος ἔσχε καθάπαξ[5] τῆς ἐκδιώξεως διὰ τὴν ἀναφανεῖσαν τοῦ χρόνου ἀντίπτωσιν.

---

[1] Ecl. Nov. 52. Laudatur a Mich. Attal. in appendice. [2] Zuich. et Meerm. *ὡς ἐκ τῆς*. Ita etiam nonnulli Eclogae Codices: alii *ὡς τῆς*, alii *ἀπὸ τῆς* omissa particula *ὡς*. [3] Scrimg. *ἐπαρχικῆς*, ubi Agyl. *τῶν ἐποχικῶν* et mox *στάσεων* emendat. Ecl. *ἐποχῆς*, quod post Cujacium Beck probavit, Osenbrüggen autem rejecit. Equidem tamen *ἐποχῶν* legere malim. [4] Ecl. *χρόνου*, quod praestare crediderim. [5] Ita Ecl. Scrimg. *καθάπερ*.

NOV. CV.

Si magistratus fiscalium rerum fur deprehensus sit[1].

ΔΙΑΤΑΞΙΣ ρε΄.

Περὶ τοῦ ἐὰν ἄρχων τὶς ἁλῷ δημοσίων πραγμάτων κλέπτης.

Καλὸν ἡ ἐκ τῶν νόμων ἐπαγομένη τιμωρία καὶ κόλασις, ὅτι σωφρονίζει τὸ ἄτακτον καὶ ἄκοντας ἀναστέλλει τῆς ἐπὶ τὰ πονηρὰ ῥύμης τοὺς προπετεῖς ἐπὶ κακίαν. καλὸν δὲ ὅτε τὴν προσήκουσαν τοῖς νόμοις σώζει φιλανθρωπίαν ἡ κόλασις, καὶ μὴ ταύτης ἐλαυνομένη διελέγχεται μηδὲ προφάσει τοῦ σωφρονίζειν ὠμοτάτην ἐπιδεικνύει προαίρεσιν, ἐπεὶ καὶ πατὴρ, ἕως μὲν φιλανθρώπως κολάζει πταίσαντα τὸν παῖδα, καὶ τῆς προμηθείας ἐπαινετὸς καὶ τῆς κολάσεως, ἐπειδὰν δὲ τῆς πρεπούσης πατρὶ γνώμης ἐκπίπτων οὐ κατὰ λόγον πατρικῆς φιλανθρωπίας ἀλλ᾽ ἐκ τοῦ χαλεπωτάτου τρόπου τὴν ποινὴν ἐπιτίθησι τῷ παιδίῳ, οὔτε πατρικῶς παιδεύει καὶ πρὸς ἀποδοχὴν οὐδεὶς ἔσται τῆς χαλεπότητος. εἰ δὴ πατέρες οἱ νόμοι σὺν ἀληθείᾳ τυγχάνουσιν, ὥσπερ δὴ καὶ τυγχάνουσι, πάντως ἀκόλουθον κατὰ λόγον τῶν ἁμαρτημάτων καὶ τὰς ποινὰς τούτους ὁρίζειν, ἀλλὰ μὴ βίαιόν τινα καὶ πολὺ βαρυτέραν τοῦ πταίσματος ἐπιφορτίζειν τὴν τιμωρίαν. ποῦ γὰρ νομίμου παιδαγωγίας, ποῦ δὲ τῆς ἐκεῖθεν ἰατρείας, τὸ τιμωρεῖσθαι θανάτῳ τὸν μη θανάτου τινὶ δεδειγμένον παραίτιον; καὶ ἰατρῶν μὲν παῖδες[2] οὐκ ἀποτόμως τὴν τῶν μελῶν ἐπιψηφίζονται τομὴν, νόμος δὲ, ὁ συμπάθειαν ἀσυγκρίτως ἐπαγγελλόμενος κρείττονα τῆς ἰατρικῆς συμπαθείας (εἴ γε τῇ μὲν περὶ τὰ σώματα τῆς εὐεργεσίας ὁ σκοπὸς, νόμοι δὲ σὺν τῇ ψυχῇ καὶ τοῖς σώμασι διδόασι τὰς εὐεργεσίας), τοσαύτην ἀποτομίαν κατὰ τῶν οὓς προαιροῦνται θεραπεύειν ἐπιδείξονται;

Τούτων οὖν οὕτως ἐχόντων, ὁ θάνατον ἐπιψηφιζόμενος νόμος[3] κατὰ τοῦ κλοπῇ δημοσίων πραγμάτων ἄρχοντος ἁλόντος, καὶ οὐ κατ᾽ αὐτοῦ μόνον, ἀλλὰ καὶ εἴ τινες αὐτῷ κοινωνοὶ γεγόνασιν, ὡς οὐ φιλάνθρωπος[4] καὶ νομικῆς γνώμης ὑπάρχων, ἤρεσε τῷ ἡμετέρῳ κράτει ὥστε μηκέτι νομίμοις αὐτὸν συμπολιτεύεσθαι διατάξεσι, μηδὲ χρηματίζειν ὅλως, ἀλλ᾽ ἀπολίτευτον

---

[1] Cf. schol. ad Bas. ed. Heimb. V. p. 820. [2] Hoc verbum mihi suspectum est. [3] L. un. C. *de crimine peculatus.* [4] Meerm. *φιλανθρώπου.*

ἀπεῤῥίφθαι καὶ ἄχρηστον, δίκην ἀπό γε τοῦ νῦν τῶν τοιούτων ἀρχόντων ἀντὶ τῆς δημοσίου κλοπῆς ἀπαιτουμένων τὴν ἔκπτωσιν τῆς ἀρχῆς καὶ τὴν εἰς τὸ διπλάσιον ἀντέκτισιν ὧν ὑφείλοντο, καὶ τῶν ἐπὶ τούτῳ[5] κοινωνησάντων, εὐπόρων μὲν ὄντων, πρὸς τὴν αὐτὴν ὑπαγομένων ζημίαν, ἀπόρων δὲ μάστιξιν αἰκιζομένων καὶ ἀτίμῳ κουρείᾳ καὶ φυγαῖς ὑπερορίοις.

NOV. CVI.

Ut pauperes uxores et indotatae filii portionem capiant[1].

ΔΙΑΤΑΞΙΣ ρς'.

Περὶ τοῦ τὰς ἀπόρους γυναῖκας καὶ προῖκα μὴ εἰσενεγκούσας, καὶ περὶ τοῦ λαμβάνειν παιδὸς μοῖραν αὐτάς[2].

Πρᾶγμα παράλογόν πως δοκοῦν καὶ τῷ δικαίῳ μὴ συνεπόμενον καλῶς ἔχειν ἡμῖν καταφαίνεται εἰς τὴν πρέπουσαν καταστῆναι τάξιν, νόμον περὶ τούτου διαθεμένοις. τί δὴ οὖν τὸ πρᾶγμα ἐστίν; οἷα εἰκὸς πολλάκις γυναῖκες ἔρημοι πλούτου καὶ κτήσεως ἀνδράσιν εὐπλούτοις ἁρμόζονται. αὗται τοῦ γαμέτου λιπόντος τὸν βίον τὸ ἐκ τῆς ἐκείνου περιουσίας ἐρχόμενον μέρος (ἔρχεται δὲ ἐπὶ μὲν τέτρασι παισὶν ὁμώνυμος τοῦ ἀριθμοῦ τούτου μερὶς, ἐπὶ δὲ πλείοσι μόνον τέκνου ἑνός) οὐκ εἰς ἀΐδιον ἐξουσίαν, οὐδ᾽ ὥστε περὶ αὐτοῦ κῦρος ἔχειν διάταξιν τίθεσθαι τοῦτο λαμβάνουσι, μόνης[3] δὲ τῆς ἐν τῷ βίῳ χρήσεως καὶ τοῦ ἐκεῖθεν τῆς ζωῆς τὴν χορηγίαν πορίζεσθαι· καταλιπούσης δὲ τὴν ζωὴν εἰς τοὺς παῖδας ἡ ἐξουσία τοῦ τοιούτου μέρους μεθίσταται· μὴ συγχωρουμένης ἀδείας τῇ γυναικὶ ὡς οἰκείοις ἀποχρήσασθαι πράγμασι, πλὴν εἰ μὴ ἀτεκνία προσῇ, καὶ διὰ τῆς τοιαύτης δυστυχίας εὐτυχήσῃ τὴν τῶν πραγμάτων δεσποτείαν· ὥστε οὐκ οἶδα πότερον εὔξεται ἡ γυνὴ καρπὸν κοιλίας ἰδεῖν, ἢ καταράσεται μὴ φῦναι τοῦτον, ἵν᾽ οὕτως ὀφθῇ κυρία τῆς διαφερούσης μερίδος.

---

[5] Scrimg. τούτων. Emend. Steph.

[1] Ecl. Nov. 53. Cf. Psell. v. 865—867. Harm. V, 8, 82. [2] Zuich. et Meerm. addunt: ζήτει τῶν βασιλ. βι. κη' τί. ιβ' κεφ. γ'. — Caeterum in Ecloga rubrica sic audit: περὶ ἀπροίκων γυναικῶν τοῦ λαμβάνειν παιδὸς μοῖραν. [3] Pendent haec a praecedentibus κῦρος ἔχειν, nec opus est ut cum Steph. et Agyl. ἕνεκα suppleas.

Ταύτην[4] *δὲ τὴν ἀτοπίαν ἡ βασιλεία ἡμῶν ἐπανορθουμένη θεσπίζει ἀναφαίρετον ἔχειν τὴν κυριότητα τὴν γυναῖκα τοῦ τοιούτου μέρους, καὶ ὅρον ἐπὶ τούτῳ ἐκφέρειν ὃν*[5] *ἂν αὐτῇ δόξῃ, μηδενὸς ἄλλου τοῖς παισὶν ὀφειλομένου πλὴν τοῦ κατὰ τὸν φαλκίδιον αὐτοῖς ἐπιλαγχάνοντος· δηλονότι μὴ τῶν προτέρων γάμων ἐπιλελησμένης τῆς μητρὸς μηδὲ ἐπεισαγωγῇ δευτέρου ἀνδρὸς τὴν τοῦ πρώτου κοίτην οὐκ ἐν τιμῇ τιθεμένης. ὡς εἴ γε τοῦτο συμβαίη, πάντως ἐκπεσεῖται τῆς παρ' ἡμῶν διδομένης ἐξουσίας, καὶ οἱ παῖδες τῆς ζωῆς ἤδη τῇ μητρὶ διαλυθείσης τῶν πραγμάτων ἐξουσιάσουσι.*

NOV. CVII.

Ut inscribant, qui criminalem actionem intendunt[1].

ΔΙΑΤΑΞΙΣ ρζ'.

Περὶ τοῦ ἐγγράφεσθαι τοὺς εἰσάγοντας δίκην ἐγκλήματος, ἤτοι τὸν βουλόμενον εἰσιέναι δίκην πρότερον ἐγγράφῳ πίστει[2].

Ἄριστόν ἐστι πᾶν, εἴ τι καλὸν καὶ τῷ βίῳ συμφέρον, ἀγήρατον καὶ ἀειθαλὲς διαμένειν, καὶ μηδέποτε τῶν τοιούτων ἀπομαραίνεσθαι τὴν ὠφέλειαν. εἰ δ' ἄρα καὶ συμβῇ, καθάπερ πολλάκις συμβαίνειν φιλεῖ, παραμεληθέντος[3] *ἀποῤῥυῆναι τὸ χρήσιμον, ἀλλὰ τούς γε φροντίδα τῶν ἀνθρωπίνων καλῶν ποιουμένους προσῆκε μὴ κατολιγωρεῖν τῆς ἀποκαταστάσεως τοῦ τὴν ἑαυτοῦ λυσιτέλειαν τῷ βίῳ παρεχομένου.*

Διὰ[4] *τοῦτο καὶ τὸ ἡμέτερον κράτος νόμον τινὰ λυσιτελέστατον μὲν τῷ βίῳ, νῦν δ' ὥσπερ γεγηρακότα καὶ πρὸς τὸ ἄχρηστον κινδυνεύσαντα περιστῆναι εἰς τὴν ἀρχαίαν ἐπανάγον*[5] *ἰσχὺν, τὸ γῆρας οἷον ἀποξέει τῆς ἀχρηστίας καὶ ἀνακαινίζει πρὸς τὴν ἀρχῆθεν χρῆσιν καὶ τῆς πολιτείας ὠφέλειαν. ὁ μὲν*

---

[4] Ecl. incipit sic: *καὶ ταύτην τὴν νομοθεσίαν ἡ βασ.* [5] Ita Ecl. Vulgo *ὅς*.

[1] Ecl. Nov. 54. Cf. Harm. I, 2, 33 ibique schol. [2] Haec verba *ἤτοι τὸν βουλ. κτλ.* — corrupta illa in fine — Ecl. non agnoscit. Zuich. autem et Meerm. notant: *ζήτει τῶν βασιλ. βι. ζ' τί. δ' κεφ. β'.* [3] Malim *παραμεληθέν πως.* [4] Inc. Ecloga. [5] Vulgo *ἐπανάγων*, sed rectius nonnulli Eclogae Codices *ἐπανάγον* scil. *τὸ ἡμέτερον κράτος.*

δὴ νόμος[6] περὶ τῶν ὅσοι κινήσεις ἐγκλημάτων προάγουσιν[7], ὥστε τούτους πρὶν εἰς τοὺς λόγους ἐλθεῖν τοῦ ζητήματος περὶ τῆς οἰκείας προαιρέσεως ἐγγράφῳ διαβεβαιώσει πίστιν παρασχεῖν τῷ κριτῇ, ὅτι περ οὔτε δολιότητι παρενοχλοῦσι γνώμης οὔτ' ἐπὶ προλαβούσῃ καταδεδικασμένοι ἐξετάσει, οὐ μὴν οὐδὲ νῦν εἰδότες αὐτὸ τοῦτο μηδεμίαν μὲν εἰς τὴν τοῦ δικαίου χώραν εἴσοδον ἔχειν, κακούργως δὲ βεβουλευμένοι πράγματα παρέχειν τῷ ἀντικρινομένῳ, οὐδέ γε[8] τὸ ἀληθὲς διαστρέφειν ψεύδει πειράσουσι. ταῦτα μὲν τοῦ νόμου τὰ διορίσματα· καὶ καλῶς διωρίζετο, καὶ ταῦτα τῷ παραβάντι ποινὴ[9] ἐπετίθετο, οὐ μόνον δὲ, ἀλλὰ καὶ τοὺς συνηγόρους ὁ ῥηθεὶς ἐπὶ τοῖς ὁμοίοις ἐδοκίμαζε νόμος. ἀλλὰ τοῦτον καθάπερ εἶπον ὥσπερ ἀπεφθιμένον[10] περιεστηκότα εἰς τὸ παντελῶς ἄχρηστον ἡ βασιλεία ἡμῶν καὶ πρὸς τὴν πρώτην ἀνακομίζει ῥώμην, καὶ τὴν εἰς τὴν πολιτείαν αὐτῷ παῤῥησίαν χαρίζεται. καὶ θεσπίζομεν ἀπό γε τοῦ παρόντος τοὺς βουλομένους δίκην εἰσέρχεσθαι πρὸ τῆς εἰσόδου τὰ ὑπὸ τοῦ νόμου προτιθέναι διοριζόμενα[11].

NOV. CVIII.

De eo, qui ad primam denunciationem judicio se non sistit[1].

ΔΙΑΤΑΞΙΣ ρη'.

Περὶ τοῦ μετὰ τὴν πρώτην δήλωσιν μὴ πρὸς τὸ κριτήριον ἀπαντήσαντος[2].

Οὐδὲ τοῦτο τὸ καταπεφρονημένον καὶ διὰ παροράσεως

---

[6] Osenbrüggen *διορίζει* addendum censet. — Caeterum cf. Justiniani Nov. 49 c. 3, et l. 2 C. *de jurej. propl. calumn.* [7] Ecl. *προσάγ.* [8] Codd. habent *γάρ*, quod Ecl. non agnoscit et recte expunxit Steph. [9] Hoc sic intelligi potest, ut in locum poenae juramentum calumniae introductum sit. Fortasse autem legendum: *τῷ παραβάντι* (sc. *εἰς δικαστήριον*) *κοινῇ* i. e. tam actori quam reo. [10] Ecl. *ἀποφθινόμενον.* [11] Codd. *προτιθέντα διοριζόμενα.* Ecl. *προτιθέναι διοριζόμεθα.*

[1] Ecl. Nov. 55. Cf. Harm. I, 2, 4. Epanag. aucta LI, 12: *περὶ ἀπειθούντων εἰς δικαστήριον λέοντος νεαρά. ὁ κατὰ πρώτην καὶ δευτέραν δήλωσιν, οὐ μὴν ἀλλὰ καὶ τρίτην εἰς ἣν ὀφείλει καταμηνύεσθαι ἀπὸ τοῦ δικάζοντος, μὴ ἀπαντήσας εἰς τὸ δικαστήριον, ἀλλὰ προπετῶς ἄνευ εὐλόγου αἰτίας ἀπολειφθεὶς καὶ ἀπὼν, μονομερῶς καταδικάζεται, καὶ οὐδὲ ἐκκαλεῖται. αὕτη ἡ κρίσις τηρεῖται ἐφ' ἑκατέρου προσώπου, τυχὸν* (l. *τουτέστιν*) *ἐπί τε τοῦ διώκοντος καὶ τοῦ φεύγοντος.* [2] In Ecloga rubrica est: *περὶ τοῦ τοὺς καταμηνυθέντας τρίτον καὶ μὴ ἀπαντήσαντας εἰς τὸ κριτήριον εὐθύνεσθαι καὶ*

γεγονὸς καταλειφθῆναι θέμις ἀνεπανόρθωτον, ἀλλ' ἄξιον αὐτὸ[3] τῆς προσηκούσης βοηθείας τυχεῖν, ὡς ἐν τοῖς τοῦ βίου πράγμασι πολλὴν παρεχόμενον τὴν ὠφέλειαν.

Οὐκοῦν ὁμοίως καὶ τοῦτο πρὸς καινισμὸν καθιστῶντες, ὥσπερ ἐκεῖνο τὸ μέρος ὃ περὶ τοῦ[4] εἰσιέναι πρὸς δίκην τύπον ἐκφέρει, θεσπίζομεν[5], τὸν ἅπαξ ὑπὸ δικαστικῆς προσκλήσεως ἐπὶ τὴν κρίσιν κληθέντα, καὶ μήτ' αὐτὸν ὑπακούσαντα μήθ' ἕτερον πρόσωπον ἀνθ' αὑτοῦ[6] πρὸς τὴν κρίσιν ἀπαντῆσαι διαποστείλαντα, πάλιν δευτέρας ἀξιοῦσθαι δηλώσεως, ἀπειθήσαντα δὲ καὶ[7] ταύτῃ, μηδὲ τῆς τρίτης ἀνάξιον κρίνεσθαι, καὶ μέχρι τοσούτου τῆς δικαστικῆς ἐπιεικείας αὐτὸν ὑπομενούσης εἴπερ καταφρονῶν ὀφθῇ[8] καὶ τοῦ τρίτου μηνύματος[9], καὶ μηδεμιᾶς εὐλόγου προφάσεως τὴν ἀπάντησιν κωλυούσης οὔτε δι' ἑαυτοῦ οὔτε δι' ἑτέρου προσώπου τῷ δικαστικῷ βήματι παραστῇ, τότε δὴ τότε καὶ μὴ παρόντι τὴν καταδικάζουσαν ψῆφον αὐτῷ[10] λαγχάνειν, καὶ μηκέτι ἐξὸν εἶναι καθ' οἷον δή τινα τρόπον μήτ' ἀμφισβητεῖν μήτε τὴν κατάκρισιν ἀποδύεσθαι.

Ταύτην δὲ τὴν ψῆφον ὁρίζομεν ἐφ' ἑκατέρου προσώπου, εἴτε τὶς προσκληθεὶς[11] κατολιγωρήσει τῆς ἀπαντήσεως, εἴτε τις ἔγκλησιν ποιήσει καὶ τῷ βήματι παραστήσει τὸ διαμφισβητοῦν μέρος, εἶτα μετὰ τὴν προβολὴν τοῦ ἐγκλήματος κακομηχάνως ἀποστῇ, ταλαιπωρίαν ἐκ τούτου τῷ ἀντικρινομένῳ περινοῶν καὶ ἀναβολὴν τοῦ πέρατος τοῦ ζητήματος. καὶ οὗτος γὰρ παρὰ τοῦ δικαστοῦ προσκαλούμενος ἄχρι τρίτου καὶ μὴ πειθαρχῶν κατακεκρίσεται καὶ μὴ παρών, μηδεμιᾶς ἄλλης ὥσπερ εἶπον ἀφορμῆς εἰς δικαίαν ὑπούσης παραίτησιν, ἣ δυνήσεται ὑπὲρ τοῦ μὴ ἀπαντήσαντος τὰ εἰκότα διαπολογήσασθαι.

κατακρίνεσθαι. Zuich. et Meerm. in fine constitutionis addunt: *τοῦτό ἐστι περὶ τοῦ τοὺς μηνυθέντας κτλ.* [3] Steph. conj. *καὶ αὐτό.* [4] Codd. *τῶν.* Pluralem tamen servare vult Steph., addito participio *βουλομένων* vel *μελλόντων.* [5] Ecl. incipit. [6] Ecl. *ἑαυτοῦ.* [7] Ita Ecl. Codd. *ἀπειθ. δὲ ταύτην.* [8] Ecl. *ὀφθείη.* [9] Ita nonnulli Eclogae Codices. Recte. Vulgo *μένοντος.* [10] Nonnulli Eclogae Codd. *παρόντα — αὐτόν.* [11] Ita Ecl. Vulgo *προκλ.*

NOV. CIX.

Ne sponsalia intra septimum annum ineantur neque benedictio celebretur intra decimum quartum vel decimum tertium in mulieribus[1].

ΔΙΑΤΑΞΙΣ ρθ'.

Περὶ τοῦ μὴ γίνεσθαι μνηστείαν ἔνδοθεν τῶν ἑπτὰ ἐτῶν, εἴτε ἱερολογίαν ἔνδοθεν τοῦ τεσσαρεσκαιδεκαετοῦς[2] χρόνου, καὶ τοῦ τρισκαιδεκάτου ἐπὶ γυναικῶν.

Τοῦ σοφοῦ παραινοῦντος[3] καιρὸς τῷ παντὶ πράγματι, καὶ τῆς κοινῆς παρὰ πᾶσιν ὅσοι φρενὸς εὐτυχοῦσιν ὑπολήψεως τοῦτο καὶ τιμώσης καὶ συνομολογούσης, καλῶς ἔχει μάλιστα μὲν ἐν πάσῃ πράξει τηρεῖν τὸν καιρὸν, εἰ δ' οὖν ἀλλ' ἔν γε τῇ κατὰ γάμον συναρμοστίᾳ τοῦτον μὴ παρορᾶν. δεῖ γάρ, ὅσον ἐν τοῖς κατὰ τὸν βίον πράγμασιν ἀναγκαιοτέρα ἡ ἐπιχείρησις, τοσοῦτον μετὰ γνώμης ἀσφαλεστέρας ἐπὶ ταύτην χωρεῖν.

Τούτου δὴ ἕνεκεν κατὰ τοὺς πάλαι καλῶς συνειδότας περὶ τούτου καὶ νόμον θεμένους ἡμεῖς[4] θεσπίζομεν, μηδαμῶς συνίστασθαι μνηστείαν ἐπὶ χρόνοις ἐλάττοσι τῶν ἑπτά, μήτε μὴν ἱεροτελεστείαις βεβαιοῦσθαι τὴν μνηστείαν τοῦ τρισκαιδεκάτου ἔτους ἐνδεούσης τῆς νύμφης, τοῦ δὲ νυμφίου τὸν τεσσαρεσκαιδέκατον μὴ διαμετροῦντος. ἀλλὰ τοῦτο μὲν ἀπηγόρευται πρὸς τὴν κοινὴν καὶ δημοσίαν τοῦ πολιτεύματος χρῆσιν. εἰ δὲ βασιλεὺς (οἷα πολλὰ συμβαίνει) πράττων οἰκονομίαν τινὰ καὶ μνηστείαν καὶ τὴν ἐξ ἱερολογίας συνάρμοσιν τοῖς μνηστευομένοις ἔνδον τῶν διορισθέντων ἐτῶν ἐπιψηφιεῖται, τοῦτο πρὸς τὸν νόμον οὐδὲν ἀντικείσεται. ἔξεστι γὰρ τοῖς ἐκ θεοῦ τὴν οἰκονομίαν τῶν κοσμικῶν ἐγκεχειρισμένοις πραγμάτων ὑπέρτερον ἢ κατὰ νόμον οἰκονομεῖν, ὃς ἄγει τοὺς ὑπηκόους.

NOV. CX.

Ut mulier inventarium faciat dotis suae et propter nuptias donationis et reliquae totius substantiae mariti, simulatque matrimonium

---

[1] Ecl. Nov. 56. Allegatur a Psello v. 868 (?), Harm. IV, 1, 11 et in Resp. Jo. Citri (ed. Rhalli V p. 419). — Cf. supra Nov. 74. [2] Ita ex Ecl. do. Scrimg. δεκαετοῦς. — Zuich. et Meerm. praeterea addunt: ζήτει τῶν βασιλ. βι. κη' τί. α' κεφ. ι' καὶ τί. δ' κεφ. να'. [3] Ecclesiast. 3. [4] Ecl. incipit.

solutum sit, et prolato inventario resarciri sibi postulet, si quid damni a marito in rebus suis se passam dicat: citra inventarium vero evidentemve probationem nihil petat nec petendo accipiat[1].

ΔΙΑΤΑΞΙΣ ρι'.

Περὶ τοῦ τὴν γυναῖκα ἀπογραφὴν ποιεῖσθαι τῆς τε οἰκείας προικὸς καὶ τῆς πρὸ γάμου δωρεᾶς καὶ τῆς ἄλλης ἁπάσης ἀνδρῴας ὑποστάσεως, ἐπειδὰν τὸν γάμον λυθῆναι συμβαίη[2], καὶ τῇ προενέξει τῆς ἀπογραφῆς ἐπιζητεῖν εἴ τινα λέγοι παρὰ τοῦ ἰδίου[3] ἀνδρὸς ὑποστῆναι καινοτομίαν εἰς τὰ ἀνήκοντα αὐτῇ, χωρὶς δὲ ἀπογραφῆς εἴτ' οὖν[4] ἐναργοῦς ἀποδείξεως μηδὲν ζητεῖν, μήτε ζητοῦσαν ἀπολαμβάνειν[5].

Μετὰ τῶν ἄλλων, ὅσα περὶ τοὺς γάμους εὐαγῶς τοῖς ἀρχαίοις προνενόηται, καὶ τούτου δεούσης προνοίας τυχόντος τοῦ μέρους[6] (φημὶ δὴ τοῦ μετὰ τὴν γαμικὴν διάλυσιν μὴ τὴν γυναῖκα ὅπως ἔτυχεν ἀντιποιεῖσθαι τῆς τῶν ἀνδρῴων πραγμάτων λήψεώς τε καὶ κατασχέσεως, ἀλλ' εἰ περὶ τούτων ἀμφισβητοίη, πρότερον δημοσίᾳ τῆς τε οἰκείας προικὸς καὶ τῆς πρὸ γάμου δωρεᾶς καὶ τῆς ἄλλης ἁπάσης ἀνδρῴας περιουσίας τὴν μετὰ θάνατον τοῦ ἀνδρὸς γεγενημένην ἀπογραφὴν ἐξενεγκεῖν, καὶ εἴ τι ἐν ταύτῃ διαγινώσκοιτο παρὰ τοῦ γαμέτου ἀνηλωμένον, τούτου τὴν ἀναπλήρωσιν ἐκ τῶν ἐκείνου ζητεῖν πραγμάτων), καὶ τούτου δὴ καθάπερ ἦν θεμιτὸν τοῖς ἀρχαίοις διωρισμένου, νυνὶ δ' ὀλιγωρίᾳ παραδοθέντος, ἐπειδὴ τῆς τῶν ἀρχαίων προνοίας τὸ χρήσιμον συνείδομεν ἄξιον σώζεσθαι, τὸ ἐκείνων ἀνανεούμενοι θέσπισμα ὁρίζομεν, ἀπό γε τοῦ παρόντος ἀπογραφὰς τῆς τε προικὸς καὶ τῆς πρὸ γάμου δωρεᾶς καὶ τῆς ἄλλης ἁπάσης τοῦ ἀνδρὸς περιουσίας ἐκ παντὸς τρόπου παρὰ ταῖς γυναιξὶ σπουδάζεσθαι, ὡς, ἐάν ποτε γυνὴ πρὸς τοιαύτην φιλονεικίας ὑπόθεσιν καταστῇ καὶ πρὸς τὴν ἀνδρῴαν χωρεῖν ὕπαρξιν ἀντὶ τῶν καταστάντων εἰς μείωσιν οἰκείων ἀξιοῖ, ἐξ ἐκείνης τῆς ἀπογραφῆς ἤτοι ἀποδείξεως τὸ δίκαιον τῶν λόγων γνωρίζεσθαι

---

[1] Extat in Codd. Synopseos Bieneriano, Paris. gr. 1351 et 1357 A, et Vat. 852. Laudatur ab Harm. I, 13, 34. [2] Cod. Bien. Synopseos reliquam partem rubricae post *συμβαίη* omittit. [3] Verbum *ἰδίου* in Cod. Syn. Paris. 1351 deest. [4] Scrimg. *εἴτε οὖν*. Emendavi e Paris. 1351. [5] Ita Paris. 1351. Vulgo *λαμβ.* [6] Cf. Ecloga II, 5 et Innere Gesch. des Byz. Rechts I p. 56.

κατὰ τρόπον ἀντιποιουμένης τῶν τοῦ συζύγου πραγμάτων, εἴ γε παρ᾽ ἐκείνου φαίνοιτο τῶν ἐν τῇ ἀπογραφῇ κειμένων ἀνάλωσις γεγενημένη· ἄνευ δὲ τῆς ἐκεῖθεν μαρτυρίας μήτε τὴν ζήτησιν χώραν εὑρίσκειν, μήτε ζητούσης φιλονείκως ἢ ἀκροάσεως τυγχάνειν ἤ τι τῶν ἐπιζητουμένων λαμβάνειν. τὸν δὲ χρόνον τῆς ἀπογραφῆς ὁρίζομεν εἴσω τριῶν μηνῶν γίνεσθαι, καὶ τὰ ἐπιτίμια προβαίνειν, οἷα δὴ καὶ περὶ τῶν ἐπιτρόπων τοῖς παλαιοῖς[7] νενομοθέτηται[8].

NOV. CXI.

Si uxor in furorem inciderit, marito ei non insidiante, nec sceleris conscio si ab aliis furore afficitur, ut usque ad tertium annum matrimonium non solvatur, et, si adhuc furor duret, nuptiae dirimantur et viro licentia sit uxorem ducere quam elegerit[1].

ΔΙΑΤΑΞΙΣ ρια΄.

Περὶ τοῦ γυναικὸς εἰς μανίαν περιπεσούσης μὴ κατ᾽ ἐπιβουλὴν τοῦ οἰκείου ἀνδρὸς, μήτε μὴν συνειδότος αὐτοῦ τὴν κακουργίαν, εἰ παρ᾽ ἄλλων τινῶν ἡ μανία κεκακούργηται, μέχρι τρίτου ἔτους διαμένειν τὸν γάμον ἄλυτον, καὶ εἰ ἔτι τὰ τῆς μανίας λυπεῖ, τέμνεσθαι τὴν συνάφειαν καὶ μνηστεύεσθαι τὸν ἄνδρα σὺν ἀδείᾳ[2] ἣν ἂν ἕληται.

Ὁ αὐτὸς βασιλεὺς στυλιανῷ τῷ αὐτῷ.

Ὡς μὲν οὐδὲν οὕτω πρὸς βίον ἀνθρώπῳ[3] καθέστηκεν ἀναγκαῖον, ὡς ἡ παρὰ τῆς πλευρᾶς κεχαρισμένη ἀνδρὶ βοήθεια,

---

[7] Videsis l. 7. D. *de admin. et peric. tutorum.* l. 24 C. eod. [8] Codices Synopseos laudati subjiciunt haec: *Ἡ ἀγωγὴ τῆς ἐχούσης προῖκα μετὰ θάνατον τοῦ ἀνδρὸς, εἰ χρέεσιν ὑπόκειται, ἔχει προνόμιον ποιεῖν ἀπογραφὴν, εἰ μὲν ἐστὶν ἔσωθεν τῆς πόλεως, μέχρι τριῶν μηνῶν, καὶ παραγράφεται τοὺς δανειστὰς λαμβάνουσα τὴν ἰδίαν προῖκα καὶ τὰ βοηθοῦντα αὐτῇ· εἰ δὲ ἔξωθεν τῆς πόλεως ἐπὶ θέματος, ἔχει ἐξουσίαν ποιεῖν ἴμβεντον μέχρι μηνῶν δώδεκα. εἰ δὲ ἴμβεντον οὐ ποιήσει ἐμπροθέσμως, βοηθοῦνται οἱ δανεισταί.*

[1] Laudatur a Bals. ad Phot. XIII, 30. XIV, 7 (ed. Rhalli I p. 331. 335) et ad Timothei c. 15 (ib. IV, 340), nec non a Blast. *Γ*, 26 (ed. Bev. II p. 86), denique ab Harm. IV, 1, 15 et in scholio ad Epit. canon in Leuncl. JGR. I p. 55. [2] Zuich. et Meerm. *συναδείσθαι.* — Iidem subjiciunt: *ζήτει βι. τῶν βασιλ. κη΄ τί. α΄ κεφ. ε΄ καὶ τί. ε΄ κεφ. ογ΄ θέ. ι΄ καὶ τί. ζ΄ κεφ. ιδ΄.* [3] Scrimg. *ἀνθρώπων.*

καὶ ὁ ἐξ ἀρχῆς ὑποστησάμενος τὴν πλάσιν τεχνίτης ἐδίδαξε, καὶ ἡ φύσις αὐτὴ τῷ θείῳ διδάγματι προσμαρτυρεῖ. τούτου δ᾽ οὕτως ἀναγκαίου τυγχάνοντος, ἔπρεπε καὶ τὴν τοῦ νόμου πρόνοιαν, καὶ εἴ τις ἑτέρωθεν φροντὶς συνεπιλαμβάνεται, τὰ τοιαῦτα περὶ τοῦ πράγματος καὶ πεφροντικέναι καὶ διορίζεσθαι, οἷα τῇ πάσῃ ζωῇ τῶν διὰ τῆς συζυγίας ἡνωμένων[4] εἰς βοήθειαν ὑπάρξει καὶ ἀγαλλίασιν καὶ τὸν ἀπ᾽ ἀρχῆς σκοπὸν βεβαιώσει τῆς νυμφεύσεως, ἀλλὰ μὴ τοὐναντίον εἰς κατατριβὴν καὶ ταλαιπωρίαν καὶ διὰ βίου μὴ ἀνιεῖσαν κατήφειαν. εἰ οὖν τοιαύτην δεῖ γενέσθαι τὴν συζυγίαν, ὥσπερ καὶ δεῖ, οὐ δοκεῖ μοι χώραν ἔχειν ἀποδοχῆς ἐκεῖνος ὁ νόμος[5], ὃς μετὰ τὴν μνηστείαν εἰς μανίαν τῆς μεμνηστευμένης περιπεσούσης, βιάζεται τὸν γαμέτην διὰ παντὸς τοιούτῳ συνεζεῦχθαι κακῷ, καὶ τῇ συμφορᾷ τῆς μανίας ἀεὶ περιστοιχίζεσθαι. ποῦ γὰρ ἀποδοχὴ[6], ποῦ δ᾽ εὔλογον ἢ τῶν περὶ συμβιώσεως ἄξιον φροντίδων, τὸ προσδεδέσθαι διὰ βίου τὸν ἄνδρα μανείσῃ τῇ γυναικὶ καὶ τοῖς ἐκεῖθεν ἀνιαροῖς κατατρύχεσθαι; εἰ γὰρ οὐδεὶς οὕτως ἀφιλάνθρωπος, ὃς κἂν ἐπὶ βραχὺ θηρίῳ συγκαθειργνύειν ἄνθρωπον ἀξιοῖ, πῶς ἔχει νόμου φιλανθρωπίαν ὁ προστάσσων νόμος δι᾽ αἰῶνος ὑπὸ τῆς μανίας τεθηριωμένῃ τῇ ἀνθρώπῳ συνοικεῖν τὸν μνηστευσάμενον; ἀλλά φασιν ὡς διὰ τῆς συναφείας ἓν γεγόνασι μέλος καὶ ἀνάγκη τὴν τοῦ μέλους ὑφίστασθαι νόσον, καὶ ὡς θεῖον βούλεται κέλευσμα[7], μὴ χωρίζεσθαι τοὺς ὑπὸ θεοῦ συζευχθέντας. καλὰ μὲν ταῦτα, ἃ θεῖα παρὰ[8] θεοῦ εἴρηται, οὐ καλῶς δ᾽ αὐτὰ οὐδὲ κατὰ τὸν θεῖον σκοπὸν οἱ προτεινόμενοι ἐνταῦθα τὴν τούτων ποιοῦνται πρότασιν. εἰ μὲν γὰρ ἡ μνηστεία τοιαύτην σώζει τὴν κατάστασιν ὁποίαν ἐξ ἀρχῆς ἡ νυμφοστόλος παρέσχεν, ἄδικος ὁ χωρίζων, καὶ τὴν μέμψιν οὐ φεύξεται. εἰ δ᾽ ὑπὸ τῆς μανίας οὐδὲ φθογγῆς ἐστιν ἀνθρωπίνης ἀκούειν τῆς ἀνθρώπου, μὴ ὅτι γε ἄλλου τινὸς τυχεῖν τῶν ὅσα μνηστεία πρὸς ἱλαρίαν χαρίζεται, τίς οὐκ ἐθελήσει διαλύειν τὴν οὕτω πικρὰν καὶ φευκτὴν συζυγίαν;

Διὰ τοῦτο θεσπίζομεν, ὡς, εἴ ποτε μετὰ τὴν κοινωνίαν τοῦ γάμου πρὸς μανίαν ἡ γυνὴ περιπέσοι, μέχρι τρίτου ἔτους φέρειν τὴν δυστυχίαν τὸν ἄνδρα καὶ τῆς κατηφείας ἀπολαύειν, καὶ εἴ γε μὴ ἐν χρόνῳ τοσούτῳ λύσις εἴη τοῦ κακοῦ μηδὲ πρὸς

---

[4] Zuich. et Meerm. *ἑνουμένων*. [5] L. 16 in f. D. *de ritu nupt.* [6] Steph. conj. *ἀποδοχῆς ἄξιον*. [7] Matth. XIX, 5. [8] Zuich. et Meerm. *καὶ παρὰ*. Non male.

τὰς οἰκείας ἐπανέλθοι φρένας ἡ τὴν μανίαν νοσοῦσα, τηνικαῦτα διασπᾶσθαι τὴν κοινωνίαν καὶ τῆς ἀνυποίστου συμφορᾶς ἐλευθεροῦσθαι τὸν ἄνδρα. τοσοῦτον προσδιοριζομένου τοῦ θεσπίσματος, ὥστε δι᾽ ἐρεύνης τὴν μανίαν καὶ ἐξετάσεως γίνεσθαι, μήποτε κατ᾽ ἐπιβουλὴν ὤφθη συστᾶσα ἢ αὐτοῦ γε τοῦ ἀνδρὸς ἢ τῶν ἐκείνῳ κατ᾽ οἰκειότητα συναπτομένων ἤ τινων ἑτέρων· ὡς εἴ γε[9] τοιοῦτόν τι φωραθείη, εἰ ἐκ κακουργίας τοῦ ἀνδρὸς, τοῦτον ὁρίζομεν τιμωρίαν τῆς ἰδίας ὑποσχεῖν κακίας τὸν εἰς τὸν μονήρη βίον μετασχηματισμὸν, καὶ ἄκοντος αὐτοῦ μοναστηρίῳ περιοριζομένου καὶ τῇ ἐκ τῶν ἱερῶν κανόνων ὑποβαλλομένου τῆς ψυχῆς θεραπείᾳ· εἰ δ᾽ ἐκ τῶν συγγενῶν ἦλθεν ἡ βλάβη ἢ ἑτέρωθέν ποθεν καὶ αὐτοῦ συνειδότος τοῦ ἀνδρὸς[10], τοὺς μὲν αὐτουργοὺς τῆς πονηρίας ταῖς ἐκ τῶν νόμων ὑπάγεσθαι κελεύομεν τιμωρίαις, τιμωρεῖσθαι δὲ καὶ τὸν ἄνδρα τῇ τῶν οἰκείων ἀφαιρέσει πραγμάτων, ἃ δεήσει πρὸς παραμύθιον ζωῆς τῆς ἐπιβεβουλευμένης ἀφωρίσθαι, διαμένειν δὲ αὐτὸν[11] καὶ διὰ βίου ἑτέρου γάμου ἀκοινώνητον· εἰ δὲ καὶ τολμήσει πρὸς κοινωνίαν καταστῆναι, καὶ ἄκοντα πρὸς τὸν μονάδα μετασχηματίζεσθαι βίον. τῶν μέντοιγε τὴν κακουργίαν πεποιημένων ἀμέτοχος καθάπαξ ὑπάρχων, καὶ μηδὲν πρὸς τὴν τῆς γυναικὸς ἐπιβουλὴν ἢ αὐτουργήσας ἢ ἄλλοις πονηρευομένοις συνδιεγνωκὼς, κρείττων ἔσται καὶ τιμωρίας καὶ ζημίας[12], καὶ μετὰ παραδρομὴν τοῦ τρίτου ἔτους λυθείσης τῆς συζυγίας ἀκωλύτως πρὸς γάμον ἄλλον συναπτέσθω. λήψεται δὲ τὸ[13] τῶν τριῶν ἐτῶν τοιαύτην τινὰ τῷ παραμένοντι ἀνδρὶ τὴν κατάστασιν. τὸ μὲν οὖν ἓν ἔτος[14] συνδιαιτῶν καὶ συνοικῶν καὶ συνδιαταλαιπωρούμενος καὶ τὴν ὀφειλομένην ἴασιν πρὸς ἴασιν τοῦ οἰκείου πάσῃ σπουδῇ καὶ δυνάμει συνάγων μέλους· τὰ δύο δὲ, εἴ γε θεραπείας κρείττων εἴη ἡ νόσος, χωρισθήσεται μὲν τῆς συνταλαιπωρίας, διακαρτερήσει δὲ καθάπερ εἴρηται ἄζυγος καὶ ἀμνήστευτος[15]· καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τρίτου τῆς μανίας οὐ ληγούσης πρὸς κοινωνίαν ἑτέρου καταστήσεται γάμου. ἀλλὰ ταῦτα μὲν περὶ τῆς διαζεύξεως καὶ τῆς τοῦ ἀνδρὸς πρὸς ἄλλην γαμετὴν συναρ-

[9] Agyl. εἰ μὲν vult legi. [10] Apud Scrimg. sequentia desunt. Supplevimus ex Zuich. et Meerm., qui ea perperam Spangenbergio teste intercalant Novellae sequenti: id quod a nemine adhuc observatum est. Caeterum Spang. notat: „De poena mariti, cujus malis artibus uxor in furorem versa est, vid. etiam l. 3 D. ad *l. Cornel. de sicar.* et Nov. XXII c. 15 §. 1.“ [11] Codd. *δυνατόν*. [12] Codd. *τιμωρίαν καὶ ζημίαν*. [13] Ex conj. addidi *τό*. [14] Forte *ἔσται*. [15] Codd. *ἀμνημόνευτος*.

μόσεως. τῇ δὲ πρὸς τὸ διαζύγιον ὑπὸ τῆς μανίας καταστάσῃ εἰ μέν τινες εἶεν συγγενεῖς ἢ γονεῖς, πρὸς αὐτοὺς ἐπιτρέπεται ἡ ἄφιξις, ὡς ἐκείνων δικαίων ὑπαρχόντων παντὸς ἄλλου περὶ τῆς ζωῆς αὐτῆς ἀναδέξασθαι μέριμναν, δηλονότι καὶ τῶν κατὰ νόμον εἰς τὴν αὐτῆς ἐξουσίαν ὁρώντων πραγμάτων ἐκεῖ συναπερχομένων· εἰ δὲ τῆς κατὰ συγγένειαν προνοίας ἐρημία παρῆν, θεσπίζομεν τὸν κατὰ χώραν θεοφιλέστατον ἐπίσκοπον εἴς τι σεμνεῖον παραδοῦναι ταύτην, οὗ προηγουμένη ἀρίστη τὰ πάντα γνωρίζεται, καὶ ταύτῃ[16] τὴν διοίκησιν αὐτῆς ἀναθεῖναι· καὶ τὴν τῆς ὑπάρξεως οἰκονομίαν τε καὶ ἐγχείρησιν καὶ τὴν ὀφειλομένην πρόνοιαν ὑπὸ τῆς τοιαύτης προηγουμένης γίνεσθαι τοῦ τε βίου καὶ τῶν πραγμάτων τῆς ἀνατεθειμένης, μέχρις ἂν ἢ τῆς μανίας ἢ τοῦ βίου πρὸς ἀπαλλαγὴν καταστῇ. παρόντων δὲ καὶ παίδων σὺν τῷ πατρὶ τούτοις ἔσται μὲν ἡ βίωσις καὶ ἡ διαγωγή· ἀποφθαρείσης δὲ τῆς μητρὸς τὸν ἐκ τοῦ νόμου κλῆρον τῆς ὑπάρξεως αὐτῆς ὑπελεύσονται.

NOV. CXII.

Si maritus post initum matrimonium in furorem inciderit, per quinque annos integros matrimonium non solvi, iis autem elapsis et furoris vinculo adhuc durante conjugium dirimi[1].

ΔΙΑΤΑΞΙΣ ρ́ιβ́.

Περὶ τοῦ εἰ μετὰ τὴν γαμήλιον κοινωνίαν εἰς μανίαν ὁ μνηστὴρ περιπέσοι, ἐφ᾽ ὅλοις ἔτεσι πέντε διατελεῖν τὸν γάμον ἄλυτον, τούτων δὲ παρελασάντων καὶ τῆς μανίας τῆς ἐπισχέσεως ἔτι προσμενούσης τὴν ὁμοζυγίαν[2] ἀφαρμόζεσθαι.

Τῶν μὲν πάλαι νομοθετησάντων τὴν γνώμην, ὑφ᾽ ἧς ὁ τῆς μανίας καιρὸς διορίζεται ὃς αὐταῖς[3] δοκεῖ ταῖς μνηστείαις ἐναντιοῦσθαι[4], καὶ μὴ[5] διασύρειν καὶ μέμψει καθυποβάλλειν οὐκ ἔχω (ἀφίημι γὰρ αὐτοὺς ἐκείνους τοὺς ταῦτα νενομοθετη-

---

[16] Codd. *ταύτην.*

[1] Laudatur iisdem locis, quibus et Nov. CXI. [2] Ita Zuich. et Meerm. Scrimg. *ἁρμοζυγίαν.* — Illi praeterea notant: *ζήτει τῶν βασιλ. κή τί. ά κεφ. δ́. καὶ αὕτη.* Reliqua desiderantur. [3] Malim *αὐτοῖς*, et Agyl. vertit quasi ita scriptum sit. [4] Spang. allegat l. 8 pr. in f. D. *de his qui sui*, et l. 16 in f. D. *de ritu nupt.* [5] Haec omnino corrupta sunt. Forte *ἐναντιοῦσθαι καὶ μόνον, διασύρειν.*

κότας τὴν οἰκείαν εἰδέναι κρίσιν, μεθ' ἧς ἐπὶ τὸ δόγμα κατέστησαν), πρὸς δὲ τὸ συναιρεῖν καὶ κατατίθεσθαι ὅ τι μὴ συγκαταθέσεως ἐμοὶ ἄξιον ἂν ἀπέφηνεν[6] ὁ νόμος, οὐ προάγομαι. τὸ γὰρ κωλύειν μὲν διὰ[7] προλαβοῦσαν ἤδη μανίαν τὸν γάμον, φάσκειν δὲ μηδὲν αὐτὸν ἀδικεῖσθαι μεταγενεστέρας τοῦ γάμου τῆς μανίας ἀποφανθείσης, πῶς οὐκ αὐτόθεν[8] ἡμᾶς πρὸς τὴν συγκατάθεσιν ἀναπείθει; εἰ γὰρ ὁ γάμος ἐπὶ κοινῇ τῶν συναπτομένων ὠφελείᾳ συνίστασθαι βούλεται, πῶς ὁ τὴν ἀρχὴν ὡς ἀσύμφορον ἀποτρέπων συστῆναι, τοῦ αὐτοῦ ἐναντιώματος μετὰ τὴν συνάφειαν ἀνακύψαντος οὐκ ἀποτρέψει τὴν σύστασιν ὡς μὴ συμφέρουσαν; ἢ βοηθεῖν μὲν χρὴ, ὅπως μὴ τὴν ἀρχὴν ὀφθείη τὶς εἰς κακοῦ πεῖραν καταστὰς, περιπεσόντα δὲ τῷ κακῷ καταλιμπάνειν ἀβοήθητον καὶ μὴ τῆς ταλαιπωρίας οἰκτείρειν αὐτόν; ὥσπερ εἴ τις καὶ πρὸ μὲν τοῦ νόσῳ ληφθῆναί τινα δεῖν οἴεται προσάγειν τὴν ἐπιμέλειαν, κατασχεθέντα δὲ θνήσκειν ἐᾶν, ἀπαγορεύσας τὴν θεραπείαν. ἀλλὰ γὰρ, ὅπερ εἶπον, ἐπιμέμφεσθαι μὲν τοῖς νομοθέταις οὐκ ἔχω, σύμψηφος δὲ τούτοις εἶναι πολλοῦ γε καὶ δέω, καὶ μάλιστα πολλῶν ἑτέρων τρόπων πρὸς μνηστείας λύσιν διατεταγμένων, ὧν οὐδεὶς πρὸς τὸ χαλεπὸν τῆς μανίας εἰς σύγκρισιν ἱκανὸς[9] παρελθεῖν. τὸ γὰρ διὰ τὴν τοῦ μνηστῆρος ἀσωτείαν, ἢ διὰ τὸ κατὰ τὴν πίστιν διάφορον, ἢ διὰ τὸ πρὸς ὁμιλίαν τὴν φυσικὴν ἄπορον καὶ ἀνεπιτήδειον, καὶ εἴ τι ἕτερον τούτοις συναριθμεῖται κεκτημένον ἰσχὺν πρὸς γάμου διάζευξιν, οἷον εἰ[10] δουλικῆς ἀναφαίνοιτο τύχης ὁ μνηστευόμενος, εἰ τῶν ὑπεσχημένων ἐν τοῖς γαμικοῖς συμφώνοις ἐξ ἀπορίας μὴ πρόεισιν ἡ τελείωσις, ταῦτα οὖν καὶ τὰ παραπλήσια, ἃ[11] διανενόμισται τὴν γαμικὴν κοινωνίαν διαλύειν, ποῦ πρὸς τὴν συμφορὰν τῆς μανίας ὅλως τὴν σύγκρισιν ἀναδέχεται;

Τοιγαροῦν θεσπίζομεν ἡμεῖς περὶ τῆς μετὰ τὸν γάμον ἐπελθούσης μανίας, ὥστε ἐφ' ὅλοις ἔτεσι πέντε τοὺς συναπτομένους μὴ διαζεύγνυσθαι· καὶ γὰρ ὥσπερ τὸ μὴ διὰ βίου θεραπευομένης τῆς μανίας ἄλυτον εἶναι τὸν γάμον βίαιον ὤφθη, οὕτω καὶ ἡ ἐν τοσούτῳ χρόνῳ ἀναμονὴ καὶ προσκαρτέρησις ἀναγκαία ἐστίν· εἰ δὲ μετὰ τὴν τοῦ τοσούτου χρόνου περίοδον μὴ γένηταί

---

[6] Vulgo: ὅτι συγκαταθ. ἐμοὶ ἄξιος ἀναπέφηνεν. Quae et sensu carebant, et propter insolitum ἀναποφαίνω mutanda erant. [7] Apud Scrimg. διὰ deest. [8] Agyl. πῶς αὐτὸ ἡμᾶς legendum censet. Equidem mox ἀντιπείθει legerim, siquidem ἀναπείθει suadendi potius quam dissuadendi significationem habet. [9] Zuich. et Meerm. ἱκανῶς. [10] Iidem illi εἰ omittunt. [11] Iidem ἃ non habent.

τις ἀπαλλαγὴ τῆς δυστυχίας, μηδὲ πρὸς ἀνασωφρόνησιν ὁ μεμηνὼς κατασταίη, τηνικαῦτα διατέμνεσθαι τὴν γαμήλιον κοινωνίαν, μηδεμιᾶς μηδ᾽ ἑτέρῳ μέρει προσγινομένης καινοτομίας. καὶ ταῦτα μὲν διορίζομεν οὐ πρὸς διαβολὴν τῶν πρὸ ἡμῶν νομοθετησάντων, ἀλλ᾽ εἰς ἀποπλήρωσιν τῆς περὶ τὸ ὑπήκοον ὀφειλομένης ἡμῖν προνοίας. ἡ δέ γε κατ᾽ αὐτὴν ἐπιγνωσθεῖσα τὴν τοῦ γάμου ἡμέραν μανία οὐδὲν ὑπεναντιούμενον ἔχει πρὸς τὴν αὐτίκα διάλυσιν, εἰ καὶ προῆλθεν[12] ἡ νενομισμένη αὐτοῖς ἱερολογία, ἀλλ᾽ ὁμοίως τῇ πρὸ τῆς μνηστείας ἐγνωσμένῃ πρὸς τὸ ἀκοινώνητον καταστήσεται καὶ ἀνάρμοστον. ἴσως μὲν οὖν τισι δόξει τὸ μετὰ τὴν ἱερολογίαν διαζεύγνυσθαι κρίσεως ὀρθῆς ἀπολείπεσθαι, ὡς δέον, ἐπεὶ διὰ τῆς συναρμοστικῆς τελετῆς ἓν σῶμα γεγόνασι, μὴ διατέμνειν αὐτούς, ἀλλ᾽ ἡνωμένους ἐᾶν, καὶ μάλιστά γε κυριωτέρου μέλους καὶ κεφαλῆς ὑπάρχοντος τοῦ ἀνδρός. οὐδὲ γὰρ ἐν σώματι τὰ τῶν μελῶν κυριώτερα ὑπό τινος κατεσχημένα πάθους ἐκκόπτεται. ἀλλ᾽ οὗτος ὁ λόγος δοκῶν ὑπὲρ τῆς ἑνώσεως ἵστασθαι, ἀγνοεῖν ἔοικε τῆς ἱερολογίας τὸ βούλημα. ἡ μὲν γάρ, τὰ κάλλιστα τῇ μνηστείᾳ χαρίζεσθαι διανοουμένη, σωφροσύνην[13], ἀῤῥήκτῳ τινὶ δεσμῷ φίλτρου συνδέουσα ἀμφοτέρους, γένους διαδοχὴν καὶ εἴ τι ἕτερον ἡδύνει τὸν γάμον τελεῖται· μανία δὲ πῶς ἂν τῷ σκοπῷ συνδράμοι τῆς τοιαύτης τελετῆς; ποῦ γὰρ σωφροσύνης τὸ καθαρόν, μὴ τοῦ νοῦ γινώσκοντος ἑαυτόν, ἀλλ᾽ ἄγνοιαν ἐλεεινὴν δυστυχοῦντος; γένους δὲ πόθεν ἡ διαδοχή, φρικτὸν θέαμα καὶ μόνον ἰδεῖν τῇ ἀθλίᾳ μνηστῇ τὸν ἀθλιώτερον μνηστῆρα τῆς μανίας παρεσκευαζούσης, μὴ ὅτι γε συνελθεῖν αὐτῷ πρὸς ὁμιλίαν προτρεπομένης; ποίῳ δ᾽ ἂν φίλτρου δεσμῷ συνδεθεῖεν, τοῦ πάθους ὅλον ἀποθηριοῦντος τὸν ἄνθρωπον, καὶ πάντα μᾶλλον ἢ ἄνθρωπον ἐπιγινώσκεσθαι διατιθέντος; εἰ δ᾽ ἄρα ποτὲ καὶ γονὴν ἐξ οὕτω γάμου δυστυχοῦς ὄψεται ἥλιος, πῶς οὐ κοινὴ βλάβη τῷ ἀνθρωπίνῳ βίῳ ἡ τοιαύτη γονή; διότι συνεξομοιοῦν οἶδεν ἡ φύσις τοῖς πράγμασιν ὡς ἐπὶ πολὺ τοὺς καρπούς. ἐμοὶ μὲν οὖν καὶ διὰ ταῦτα δίκαιον ἐλογίσθη καὶ εὔλογον, καὶ οὔτε πρὸς ἀθέτησιν τῆς συναπτηρίου εὐλογίας οὔτε πρὸς ἄλλο τὶ ἔγκλημα, τὸ θεσπίσαι τὴν τοῦ γάμου μετὰ τὴν τῆς μανίας λῆψιν διάλυσιν. εἰ δέ τις αἰτίας οὐκ ἀπολύει τὸ θέσπισμα, οὗτος καθ᾽ ἑαυτὸν ἐπιστήσας, καὶ τὴν ἐκ τοῦ μεμηνότος γάμου κατανοήσας ὠφέλειαν, εἴσεται τὴν οἰκείαν κρίσιν ὁποίας τιμῆς ἀξία καθέστηκεν.

---

[12] Sic emendo. Codd. προσῆλθεν. [13] Scrimg. σωφροσύνῃ. Emend. Agyl.

NOV. CXIII.

Ut etiam in subdialium ambulacrorum structura, quae solariorum nomen fert, decem pedum a vicina parte interstitium servetur, quemadmodum de aedificiis cautum est.

ΔΙΑΤΑΞΙΣ ριγ'.

Περὶ τοῦ καὶ ἐν τοῖς προσκηνίοις κατασκευάσμασιν, ἃ τὴν τῶν ἡλιακῶν ἐπωνυμίαν φέρει, τὴν τῶν δέκα ποδῶν ἐκ τοῦ γείτονος μέρους παρατηρεῖσθαι διάστασιν, καθάπερ καὶ ἐπὶ τῶν οἰκοδομημάτων νενόμισται [1].

Ἃ μὲν περὶ οἰκοδομίας οἷον οἰκημάτων καὶ τειχίων ἄλλως τοῖς παλαιοῖς ἐπεσκέφθη, καλῶς ἡ[2] ἐπίσκεψις ἔχει καὶ καλῶς ἐπ᾽ αὐτῶν ἡ διάστασις τοῖς γειτονεύουσι διατέτακται μέρεσιν, ἐν ὅλοις ποσὶ δέκα λαχοῦσα τὴν διαμέτρησιν. τὰ δὲ περὶ τῶν ὑπαίθρων καὶ ὡς ἄν τις εἴποι προσκηνίων θεατηρίων, ἃ καὶ πρὸς μόνην καὶ ὑπαέριον ἀπόλαυσιν ἐπινενόηται καὶ τὴν ἐπωνυμίαν ἐκ τοῦ ἡλίου εἴληφεν ἡλιακὰ προσαγορευόμενα, ταῦτα δὲ ἄρα τῆς ἐκ τοῦ[3] νόμου μνήμης οὐ τυχόντα καὶ διορίσεως, νῦν εἰς χρείαν καθέστηκεν ψήφου περὶ αὐτῶν ὁριζούσης καὶ τὴν φιλονεικίαν τὴν ὡς εἰκὸς ἐπ᾽ αὐτοῖς ἐνίοτε προβαίνουσαν διαλυούσης.

Ὁρίζομεν οὖν, καὶ ἐπὶ τούτων τῶν κατασκευασμάτων, τουτέστι τῶν ἡλιακῶν, ἐκεῖνο τὸ μέτρον σώζειν τὸ μεταξὺ διάστημα τῶν ἐχόντων τὴν γειτονίαν προσώπων, ὃ καὶ ἐπὶ τῶν οἰκοδομημάτων ἀπονενέμηται. καὶ γὰρ ὥσπερ ἐπ᾽ ἐκείνων ἡ τῆς κατοπτεύσεως αἰτία τῶν δέκα ποδῶν ὥριζε τὸ διάστημα, οὕτω κἀνταῦθα διὰ τὴν αὐτὴν αἰτίαν τὸ ἴσον εὐλόγως διορισθήσεται μέτρον, καίτοιγε ἡ αἰτία τῆς κατοπτεύσεως πλέονα ἀπαιτεῖν δοκεῖ τὴν ἀπόστασιν. εἰ γὰρ διὰ τὸ μὴ κατοπτεύειν ἀλλήλους τὰ γειτονεύοντα μέρη τὴν τῶν δέκα ποδῶν ποιεῖται ἀπόκλισιν[4], ἐνταῦθα τοσοῦτον ὀφείλει μᾶλλον ἀφίστασθαι, ὅσῳ καὶ μᾶλλον ἐπιτηδείως ἔχουσιν αἱ τοιαῦται κατασκευαὶ πρὸς κατόπτευσιν. δῆλον γάρ, ὡς ἐν οἰκίᾳ τὶς καθεζόμενος ἤ τι πράττων οὐκ ἂν

---

[1] Zuich. et Meerm. addunt: ζήτει βι. νη' τί. ια'. περὶ τῶν ιβ' ποδῶν ἐκεῖνα τὰ κεφάλαιά φησι διὰ (legerim διάστασιν) ἀπὸ οἰκήματος εἰς οἴκημα· εἰς δὲ ἐξώστωον (l. ἐξώστην) δέκα. [2] Articulum ex conj. addo. [3] Verba ἐκ τοῦ apposui ex Zuich. et Meerm. Apud Scrimg. desunt. [4] Ita iidem illi. Scrimg. ὑπόκλ.

οὕτω κατοπτευθῇ, πολλῶν ὑπαρχόντων ἀντιφραγμάτων· ἐν δὲ τοῖς περὶ ὧν ὁ λόγος προσκηνίοις ἔργοις, ἢ ὡς ἂν οἱ πολλοὶ φαῖεν ἐξωσταρίοις, οὐδὲν εἰς περιοπὴν ἕστηκεν ἀντιφράττον. διὰ τοῦτο θεσπίζομεν, μὴ ἑτέρως ἐξεῖναί τινι τοιοῦτον κατασκεύασμα τεκταίνειν, εἰ μὴ πόδες δέκα τὴν ἐκ τοῦ γείτονος μέρους ἀποχώρησιν διαμετρήσουσιν. ὁμοίως δὲ καὶ εἴ τις ὀροφὴν τῆς οἰκίας ἀμεῖψαι βουλόμενος μαρμάρων πλάκας περιθείη, καὶ οὗτος μὴ πρὶν τοῦτο πράττοι, πρὶν τὸ εἰρημένον διάστημα τῶν δέκα ποδῶν ἀπομακρύνων τοῦ γείτονος ῇ[5]. *ἑτέρου δέ τινος εἰς βοήθειαν ἀνακύπτοντος τρόπου, λέγω δὴ χρόνου μακροτέρου παραδρομῆς ὑπερβαινούσης τὴν νομικὴν περὶ χρόνων διάταξιν, ἀφ᾽ οὗ τὸ ἔργον τὴν ὕπαρξιν ἔλαβεν, ἢ ἐὰν φιλικῇ*[6] *τινι συμφωνίᾳ δωρησαμένῃ τὴν ἄδειαν ὁ ταύτην λαβὼν εἰς τὸ ἐργάζεσθαι προελήλυθε, κελεύομεν ἐπὶ τοῦ οἰκείου σχήματος τὸ ἔργον μένειν, τῆς τῶν δέκα ποδῶν μὴ παραιτουμένης ἀποστάσεως*[7].

NOV. CXIV.

De alienatione rerum immobilium et retractu[1].

Θέσπισμα τοῦ ἀοιδίμου[2] *βασιλέως κυροῦ Λέοντος.*

Ἔξεστι τῷ κατέχοντι ἀκίνητον διαπιπράσκειν πρὸς ὃ ἄρα βούλεται πρόσωπον ἀνεπικωλύτως τε καὶ ἀνεπιφωνήτως. πᾶν γὰρ ἀκίνητον ὑποδημόσιον ὂν ἐκχωρεῖ ἡ βασιλεία μου τῷ τὴν καταβολὴν[3] *ποιουμένῳ τῶν δημοσιακῶν βαρῶν ἐξωνεῖσθαι, τῶν γειτνιαζόντων μὴ κωλυόντων τὴν ἐκποίησιν. εἰ γὰρ ὁ πένης καὶ πτωχὸς καὶ πράγματος μὴ εὐπορῶν, βουλόμενος τὸ οἰκεῖον ἐκποιήσασθαι ἀκίνητον, οἱ πλησιάζοντες δὲ ὑπούλως τὰ σήμερον καὶ αὔριον ἐκδεχόμενοι τῷ πτωχῷ καὶ πένητι τὸ οἰκεῖον καταλίποιεν ἀκίνητον, εἰ οὐδὲν ὁ πλησιάζων ἀναλάβηται*[4], *πάνυ τῇ βασιλείᾳ μου λογίζεται ἄδικον. διὸ καὶ διορίζεται· πᾶσι*

---

[5] Codd. *ἤ*. [6] Codd. *φυλακῇ*. [7] Hactenus collectio illa Novellarum, de qua in Prolegomenis dixi. Quae sequuntur Novellae Leonis extra illam vagantes, adjectae sunt a nobis continuata numerorum serie.

[1] Haec Novella nobis servata est in Codd. Paris. gr. 1346 fol. 253, Vind. jurid. gr. 3 fol. 377, Laurent. LXXX, 6 fol. 230. — Primus eam edidi in Delin. hist. JGR. p. 116 sq. [2] Vindob. *Νεαρὰ τοῦ εὐσεβεστάτου κτλ.* [3] Paris. *κατοχὴν*, quod vel conjectura emendandum erat. [4] Haec licet *ἀνακόλουθα*, tamen intacta relinquere malui.

τοῖς ἀπόροις καὶ πτωχοῖς, τὰ μὴ δυνάμενα κατέχειν ἀκίνητα ἐκποιεῖσθαι ἀποτιμώμενα, καὶ τὸν ἐξωνούμενον[5] καλῶς κατέχειν τὸ ἐξωνηθέν· μέχρις γὰρ τοῦ ἑξαμήνου τοῦ πρώτου χρόνου ἔκκλητον ποιεῖν τοὺς γειτνιῶντας καὶ οὕτως ἀντιστρεφομένης τῆς τιμῆς τῷ ἐξωνησαμένῳ λαβεῖν τὸ τοιοῦτον ἀκίνητον· τούτου δὲ παραδραμόντος καὶ οὕτως[6] οἱ γειτνιῶντες ἀποκλείονται, προσκυρουμένης τῷ ἐξωνησαμένῳ τῆς νομῆς τοῦ ἀκινήτου[7].

NOV. CXV.

De tabulariis[1].

Τῶν περὶ πολιτικῶν σωματείων διατάξεων τοῦ βασιλέως κυροῦ λέοντος πρώτη περὶ ταβουλλαρίων.

Ἧς ἐν τῷ α΄ κεφ. φησίν· ὁ μέλλων προχειρισθῆναι ταβουλλάριος ὀφείλει ψήφῳ καὶ διαγνώσει τοῦ τε πριμμικηρίου καὶ τῶν σὺν αὐτῷ ὄντων ταβουλλαρίων ἐγγίνεσθαι, ὡσὰν καὶ γνῶσιν καὶ νόμων εἴδησιν ἔχοι, καὶ χειρὸς γραφῇ τῶν λοιπῶν πρωτερεύοι, καὶ μὴ στωμύλος ἢ αὐθάδης ἢ βίου διεφθαρμένου τυγχάνοι, ἀλλὰ μᾶλλον σεμνὸς τὸ ἦθος καὶ τῇ φρονήσει ἀκέραιος, λόγιός τε καὶ συνετὸς καὶ περὶ τὴν λέξιν εὔστροφος καὶ περὶ τὸν λόγον εὐάρμοστος τοῦ μὴ ῥᾷστα ὧδε κἀκεῖσε περιφέ-

---

[5] Sic legendum arbitror. Paris. *ὁ ἐξωνούμενος*. [6] Malim *ὅλως*. [7] In Cod. Laurent. LXXX, 6 fol. 230 inter Novellam Romani *περὶ προτιμήσεως* et Novellam Leonis, quam hic dedimus, fragmentum legitur, quod pridem edidi in Delin. hist. JGR. p. 117. Est autem hoc: *Νεαρὰ τοῦ εὐσεβεστάτου βασιλέως κυροῦ λέοντος. Ὅτι ἡ δεκαετία τοῖς ἀπὸ τῶν ὧδε λελεγμένοις δυνατοῖς συμφωνεῖ καὶ οὐ τοῖς προειρημένοις, οὓς ὁ νόμος εἰς τὴν προτίμησιν τῶν πεπραμένων κέκληκεν. ἐκείνοις γὰρ τὸ εἰρημένον τετράμηνον δίδοται εἰς διάσκεψιν καὶ μόνον, εἰ καὶ ἀγνοεῖται παρά τισιν ἡ τοῦ λόγου ἁρμονία. — Τὸ κατὰ τὸ ὁπωσοῦν μὴ ποιήσῃ πλάνην εἰς σὲ, λέγεσθαι περὶ τῶν ἀνωτέρω* (forte *ἀπορωτέρων*) *καὶ τῶν δυνατῶν, ἀλλ' ἢ μόνον περὶ τῶν δυνατῶν. σαφηνίζει δὲ τὸ καὶ ἀπὸ τῆς δωρεᾶς καὶ διαθήκης ἐλθὸν αὐτοῖς στέργειν μετὰ τὴν δεκαετίαν εἴγε ἦν ἐν τοῖς προτέροις. οὐχὶ ἡ δεκαετία ἐστί γε τοῦτο, ἀλλὰ καὶ ἡ μετὰ μιᾶς ἡμέρας δόσις.* — Haec autem a Novellae constitutionis indole plane abhorrent, et potius scholiastae cujusdam notae sunt ad Coll. III Novv. 2 et 5.

[1] Leonis constitutio de tabulariis extat in Codice *τῆς μονῆς τῶν Ἰβήρων* in monte Athone sitae, nec non in Cod. Paris. gr. 1351 fol. 292, et 1357 A. Ex illo innotuisse videtur Cujacio in Exposit. ad Nov. Justin. 44. — Primus edidi in Delin. hist. JGR. p. 117–119.

ρεσθαι εἴς τε[2] τὰς τῶν φαλσαμάτων γραφὰς καὶ τὰς τῶν δελεασμάτων παραγραφάς, ὡς[3] εἴ γέ ποτε τοιαῦτά τις παρὰ τὸν νόμον καὶ τὰ συμβιβασθέντα καὶ γραφῆναι ὁρισθέντα εὑρεθείη διαπραττόμενος, ὑπ' εὐθύνην ἔσεσθαι καὶ τοὺς αὐτὸν μαρτυρήσαντας.

Ἐν δὲ τῷ β' κεφ. φησίν· ὁ προχειρισθησόμενος ὀφείλει ἐπὶ στόματος ἔχειν τοὺς μ' τίτλους τοῦ ἐγχειριδίου νομίμου καὶ τῶν ξ' βιβλίων[4] τὴν γνῶσιν, παιδευθῆναι δὲ καὶ τὴν ἐγκύκλιον παίδευσιν, ὡς μὴ διαμαρτάνειν ἐν ταῖς ἐκδόσεσιν ἢ διολισθαίνειν περὶ τὴν λέξιν, ἔχειν δὲ καὶ τὸν χρόνον πληρέστατον τοῦ διατρανοῦσθαι καὶ τῷ νῷ καὶ τῷ σώματι· χειρὸς δὲ γραφῇ ἐκτυπούτω ἐν τῷ συλλόγῳ, μήτι τῶν ἀδοκήτων διαπράττεσθαι· εἰ δὲ φωραθείη, ἐκπίπτειν τοῦ βαθμοῦ.

Ἐν δὲ τῷ γ' κεφ. φησίν· δεῖ προχειρίζεσθαι τοῦτον οὑτωσί· μετὰ τὴν διαμαρτυρίαν καὶ τὴν ἔρευναν ἐμφανίζεσθαι μετὰ τοῦ συλλόγου τῶν ταβουλλαρίων καὶ τοῦ πριμμικηρίου τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς πόλεως, ἐφεστρίδα ἠμφιεσμένον, ἐπομνυμένων ἐκείνων εἰς θεὸν καὶ τὰς σωτηρίας τῶν βασιλέων, μὴ διά τινα χάριν ἢ παράκλησιν ἢ συγγένειαν ἢ φιλίαν τοῦτον τῷ βαθμῷ ἐντάττεσθαι, ἀλλὰ δι' ἀρετὴν καὶ γνῶσιν καὶ σύνεσιν καὶ τὸ ἱκανὸν εἶναι ἐν πᾶσι· καὶ μετὰ τὴν τῶν ὅρκων βεβαίωσιν σφραγῖδι αὐτὸν προχειρίζεσθαι ἐν τῷ ἐπαρχικῷ σεκρέτῳ παρὰ τοῦ τὴν ἡγεμονίαν ἔχοντος, εἶθ' οὕτως ἐντάττεσθαι τῷ συλλόγῳ καὶ συναριθμεῖσθαι τοῖς ταβουλλαρίοις· ἔπειτα ἐν ναῷ, οὗ πλησίον τὴν κατοίκησιν ἔχει, ἀφικνεῖσθαι, πάντων τῶν ταβουλλαρίων ἐφεστρίδας ἠμφιεσμένων, καὶ τελεῖσθαι δι' εὐχῆς τοῦ ἱερέως τὴν ἐφεστρίδα ἀποβαλλόμενον καὶ λευκὸν φελόνιον ἐνδιδυσκόμενον, καὶ προπεμπόμενον παρὰ τῶν ταβουλλαρίων πάντων τὰς ἐφεστρίδας ἠμφιεσμένων, τοῦ πριμμικηρίου θυμιατήριον ἔχοντος καὶ πρὸς αὐτὸν τὴν εὐωδίαν ἐκπέμποντος, ἐν ταῖς χερσὶ τὸν νόμον ἐπιφερόμενον, τοῦ κατευθῦναι τὰς ὁδοὺς αὐτοῦ διὰ τοῦ θυμιατηρίου σημαινομένου, ὡς θυμίαμα ἐνώπιον κυρίου. οὕτως οὖν ἐνδόξως παραγίνεσθαι ἐν τῇ καθέδρᾳ, ἐν ᾗ ἐκληρώθη· εἶτα οἴκοι ἐπαναστρέφειν μετὰ τῆς ἑαυτοῦ δόξης, συμποσιάζειν τε τὸ τηνικαῦτα μετὰ τῶν συμπαρόντων καὶ συνευφραίνεσθαι.

---

[2] Cod. δέ. [3] Particula ὡς delenda esse videtur. [4] i. e. Prochiri et Basilicorum.

NOV. CXVI.

De judicibus, qui praeter legem sententiam ferunt[1].

Κατάκρισις ἐκτεθεῖσα εἰς τοὺς κριτὰς παρὰ λέοντος καὶ ἀλεξάνδρου τῶν εὐσεβῶν βασιλέων[2].

Οἶμαι[3] τῶν κρίνειν λαχόντων οὐδένα ποτὲ πρὸς τοσαύτην ἀποκλῖναι σκαιότητα, ὥστε παρὰ τοὺς ἐγκειμένους νόμους δοκιμάσαι καὶ[4] τὰς ψήφους ἐκφέρειν. εἰ δὲ εἰς τοσοῦτον τῆς ματαιότητος ὀλισθήσει, ἁλοὺς μὲν τὴν ἐν νόμοις κειμένην ἀποίσεται[5] δίκην· ἡμᾶς δὲ λαθὼν ἥκιστα λήσεται τὸν ἀκοίμητον ὀφθαλμόν. ὅμως[6] δὲ καὶ ἀραῖς ἐμπεδῶσαι[7] τοῦτο[8] λίαν ἀσφαλὲς εἶναι ᾠήθημεν. εὕροι οὖν[9] θεὸν μαχόμενον οὗτος, καὶ τὰς οὐρανίους καὶ ἀσωμάτους δυνάμεις πολεμούσας αὐτῷ· ἐκπέσοι ἀώρως καὶ τῆς παρούσης ζωῆς, καὶ προσζημιωθήσεται[10] καὶ τὴν μέλλουσαν· πῦρ καταφάγεται[11] τὰ θεμέλια τῶν οἴκων[12] αὐτοῦ, καὶ ἔσται[13] δι' αἰῶνος ἠτιμωμένον τὸ σπέρμα αὐτοῦ καὶ ζητοῦν ἄρτους, ἀνθ' ὧν τὴν τῶν νόμων ἐλευθερίαν δούλην παραπεποιημένων κρίσεων ἀπειργάσατο[14].

---

[1] Haec Novella, si ita eam appellare fas est, suspectae mihi fidei est. In antiquioribus quidem Codicibus non reperitur: antiquissimus, quem equidem noverim, est Paris. gr. 1384 (de anno 1166). Caeterum fere inest Codicibus, qui aut Michaelis Attalensis opus (velut Paris. gr. 1263. 1358. 1359. Bodlej. 264) aut Prochiron auctum (velut Paris. gr. 1356. 1368) aut Blastaris Syntagma (velut Paris. gr. 1373. 1375) continent. Denique Harmenopulus eam Protheoriae Hexabibli praeposuit. Edita est a Bonefidio JO. I p. 14, a Leunclavio JGR. I p. 103, a Fabricio Bibl. Gr. XII p. 416 et in Harmenopuli editionibus. [2] Plurimi Codices simpliciter: *κατάκρισις τεθεῖσα ὑπὸ τῶν πανευσεβῶν βασιλέων*. In Bodlej. 264 recentior manus adscripsit: *κωνσταντίνου καὶ λέοντος τῶν ἀοιδίμων βασιλέων*. — Leunclavius autem hanc rubricam dedit: *Κατὰ κριτῶν παρὰ τοὺς νόμους τὰς ψήφους ἐκφερόντων ἀραί*, Bonefidius simplicius: *περὶ κριτῶν*. [3] Alii *οἶμαι δὲ* vel *δὲ καί*. [4] Deest in aliis. [5] Leuncl. *ἀποτίσεται*. [6] Alii *ὅν*. [7] Leuncl. in marg. *ἐμποδίσαι*. [8] Alii *τοῦτο*. [9] In nonnullis *οὖν* deest. [10] Leuncl. in marg. *προσζημιωθήσοιτο*. [11] Idem *καταφάγοιτο*. [12] Apud Harm. est *θεμέλια οἴκων* absque articulis. [13] Leuncl. in marg. *ἔστω*. [14] In Laurent. LXXX, 6 additum est: *ἐξεφωνήθη μηνὶ δεκεμβρίῳ α' ἰνδ. ς'*. Quae subscriptio, si genuina est, annum 890 vel 905 indicat.

NOV. CXVII.

De archiepiscopatu Patrensi bulla aurea[1].

Non extat.

NOV. CXVIII.

Impp. Leonis et Alexandri de elocatione immobilium Orphanotrophei[1]. (A. 909.)

Νεαρὰ νομοθεσία λέοντος καὶ ἀλεξάνδρου[2] περὶ[3] τοῦ ἀπὸ πρώτου γίνεσθαι πάσας τὰς ἐκδόσεις. γέγονε δὲ αὕτη ἐν ἔτει ,ςυκζʹ[4]. ἐναπετέθη ἐν τῷ ὀρφανοτροφείῳ[5].

Πᾶσα κήνσευσις ἀπὸ αὐγούστου καίσαρος ἐκτεθεῖσα ὑποτελεῖς πάντας τοὺς ὁμογενεῖς παρεσκεύασεν, ὅθεν καὶ τὰ δημόσια τέλη ἀνεφύησαν. ἀπὸ οὖν τῶν τελουμένων δημοσίων ἐμφυτευτικῶν τελεσμάτων ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει ὁ πρὸ ἡμῶν βασιλεὺς ἰουστῖνος[6] ἐν τῷ τῶν κορυφαίων ἀποστόλων εὐαγεῖ σεκρέτῳ τοῖς ὀρφανοτροφείοις[7] σὺν ταῖς ἄλλαις αὐτοῦ δωρεαῖς καὶ νμγʹ νομισμάτων ἐτήσιον δημόσιον τέλος προσαφιέρωσεν[8], ἐντάξας ταῖς ῥόγαις[9], κατὰ τὴν ἐναποκειμένην αὐτοῦ ἱερὰν νομοθεσίαν ἐν τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, τὰ τοῦ ὀρφανοτροφείου δημόσια[10] ἀνεκποίητα εἶναι, καὶ ἐπὶ προσώποις τρισὶν ἐκδίδοσθαι. ὕστερον δὲ πρὸς τὰ τῆς ζωῆς αὐ-

---

[1] Laudatur in Leuncl. JGR. I p. 279.

[1] Hanc Novellam si non spuriam omnino, certe non genuinam, sed epitomatam et male tractatam praestat Cod. Vind. jurid. gr. 18 fol. 80, indeque edidit Leuncl. JGR. I p. 102. Repetita est typis in Coll. can. ed. Rhallis et Potlis V p. 255. [2] Ita Codex. Quod enim in Delin. hist. JGR. p. 53 not. 24 observaveram, nomina imperatorum in Codice omissa esse, id nescio quo errore accidit. [3] Cod. *παρά*. [4] Ita Codex. Sed legendum *,ςυιζʹ*, quia annus a m. c. 6427 non in Leonis et Alexandri, sed in Constantini et Romani imperium incidit. [5] Leuncl. *καὶ ἐναπ. τῷ ὀρφ.* [6] Theophanes ad ann. VII Justini minoris: *τούτῳ τῷ ἔτει ἤρξατο κτίζειν ὁ ἰουστῖνος τὴν ἐκκλησίαν τῶν ἁγίων ἀποστόλων πέτρου καὶ παύλου ἐν ὀρφανοτροφείῳ.* [7] Cod. *τῆς ὀρφανοτροφείου*. Leuncl.: *τοῖς ὀρφανοτροφείου.* [8] Leuncl. *προαφ.* [9] Cod. *τ̂ ῥō*. Secundum scribendi rationem librario usitatam *τ̂* significat *τὴν* vel *ταῖς*, *ῥō* autem numerum CLXX significat aut per abbreviationem verbum *ῥόγα* indicat. Leuncl. .....ρο. [10] Leuncl. *μόνα*, quippe scripturae compendio male intellecto.

τοῦ τέλη[11] καὶ τὸν τῆς δωρεᾶς τῶν υμγ' νομισμάτων χρυσόβουλλον λόγον ἐξέθετο, καὶ δι' αὐτοῦ καλῶς καὶ δικαίως τοῖς παροίκοις χρήσεως[12] καὶ νομῆς χρόνον. ὃν καὶ εἰς χεῖρας λαβοῦσα ἡ [γαληνότης][13] ἡμῶν, τὰ παρ' ἐκείνου καλῶς διορισθέντα εἰς νόμον ἐξέθετο, καὶ κρατεῖν αὐτὸν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους παρεκελεύσατο. ἔνθεν· τοι καὶ διορίζεται, ἀπὸ πρώτου προσώπου εἰς πρῶτον κατέχεσθαι τὰ ἐκδιδόμενα, καὶ δεσπόζειν ἀκωλύτως, καὶ μετὰ τὴν ἐκπλήρωσιν τῶν ἀπὸ πρώτου προσώπου εἰς πρῶτον, ἀνακάμπτειν τὸν κατέχοντα, καὶ παρέχειν διπλοῦν τὸ τελούμενον ἐμφυτευτικὸν τέλος, καὶ τὴν συνήθειαν[14].

---

11 Cod. τὰ — τέλει. Leuncl. τῷ — τέλει. 12 Literarum ductus et notae in Codice sic explicandae videntur: τοῖς περὶ (vel περιον) ταν (vel τας) καχῆς (vel καλῆς vel καχρήσεως). Leuncl. inde efficit τὸν περὶ τῆς κατοχῆς.
13 Lacuna in Codice est, quam recte Leunclavius verbo γαληνότης explevit. 14 Matthaeus Blastares in Praefatione Syntagmatis de Leone Sapiente refert: *πεποίηκε δὲ καὶ οὗτος νεαρὰς διατάξεις εἴκοσι πρὸς τοῖς ἑκατόν.* Jam quum idem Blastares in Syntagmate suo Collectione Novellarum Leonis usus sit, cujus Codices MSS. duntaxat Nov. 1—113 supra editas praestant, aut illam in his Codicibus aliquot Novellis in fine mutilatam exhiberi aut Blastarem rotundiore numero laudato minus accurate loquutum esse apparet. Utut est, quemadmodum supra jam Collectioni isti Novellarum Leonis extravagantes quasdam ejusdem Imperatoris Novellas subjecimus (Nov. CXIV—CXVII), ita nec desunt aliarum praeterea Novellarum Leonis vestigia, nonnulla quidem admodum dubiae indolis, alia vero certiora et omnino non respuenda. Sunt autem haec: I. Nessel Catal. V p. 53 ex Cod. Vindob. hist. 51 (Nesselio 24) laudat Novellam τοῦ ἀοιδίμου βασιλέως κυροῦ λέοντος περὶ τῶν ἀναξίως ἱερατευόντων. Ἠρώτησάς με καὶ πρότερον ἐν τῇ λήμνῳ κτλ. Sed inspicientibus Codicem Nesselium vapulare patet. Ibi enim sic est: κατὰ τὴν [inc. fol. 321 v.] νεαρὰν τοῦ ἀοιδίμου βασιλέως κυροῦ λέοντος, quae ad priora pertinent et Nov. 74 in superioribus editam indicant. Sequitur tractatus a Nesselio indicatus (Ἠρώτησας κτλ.), qui a Leone imp. et Novella alienissimus est. — II. Assemani Bibl. I. O. II p. 264 ex Cod. Palat. 376 laudat Novellas Leonis περὶ μοναχῶν et περὶ ἐπισκόπων βουλομένων ἀνιέναι ἐν βυζαντίῳ. — III. Apud Bals. ad Phot. Nomoc. XIII, 4 (ed. Rhalli I p. 297) legitur: Τῆς ρις' νεαρᾶς τοῦ βασιλέως κυροῦ λέοντος τοῦ φιλοσόφου λεγούσης, ἐξ ἀποκάρσεως τοῦ ἀνδρὸς μὴ δίδοσθαι ὑπόβολον τῇ γυναικί. Atqui Justiniani Nov. 117 intelligenda est. — IV. In Prochiro aucto tit. XXXIX cap. 232 sic audit: Ζήτει καὶ τὴν σα' νεαρὰν τοῦ φιλοσόφου βασιλέως περὶ τοῦ μὴ εἶναι ἰδιωτικὴν φυλακήν. Ibi tamen illa „ζήτει — νεαρὰν" ad praecedentia trahenda sunt, et legendum να' νεαράν: allegatur enim Nov. 51 Justiniani. His autem: „τοῦ φιλοσόφου βασιλέως — φυλακὴν" subjicitur l. 2 C. *de privatis carceribus*, forte ex Attalensi desumta, ut ejus ποίημα verbis τοῦ φιλοσ. βασ. designari videatur. — V. In Matthaei Blastaris Syntagmate Γ, 13 (ed. Bevereg. II p. 73), quem locum transscripsit Scholiastes ad Harm. ed. Heimb.

p. 581, laudatur Novella Leonis, ut maritus adulteram intra biennium recipere possit. Videtur autem indicari Nov. 134 Justiniani. — VI. In Epitome ad Prochiron mutata (Bodlej. 3399 et Marc. 579) tit. XXII circa finem haec leguntur: *Κεφάλαια τοῦ α' τόμου περὶ διαθηκῶν. Δεῖ γινώσκειν πάντα τὸν διατιθέμενον, ὅτι ὀφείλει τοῖς ἐξ ἀδιαθέτου κληρονόμοις τὸ νόμιμον καταλιμπάνειν μέρος. εἰ γὰρ τοῦτο μὴ ποιήσειεν, καὶ ἄκοντος αὐτοῦ προσκαλοῦνται τούτους οἱ νόμοι εἰς τὴν καταλειφθεῖσαν ὑπ' αὐτοῦ περιουσίαν· ο''ς τὸ εὐσεβὲς ἡμῶν κράτος κυρῶσαι ἐσπούδασεν. — Ὅτι ἐξ ἀδιαθέτου κληρονόμοι εἰσὶν ἐκ μὲν τῶν ἀνιόντων πατὴρ καὶ μήτηρ, ἐκ δὲ τῶν κατιόντων υἱὸς καὶ ἔγγονος· ἐστὶ δὲ ὅτε καὶ ἀδελφός. — Ὅτι πᾶσα διαθήκη νόμῳ μαχομένη ἀνατρέπεται. — Ὅτι θέμα νόμῳ λέγεται τὸ δυνάμενον εἰς πλείονα κεφάλαια διαιρεθῆναι, καὶ ὅτι τὸ κεφάλαιον θέματος μέρος ἐστίν. — Ὅτι πᾶς τις κληρονόμος γραφεὶς, καὶ μὴ πληρῶν ἐντὸς ἐνιαυτοῦ, ἅπερ ὁ τελευτῶν διετυπώσατο, ἐκπίπτει τῆς κληρονομίας. — Ἄδειαν ἔχει ὁ διατιθέμενος δοῦναι ἕως τοῦ ὀκταουγκίου ᾧτινι βούλεται, τὸ δὲ τετραούγκιον ἢ ἀνιοῦσιν ἢ κατιοῦσιν ἢ τοῖς ἐκ πλαγίου. εἰ δὲ θελήσοι δοῦναι τὸ πᾶν, ἄκυρος ἔσται ἡ διαθήκη. — Ὅτι ἡ πλάνη τοῦ συμβολαιογράφου τὰς διαθήκας οὐκ ἀδικεῖ.* — Et tit. XXXIV in fine haec habentur: *Περὶ λεπτῆς καταγραφῆς τῆς τοῦ διαθεμένου περιουσίας παρὰ τοῦ ἐπιτρόπου. Ὅτι δεῖ τὸν ὀφείλοντα την διατύπωσιν ἀποπληρῶσαι τοῦ διαθεμένου ποιῆσαι λεπτὴν καταγραφὴν πάσης τῆς περιουσίας τοῦ τελευτήσαντος, δηλονότι παρὰ* (l. *παρόντων*) *τῶν κληρονόμων καὶ ληγαταρίων καὶ ἁπλῶς τῶν ἐν τῇ διαθήκῃ γραφομένων. — Ὅτι τελευτῶντος τοῦ διατιθεμένου καὶ ἐξομνύντος μηδὲν ἄλλο κεκτῆσθαι, εἰ μὴ ἅπερ ἐν τῇ διαθήκῃ ἐντέταχεν, οὐκ ἔχει ἄδειαν οἱοσδήποτε συγκληρονόμος ἐρευνᾶν καὶ βάσανον δούλων ποιεῖσθαι ἢ ὅρκους ἀπαιτεῖν τοὺς συνευρεθέντας ἐν τῇ καταγραφῇ μάρτυρας, ἀλλὰ καὶ μὴ βουλόμενος πειθέσθω τῇ τοῦ τελευτήσαντος ἐξωμοσίᾳ, δηλονότι μὴ φωραθέντος τοῦ διατιθεμένου ἄλλως καὶ ἄλλως ὀμνύειν ἐπὶ τῷ αὐτῷ πράγματι. — Ὅτι ὁ παραλαβὼν τὴν οὐσίαν τοῦ τελευτήσαντος κληρονόμος, καὶ μὴ ποιήσας ὡς εἴρηται ἐνμάρτυρον καὶ χρ.... λεπτὴν καταγραφὴν, ἀναγκάζεται, εἰ καὶ ἡ περιουσία ἀδυνατεῖ, πάντα ἀποπληρῶσαι, καὶ τὰ καταλείποντα ἐξ αὐτῆς τῆς οὐσίας αὐτοῦ ἀποδοῦναι. τοῦτον γὰρ ὡς κλέπτην καταδικάζει ἡ ἐκ θεοῦ βασιλεία ἡμῶν καὶ ὑποτίθησιν.* — Videntur haec desumta esse ex regula aliqua instrumentorum a tabellionibus conficiendorum, quae imperiali auctoritate edita esset: forte cohaerent cum Novella Leonis de tabulariis, quam supra numero 115 editam habes. — VII. Ultimo loco mentio facienda est Prooemii Basilicorum (Basil. ed. Heimb. I p. XXI), ac notissimae illius Dispositionis thronorum (nuperrime editae in Coll. can. ed. Rhalli et Potli V p. 474); haec tamen inter Novellas constitutiones non recte connumeraveris, et Dispositio illa a Leone imperatore non est profecta.

COLLATIO TERTIA.

Novellae constitutiones annorum 911—1057.

NOV. I.

Tomus unionis de nuptiis, quartis praesertim et tertiis[1]. (A. 920.)

Ὑπόθεσις τῆς ἀκολουθούσης διατάξεως, καὶ[2] εἴδησις, πῶς ἡ τετραγαμία τῷ βασιλεῖ κυρίῳ λέοντι τετόλμηται, καὶ ὅπως κατηργήθη[3] διὰ τοῦ τόμου τῆς ἑνώσεως.

Λέων ὁ σοφώτατος εἶχε μὲν πρώτην γαμετὴν τὴν ἁγίαν θεοφανὼ, μεθ᾽ ἧς καὶ θυγατέρα ἔτεκεν· ἀλλὰ τάχιον ἐτεθνήκει. καὶ αὐτῆς δὲ πρὸς κύριον ἀπελθούσης τῆς ἁγίας, ζεύγνυται ζωῇ τῇ θυγατρὶ τοῦ τζαουτζᾶ στυλιανοῦ, ἑνὸς τῶν ἀρχόντων καὶ φίλων τοῦ βασιλέως. κἀκείνης συντόμως ἄπαιδος τελευτησάσης, καὶ τρίτην ἠγάγετο γυναῖκα, εὐδοκίαν, τὴν ἀπὸ τοῦ θέματος ὀψικίου, ἐπιλεγεῖσαν διὰ τὸ κάλλος, ἥτις ἐν αὐταῖς ταῖς ὠδῖσι θνήσκει σὺν τῷ βρέφει. ὁ δὲ βασιλεὺς ἀφάτῳ συσχεθεὶς λύπῃ ἐπὶ τῷ καταλειφθῆναι ἄπαις, ἐφέσει τεκνογονίας καὶ τετάρτην λαμβάνει γυναῖκα, τὴν τῆς καρβωνοψίνης ζωὴν, καὶ τίκτει μετ᾽ αὐτῆς τὸν κωνσταντῖνον. ο πατριάρχης δὲ νικόλαος καὶ οἱ μητροπολῖται ἀφορίζουσι τὸν βασιλέα τῆς ἐκκλησίας· καὶ τὸν ἀφορισμὸν οἱ μέν τινες τῶν ἀρχιερέων συντεμεῖν

---

[1] Tomus unionis proprie inter decreta synodalia connummerandus est: sed tum ob auctoritatem tum quia ab Imperatoribus confirmatus est, ab ipsis Graecis Novellae legis instar habetur, ut hic omitti non potuerit. — Extat in Codd. Mss. Paris. reg. gr. 1388; Bodl. 149; Laurent. V, 40. IX, 7; Vindob. jurid. gr. 16; *τῶν Ἰβήρων* 12; aliisque. Laudatur a Zonara ad c. 50 S. Basilii (ed. Rhalli IV p. 204), a Balsamone ad Phot. XIII, 2 (ed. Rhalli I p. 280) et ad c. 4. 50. 80 S. Basilii (ed. Rhalli IV p. 103. 204. 245) et in Respons. 44. 62. 64 (ed. Rhalli IV p. 481. 494. 495), a Blastare *Γ*, 4 (ed. Bevereg. II p. 64), ab Harmenopulo IV, 9, 32 et in Epit. canon. (JGR. I p. 55). Editus est in JGR. I p. 103 sqq., in Spicilegio Romano A. Maii et in Coll. can. ed. Rhalli et Potli V p. 3 sqq. (Bonefid. 10. p. 15 sqq. Leunclav. post Syn. p 30 sqq. particulam ex Balsamone proferunt.) [2] Haec verba *Ὑπόθεσις τῆς ἀκολ. διατ.* in Codicibus fere desunt. Narratio autem quae sequitur extat etiam in Cod. Paris. reg. gr. 1355. [3] Leunclav. *κατήργηται.*

ἔλεγον δεῖν, καὶ μὴ ἐπὶ πλείονα παρατείνειν καιρόν· οἱ δὲ οὐκ ἐπείθοντο. καὶ σχίσματα ἦν ἐν αὐτοῖς καὶ στάσις πολλή: καὶ πολλὰ δεόμενον τὸν βασιλέα καὶ παρακαλοῦντα οἱ μὲν προσεδέχοντο, οἱ δὲ ἀπειθεῖς ἦσαν καὶ ἄτεγκτοι. ὁ δὲ βασιλεὺς συνετὸς ὤν, καὶ ὅθεν ἀνεφύη τὸ ἀσύμφωνον τῶν ἀρχιερέων οὐκ ἀγνοῶν, μεθίστησι τὸν πατριάρχην νικόλαον, καὶ ἐξορίζει τῆς ἐκκλησίας ὡς ψεύστην, καὶ πολλάκις μὲν ὅρκοις διαβεβαιοῦντα καὶ ὑποσχόμενον δοῦναι τῷ βασιλεῖ τὴν τοῦ ἐπιτιμίου συμπάθειαν, τοσαυτάκις δὲ μεταμελόμενον καὶ ἀναβαλλόμενον ἐπίτηδες. προβάλλεται δὲ πατριάρχην τὸν ἑαυτοῦ πνευματικὸν πατέρα εὐθύμιον, ἄνδρα πολλοῖς ἔτεσι τῇ μοναχικῇ διαπρέψαντα ἀσκήσει, καὶ προφητικοῦ χαρίσματος ἠξιωμένον. οὗτος ἐλεύθερον τοῦ ἐπιτιμίου δείκνυσι τὸν βασιλέα, καὶ τοῦ χρονίου δεσμοῦ ἀπολύει καὶ εἰς κοινωνίαν δέχεται. ἀλλ᾽ ἦσαν ἔτι πολλοὶ τῶν ἀρχιερέων οἱ μὴ συνελθόντες τῇ τοῦ πατριάρχου οἰκονομίᾳ, καὶ μᾶλλον οἱ τοῦ μέρους τοῦ ἐκβληθέντος νικολάου. ἐπεὶ δὲ ὁ μὲν βασιλεὺς λέων μετέστη πρὸς κύριον, καὶ ὁ ἀδελφὸς ἐκείνου ἀλέξανδρος τῆς βασιλείας ἐγκρατὴς ἦν, τὸν μὲν πατριάρχην εὐθύμιον ἐξωθεῖ τῆς ἐκκλησίας μεθ᾽ ὕβρεων, ἀντεισάγει δὲ πάλιν τὸν προεκβεβλημένον νικόλαον· καὶ ἔτι μᾶλλον τὰ τῆς ἐκκλησίας ἐστασίαζε πράγματα, διαιρεθέντων τῶν μητροπολιτῶν, καὶ τῶν μὲν τῷ ἐκβληθέντι πατριάρχῃ, τῶν δὲ τῷ ἀντεισαχθέντι προσκειμένων. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ μὲν ἀλέξανδρος ἐτεθνήκει· ὁ δὲ κωνσταντῖνος τῆς βασιλείας κληρονόμος ἐγεγόνει. ὃς συγκαλέσας τόν τε πατριάρχην νικόλαον καὶ σύμπαντας τοὺς ἀρχιερεῖς (ὁ γὰρ εὐθύμιος ἤδη πρὸς κύριον ἐξεδήμησε), πείθει τούτους πρὸς μίαν γνώμην συνελθεῖν καὶ ὁμόνοιαν, καὶ δοῦναι τῷ πατρὶ αὐτοῦ καὶ μετὰ θάνατον κοινῇ ψήφῳ τὴν ἄφεσιν· κανονικὴν δὲ ψῆφον ἐκθεῖναι, τοῦ μηκέτι τολμᾶν τοιοῦτον ἢ πραχθῆναι ἁμάρτημα. ἐφ᾽ οἷς ὁ λεγόμενος οὑτοσὶ τῆς ἑνώσεως τόμος προέβη.

Ὁ τόμος τῆς ἑνώσεως, ἤτοι ἔκθεσις τῆς γενομένης τῆς ἐκκλησίας ἑνώσεως, ἐπὶ κωνσταντίνου καὶ ῥωμανοῦ· τοῦ μὲν βασιλεύοντος, τοῦ δὲ τὸ τηνικαῦτα τῷ τοῦ βασιλεωπάτορος ἀξιώματι διαπρέποντος[4].

Ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς καὶ θεὸς τοῖς ἑαυτοῦ μαθηταῖς καὶ ἀποστόλοις καὶ τοῖς ὅσοι μετ᾽ ἐκείνων ἄξιοι γεγόνασι τῆς κληρονομίας αὐτοῦ, ἐξαίρετόν τινα κλῆρον τὴν εἰρήνην κατέλιπε, τοῦτο γνώρισμα παρεχόμενος τοῖς οἰκείοις τῆς πρὸς αὐτὸν οἰκειότητος, εἰ τῷ συνδέσμῳ τῆς εἰρήνης σφιγγόμενοι μὴ τὴν τοῦ πνεύματος διασπῶσιν ἑνότητα· πρότερον αὐτὸς οἰκείῳ ὑποδείγματι δείξας ἡμῖν, ἣν ἔχει περὶ τῆς εἰρήνης προαίρεσιν, δι᾽ ὧν[5] ὑπεράνω παντὸς ὕψους τελῶν ἐπὶ τὴν

---

[4] Balsamon addit: ἐν ἔτει ͵ςυκη΄ ἐπινεμήσεως η΄, καὶ ἀναγινωσκόμενος ἐτησίως ἐπ᾽ ἄμβωνος κατὰ τὸν ἰούλιον μῆνα. [5] Leuncl. in marg. δι᾽ ἥν, quod recepit Rhallis.

ἐσχατιὰν κατῆλθε τὴν ἡμετέραν, καὶ παραπλησίως ἡμῖν σαρκὸς καὶ αἵματος ἐκοινώνησεν, ἵνα τοὺς ἐξ ἀλλήλων διῃρημένους εἰς ἑνότητα καταστήσῃ. ἔπειτα καὶ τοῖς τὰ ἐκείνου μαθήματα[6] πεπαιδευμένοις ταύτην κατέλιπε τὴν κληρονομίαν, τὸ εἰρηνεύειν ἐν ἀλλήλοις, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ πρὸς εἰρήνην ἄγειν ἑτέρους πρὸς ἑαυτοὺς στασιάζοντας. ἀλλὰ γὰρ τοιούτου ὄντος τοῦ πράγματος, ἐξαρχῆς καὶ μέχρι τοῦ νῦν οὐ διέλιπεν ἡ τοῦ πονηροῦ στασιώδης κακία τὸ ἱερὸν τῆς ἐκκλησίας διαταράττουσα πλήρωμα, νῦν μὲν ταύτην νῦν δὲ ἐκείνην ἀνακινοῦσα τὴν πρόφασιν. ἀλλ᾽ ὁ μὲν τοιοῦτος· ὁ δὲ τῆς εἰρήνης αἴτιος καὶ διδάσκαλος χριστὸς ὁ θεὸς ἡμῶν, ὁ πύλας εἰπὼν ᾅδου μὴ κατισχύσειν τῆς ἐκκλησίας αὐτοῦ, ἀεὶ τὰ σκάνδαλα εἰς τὴν τοῦ πονηροῦ κεφαλὴν περιτρέπων, τὴν εἰρήνην τῇ ἐκκλησίᾳ διαφυλάττει ἀλύμαντον. οὗτος[7] ἐκεῖνος, ἡ εἰρήνη ἡμῶν χριστὸς, ὁ θεὸς, ὁ πατὴρ, ὁ ἀρχιερεὺς, ὁ ποιμὴν ὁ ἀληθινὸς, τῶν ἱερῶν τέκνων τῆς πανάγνου νύμφης αὐτοῦ, τῆς ἐκκλησίας, ἐξ ἀλλήλων διασπασθέντων, τῇ αὐτοῦ προνοίᾳ καὶ χάριτι τὴν ἕνωσιν αὐτοῖς κατεπράξατο, καὶ τοῖς ἀχράντοις κόλποις πάλιν συνήγαγε τῆς μητρός· διδοὺς ἐκείνῃ μὲν χαίρειν ἐπὶ τῇ συναγωγῇ τῶν τέκνων, ἑαυτῷ δὲ τὴν ἐξ ἑνὸς στόματος καὶ μιᾶς καρδίας προσάγεσθαι τῆς δόξης ἀναφορὰν, πᾶσι δὲ τοῖς, ὅσοι μὴ πρὸς τὴν ταραχώδη τοῦ δαίμονος προαίρεσιν ἀποκλίνουσιν ἀλλὰ τοῦ τῆς εἰρήνης αἰτίου τὸ παράγγελμα τιμῶσι, τὴν εὐχαριστίαν προσάγειν. ἀλλ᾽ ἐπὶ μὲν τῶν ἄνω χρόνων ἐγένοντο σκανδάλων ἀφορμαὶ, ὁποῖαι δὴ καὶ γεγόνασι, καὶ πρὸς τὴν ἑκάστοτε κίνησιν τοῦ κακοῦ τοῖς σοφοῖς τῶν ἐκκλησιῶν οἰκονόμοις ἡ πρόσφορος ἐξεύρηται θεραπεία· νῦν δὲ ὅτε[8] συμβέβηκε τεταράχθαι τὴν ἐκκλησίαν ἐξ ἀφορμῆς γαμικῆς ἐν τῷ μὴ τυγχάνειν τὸν γάμον ἐλεύθερον μέμψεως, πρὸς τὴν ἐκείνου κώλυσιν ἡ τῆς ἐκκλησίας ἱερὰ κρίσις φέρει τὴν γνώμην, καὶ τοῦ μὴ προέρχεσθαι τοῦτον ἔτι χώραν εὑρίσκειν. οὕτω γὰρ καὶ νῦν καὶ μετέπειτα τῶν κατεχόντων σκανδάλων ἀπηλλάχθαι περιγενήσεται τοῖς, ὅσοι μὴ τὸ φιλόνεικον καὶ τὴν ἔριν ἀντὶ τῆς εἰρήνης ἠγάπησαν τοῦ χριστοῦ. τῆς γὰρ προφάσεως ἐκποδὼν γεγενημένης, ἀφ᾽ ἧς ἐξέφυ τὰ σκάνδαλα, τοῦ εἰρηνεύειν τοῖς ἀγαπῶσιν εἰρήνην οὐδεμία ἐστὶν ἡ κωλύουσα πρόφασις. καὶ γὰρ ἐν παντὶ πράγματι οὕτως ἔχει· τῆς σφαλερᾶς αἰτίας τῆς

---

[6] Leuncl. in marg. παθήματα. [7] Malim οὕτως. [8] Leuncl. ὅτι. Emendavit Rhallis.

τῶν ἀτόπων γενέσεως ἐκποδὼν καθισταμένης, πρὸς τὴν ἐξ ἀρχῆς εὐταξίαν ἀποκαθίσταται τὰ τέως ἐκεῖθεν λαβόντα τὸ πονηρῶς διακεῖσθαι· οὕτω καὶ σώματι νόσου προσγενομένης, τοῦ αἰτίου ταύτης ἀναχωρήσαντος, τὸ ὑγιαίνειν ἐπανέρχεται, καὶ θαλάσσῃ ἐξ ἀνέμων βιαιότητος ταραττομένῃ, τῆς καταιγίδος πεπαυμένης, ἡ γαληνιῶσα κατάστασις ἐπανήκει. διὰ τοῦτο κοινῇ συναθροισθέντες ἀρχιερεῖς τε καὶ ἱερεῖς, ὅσοι μὴ ἑαυτοῖς (ἐῶ γὰρ εἰπεῖν ἄλλοις) ἀρέσκειν ἠγάπησαν, ἀλλὰ τῆς ἐκκλησίας τὴν εἰρήνην τοῦ στασιάζειν προετίμησαν, συνείδομεν, ἐπείπερ ἐκ τῶν γαμικῶν ἀφορμῶν τὰ σκάνδαλα τὴν γένεσιν ἔλαβε, ταῦτα διανακαθάραι, καὶ διασφαλίσασθαι τοῦ μηδαμῶς ἔτι διὰ τῆς αὐτῶν εἰς τὸν βίον προόδου μήτε τὴν ἐκκλησίαν ταράττειν, μήτε τὴν ζωὴν τῶν οὕτω ζῆν ἑλομένων κατάκριτον καὶ κατεγνωσμένην ποιεῖν.

α΄. *Καὶ λοιπὸν ἀποφαινόμεθα κοινῇ γνώμῃ καὶ κρίσει, ἀπόγε τοῦ παρόντος ἔτους, ὅ ἐστιν ἑξακισχιλιοστὸν τετρακοσιοστὸν εἰκοστὸν ὄγδοον ἐπινεμήσεως ὀγδόης, τέταρτον γάμον μηδενὶ τολμᾶσθαι, ἀλλ᾽ εἶναι ἀπόβλητον παντελῶς· καὶ τὸν, εἴ τις ἐπὶ τοιοῦτο ἐλθεῖν συνοικέσιον προθυμηθείη*[9], *πάσης ἀπεστερημένον εἶναι συνάξεως ἐκκλησιαστικῆς καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀλλότριον, μέχρις ἂν ἐπιμένοι*[10] *τῷ συνοικεσίῳ. τοῦτο γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἔδοξε πατράσι, καὶ ἡμεῖς δὲ τὴν γνώμην ἐκδηλοτέραν*[11] *ποιοῦντες, ὡς ἀλλότριον αὐτὸν τῆς χριστιανικῆς πολιτείας ἀποκηρύττομεν*[12]. *ἀλλ᾽ οὕτω μὲν περὶ*[13] *τοῦ τετάρτου γάμου.*

β΄. *Ἵνα δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ καὶ τοῦ τῶν χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν προσαγωγὴν*[14], *καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου, ὥστε μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχεν ἐπιτελεῖσθαι αὐτόν. καὶ γὰρ συγκεχώρηται μὲν ὡς ῥύπασμα τοῖς πατράσιν, οὔπω τότε καθὼς νῦν γινομένου τοῦ πράγματος ἀπηρυθριασμένως*[15] *οὐδ᾽ εἰς πλάτος ἐξηπλωμένου, ἀλλ᾽ ὥσπερ εἴ τις ἐν οἴκῳ παραπεπτωκὸς*[16] *ἐν γωνίᾳ παρίδῃ πολλάκις κείμενον ῥύπασμα· νῦν δὲ ὅτε*[17] *χώραν ἔλαβε παῤῥησίας καὶ ὡς οὐδὲν ἔχων*[18] *εἰς ἀσχημοσύνην οὐδὲ ῥυπαίνων*[18] *λογίζεται ἐκ τοῦ προβῆναι εἰς πληθυσμὸν, καλῶς ἔδοξεν ἀνακα-*

---

[9] Leuncl. *προεθυμήθη*. Bals. *προθυμηθῇ*. [10] Iidem *ἐπιμείνῃ*. [11] Mai. *ἐνδηλ.* Leuncl. in marg. *ἀδηλ.* Bals. *ἐκδηλ.* [12] Leuncl. in marg. *ἀνακηρ.* [13] Leuncl. *ἐπί.* [14] Idem in marg. *προαγ.* [15] Mai. *ἀπηρυθριασμένου.* [16] Bouefid. ex Bals. *παραπεπτωκώς.* [17] Leuncl. in marg. *ὅτι.* [18] Mai. *ἔχον* et mox *ῥυπαῖνον.*

θαίρειν αὐτὸν, ὥσπερ καὶ αἶσχος οὐκ ἐν γωνίᾳ παρεῤῥιμμένον ἀλλ' ἐξηπλωμένον ἐπὶ τῆς οἰκίας οὐδαμῶς ἐῶμεν, ἀλλὰ καθαίρομεν καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν. καὶ τῇ ἀνθρωπίνῃ τοίνυν συνυπείκοντες ἀσθενείᾳ, καὶ τῆς πρεπούσης εὐσχημοσύνης φροντίδα ποιούμενοι τῇ χριστιανῶν[19] ζωῇ, τοῦτο ἐπὶ τῶν τριγάμων[20] παραφυλάττεσθαι διορίζομεν, ὥστε εἴ τις πρὸς τεσσαρακοστὸν ἔτος ἀναβεβηκὼς, καὶ μήτε τὴν φύσιν αἰδούμενος μήτε τῆς ὀφειλομένης χριστιανοῖς[21] εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνης τῆς ἐμπαθοῦς ἐπιθυμίας γινόμενος, πρὸς τρίτον ἑαυτὸν ἐπιῤῥίπτοι γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως, καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμνεσθαι τὸν χρόνον. ὃς γὰρ μετὰ τὸ τεσσαρακοστὸν ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ χριστοῦ ἐκκλησίᾳ εἶναι καὶ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; ἀλλὰ γὰρ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως οὐκ ἔσται συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι, ἢ ἐν μόνῃ τῇ[22] σωτηρίῳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν ὅσον[23] δυνατὸν ἀνακάθαρσιν. ταῦτα δὲ φαμὲν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος τρίτην ἄγεσθαι προῃρημένοις γυναῖκα. ἐπεὶ ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία. λίαν γάρ ἐστιν ἄδικον, τὸν μὲν χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ, τοῖς δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς καὶ τὸ ἄλυπον καὶ ἀτάραχον καὶ ὅσα οἶδε τὸ ἀνθρώπινον καταλαμβάνειν ἐκ τῆς πολυσπόρου[24] τεκνώσεως. καὶ εἴ τις δὲ τριακοντούτης ὢν καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων γάμων τρίτῃ συνάπτοιτο γυναικὶ, καὶ οὗτος δὲ ἀσυγχώρητος[25] μέχρι τετάρτου ἔτους καὶ[26] τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀμέτοχος ἔστω[27]· διότι δῆλός ἐστιν ἐξ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ ὑπὸ ἀκρασίας κινούμενος καὶ τοῦ δοῦλος εἶναι σαρκικῆς ἐπιθυμίας ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθεῖν. καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων, τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιω-

---

[19] Bals. χριστιανικῇ. [20] Leuncl. τρίτων γάμων. [21] Editi: χριστιανῆς. Ex Bals. emendavi. [22] Mai. τῇ τοῦ σωτῆρος καὶ θεοῦ. [23] Leuncl. in marg. ὡς. Ita Bals. [24] Leuncl. πολυπόνου. Ita etiam Bonefid. ex Bals. [25] Leuncl. in marg. ἀσυγχωρήτως. [26] Καὶ additum est in edit. Rhalli. [27] Leuncl. ἔσται. Ita etiam Bals.

θήσεται τῆς ἀπολαύσεως[28]· ἅπαξ μὲν ἐν τῇ σωτηρίᾳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσει, δεύτερον δὲ ἐν τῇ κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου, καὶ τρίτον ἐν τῇ γενεθλίῳ ἡμέρᾳ χριστοῦ τοῦ θεοῦ ἡμῶν, διὰ τὸ καὶ ἐν ταύταις προηγεῖσθαι νηστείαν καὶ τὸ ἐκ ταύτης ὄφελος. εἰ δὲ παῖδες μὴ περίεισιν[29], ἐπειδὴ τὸ τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τὸ τηνικαῦτα συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ[30] θεραπευθήσεται. ταῦτα μὲν καὶ περὶ τοῦ τρίτου γάμου.

γ΄. Οὐ μὴν οὐδὲ τὸν δεύτερον, οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν, ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτω συνίστασθαι, ὥστε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν, ἢ ἐξ ἁρπαγῆς ἢ ἐκ προηγησαμένης λαθραίας[31] φθορᾶς, ἀλλὰ νομίμως καὶ καθαρεύοντας τῶν τοιούτων μολυσμάτων καὶ πορνικῆς ἀκαθαρσίας. εἴ τις οὖν τῶν εἰρημένων καταφρονήσας τύπων πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ[32] καὶ δευτέραν συνέλθοι, τοῦτον ἡ τοῦ χριστοῦ ἐκκλησία, ἡ καθαρὰ καὶ μηδένα σπῖλον ἔχουσα ἢ ῥυτίδα, τοῖς σωτηρίοις ὑποβάλλουσα ἐτασμοῖς οὐ πρὶν εἰς μετάληψιν τῶν θείων παραδέξεται μυστηρίων, ἢ τὸν ὡρισμένον ἐπὶ τῇ πορνείᾳ χρόνον[33] ἀκριβῶς αὐτὸν ἐκπληρῶσαι[34] (εἰ μὴ ἄρα ἡ τοῦ βίου ἀναγκαία κατεπείγοι ἀναχώρησις), τουτέστι μέχρις ἂν τὸ ἕβδομον ἐκπληρωθῇ ἔτος. ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὸν διατετυπωμένον[35] ὅρον μεταλήψεως θείας τινὰ τούτων ἀξιῶσαι, περὶ τὸν ἴδιον κινδυνεύσει βαθμόν· δηλονότι τοῦ ἀξιωθέντος παρὰ τὸν ὡρισμένον τύπον τῆς θείας κοινωνίας πάλιν εἰς τὸ ἀκοινώνητον περιισταμένου μέχρι τῆς συμπληρώσεως τοῦ ἑβδόμου ἔτους.

Ταῦτα μὲν[36]*, ὡς δεδήλωται, ὑπὸ τῶν πάλαι βασιλευσάντων ἐπράχθησαν. νῦν δὲ τῇ τοῦ πατρὸς καὶ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος εὐδοκίᾳ καὶ χάριτι καὶ ταῖς τῆς πανάγνου καὶ θεομήτορος καὶ τοῦ μεγάλου ἀρχιστρατήγου πρεσβείαις*[37] *τοὺς ἤδη πρὸ ἐνενήκοντα χρόνων ἕνεκεν τῆς προδηλωθείσης αἰτίας καὶ ἀφορμῆς ἀποῤῥαγέντας ἱερεῖς καὶ μονάζοντας ἡ παγγάληνος βασιλεία τῶν θεοστεφῶν βασιλέων ἡμῶν, βασιλείου καὶ κωνσταντίνου*[38]*, συνῆψέ τε καὶ συνήνωσε, καὶ μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν εἰργάσατο. ὅθεν χρεὼν ἀνακηρύττεσθαί τε καὶ μεγαλύνεσθαι τοὺς τὸ τοιοῦτον θεοφιλὲς καὶ ἀξιόλογον ἔργον πεπληρωκότας.*

---

[28] Mai. *ἀπολαῦσαι.* [29] Leuncl. in marg. et Mai. *παρείησαν.* [30] Leuncl. in marg. *ἤγουν ἐτῶν β΄ ἢ γ΄ ἀκοινωνησίᾳ.* [31] Leuncl. *λαθραίου.* [32] Idem *ἢ τῶν.* Forte *ἢ καί.* [33] Apud Leuncl. additur [*μάθῃ*] ex Bonefidio. [34] Pro his *αὐτὸν ἐκπληρῶσαι* apud Rhallin editum est *ἐκπληρώσῃ.* [35] Leuncl. in marg. *διατεταγμένον.* [36] Mai. *Ἀλλὰ τὰ σκάνδαλα δῆλον ταῦτα μέν.* Rhallis: *Ἀλλὰ ταῦτα μέν.* [37] Verba *καὶ ταῖς — πρεσβείαις* apud Leuncl. desunt. Addo ex Maio, Rhalli et Bals. [38] Leuncl. in marg. *οἵτινες τοῦ κωνσταντίνου τούτου*

Ἐπιφωνήσεις συνοδικαί.

Πολλὰ τὰ ἔτη τῶν βασιλέων. βασιλείου καὶ κωνσταντίνου τῶν ὀρθοδόξων ἡμῶν βασιλέων πολλὰ τὰ ἔτη. τῆς εὐσεβεστάτης αὐγούστης θεοφανοῦς πολλὰ τὰ ἔτη. νικολάου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου πολλὰ τὰ ἔτη. βασιλείου καὶ κωνσταντίνου, λέοντος καὶ ἀλεξάνδρου, κωνσταντίνου καὶ ῥωμανοῦ, χριστοφόρου, ῥωμανοῦ, νικηφόρου καὶ ἰωάννου, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη. εὐδοκίας καὶ θεοφανοῦς, θεοδώρας καὶ ἑλένης, τῶν εὐσεβεστάτων αὐγούστων, αἰωνία ἡ μνήμη. γερμανοῦ, ταρασίου, νικηφόρου καὶ μεθοδίου, τῶν ἀοιδίμων καὶ μακαρίων πατριαρχῶν, αἰωνία ἡ μνήμη. ἰγνατίου, φωτίου, στεφάνου καὶ ἀντωνίου, νικολάου καὶ εὐθυμίου, στεφάνου, τρύφωνος, θεοφυλάκτου, πολυεύκτου καὶ ἀντωνίου, τῶν ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη. ἅπαντα τὰ κατὰ τῶν ἁγίων πατριαρχῶν, γερμανοῦ, ταρασίου, νικηφόρου καὶ μεθοδίου, γραφέντα ἢ λαληθέντα, ἀνάθεμα. ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ τὴν διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν ἁγίων καὶ ἀοιδίμων[39] πατέρων καινοτομηθέντα καὶ πραχθέντα ἢ μετὰ τοῦτο πραχθησόμενα, ἀνάθεμα. τοῖς συκοφαντοῦσι τὴν ἁγίαν ἐκκλησίαν, ὅτι τετραγαμίαν ἐδέξατο χάριν τῆς εὐδοκίᾳ θεοῦ γεγενημένης οἰκονομίας καὶ τῆς προσλήψεως καὶ ἑνώσεως τῶν ἀδελφῶν ἡμῶν, οὓς ἡ τῶν προλαβόντων σκανδάλων αἰτία ἐχωρίζετο[40], ἀνάθεμα. τοῖς τολμῶσι λέγειν, ὅτι ἡ ἐκκλησία τὸ καθαρὸν καὶ ἄχραντον οὐ σώζει τῆς ἁγιστείας αὐτῆς, ἀλλὰ μολυσμόν τινα προσετρίψατο διὰ τὴν χάριτι θεοῦ γενομένην σύναψιν τῶν τέκνων, οὓς διεμέρισε μὲν τὸ ἤδη προγεγονὸς σκάνδαλον, συνῆψε δὲ ἡ τούτου παρὰ πάντων ὁμοῦ ἀθέτησις καὶ ἀποκήρυξις, ἀνάθεμα. τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν ἱερῶν[41] πατέρων ἡμῶν, οἳ καὶ τὴν ἁγίαν ἐκκλησίαν ὑπερείδουσι καὶ ὅλην τὴν χριστιανικὴν πολιτείαν κοσμοῦντες πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα.

Τούτων[42] οὕτω διωρισμένων πρὸς ἀσφάλειαν τῆς ἁγίας ἐκκλησίας τοῦ ἀμέτοχον εἶναι τὸ εὐσεβὲς τῶν χριστιανῶν πλήρωμα τῶν ἐξ ἀθεμίτων γάμων ῥύπων, δεόμεθα τῆς σῆς ἀγαθότητος, χριστὲ ὁ θεὸς ἡμῶν, ἔτι καὶ διὰ παντὸς πᾶν σκάνδαλον, πᾶσαν διαμερισμοῦ αἰτίαν τῆς σῆς ἐξελαύνειν ἐκκλησίας καὶ συντηρεῖν αὐτῇ τὴν εἰρηναίαν κατάστασιν, πρεσβείαις τῆς δεσποίνης ἡμῶν καὶ ἀχράντου σου μητρὸς, τῶν πανιέρων σου μαθητῶν καὶ ἀποστόλων, δι' ὧν ἐν πάσῃ τῇ οἰκουμένῃ τὴν σὴν κατεφύτευσας εἰρήνην, καὶ πάντων οἷς ἐξ αἰῶνος εὐαρεστούμενος ὤφθης ἁγίοις. ἀμήν.

ἔκγονοι ἦσαν. [39] Mai. μακαρίων. [40] Rhallis: ἐχώριζεν. [41] Mai. μακαρίων. [42] Haec ultima ex Cod. Vaticano A. Mai in Spicil. Romano primus edidit. Precatio esse videtur, addita, quum quotannis recitaretur hic tomus. Cf. not. 4.

NOV. II[1].

Impp. Romani, Constantini et Christophori

[1] Haec Novella an genuina sit, an potius variis legibus in unum collatis et oratione in brevius contracta repraesentetur, nonnunquam dubitavi. Ita, quemadmodum hic editur, extat in Cod. Paris. reg. gr. 1367 et 1384; Laurent. LXXX, 6; Vindob. jur. gr. 3 fol. 21 sq. (usque ad finem cap. 1); denique in appendice Synopseos Basilicorum primae et tertiae classis. Epitomen ejusdem Novellae (inc. *Παλαιὸς νόμος ἐστὶν*, expl. *εἰσπραχθήσεται*, ut cap. 3 totum desit) continet appendix Synopseos primae et secundae classis, et appendix Prochiri aucti, ut infra dicetur. Alias epitomas praestant Psellus v. 1357—1376, appendix, quae operi Michaelis Attalensis, nec non ea, quae Prochiro aucto accedit. Epitomen ex appendice Attalensis edidit Leunclav. post Synopsin p. 14. In Prochiro aucto autem sic est: *Νεαρὰ τοῦ βασιλέως κυροῦ ῥωμανοῦ τοῦ πρεσβυτέρου περὶ προτιμήσεως. Ὁ δὲ κῦρις ῥωμανὸς ἐκεῖνος ἐνομοθέτησε· ὡς εἰ περὶ προτιμήσεως κινηθῇ δικαστήριον — συναλλάττοντας.* (Quae eadem sunt, quae apud Attalensem leguntur.) — *Ἑτέρα νεαρὰ τοῦ βασιλέως κυροῦ ῥωμανοῦ τοῦ πρεσβύτου* (alii *κωνσταντίνου*) *περὶ προτιμήσεως. Παλαιὸς νόμος ἐστὶ — εἰσπραχθήσεται.* (Est epitome, quam appendix Synopseos I et II exhibet.) — *Ἡ γεγενημένη νομοθεσία περὶ προτιμήσεως ἀπαγορεύει δυνατοῖς προσώποις υἱοθεσίας τρόπῳ ἢ ἀπὸ δωρεᾶς ἁπλῆς ἢ θανάτου αἰτίας ἢ ἐκ διαθήκης ἢ κατὰ μόνην χρῆσιν ἢ ὡς ἐπί τινι προστασίᾳ καὶ συνδρομῇ λαμβάνειν τὶ τῶν εὐτελεστέρων, εἰ μὴ ἄρα συγγενεῖς αὐτῶν εἶεν. ἀλλὰ μηδὲ νέας ἀγορασίας ποιεῖν ἢ μισθώσεις ἢ ἀνταλλαγὰς ἐν χωρίοις ἢ ἀγριδίοις, ἐν οἷς οὐκ ἔχουσιν ἰδιοκτήματα. λέγει δὲ τὸν πωλοῦντα μὴ πρότερον πωλεῖν ἑτέρῳ τινὶ τὸ πιπρασκόμενον, εἰ μὴ τοῖς προτιμωμένοις διαμαρτύρηται.* — Laudatur haec, de qua agimus, Romani Novella a scholiasta Basilicorum ed. Heimb. I p. 639 sq. et Tipucito, quem vocant, Basil. ed. Heimb. II p. 280 not. z (qui tamen Constantini Novellam esse dicunt); in Ecloga lib. I—X Basilicorum (lib. IX tit. 2: *ποῖαι δὲ πράσεις πρὸς δυνατοὺς κωλύονται γίνεσθαι, ἡ τοῦ βασιλέως κυροῦ ῥωμανοῦ τοῦ γέροντος νεαρὰ καὶ τοῦ κωνσταντίνου τοῦ πορφυρογεννήτου καὶ ἡ τοῦ κυροῦ βασιλείου διδάξει σέ*); et in *Μικρῷ κατὰ στοιχεῖον Ν*, 41. 42. Denique c. 1 refertur ab Harmenop. III, 3, 103—109. — Integram Novellam primus edidit Cujacius in calce libri feudorum (ed Neapol. II p. 1342): mox Leunclavius post Synopsin p. 9—12 et in JGR. II p. 139—141. Epitomen ex appendice Synopseos primae et secundae classis Leuncl. post Syn. p. 12—14: partem ab Harmenopulo relatam Bonefidius p. 25. — Illustrandae huic Novellae inserviunt tum quae Harm. III, 3, 103 scholio et §. 110 sqq. habet, tum maxime commentariolus, qui in Cod. Paris. reg. gr. 1355 fol. 1 sq. habetur, quemque hic subjicere lubet. Est autem hujusmodi: *Ἡ περὶ προτιμήσεως νεαρὰ κυροῦ ῥωμανοῦ τοῦ λακαπινοῦ. Γίνωσκε ὅτι ἡ περὶ προτιμήσεως νεαρὰ ε΄ βαθμοὺς ἔθετο τῆς προτιμήσεως τοιούτους· ὅταν φησὶ πωλεῖται ἀκίνητον πρᾶγμα οἷον ὀσπήτιον ἢ ἀμπελὼν ἢ χωράφιον ἢ ἐλαιὼν ἢ προάστειον ἤ τι τοιοῦτον, ὁ πωλῶν ὀφείλει προσκαλεῖσθαι εἰς τὴν τούτου ἀγορὰν πρῶτον τοὺς ἀναμὶξ συγκειμένους συγγενεῖς. τίνες δὲ εἰσὶν οἱ ἀναμὶξ συγκείμενοι συγγενεῖς, μάνθανε· οἷον ὁ ἐμὸς καὶ σὸς πατὴρ ἐτελεύτησεν ἀδιάθετος, καὶ οἱ γονεῖς ἡμῶν οὐκ ἔφθασαν διαιρῆσαι τὴν γονικὴν καὶ πατρῴαν αὐτῶν ὑπόστασιν. ἡμεῖς δὲ πάλιν ἐμείναμεν ἀδιαίρετοι*

καὶ ἀναμεμιγμένοι καὶ ἐπικοίνως ταύτην κατέχοντες, οἷον τὰ οἰκήματα, τὸν ἀμπελῶνα καὶ τὰ τοιαῦτα. καὶ ποτὲ μὲν ἔσπειρον ἐγὼ τοῦτο τὸ χωράφιον καὶ σὺ τὸ ἕτερον, ποτὲ δὲ ἐγὼ ἐκεῖνο τὸ παρὰ σοῦ σπαρὲν, σὺ δὲ τὸ παρ᾽ ἐμοῦ, ἢ καὶ τὸ αὐτὸ κοινῶς καὶ ἀναμεμιγμένως ἐσπείραμεν· τὸ αὐτὸ καὶ ἐπὶ τῷ ἀμπελῶνι ἢ τοῖς οἰκήμασιν. ἡμεῖς οὖν εἰδότες τὰ τοιαῦτα ἀκίνητα πράγματα ἀναμεμιγμένως νεμόμεθα καὶ δεσπόζομεν. καὶ ὅταν τὶς ἡμῶν τῶν οὕτω κατεχόντων βούληται τὸ μέρος αὐτοῦ ἀδιαιρέτως πωλῆσαι, ὁ ἕτερος παντὸς ἀνθρώπου οἷος ἂν καὶ εἴη προτιμᾶται εἰς τὴν ἐξώνησιν τοῦ τοιούτου ἀκινήτου μέρους εἴτε χωραφίου εἴτε ἀμπελῶνος εἴτε οἰκήματος. οὗτοι μὲν οὖν εἰσὶν οἱ ἀναμεμιγμένοι συγγενεῖς. οἱ γὰρ λέγοντες τὸ ἀναμεμιγμένον διὰ τὴν συγγένειαν εἶναι, ἢ ἐξ ἀγνωσίας λέγουσι καὶ ἀμαθείας ἢ ὡς χρησιμεῦον αὐτοῖς μὴ αἰσχυνόμενοι διὰ τὸ θέλημα αὐτῶν τὴν τοσαύτην χωρικίαν. τὶς γάρ ποτε γράμματα μαθὼν καὶ τῆς ἡμετέρας διαλέκτου γινώσκων τὴν ἔννοιαν τοσοῦτο βαρβαρικῶς νοήσει τὸν τὴν νεαρὰν ἐκδόντα σοφώτατον νομοθέτην καὶ ὑπογραφέα τοῦ βασιλέως ὅτι συμπεπλεγμένους ἐκάλεσεν ἢ ἀναμεμιγμένους τοὺς συγγενεῖς διὰ τὴν ἀναμιγὴν τοῦ αἵματος. πᾶς γὰρ ἄνθρωπος ἴδιον αἷμα ἔχει καὶ ὁ συγγενὴς πρὸς τὸν συγγενῆ οὐ λέγεται ἔχειν ἀναμεμιγμένον αἷμα· εἴθε δὲ μηδὲ καταδέξηται χριστιανὸς ἵνα ἀναμιγῇ τὸ αἷμα αὐτοῦ μετὰ τοῦ αἵματος τοῦ συγγενοῦς αὐτοῦ. τοῦτο γὰρ οἱ ποιοῦντες καὶ αἱμομίκται εἰσὶ καὶ κολάζονται. ἀναμιγνύουσι δὲ αἵματα αὐτῶν ὁ ξένος ἀνὴρ πρὸς ξένην κόρην. ταῦτα μὲν οὖν εἰσὶ τὰ τοῦ πρώτου βαθμοῦ. ὁ δὲ δεύτερος βαθμὸς τῆς προτιμήσεως εἰσὶν οἱ συμπεπλεγμένοι συγγενεῖς οὕτως, οἷον νοήσωμεν τοῦτο ἐπὶ παραδείγματος τοιούτου. οἱ δύο ἐκεῖνοι πρῶτοι ἐξάδελφοι οὓς προεγράψαμεν ἠθέλησαν ἑκουσίως καὶ μέρος τῆς κοινῆς ἐκείνης κληρονομίας ἀδιαιρέτως ἐπώλησαν, οἷον τὸ τρίτον τῆς τοιαύτης ὑποστάσεως πρός τινας δύο ἢ τρεῖς ξένους κοινωνοὺς, καὶ ἐποίησαν αὐτοὺς εἰς τὴν ὑπόστασιν ταύτην κοινωνοὺς καὶ ἐνέμοντο καὶ ἐδέσποζον κἀκεῖνοι σὺν τοῖς ἐξαδέλφοις οὕτως τὴν ὑπόστασιν ὥσπερ ἐκεῖνοι. τί δὲ ἐστὶ τὸ οὕτως ἤγουν συμπεπλεγμένοι καὶ ἀναμεμιγμένοι ὡς οἱ ἐξάδελφοι. ἐὰν οὖν πωλεῖται χωράφιόν τι ἢ ἀμπελὼν τῆς τοιαύτης ὑποστάσεως ἢ ἄλλο ἀκίνητον προτιμώτερός ἐστιν ὁ συγγενὴς αὐτοῦ ὁ οὕτως ἀναμεμιγμένος εἰς τὸ μέρος τοῦ συγγενοῦς ἤγουν ὁ συμπεπλεγμένος. τοῦτο γὰρ δηλοῖ τὸ οὕτως ἀναμεμιγμένος ἤγουν συμπεπλεγμένος. καὶ μόνος ἵνα ἀγοράσῃ τοῦτο ὁ ἐξάδελφος αὐτοῦ, οὐ μὴν καὶ ὁ ξένος ὁ ἀναμεμιγμένος ὁμοίως, διότι ὁ ἐξάδελφος ἔχει δύο δίκαια τὸ τῆς συγγενείας καὶ τὸ τῆς ἀναμιγῆς, ὁ δὲ ξένος μόνον τὸ τῆς ἀναμιγῆς δίκαιον. εἰ δὲ κληθεὶς ὁ ἐξάδελφος εἰς τὴν ἀγορὰν παραιτήσηται ἐνώπιον ἀξιολόγων μαρτύρων, τότε κατὰ δευτέραν τάξιν καλεῖται ὁ ξένος ἐκεῖνος ὁ μόνον ἀναμεμιγμένος οὕτως ἀντὶ τοῦ κατὰ ἀναμιγὴν, καὶ προτιμώτερός ἐστι τοῦ ἄλλου τοῦ ὄντος τρίτου βαθμοῦ, ὃς μόνον ἀναμεμιγμένος ἀλλ᾽ οὐκ ἐστὶ καὶ κοινωνός. οἷον πάλιν ὡς ἐπὶ παραδείγματος· ἐπωλεῖτο χωράφια παρά τινος καὶ ἀμπελῶνες καὶ ἐλαιῶνες ἢ καὶ οἰκήματα. δύο γοῦν ποιήσαντες κοινωνίαν ἠγόρασαν συμπεπλεγμένον καὶ ἀναμεμιγμένον τὸ δίμοιρον τοῦ προαστείου ἀδιαιρέτως κοινῶς, ἵνα ὦσι κοινωνοὶ ὡς πολλοὶ πραγματευταὶ ποιοῦσι κοινωνίαν· τὸ δὲ ἄλλο τρίτον μέρος τὸ μεῖναν πάλιν ἠγόρασεν ἄλλος ἀδιαιρέτως καὶ ἀναμεμιγμένος μόνος καὶ συμπεπλεγμένος. ὅταν οὖν εἷς τῶν δύο κοινωνῶν πωλῇ τὸ μέρος αὐτοῦ, ὁ κοινωνός ἐστι προτιμώτερος εἰς τὴν ἀγο-

de fundis militaribus. (A. 922.)

ρὰν, οὐ μὴν ὁ ἄλλος ὁ μὴ ὢν κοινωνός. ὁ μὲν γὰρ κοινωνὸς δύο ἔχει δίκαια τὸ τῆς ἀναμιγῆς καὶ τὸ τῆς κοινωνίας. ὁ δὲ μὴ ὢν κοινωνὸς ἓν ἔχει δίκαιον μόνον τὸ τῆς ἀναμιγῆς. καὶ λοιπὸν ὅταν παραιτήσηται ὁ κοινωνὸς, τότε ὁ μόνον ἀναμεμιγμένος καλεῖται, κἂν ξένος ἐστὶν ἤγουν οὔτε συγγενὴς οὔτε κοινωνός. ἐὰν δὲ καὶ οὗτος ὁ τοῦ τρίτου βαθμοῦ παραιτήσηται ὁ μόνον ἀναμεμιγμένος καὶ ξένος ὢν καὶ μήτε συγγενὴς μήτε κοινωνὸς, τότε καλεῖται ὁ τοῦ τετάρτου βαθμοῦ. τίς δὲ πάλιν οὗτός ἐστιν, ἄκουσον· ὁ συμπαρακείμενος ὁμοτελής. οἷον παράδειγμα τοῦτό ἐστι τὸ τοιοῦτον· ἐκεῖνο τὸ πραθὲν προάστειον, ὅπερ ἠγόρασαν οἱ οὖν κοινωνοὶ ἅμα καὶ ἄλλος μόνος, πλὴν καὶ οἱ τρεῖς ἀδιαίρετοι καὶ ἀναμεμιγμένοι, τοῦτο ἔχει γείτονά τινα σύνορα ἔχοντα συμπαρακείμενα πρὸς τὰ σύνορα τοῦ τοιούτου προαστείου, καὶ εἰσὶ τὰ χωράφια τυχὸν ἐκείνου ἤγουν οἱ ἀμπελῶνες συνοροῦντες, πλὴν καὶ τελοῦσιν ὑπὸ ἕνα δεσπότην καὶ ἐκεῖνο τὸ προάστειον καὶ τοῦτο, οἷον ὑπὸ μίαν ἀρχιεπισκοπὴν, ἢ κλείονται εἰς ἓν τυχὸν χωρίον ὅπερ χωρίον περικλείει ἐντὸς πολλὰ προάστεια. ἐὰν οὖν πωλῆται ἐκεῖνο τὸ προγραφὲν προάστειον ἢ μέρος ἀπ' αὐτοῦ, ὁ συμπεπλεγμένος καὶ ἀναμεμιγμένος συγγενὴς πρῶτός ἐστι πάντων· εἰ δὲ ἐκεῖνος παραιτήσηται, δεύτερός ἐστιν ὁ ἀναμεμιγμένος συγκοινωνός· εἰ δὲ καὶ ἐκεῖνος οὐ θέλει, τρίτος ἐστὶν ὁ μόνον ἀναμεμιγμένος κἂν ξένος πάντη ἐστὶν καὶ μήτε συγγενὴς μήτε κοινωνός. εἰ δὲ καὶ οὗτος οὐ βούλεται ὁ τρίτος, τότε καλεῖται ὁ τέταρτος ὁ ὑπὸ τὸ αὐτὸ χωρίον τελῶν καὶ συμπαρακείμενα ἔχων τόπια ἢ οἰκήματα ἢ ἀμπελῶνας τῷ πωλουμένῳ καὶ ὁμοροῦντα. οὗτος γὰρ ὁ τέταρτος προτιμώτερός ἐστι τοῦ πέμπτου, τοῦ μὴ ὄντος ὁμοτελοῦς ἀλλὰ μόνον ἕνωσιν καὶ συνάφειαν ἔχοντος ἔν τινι μέρει τοῦ πωλουμένου προαστείου, διότι δύο δίκαια ἔχει καὶ τὴν συμπαράθεσιν καὶ τὴν ὁμοτέλειαν, ὁ δὲ πέμπτος μόνον τὴν ἕνωσιν· ἔνι γὰρ ὑπὸ ἄλλο χωρίον περικλειόμενον τὸ προάστειον αὐτοῦ ἢ ὑπὸ ἄλλον δεσπότην διδοὺς τέλος. τί δέ ἐστι συμπαράθεσις καὶ τί ἕνωσις; ἕνωσις μὲν γάρ ἐστιν, ὅταν τὰ ἄκρα τῶν δύο τοπίων ἑνοῦνται. παράθεσις δέ ἐστιν, ὅταν οὐχ ἥνωνται μὲν τὰ ἄκρα ἀλλὰ μέσον ἔνι τὸ διαιροῦν ταῦτα ἀλλήλων μικρὸν καὶ ὀλίγον τὶ, οἷον ῥύμη στενὴ ἢ πάροδος τοπικὴ καὶ χωριτικὴ, οὐ μὴν δημοσία ὁδός. εἰ γὰρ εὑρεθῇ δημοσία καὶ πλατεία ὁδὸς, τότε οἱ συμπαρακείμενοι ὧδε οὐκ ἔχουσι προτίμησιν εἰς τὸ ἐκεῖσε μέρος ὡς τῆς δημοσίας ὁδοῦ χωριζούσης αὐτούς.'— Ἐν τῇ προτιμήσει ε' βαθμοὺς εἶναι μεμαθήκαμεν. τουτέστιν ἵνα πρῶτον κληθῶσιν οἱ ἀναμὶξ συγκείμενοι συγγενεῖς, εἶτα οἱ οὕτω συμπεπλεγμένοι κοινωνοὶ, μεθ' οὓς οἱ μόνον ἀναμεμιγμένοι εἰ καὶ ξένον πάντη τῷ ἐκχωροῦντι τυγχάνοιεν, ἔπειτα οἱ συμπαρακείμενοι ὁμοτελεῖς, μετέπειτα οἱ ἁπλῶς ἔν τινι μέρει συναπτῶς ἡνωμένοι. ἀλλ' ἐπεὶ διχονοοῦσί τινες ἐκ τοῦ πρώτου βαθμοῦ, λέγοντες ὅτι οἱ ἀναμὶξ συγγενεῖς ὑπάρχουσιν οἱ ἀναμεμιγμένοι εἰς τὴν συγγένειαν, καλῶς εἰδότες ἐλεγχθήτωσαν ὑπὸ πολλῶν τεκμηρίων καὶ ὑποθέσεων. καὶ πρῶτον μὲν ὑπ' αὐτοῦ καὶ μόνου τοῦ ῥήματος, ὅτι οὐχ ἁπλῶς λέγει ἀναμὶξ συγγενεῖς ἀλλὰ οἱ συγκείμενοι ἀναμὶξ συγγενεῖς ἤγουν οἱ ἀναμεμιγμένως συγκείμενοι τῷ πράγματι συγγενεῖς. καὶ πάλιν ὅτι ἐπεὶ συγγενεῖς ὀνομάζει ὁ νόμος περιττὸν τὴν μῖξιν πάλιν εἰπεῖν· ἡ γὰρ συγγένεια αὕτη καθ' ἑαυτὴν γινώσκεται καὶ χαρακτηρίζεται ὑπὸ τῆς συνθέσεως τῶν δύο τοῦ λόγου μερῶν, ἤτοι τῆς σὺν προθέσεως καὶ τοῦ γένους ὀνόματος, ὡς καὶ κατὰ τὸν νόμον μέχρι τοῦ ἑβδόμου βαθμοῦ

Ῥωμανοῦ[2] καὶ κωνσταντίνου καὶ χριστοφόρου τῶν φιλοχρίστων καὶ αὐτοκρατόρων μεγάλων βασιλέων νεαρὰ περὶ ἐκποιήσεως κτημάτων, καὶ προτιμήσεως συγγενῶν καὶ κοινωνῶν καὶ ἀναμεμιγμένων καὶ συμπαρακειμένων ὁμοτελῶν[3] καὶ συναπτῶς ἡνωμένων καὶ τῶν νοουμένων ὁμοτελῶν[4] χωρίων καὶ ἀγριδίων, καὶ κωλύσεως δυνατῶν προσώπων, καὶ ἐκποιήσεως στρατιωτικῶν κτημάτων.

[Ἐκφωνηθεῖσα μηνὶ ἀπριλλίῳ ἰνδ. ι΄ τοῦ ͵ςυλ΄.][5]

πρόεισι. καὶ ἵνα τὸ σαφέστερον εἴπωμεν, σιγάτωσαν ἄνω μικρὸν εἰς τὸ περὶ προτιμήσεως νομοθέτημα καὶ ἀναγινώσκοντες καὶ ὑπερνοοῦντες ἐκεῖθεν τὴν τοῦ λόγου δύναμιν ἀντλησάτωσαν, εἰ δ' οὖν παρ' ἄλλων τῶν εἰδότων τὰ συνοίσοντα διδαχθήτωσαν. λέγει γάρ· οἱ μὲν ἐκ συγγενείας, οἱ δὲ ἐξ ἐπικτήσεως ἐπίκοινον οἰκίαν ἢ ἀμπελῶνα ἢ ἕτερον τὸ οἱονοῦν ἀκίνητον ἔχοντες καὶ τὰ ἑξῆς. καὶ εἰ μὲν ἡ συγγένεια μόνη ἤρκει εἰς τὴν προτίμησιν καθὼς ἄρα τινὲς τῶν ἀμυήτων δοξάζουσιν, ἀνόνητος καὶ περιττὴ ἡ τοῦ ἐπικοίνου ἀνάμνησις. διά τοι τοῦτο παρὰ πολλῶν καὶ ἐντεῦθεν βεβαιότερον μανθανέτωσαν, ὅτι οἱ ἀναμὶξ συγκείμενοι συγγενεῖς οἳ τὸ πρᾶγμα ἀναμεμιγμένον ἔχουσιν. εἰ δὲ καὶ ἐγγύτεροι τῶν ἄλλων εἰσὶν οὗτοι, τῶν πάντων προτιμάσθωσαν, ὡς παρὰ τοῦ νόμου τὴν προτέραν τάξιν ἐσχηκότες καὶ βαθμὸν τὸν ἐγγύτερον.

[2] De inscriptione sic habe. Inscriptionem, quam edidi, solus praestat Paris. 1367. In Paris. 1384 simpliciter est *περὶ προτιμήσεως καὶ ἀγορασίας,* absque nomine imperatorum; in Laur. LXXX, 6 *περὶ ἐκποιήσεως κτλ.* sed imperatorum nominibus non praepositis; in Vind. 3 similiter, *ῥωμανοῦ τοῦ γέροντος* nomine addito. In appendice Synopseos primae classis *Νεαρὰ τοῦ κυροῦ ῥωμανοῦ τοῦ γέροντος* audit, quae verba modo ante, modo post rubricam supra editam collocata sunt. In app. Syn. III cl. sic est: *Νεαρὰ νομοθεσία τοῦ βασιλέως ῥωμανοῦ τοῦ πρεσβύτου περὶ προτιμήσεως ἐκφωνηθεῖσα μηνὶ ἀπριλλίῳ ἰνδ. ι΄ τοῦ ͵ςυλ΄.* — Epitomae, quam appendix Synopseos I cl. continet, ibidem inscribitur: *Νεαρὰ κωνσταντίνου περὶ προτιμήσεως*: verum in app. Syn. II cl. eidem epitomae inscriptio praeponitur per omnia similis ei, quam app. Syn. III cl. habet. — Caeterum de hac Novella, ut et de Novv. V, VI et XV infra edendis, insignis locus est apud Geo. Codinum de orig. CP. ed. Paris. p. 77 sq.: *ὁ τοιοῦτος ῥ ω μ α ν ὸ ς ἀνηγορεύθη μηνὶ δεκεμβρίῳ ια΄ ἰνδ. η΄ ἔτους ͵ςυκη΄. μετὰ δὲ διετῆ χρόνον τῆς βασιλείας αὐτοῦ, κατὰ τὴν ι΄ ἰνδ. τοῦ ͵ςυλ΄ ἔτους, ἐξέθετο τὴν περὶ προτιμήσεως νεαράν· κατὰ δὲ τὴν β΄ ἰνδ. τοῦ ͵ςυλζ΄ ἔτους τὸ περὶ τῶν ὑπεισερχομένων δυνατῶν εἰς ἀνακοινώσεις πενήτων. ἀνακλᾷ δὲ καὶ ἡ τοιαύτη νεαρὰ καὶ εἰς τὴν παρελθοῦσαν τηνικαῦτα α΄ ἰνδ. τουτέστι τὸν τοῦ λιμοῦ τοῦ μεγάλου καιρόν. κατὰ δὲ τὴν ε΄ τοῦ ͵ςυνε΄ ἔτους ἐπεκύρωσε τοιαύτην νομοθεσίαν ὁ βασιλεὺς κύριος κ ω ν σ τ α ν τ ῖ ν ο ς. τὰ δὲ ιη΄ ἔτη, ὧν ὁ δ ε κ α π ο λ ί τ η ς ἐν τῇ λύ[σει] μέμνηται, οὐκ ἀπὸ τοῦ καιροῦ τῆς πρώτης ψηφίζονται νομοθεσίας, ἤτοι τοῦ ͵ςυλζ΄ ἔτους, ἀλλ' ἀπὸ τῆς α΄ ἰνδ. τοῦ ͵ςυλς΄ ἔτους ἤτοι τοῦ λιμοῦ, εἰς ὃν καὶ ἀνακλᾷ ἡ τοιαύτη νομοθεσία, μέχρι τῆς αὐτοῦ αὐτοκρατορίας τοῦ αὐτοῦ βασιλέως κωνσταντίνου.*

[3] Ita Paris. 1367. Laur. LXXX, 6 et Syn. I cl.: *ὁλοτελῶς*. Alii *ὁμοτελῶς*.

[4] Nonnulli *ὁλοτελῶν*.

[5] Haec addo

Παλαιὸς νόμος[6] *ἐστὶν, ἵνα μηδεὶς παρὰ συγγενῶν ἢ κοινωνῶν ἐμποδίζηται πωλεῖν οἷς ἂν ἐθελήσειεν*[7]*· ἕτερος δὲ νόμος*[8] *ἄντικρυς ἀπαγορεύει, μὴ ἐξεῖναί τινι πιπράσκειν ἑτέρῳ ἢ μόνον τοῖς τῆς ἰδίας μητροκωμίας οἰκήτορσιν. ἡμεῖς δὲ τῶν ἡμετέρων ὑποτελῶν ἅμα καὶ τῶν δημοσίων φόρων, τῆς τε ἄλλης στρατιωτικῆς καὶ πολιτικῆς λειτουργίας καὶ συντελείας*[9] *πολλὴν τιθέμενοι πρόνοιαν, τὸ ἐναντιοφανὲς αὐτῶν καὶ ἀδιόριστον διὰ ταύτης ἡμῶν τῆς θείας διατάξεως σαφεῖ καὶ συντόμῳ λόγῳ ἐπανορθοῦντες·*

α΄. Θεσπίζομεν ἀπὸ τοῦ νῦν ἐν πάσῃ πόλει καὶ χώρᾳ καὶ ἐπαρχίᾳ, ἵνα εἴ τινες τυχὸν ὡς ἀπὸ συγγενείας διῃρημένως ἢ ἀδιαιρέτως, ἢ ὡς ἐκ κοινῆς ἀγορασίας ἢ ἄλλης τοιουτοτρόπου κτήσεως[10]*, ἢ οἱ μὲν ἐκ συγγενείας οἱ δὲ ἐξ ἐπικτήσεως, ἐπίκοινον οἰκίαν ἢ ἀγρὸν ἢ ἀμπελῶνα ἢ ἕτερόν τὸ οἱονοῦν ἀκίνητον ἔχοντες, ἢ ἄλλως καὶ οὐχ ὡς ἐξ ἐπικοίνου τοῖς ἐγγίζουσι κτήμασι κατά τι μέρος ἀναμεμιγμένοι ἢ συμπαρακείμενοι ὁμοτελεῖς ἢ ἁπλῶς πλησιάζοντες, βουληθεῖεν ἐκποιῆσαι τὰ ἴδια κατὰ πρᾶσιν ἢ ἐμφύτευσιν ἢ μίσθωσιν, μὴ πρότερον ἑτέρῳ τινὶ ταῦτα ἐκποιείτωσαν, εἰ μὴ πρὸς ἐκείνους διαμαρτύρωνται, οὓς καλοῦμεν κατὰ τάξιν πρὸς τὴν προτίμησιν· ἵνα πρῶτοι κληθῶσιν οἱ ἀναμὶξ συγκείμενοι συγγενεῖς· εἶτα οἱ οὕτως*[11] *συμπεπλεγμένοι κοινωνοί· μεθ' οὓς οἱ μόνον ἀναμεμιγμένοι, εἰ καὶ ξένοι πάντῃ τῷ ἐκχωροῦντι τυγχάνοιεν· ἔπειτα καὶ οἱ συμπαρακείμενοι ὁμοτελεῖς· μετέπειτα οἱ ἁπλῶς ἔν τινι μέρει συναπτῶς ἡνωμένοι*[12]*. ὁμοτελεῖς δέ φαμεν πάντας τοὺς ὑπὸ τὸν αὐτὸν ὑποτεταγμένον ἀναγραφομένους, κἂν ἐν διαφόροις τόποις τὰ ἴδια τελέσματα καταβάλλωνται*[13]*. πολλῶν δὲ πέριξ τοῦ ἐκχωρουμένου κτήματος*[14] *ὁμορούντων, κατὰ τὴν αὐτὴν τάξιν ἑκάστῳ ἡ προτίμησις διὰ μαρτυρίας*[15] *τελείσθω*[16]*, ἵνα τῶν προτιμωμένων ἴσως*

---

ex Syn. II et III cl. [6] Intelligitur l. 14 C. *de contrah. EV.* (IV, 38) in Basil. XIX, 5. [7] Epitome in Syn. cl. I et II: *Παλαιὸς νόμος ἐστὶν μηδένα κωλύεσθαι μήτε παρὰ συγγενῶν μήτε παρὰ κοινωνῶν τὸ ἴδιον ὅπου* (alii *ᾧτινὶ*) *βούλεται πωλεῖν, ἐπιτρέπων καὶ συγγενεῖς καὶ κοινωνοὺς πωλεῖν ἀκωλύτως οἷστισι βούλονται καὶ διῃρημένως καὶ ἐξ ἀδιαιρέτου τὰ ἴδια· ἕτερος δὲ κτλ.* [8] Cf. l. un C. *non licere habitat.* (XI, 56) in Basil. LV, 5. [9] Leuncl. in marg. *λυσιτελείας.* [10] Epitome in Syn. cl. I et II: *δεσποτείας ἢ κτήσεως.* [11] Leuncl. in marg. *εἶθ' οὕτως οἱ.* [12] Alii: *συνηνωμένοι.* [13] Alii: *καταβαλλομένους.* [14] Alii: *τῷ ἐκχωρουμένῳ κτήματι.* [15] Leuncl. *διαμαρτ.* et conjicit: *διὰ διαμαρτ.* [16] Epit. in Syn. Cl. I et II: *πολλῶν δὲ πέριξ τοῦ πιπρασκομένου παρακειμένων ἢ τοῦ ἐκχωρ. κτήμ. ὁμ. πᾶσι κατὰ τὴν αὐτὴν τάξιν ἡ περὶ τῆς προτιμήσεως διαμαρτυρία ἐντελλέσθω* (alii *ἡ πρόσκλησις τῆς διαμαρτυρίας*

παραιτουμένων, οἱ ἐφεξῆς καλούμενοι, εἴγε βούλοιντο, συναλλάξαιεν. εἰ μέντοι πάντες ἐκ τῶν ἴσων ἔρχονται προνομίων, ὥστε κατὰ μηδὲν ἀλλήλων προκεκρίσθαι ἐπὶ τῇ τοιαύτῃ προκλήσει[17], ἡ αὐτὴ πᾶσιν[18] ὁμοίως γινέσθω προφώνησις, ἵνα ἐντὸς λ' ἡμερῶν τὸ ἄξιον τίμημα ἢ ὅπερ ἀῤῥαδιουργήτως ὁ ἀληθὴς δίδωσιν ἀγοραστὴς, αὐτοὶ ἀνυπερθέτως καταβαλόντες ἀναλόγως ἀφ' ἑαυτῶν ἢ ἔκ τινος ἀρχῆς τοῦτο ἐπιμερίσωνται. ὅσοι δὲ μὴ ἐμπροθέσμως τὴν ἐπιβάλλουσαν αὐτοῖς παράσχοιεν ἀποτίμησιν, οὐκέτι δίκαιον ἕξουσι προτιμήσεως, πλὴν εἰ μή τις αὐτῶν αἰχμάλωτός ἐστιν ἢ περιωρισμένος ἢ ἐξόριστος, ἢ ἐν δημοσίαις ἢ καὶ ἰδίαις χρείαις ἀδόλως ἀπολιμπάνεται, ἢ οὔπω τὸν κε' χρόνον τῆς ἰδίας ἤνυσεν[19] ἡλικίας. τούτων γὰρ οἱ τὴν διοίκησιν τῶν προσόντων αὐτοῖς ἀναδεδεγμένοι ἐντὸς δ' μηνῶν μετὰ τῶν συμπαρακειμένων[20] νέων ἀγοραστῶν πρὸς ἀναλογοῦν[21] συνεισέρχονται, ἀναπληροῦντες αὐτοῖς τὸ ἀνῆκον τίμημα μετὰ τοῦ νομίμου τόκου καὶ τῶν ἀναγκαίων ἀναλωμάτων· τοὺς δὲ ξένους ἀγοραστὰς ἀπωθοῦνται τελείως, τὸ τίμημα μετὰ τῶν αὐτῶν τόκων τε καὶ δαπανημάτων ἀναδιδόντες αὐτοῖς. εἰ δὲ οἱ τῶν εἰρημένων προσώπων διοικηταὶ ὑφορῶνται, μήπως τὸ παρ' αὐτῶν πραχθὲν ἐκεῖνοι δεκτὸν οὐχ ἡγήσωνται, μετ' ἐγγράφου νομικῆς διαγνώσεως ἢ ἀποβαλλέσθωσαν ἢ καταδεχέσθωσαν τὸ συνάλλαγμα. εἰ δὲ καὶ πρὸς τοῦτο ῥαθυμήσουσιν, οἴκοθεν αὐτοῖς παρεχέτωσαν πᾶν κέρδος καὶ πᾶσαν ὠφέλειαν, ἣν ἔμελλον ἕξειν ἐκεῖνοι, εἴπερ ἔσπευσαν οὗτοι πρὸς τὸ συνάλλαγμα. καὶ ταῦτα μὲν ἐπὶ συγγενῶν, καὶ κοινωνῶν, καὶ ὁμοτελῶν, καὶ τῶν ἄλλων παρακεκτημένων. ἀλλὰ καὶ ἐπὶ τῆς ὁμάδος[22] τῶν καλουμένων χωρίων ἢ ἀγριδίων πολλῷ μᾶλλον κρατείτω, ἵνα καὶ οἱ κτήτορες[23] αὐτῶν πρὸς ἀλλήλους ἔχωσι τὴν προτίμησιν. εἰ δὲ πάντες παραιτήσονται οἷς δίδοται ἡ προτίμησις, ἢ δείκνυνται[24] αἴτιοι χρηματικῆς ζημίας ἢ σωματικῆς ἐπιβουλῆς τε καὶ ἀτιμίας τραχείας τῷ ἐκποιοῦντι καὶ τῇ αὐτοῦ φαμιλίᾳ, οὐ κατὰ τύχην ἀλλ' ἐκ προνοίας, δι' ἑαυτῶν ἢ διὰ τῶν προσηκόντων αὐτοῖς γεγονότες, τοὺς τοιούτους ἄκοντος τοῦ πεπονθότος κατ' οὐδένα τρόπον εἰς τὴν ἐκείνου κτῆσιν εἰσενεχθῆναι βουλόμεθα.

τελείσθω). [17] Malim *προσκλήσει.* Leunclav. in marg. „al. *προτιμήσει*". [18] Idem „al. *πάλιν*". [19] Epit. laud. *διήνυσεν.* [20] Leuncl. in marg. „al. *συμπαρακεκτημένων*". [21] Epit. laud. *πρὸς τὸ ἀναλ.* Quod fortasse praestat. [22] Leuncl. in marg. *ὁμάδος μιᾶς εἰσὶν οἱ ἐκ τοῦ αὐτοῦ χωρίου.* [23] Epit. laud. *οἰκήτορες.* [24] Epit. *παραιτήσοιντο — δέδοται — δείκνυται ὅτι.*

κατὰ πρόφασιν μέντοι προικὸς ἢ προγαμιαίας δωρεᾶς ἢ ἁπλῆς[25] ἢ θανάτου αἰτίᾳ δωρεᾶς ἢ ἐκ διαθήκης ἢ ἀνταλλαγῆς ἢ διαλύσεως καὶ οἰκεῖοι καὶ ἐξωτικοὶ ἅπαντες ἐκποιεῖν δύνανται· μόνον ἵνα μή τις κατὰ σκῆψιν λάθρα πωλήσας ἢ μισθώσας τοῖς μὴ προτιμωμένοις, ἐν τῷ φανερῷ δωρεῖσθαι ἢ λεγατεύειν ἤ τι τῶν εἰρημένων προσποιήσηται. διὰ ταῦτα γὰρ καὶ ὅρκον τοῦ τε διδόντος καὶ τοῦ λαμβάνοντος οἱ τὸ προνόμιον τῆς προτιμήσεως ἔχοντες δύνανται ἀπαιτεῖν. εἰ δέ γε οἱ ἐκποιοῦντες πρὸς περιγραφὴν τῆς ἡμετέρας νομοθεσίας ἄλλο τὶ πρᾶξαι τολμήσουσι καὶ ἄλλο τὶ ἐκ τοῦ φανεροῦ προσποιήσονται, εἰ μὲν μετὰ τὸν ὅρκον ἐλεγχθῶσιν, αὐτοί τε καὶ οἱ οὕτω δολερῶς αὐτοῖς συναλλάξαντες τάς τε τῆς ἐπιορκίας ποινὰς ὑφέξουσι, καὶ ὁ μὲν τοῦ κτήματος, ὁ δὲ τοῦ λάθρα καταβληθέντος τιμήματος ἐκπεσεῖται, καὶ ἀμφότερα τῷ δημοσίῳ εἰσκομισθήσονται, ἵνα ἐκ τοῦ δημοσίου εἰς τοὺς πλησιάζοντας διαπραθῇ[26]. εἰ δὲ πρὸ τοῦ ὅρκου φωραθεῖεν τοιοῦτόν τι διαπραξάμενοι, καὶ τὸ πραχθὲν[27] ἄκυρον ἔσται, καὶ τὸ κτῆμα ὁ ἅπαξ πειραθεὶς κακῶς ἐκποιῆσαι καὶ ἄκων ἀπεμπολῆσαι ἀναγκασθήσεται εἰς ἐκείνους, οἷς δεδώκαμεν τὴν προτίμησιν.

β'. Τοῖς δὲ δυνατοῖς[28] ἀπαγορεύομεν τοῦ λοιποῦ υἱοθεσίας τρόπῳ ἢ δωρεᾶς[29] ἁπλῆς ἢ θανάτου αἰτίᾳ ἢ ἐκ διαθήκης ἢ κατὰ μόνην χρῆσιν ἢ ὡς ἐπί τινι προστασίᾳ καὶ συνδρομῇ λαμβάνειν τὶ παρὰ τῶν εὐτελεστέρων, εἰ μὴ ἄρα συγγενεῖς αὐτῶν εἶεν. ἀλλὰ μηδὲ νέας ἀγορασίας ποιεῖσθαι ἢ μισθώσεις ἢ ἀνταλλαγὰς ἔν τισι χωρίοις ἢ ἀγριδίοις, ἐν οἷς οὐκ ἔχουσιν ἴδια κτήματα, ἐκ τῶν κτητόρων αὐτῶν. εἰ δὲ μὴ τούτων αἱ στάσεις, ἀλλ' ἑτέρων προσώπων εἰσὶ τὰ διαπιπρασκόμενα προάστεια, εἴ τε ἐκ τοῦ δημοσίου οἱ λεγόμενοι κλασματικοὶ τόποι ἢ καὶ ἄλλη κτῆσις ἀνήκουσα αὐτῷ ἐκποιεῖται, καὶ ὡσαύτως οἱ αὐτοὶ κτήτορες προτιμάσθωσαν. τούτων δὲ ἑκουσίως ἀποτασσομένων, τότε καὶ τοῖς δυνατοῖς ἔξεστι συναλλάττειν[30]. ἐκεῖνοι δὲ νοείσθωσαν δυνατοὶ, οἵτινες κἂν μὴ δι' ἑαυτῶν, ἀλλ' οὖν διὰ τῆς ἑτέρων δυναστείας, πρὸς οὓς πεπαῤῥησιασμένως ᾠκείωνται, ἱκανοὶ εἰσιν ἐκφοβῆσαι τοὺς ἐκποιοῦντας, ἢ πρὸς εὐεργεσίας ὑπόσχεσιν την πληροφορίαν αὐτοῖς παρασχεῖν. εἰ δέ τις ἐκ τῶν δυνατῶν προσώπων τοιοῦτόν τι ἐγχειρήσει διαπράξασθαι, καὶ τοῦ κτή-

---

[25] Alii ἁπλῶς. [26] Alii διαπραθῶσιν. [27] Alii πραθέν. [28] Epit. laud. addit προσώποις. [29] Alii ἀπὸ δωρ. [30] Verba ἐκ τῶν κτητόρων αὐτῶν — συναλλάττειν in Epit. laud omittuntur

ματος στερηθήσεται καὶ τὴν ἀποτίμησιν αὐτοῦ ἐκ τοῦ δημοσίου εἰσπραχθήσεται[31]. μετὰ μέντοι δεκαετίαν ἀνεπιφώνητον κατὰ τῶν ὁπωσοῦν συναλλαξάντων ἢ δωρεὰς δεξαμένων ἢ ἐκ διαθήκης τὶ κτησαμένων οὐδεμία παρ᾽ οὐδενὸς τῶν ἐντεῦθεν προτιμωμένων, ἢ καὶ ὡς ἐκ τοῦ δημοσίου ζήτησις ἔσται.

γ΄. Πρὸς τούτοις δὲ κελεύομεν, ὥστε πάντα τὰ στρατιωτικὰ κτήματα, ὅσα ἐντὸς τριακονταετίας καθ᾽ οἱονδήποτε τρόπον ἐξεποιήθησαν, ἢ μετὰ ταῦτα μέλλουσιν ἐκποιεῖσθαι, ἀναργύρως εἰς τὴν τῆς ἰδίας στρατείας ἐνοχὴν καὶ ὑπηρεσίαν πάλιν ἐπανακάμψαι, εἰ μὴ ἄρα καὶ μετὰ τὴν ἐκποίησιν τοσοῦτον τῷ στρατιώτῃ περιλιμπάνεται[32], ὅσον τῷ στρατευομένῳ[33] πρὸς τὴν τῆς νέας στρατείας σύστασιν ἐξαρκεῖ. καθ᾽ ὅσον γὰρ ἐλλείπει, κατὰ τοσοῦτον ἡ ἐκποίησις ἀναιρεῖται.

NOV. III.

Aurea bulla Impp. Romani, Christophori et Constantini confirmans decretum synodale, ut episcopatus Rhizaei, licet in archiepiscopatum promotus, metropolitae Neo-Caesariensi subditus maneat[1]. (Inter 920 et 926.)

Non extat.

NOV. IV.

Aurea bulla Impp. Romani, Christophori et Constantini de archiepiscopatu Patrensi in metropolin promoto[1]. (Inter 920 et 926.)

Non extat.

---

[31] Hactenus Epit. laud. [32] Alii *περιλαμβάνεται.* [33] Alii *τὸν* vel *τὸ στρατευόμενον.*

[1] Hujus chrysobulli mentio fit in epistola Patriarchae Nicolai ad Imp. Alexium Comnenum in JGR. I p. 281 et in Coll. can. ed. Rhalli V p. 75.

[1] Laudatur l. l. in JGR. I p. 279 et in Coll. can. ed. Rhalli I p. 72.

NOV. V.

Impp. Romani, Constantini, Stephani et Constantini de potentibus ab acquisitione praediorum arcendis[1]. (A. 935.)

Τοῦ[2] *κυρίου ῥωμανοῦ τοῦ βασιλέως τοῦ πρεσβύτου*

---

[1] Hanc Novellam servavit nobis appendix Synopseos I, II et III classis, unde eam ediderunt Leunclav. post Syn. p. 37 et in JGR. II p. 158, et Labbaeus p. 1. Praeterea occurrit in appendice Prochiri aucti, et in Codd. Bodl. 131 et Paris. 1384. Epitomen exhibet appendix Syn. I cl., eamque edidit Leunclav. JGR. II p. 155; aliam appendix Michaelis Attalensis. (Ibi sic est: *Νεαρὰ ῥωμανοῦ περὶ δυνατῶν. ὁ δὲ κυρὸς ῥωμανὸς ἐκεῖνος ὁ πρεσβύτης ἐνομοθέτησεν· οἱ δυνατοὶ κοσμικοί τε καὶ ἐκκλησιαστικοὶ καὶ οἱ ἀρχὰς ἔχοντες καὶ οἱ προσῳκειωμένοι τούτοις, ἔτι δὲ καὶ ἡγούμενοι, μὴ δύνανται ποιεῖν νέας ἐπικτήσεις κατά τινα τόπον εἰς ξένωσιν χωρίων ἢ ἀγρῶν. ἀλλ' ἐὰν ποιήσωσι μετὰ τὴν νομοθεσίαν, ἐκδιώκονται ἀναργύρως μηδὲ περὶ ἐμπονημάτων ἔχοντες λόγον. καὶ εἰ μὲν βούλονται οἱ ἐκποιησάμενοι χωρῖται ἀναλαμβάνεσθαι ταῦτα, ἔχουσι τοῦτο ἐπ' ἀδείας. τούτων δὲ μὴ ὑπόντων ἢ μὴ βουλομένων, πρὸς τοὺς συγκληρονόμους καὶ συγχωρίτας ἐπανέρχονται ταῦτα. εἰ δὲ προφάσει μονάσαντος ἢ μονάσαι βουλομένου χωρίτου προσκυρωθῇ τι χωριτικὸν εἰς μοναστήριον, ἡ δικαία τιμὴ τοῦ κτήματος παρέχεται εἰς τὸ μοναστήριον παρὰ τῶν συγχωριτῶν, τὸ δὲ κτῆμα μένει παρ' αὐτοῖς.* Cf. *Μικρὸν* N, 40.) — Laudatur haec Romani Novella in *Πείρᾳ* VIII, 1. IX, 1. 2. 10, in Ecloga lib. I—X Basil. IX, 2 (cf. Nov. II not. 1). Particula ejus reperitur apud Harm. III, 3. 7, quam Bonefid. p. 24 edidit. — Quo tempore haec Novella promulgata sit, non satis in aprico est. Secundum ea, quae not. 2. 3. 5. 6 et 28 dicentur, anno sive 929 (ind. II) sive 935 (ind. VIII) vindicari potest. Sed in textu Novellae passim ind. I vocatur *ἡ παρελθοῦσα πρώτη ἰνδικτιών*, quae simplicius *ἡ παρελθοῦσα ἰνδ.* vocari potuisset, si ind. II lex lata fuisset: adeoque in fine capitis Ι sermo est de *χρόνοις* post ind. I insequutis, idque longius intervallum inter ind. I et annum, quo lex promulgata est, intercessisse demonstrat. Proinde non ind. II anno 929, sed potius ind. VIII anno 935 editam esse crediderim. Scilicet quum Nov. II c. 2 decennii praescriptione potentium acquisitiones ab omni controversia liberas esse voluisset, circa a. 935 periculum imminebat, ne potentium in praedia rusticorum irruptiones a. 928 i. e. tempore famis factae decennii lapsu confirmarentur: ideo imperatores hoc demum tempore antiquiorem illam legem ita de novo proposuerunt, ut praescriptioni illi non esset locus. Caeterum Georgius Monachus in Novis Impp. ed. Paris. p. 585 ind. VII famem illam tribuere videtur. — Conferantur etiam, quae infra Nov. XV et Nov. XXVIII in notis dicemus. [2] In Syn. fere inscribitur: *αἱ νεαραὶ τοῦ κυροῦ ῥωμανοῦ τοῦ βασιλέως* (al. *τοῦ γέροντος*, al. *τοῦ πρεσβύτου*). Haec verba *περὶ τῶν ὑπεισερχ. — πενήτων* nonnisi in Syn. II et III cl. reperiuntur. In App. Prochiri aucti inscribitur: *Νομοθεσία παλαιὰ ῥωμανοῦ βασιλέως τοῦ γέροντος συντεθεῖσα παρὰ κοσμᾶ μαγίστρου τῷ καιρῷ τοῦ λιμοῦ τῆς α' ἰνδ.* — vel etiam sic: *Νεαρὰ ῥωμανοῦ βασιλέως τοῦ γέροντος χάριν τοῦ μὴ εἰσέρχεσθαι δυνατὰ πρόσωπα εἰς ἀγροὺς ἢ καθόλου ἢ μερικῶς.* Denique Epitomae hujus Nov. in Syn. I cl. inscribitur: *Νεαρὰ ῥωμανοῦ εἴργουσα τοὺς δυνατοὺς ἐξωνήσεις εἰς χωρίον ὁμάδα ποιεῖν.*

νεαρὰ περὶ τῶν ὑπεισερχομένων δυνατῶν εἰς ἀνακοινώσεις πενήτων[3].

Στίχοι ἰαμβικοί[4].

Νέον νόμον τίθησι ῥωμανὸς ἄναξ,
Ὃν καὶ πέπομφε λύτρον ἠδικημένοις.

Μηνὶ[5] σεπτεμβρίῳ ἰνδικτιῶνος η΄[6] ἔτους ἀπὸ κτίσεως κόσμου ͵ςυμγ΄ ῥωμανὸς κωνσταντῖνος στέφανος καὶ κωνσταντῖνος[7] πιστοὶ ἐν θεῷ βασιλεῖς ῥωμαίων.

α΄. Περὶ τῶν ἀπὸ τῆς προῤῥηθείσης ἰνδικτιῶνος καὶ ἔτους κωλυομένων προσώπων κατὰ πρᾶσιν ἢ δωρεὰν ἢ κληρονομίαν ἢ ἄλλῳ τινὶ τρόπῳ κτήσασθαί τινα δεσποτείαν ἐν ἀγρῷ ἢ χωρίῳ, καὶ τίς ἡ χρηματικὴ τιμωρία αὐτῶν, καὶ περὶ τῶν οἵτινες προτιμῶνται εἰς τὴν τῶν τοιούτων τοπίων ἀνάληψιν.

β΄. Περὶ τῶν ἀπὸ τῆς παρελθούσης πρώτης ἰνδικτιῶνος μέχρι τῆς ἐνεστώσης ἐκδιωκομένων προσώπων κατὰ διαφόρους τρόπους ἀπὸ τῶν χωρίων καὶ ἀγρῶν ὧν ἐπεκτήσαντο. καὶ περὶ τῆς τοῦ τιμήματος ἀναστροφῆς καὶ τῶν καλλιεργημάτων καὶ τῆς προτιμήσεως τῶν προσώπων.

---

[3] Leuncl. et Labb. addunt εἴργουσα αὐτοὺς ἐξωνήσεις εἰς χ. ὁ. ποιεῖν ex Epitome hujus Nov. in Syn. I cl. Praeterea addunt ex Syn. II et III cl.: ἣν ὑπηγόρευσε κοσμᾶς μάγιστρος ἰνδ. β΄ (Leuncl. α΄) ἔτους ͵ςυλζ΄. Haec autem temporis et auctoris nota vitiosa esse videtur: tempus famis et tempus legis editae invicem commixtum est: Cosmam magistrum ministrum legis laudat, quia ejus sententiae in Syn. I cl. Novellis Romani subjectae reperiuntur. [4] Hoc epigramma libri MSS. omnes Novellae praeponunt. [5] Quae sequuntur sub inscriptione Τὰ κεφάλαια τῆς διατάξεως Leunclavius JGR. edidit „ex antiquissimis membranis Electoralis bibliothecae Palatinae descripta"; Palat. 8 an 13 an 249 indicare voluerit, non liquet. Labbaeus Leunclavium sequutus est. In Codicibus Synopseos I cl. Paris. 1357 A et Vind. jurid. gr. 1 appendix Synopseos sic incipit: Μηνὶ σεπτεμβρίῳ ἰνδ. η΄ ἔτους ἀπὸ κτίσεως κόσμου ͵ςυμγ΄ ῥωμανὸς κωνσταντῖνος στέφανος καὶ κωνσταντῖνος πιστοὶ θεῷ βασιλεῖς ῥωμαίων. περὶ τῶν ἀπὸ τῆς προῤῥηθείσης — καὶ οὐ τὸν τόπον. καὶ ἡ νέα νομοθεσία τοῦ βασιλέως τοῦ κυροῦ βασιλείου τοῦ πορφυρογεννήτου. Tum demum haec sequuntur: Αἱ νεαραὶ τοῦ κυροῦ ῥωμανοῦ τοῦ βασιλέως. στίχοι κτλ. [6] Leuncl. et Labb. ἰνδ. η΄ ἔτους ἀπὸ κτίσεως κόσμου ͵ςυλς΄ habent et in margine ἰνδ. α΄ legendum esse conjiciunt; nam ind. I in annum a. o. c. 6436 (p. Chr. 928) incidit. Vide etiam locum Codini supra Nov. II not. 2. Sed numerus indictionis bene habet: annus autem secundum not. 5 in ͵ςυμγ΄ mutandus erat. Vide etiam not. 28 et mox ς΄. περὶ τῶν ἀπὸ τῆς πρώτης ἰνδ. μέχρι τῆς ὀγδόης κτλ. [7] Leuncl. et Labb. ἦσαν ῥωμανὸς ὁ γέρων — καὶ ἕτερος κωνσταντῖνος. Malui etiam in his Codices not. 5 laudatos sequi.

γ'. Περὶ τῶν κατὰ πολλοὺς τρόπους εἰς κρείττονα μετασκευασθέντων τύχην, μένειν καὶ αὐτοὺς ἐν οἷς εἶχον πρὸ τῆς πρώτης ἰνδικτιῶνος καὶ μόνον.

δ'. Περὶ τῶν ἐκδιωκομένων προσώπων καὶ πρὸ[8] τῆς παρελθούσης πρώτης ἰνδικτιῶνος καὶ φορτικῶν καὶ ἐπαχθῶν καὶ βαρείας τινὰς ἢ συνεχεῖς προξενούντων βλάβας τοῖς πλησίον αὐτῶν πένησι.

ε'. Περὶ τοῦ δοθέντος τριετοῦς χρόνου ἕνεκεν τῆς ἀναστροφῆς τοῦ τιμήματος, καὶ τῆς ἀπεντεῦθεν ἤδη παραδόσεως τοῦ κτήματος βοήθειαν τῷ ἀπόρῳ πράττειν καὶ τοῖς λοιποῖς τοῖς ἀπὸ τοῦδε τοῦ νόμου προτιμηθεῖσι.

ς'. Περὶ τῶν ἀπὸ τῆς πρώτης ἰνδικτιῶνος μέχρι τῆς ὀγδόης πραθέντων, ἀξίων ὄντων ἐπέκεινα τοῦ διπλασίονος, ἀναστρέφεσθαι ἀναργύρως.

ζ'. Περὶ τῆς καταδίκης τῶν ἀγορασάντων ἔνδοθεν τοῦ προῤῥηθέντος χρόνου ἔλαττον τῆς δικαίας τιμῆς.

η'. Περὶ τοῦ λαβεῖν[9], ἀλλὰ καὶ λαμβάνειν τὰ μοναστήρια τῶν ὑπὲρ ἀποταγῆς διδομένων τοπίων τὰς τιμὰς, καὶ οὐ τὸν τόπον.

Ἀνθρώποις ἐστὶ ζηλωτὸν καὶ περισπούδαστον, οἷς μέγα καὶ σεβάσμιον τὸ τῆς παντουργοῦ[10] χειρὸς νομίζεσθαί τε καὶ ὀνομάζεσθαι[11] φιλοτέχνημα, τὸ πρὸς τὴν τοῦ παραγαγόντος μίμησιν τὴν ψυχικὴν παρασκευάζειν διάθεσιν· οἷς δὲ μὴ μέγα τοῦτο μηδὲ[12] μακάριον λελόγισται, τούτοις ἄρα μετὰ τῆς πλάσεως καὶ ὁ τῆς κρίσεως ἐξαρνεῖσθαι πρόκειται λόγος, καὶ ὑπολέλειπται ὡς ἐν γῇ τὸ πᾶν ἀναδεξαμένοις[13] τῆς βιώσεως καὶ μόνης ἐπὶ τῆς γῆς βιοτεύειν αἱρουμένοις[14] τὸ τῆς οἰκείας ἐπιδείκνυσθαι προαιρέσεως. ἐντεῦθεν ἡ πολλὴ τῶν πραγμάτων σύγχυσις, ἐντεῦθεν ἡ μεγάλη τῶν ἀδικημάτων ἐπιφορὰ, ἐντεῦθεν ἡ μεγάλη καὶ μακρὰ τῶν πτωχῶν ταλαιπωρία, καὶ ὁ πολὺς στεναγμὸς τῶν πενήτων, δι' οὓς ἀνίσταται κύριος. ἕνεκα γάρ φησι τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει κύριος. εἰ θεὸς εἰς ἐκδίκησιν διανίσταται ὁ καὶ πλάσας ἡμᾶς καὶ σώσας καὶ βασιλεύσας, πῶς ἡμῖν ὑπεροφθήσεται καὶ εἰς τέλος ἐπιλησθήσεται; ἐπεὶ μόνους

---

[8] Labb. περί. [9] Haec corrupta sunt. Forte: περὶ τοῦ μονασάντων κτήσεις μὴ λαμβάνειν τὰ μοναστήρια, ἀλλ' ὑπὲρ ἀποταγῆς τῶν διδ. κτλ. [10] Leuncl. πανουργοῦ. [11] Leuncl. νομίζεταί τε καὶ ὀνομάζεται. [12] Idem: οἷς δὲ μέγα τοῦτο καὶ μακ. [13] Idem: ἀποδεξ. [14] Labb. αἱρουμένους.

τοὺς τῆς βασιλείας ὀφθαλμοὺς εἰς παράκλησιν ὁ πένης προσδέχεται;[15] διὰ ταῦτα εἰς τὴν τούτων ἐκδίκησιν οὐ τὰ πρὸς αὐτοὺς μόνον[16] ἔναγχος τελεσθέντα τε ἢ τολμώμενα ἐξιᾶσθαι διασκοπήσαντες, ἀλλὰ καὶ κοινὴν καὶ[17] διαμένουσαν τῷ πράγματι θεραπείαν ἐπιτιθέμενοι, τὸν παρόντα νόμον ἐξεθέμεθα, οἱονεί τινα ἐκβολὴν καὶ καθαρμὸν τῆς ἀπλήστου γνώμης τοῦτον ἐπισκευάσαντες, ὡς μηκέτι τινὰ τῶν οἰκείων ἀλλοτριοῦσθαι νῦν, ὡς μὴ καταδυναστεύεσθαι πένητα, ὡς κοινῇ[18] λυσιτελοῦσαν, καὶ θεῷ εὐαπόδεκτον καὶ τῷ δημοσίῳ πρόσφορον καὶ τῇ πολιτείᾳ χρήσιμον, τὴν χρείαν ἔχειν διασκεψάμενοι. οὐδὲ πάλαι[19] μὲν λαθούσης ἢ τῆς μὴ[20] προσηκούσης τυχούσης ἐπιμελείας τῆς τοιαύτης ὑποθέσεως· δι᾽ ἣν καὶ ψῆφοι καὶ κρίσεις, τὸ κακοῦργον[21] τῆς γνώμης ἀναστέλλουσαι καὶ τὴν τῆς πλεονεκτικῆς χειρὸς ἔκτασιν καταστέλλουσαι, καὶ[22] ἐν πάσαις ταῖς ὑφ᾽ ἡμᾶς[23] τεταγμέναις ἀρχαῖς καταπεφοιτήκασιν. ἀλλ᾽ ἐπεὶ πολύτροπον ἡ κακία καὶ πολυποικιλώτατον[24], καὶ ἅπασαι μέν, οὐχ ἥκιστα δὲ πλεονεξία, εἰ μήγε καὶ μᾶλλον, ὡς νόμων καὶ θεσπισμάτων[25] λαβὰς διαδιδράσκειν μηχανᾶσθαι καὶ τὸν ἀλάθητον παρ᾽ οὐδὲν τῆς θείας δίκης τίθεσθαι ὀφθαλμόν, διὰ ταῦτα νῦν ἀσφαλεστέρας καὶ ἐπιμελεστέρας ἀναγραφῆς ἠξίωται ταῦτα, τῆς τῶν κακουργούντων βουλήσεως τὰ σοφίσματα ῥίπτοντά τε καὶ ἀποτέμνοντα[26].

α΄. Θεσπίζομεν τοιγαροῦν, τοὺς ἐν πάσῃ χώρᾳ καὶ πολιτείᾳ, ἣν μετὰ θεὸν ἡ ὑφ᾽ ἡμῶν[27] διέπει ἀρχή, διάγοντας[28] ἐλευθέραν καὶ ἀνενόχλητον τὴν[29] λαχοῦσαν ἔχειν κατοίκησιν. ἀλλ᾽ εἰ μὲν τοῦτο μένει φυλάττων ὁ χρόνος, ἔστω τῆς τῶν τέκνων

---

[15] Labb. προσδεχόμενος, omissa paulo ante particula ἐπεί. [16] Deest apud Leuncl. [17] Leuncl. κοινῇ διαμένουσαν. [18] Labb. κοινὴν καὶ λυσιτ. Ita etiam Leuncl. post Syn. [19] Cf. Nov. II c. 2. [20] Leuncl. λαθούσης ἡμῖν προσηκ. [21] Idem: κακουργοῦν. [22] Haec verba καὶ τὴν τῆς πλεον. — καὶ apud Leuncl. desunt. [23] Leuncl. ἡμῶν. [24] Leuncl. πολὺ ποικιλώτερον. [25] Leuncl. καὶ νόμου θεσπίσματος. [26] Leuncl. ᾗ τῶν κακ. — τέμνονταί τε καὶ ἀπορίπτονται. Non male. [27] Labb. ἡμᾶς. [28] Apud Labbaeum hic subjicitur: ἀπὸ τῆς παρελθούσης πρώτης ἰνδικτιῶνος ἐν τῷ ͵ςυλ΄ ἔτει ἐκ τοῦ καιροῦ τοῦ λιμοῦ. Haec ille, nisi fallor ex Epitome hujus Nov. in Syn. I Cl. sumsit; ibi enim c. 1 sic audit: Θεσπίζομεν ἐν πάσῃ πόλει καὶ χώρᾳ ἀπὸ τῆς παρελθούσης πρώτης ἰνδικτιῶνος ἐν τῷ ͵ςυλ΄ ἔτει ἐκ τοῦ καιροῦ τοῦ λιμοῦ ἀνενόχλ. καὶ ἐλευθ. τὴν λαχ. ἔχειν τῷ πένητι κατοίκησιν, καὶ ἔστω τῶν τέκνων καὶ συγγενῶν. εἰ δὲ βουληθείη γενέσθαι ἐκποίησις, τῶν ὁμορούντων ἀγρ. ἢ χωρ. οἰκήτ. ἢ ἐξών. προκείσθω. — Caeterum ind. I cum anno a. o. c. 6430 non convenit, ut ͵ςυλς΄ ἔτει legendum sit. [29] Articulus deest apud Labb.

ἢ συγγενῶν κληροδοσίας τὸ ἐπίκτημα ἢ τῆς τοῦ κατέχοντος προαιρέσεως τὸ βούλημα συμπληρούμενον. εἰ δὲ, οἷα τῆς ἀνθρωπίνης βιώσεως[30] καὶ τῆς τοῦ[31] χρόνου παλιῤῥοίας, ἀνάγκης ἢ χρείας[32] ἐπικειμένης ἢ καὶ θελήσεως τυχὸν μόνης ὑποτιθεμένης, τὴν[33] τῶν οἰκείων τόπων ὑπεισάγει[34] ἢ μερικῶς ἢ καθόλου ἐκποίησιν, τοῖς τῶν αὐτῶν ἢ καὶ τῶν ὁμορούντων ἀγρῶν ἢ χωρίων[35] οἰκήτορσιν[36] ἡ ἐξώνησις προκείσθω. οὐ μίσει δὲ καὶ φθόνῳ τῶν ἰσχυροτέρων ταῦτα θεσμοθετοῦμεν, ἀλλ᾽ εὐνοίᾳ καὶ προστασίᾳ τῶν πενήτων καὶ κοινῇ σωτηρίᾳ τοῦτο διοριζόμεθα[37]. ἀνθ᾽ ὧν γὰρ ἐχρῆν τοὺς ἄρχειν ἐκ θεοῦ λαχόντας, τοὺς δόξῃ καὶ πλούτῳ τῶν πολλῶν ὑπερανεστηκότας, περὶ πολλοῦ τὴν τῶν πενήτων ποιεῖσθαι προμήθειαν, οὗτοι κατάβρωμα τούτους ἔχοντες ὅτι μὴ τάχιον ταῦτα κατέχουσι δυσχεραίνουσιν. εἰ δὲ καὶ μὴ πάντων τὸ τοιοῦτον ἀνοσιούργημα, ἀλλ᾽ ἔστω πᾶσι[38] κοινὸν τὸ τοῦ νόμου συντήρημα, ὡς ἂν μὴ λάθῃ τῷ σίτῳ συνεισφερόμενον τὸ ζιζάνιον. μηδεὶς[39] οὖν μηκέτι μήτε τῶν περιφανῶν μαγίστρων ἢ πατρικίων, μήτε τῶν ἀρχαῖς[40] ἢ στρατηγίαις ἢ πολιτικοῖς ἢ στρατιωτικοῖς ἀξιώμασι τετιμημένων, μήτε μὴν ὅλως τῶν εἰς σύγκλητον βουλὴν ἀπηριθμημένων, μήτε τῶν θεματικῶν ἀρχόντων ἢ ἀπαρχόντων, μήτε τῶν θεοφιλεστάτων μητροπολιτῶν ἢ ἀρχιεπισκόπων ἢ ἐπισκόπων ἢ ἡγουμένων ἢ ἐκκλησιαστικῶν ἀρχόντων[41] ἢ τῶν τὴν προστασίαν καὶ ἐπικράτειαν[42] τῶν εὐαγῶν ἢ βασιλικῶν οἴκων ἐχόντων, ἢ εἰς οἰκεῖον πρόσωπον ἢ[43] τῆς βασιλικῆς περιουσίας ἢ τῆς ἐκκλησίας[44], ἢ δι᾽ ἑαυτῶν ἢ διὰ παρενθέτου προσώπου τολμήσει μηκέτι εἴτε εἰς χωρίον ἢ εἰς ἀγρὸν, ἢ καθόλου ἢ μερικῶς ὑπεισελθεῖν[45] ἢ ἀγορᾶς[46] ἢ δωρεᾶς ἢ κληροδοσίας ἢ ἄλλης οἱασοῦν προφάσεως αἰτίᾳ, ὡς ἀνισχύρου μὲν διορισθείσης τῆς τοιαύτης προσκτήσεως[47], ἀναργύρως δὲ[48] τῶν ἐπικτωμένων μετὰ τῆς προσγινομένης καλλιεργίας[49] πρὸς τοὺς κατέχοντας, ἢ τού-

---

[30] Leuncl. *γνώσεως*. [31] Labb. *τῆς χρόνου.* [32] Verba *ἢ χρείας* Leuncl. non habet. [33] Articulum Leuncl. non habet. [34] Leuncl. *ἐπεισ.* [35] Idem: *χωρ. ἢ ἀγρῶν.* [36] Idem post Syn. in margine notat *κτήτορσιν.* [37] Leuncl. *οὐ μίσει καὶ — τούτου θεσμοθετουμένου — σωτηρίᾳ διοριζομένου.* [38] Labb. *ἐπὶ πᾶσι.* [39] Hic Labb. in marg.: *α΄. Κατάλογος δυνατῶν.* [40] Leuncl. *ταῖς ἀρχαῖς.* [41] Haec verba *μήτε τῶν θεοφιλεστάτων — ἀπαρχόντων* Epitome illa non agnoscit. [42] Leuncl. *ἐπιτρόπειαν.* [43] Labb. *ἢ εἰς οἰκεῖον ἢ εἰς πρόσ. τῆς.* [44] Epit.: *ἐκκλησιαστικῆς.* [45] Al. *ἐπεισελθεῖν.* [46] Alii *ἀγορασίας*, alii *ἀγοράσαι.* [47] Leuncl. *κτήσεως.* [48] Labb. *καὶ ἀναργ.* [49] Libri editi et MSS. in marg.: *τουτέστιν ἐμπονημάτων.*

των ἢ συγγενῶν αὐτῶν μὴ προσόντων[50] πρὸς τοὺς τῶν χωρίων ἢ ἀγρῶν οἰκήτορας χωρεῖν διακελευσθέντων[51]. ἡ γὰρ τῶν[52] τοιούτων ἐπικράτεια προσώπων καὶ τῶν πενήτων τὴν πολλὴν ἐπηύξησε ταλαιπωρίαν, τῷ πλήθει τῶν οἰκετῶν, τῶν μισθαρνούντων, τῶν ἄλλως ἐπιτρεχόντων καὶ συνόντων τὰς ἐπαναστάσεις, τὰς διώξεις, τὰς ἀγγαρείας ἐπάγουσα, τὰς ἄλλως ἐπακολουθούσας θλίψεις καὶ στενοχωρίας, καὶ τὴν τοῦ κοινοῦ διαφθορὰν τοῖς συνορᾶν δυναμένοις[53] οὐ μικρὰν, εἰ μὴ προφθάσας ὁ παρὼν ἀναστείλει νόμος[54], προεξένησεν[55]. ἡ γὰρ τῶν πολλῶν κατοίκησις πολλὴν δείκνυσι τῆς χρείας τὴν ὠφέλειαν, τὴν τῶν δημοσίων συνεισφορὰν, τὴν τῶν στρατιωτικῶν λειτουργημάτων συντέλειαν· ἃ πάντως ἀπολείψει τοῦ πλήθους ἐκλελοιπότος. καὶ χρὴ τοὺς τῆς πολιτικῆς ἀσφαλείας ἐχομένους καὶ τὸ ταρακτικὸν ἀποτρίβεσθαι, καὶ τὸ βλαβερὸν ἀπωθεῖσθαι καὶ τὴν τοῦ κοινοῦ συνιστᾶν ὠφέλειαν. καὶ ταῦτα μὲν ὁ μετὰ ταῦτα ἐχέτω καιρὸς ὑπὲρ κοινῆς ὠφελείας καὶ καταστάσεως τῶν ἡμετέρων ὑπηκόων. δεῖ δὲ οὐκ ἐπὶ τοῖς μέλλουσι μόνον ἀλλὰ καὶ ἐπὶ τοῖς φθάσασι τὴν ἐνδεχομένην[56] ἐπεισάγειν θεραπείαν. πολλοὶ γὰρ ἀφορμὴν ἐμπορίας[57] τὴν τῶν πενήτων λαβόμενοι ἀπορίαν, ἣν ὁ πάντα φέρων χρόνος ἤνεγκε, μᾶλλον δὲ ἡ[58] τῶν ἡμετέρων πληθὺς ἁμαρτημάτων τὴν θείαν[59] ἐκβιαζομένη φιλανθρωπίαν προεξένησεν, ἀντὶ φιλανθρωπίας, ἀντὶ οἴκτου, ἀντὶ χρηστότητος, λιμῷ πιεζομένους ὁρῶντες τοὺς πένητας, οἱ μὲν ἀργυρίῳ οἱ δὲ χρυσίῳ οἱ δὲ σίτῳ ἢ ἄλλαις τισὶν ἐπιδόσεσιν, εὐώνως τὰς τῶν ἀτυχούντων πενήτων ἐξωνήσαντο κτήσεις, βιαιότεροι τῆς προκειμένης ἀνάγκης, καὶ ἐν αὐτοῖς τοῖς μετὰ ταῦτα χρόνοις[60] τοῖς ἀθλίοις τῶν χωρίων οἰκήτορσι γινόμενοι ὥσπερ τὶς λοιμικὴ νοσημάτων ἐπιφορὰ, ἢ[61] γαγγραίνης δίκην τῷ τῶν χωρίων ἐπεισφρήσαντες σώματι καὶ τὴν πανωλεθρίαν ἐπισκευαζόμενοι[62].

β΄. Ὅσοι τοίνυν ἀπὸ τῆς παρελθούσης πρώτης ἰνδικτιῶ-

---

[50] Leuncl. *περιόντων*. Epit.: *ἢ τούτων συγγενεῖς ἢ συγγενῶν αὐτῶν μὴ προσόντων.* [51] Leuncl. *δικαιωθέντων*, quod fortasse praestat. Epit.: *δικαιωθείσης.* [52] Articulus apud Leuncl. deest. [53] Leuncl. post Syn. *τοῖς συνοροῖς δυναμένοις*, cui in margine substituit *γειναμένη.* [54] Idem: *ἀναστείλῃ ὁ παρὼν νόμος.* [55] Hoc verbum apud Leuncl. deest. Forte *προξενήσει.* [56] Leuncl. *ἐνδεομένην.* [57] Leuncl. post Syn. in marg. *εὐπορίας*, quod in JGR. in textum recepit. [58] Leuncl. *ἣν ἡ.* [59] Idem: *θείαν* sine articulo. [60] Idem: *καὶ αὐτοῖς τῷ μετὰ ταῦτα χρόνῳ.* [61] Deest apud Leuncl. [62] Leuncl. *ἐπεισφρήσασα — ἐπισκευαζομένη.*

νος, ἤτοι τοῦ λιμοῦ καταλαβόντος ἢ παρελθόντος[63], ἀγρῶν ἢ χωρίων ἐγκρατεῖς γεγόνασιν ἢ μερικῶς[64] ἢ καθόλου ἐν αὐτοῖς κτήσεις προσελάβοντο τῶν περιφανῶν, οὓς ἄνωθεν κωλύεσθαι ἡ παροῦσα συγγραφὴ γράφει, τούτους ἀπολαμβάνοντας τὸ παρ' αὐτῶν καταβληθὲν τίμημα ἐκεῖθεν ἐξεοῦσθαι, ἢ παρὰ τῶν πρωτοτύπων δεσποτῶν ἢ παρὰ τῶν κληρονόμων αὐτῶν[65] ἢ συγγενῶν, ἢ τούτων ἀπορούντων, παρὰ τῶν ἄλλως συντελούντων, ἢ καὶ παρὰ τῆς ὁμάδος τῆς τοῦ τιμήματος ἐπιδόσεως[66] προβαινούσης. ὑπὲρ δὲ τῶν ἐπ' αὐτοῖς[67] καλλιεργημάτων, εὐπορούντων μὲν καὶ βουλομένων τῶν εἰρημένων προσώπων καταβαλλομένων τὸ ἀνῆκον, ἀπορούντων δὲ καὶ[68] μὴ βουλομένων, τὰς ὕλας ἐπαναλαμβανομένους ἐπαναχωρεῖν, εἴπερ ἐξ οἰκείων ἐξόδων ταύτας προσέθεντο, καὶ μὴ καὶ αὗται[69] τῆς τῶν πενήτων καὶ περιουσίας καὶ ἐργασίας ἐπιδείκνυνται. ἀλλὰ[70] ταῦτα μὲν περὶ τῆς ὡς εἰκὸς δοκούσης δικαίας ὡς ἐξ ἀγορασίας κτήσεως. δωρεὰς δὲ ἢ κληροδοσίας, ἢ ἄλλας τοιουτοτρόπους καὶ σεσοφισμένας ἐπικτήσεις ἢ ἁρπαγὰς, ἀνισχύρους εἶναι καὶ πάλαι[71] καὶ νῦν διοριζόμεθα, μηδὲν ὑπὲρ αὐτῶν τῶν κακομηχάνων ἐπιζητεῖν δυναμένων, ἀλλὰ προῖκα τοῖς ἰδίοις ἀναδίδοσθαι ταῦτα δεσπόταις, ἢ τυχὸν τούτων ἐξ ἀνθρώπων ἀφανισθέντων, τέκνοις ἢ συγγενέσιν[72], ἢ καὶ τούτων ἀπολλυμένων[73], τοῖς συντελεσταῖς παρέχεσθαι.

γ΄. Εἰ[74] δὲ καί τινας εὐνοϊκώτερον τὰ τῆς θείας ἐπεῖδε προνοίας ἢ ἄλλοις τισὶν ἀκαταλήπτοις λόγοις πρὸς κρείττονα μετεσκευάσατο τῆς παρούσης βιώσεως κατάστασιν, τῆς ταπεινοτέρας ἀφαρπάσασα τύχης καὶ πρὸς ὑψηλοτέραν μετεωρίσασα, μένειν καὶ αὐτοὺς ἐφ' ἧς ἐξ ἀρχῆς ἔλαχον κληροδοσίας καὶ κατασχέσεως[75] δικαιοῦμεν, καὶ μὴ τὸ μέτρον τῆς οἰκείας παρεκτεινομένους τύχης ἀτυχεστέρους τοὺς πλησιοχώρους λεηλατοῦντας ἀπεργάζεσθαι. τοῦτο γὰρ τῶν ἐν ὕψει καὶ δόξῃ βιωτικῆς λαμπρότητος γαυρουμένων πρὸς τοὺς ταπεινοτέρους τῶν συναλλαγμάτων ἁρμοδιώτερον ἐπίκλημα· τῆς τῶν προσώπων διαφο-

---

[63] Leuncl. ἢ τοῦ λιμοῦ καταλαβόντος. [64] Leuncl. μερικάς. [65] Epit. addit ἢ συγκληρονόμων. [66] Leuncl. in JGR.: ἀποδόσεως. [67] Labb. αὐτῆς. [68] Epit. ἤ. [69] Leuncl. ταῦτα. [70] Labb. in marg. γ΄. περὶ δωρεᾶς. Etiam apud Leuncl. hoc loco cap. 3 inchoatur. [71] Cf. Nov. II c. 2. Sed fortasse cogitandum est de his, quae supra c. 1 dicta sunt; unde Epit. legit: καὶ πάλιν νῦν διοριζ. [72] Leuncl. post Syn. γονεῦσιν. [73] Leuncl. ibid. ἀπολελυμμένων, JGR. ἀπολελειμμένων. [74] Apud Labb. in marg. δ΄. περὶ τοῦ μὴ ἐμπλατύνεσθαι τοὺς δυνατούς. — Epit.: Εἰ καί τινας τῶν συγχωριτῶν. (Eosdem illa paullo inferius vocat τοὺς ἄρτι δοξασθέντας χωρίτας.) [75] Leuncl. καταστάσεως.

ρᾶς ὡς μὴ κοινὴν καὶ[76] συμφέρουσαν καὶ σύμφωνον τὴν πραγματείαν, οὐ λογισμῶν μόνον προλήψει ἀλλὰ γὰρ καὶ πραγμάτων ἀκολουθίᾳ, ἐν πολλοῖς ὁσημέραι ὑποτυπουμένης τε καὶ τρανολογούσης. οἷς πλέον ἐχρῆν ἀνασκοπουμένοις τὰ τῆς θείας πρὸς αὐτοὺς εὐμενείας πρὸς τὸ ὁμόχωρον εὐνοϊκώτερον[77] διατίθεσθαι, καὶ τὸ ἄδηλον τῆς τύχης ὑπολογιζομένους καὶ τὸ τῆς κρίσεως ἄφυκτον μὴ ἅρπαγμα τίθεσθαι τὰς τῶν πλησίον περιουσίας, εἴπερ μὴ βούλοιντο καὶ αὐτοὶ τῷ προκειμένῳ δικαιοῦσθαι κρίματι.

δ΄. Τοὺς[78] δὲ πρὸ τῶν ὡρισμένων χρόνων ἐν κατασχέσει τοιούτων κτημάτων γεγονότας, εἴπερ ἐπὶ τῆς αὐτῆς ἐνορῶνται μένοντες καταστάσεως, μένειν καὶ αὐτοὺς συγχωροῦμεν, τῆς τοῦ πλησίον[79] κτήσεως ἐπίσης τοῖς ἄλλοις τὴν κώλυσιν ἐπιφερομένους. εἰ δὲ φορτικοί τινες καὶ ἐπαχθεῖς πρὸς τοὺς πλησίον διαδείκνυνται, βαρείας τινὰς ἢ συνεχεῖς προξενοῦντες βλάβας τοῖς πένησιν, ἐξωθεῖσθαι τούτους καὶ ἀπελαύνεσθαι, μίσθωμα τῆς χαλεπῆς καὶ ἀπλήστου προαιρέσεως τὴν τῶν οἰκείων ἔκπτωσιν ἀπολαμβάνοντας.

ε΄. Ἡ[80] δὲ τῶν[81] τιμημάτων ἀνάδοσις ἀνωτέρω εἰρημένη ἐμμελεστέρας δεομένη καὶ λεπτοτέρας ζητήσεως, οὐ φαύλης καὶ ἀλογίστου ἔτυχε διακρίσεως. ἐλευθέρας γὰρ καὶ ἀβιάστου[82] συντελεσθείσης τῆς πράσεως καὶ δικαίας ἐνορωμένης τῆς καταβολῆς τοῦ τιμήματος, δικαίως καὶ ὁ τῆς ἀναστροφῆς φυλαχθήσεται λόγος μικρᾷ τινι παρενθήκῃ θεσπίσματος τὸ τῆς πενίας ἄπορον ἀνακτώμενος, τὸ[83] παρευθὺ μὲν τὴν τῶν τόπων ἀναστροφὴν καὶ ἀπόδοσιν γίνεσθαι πρὸς τοὺς πεπρακότας ἢ κληρονόμους αὐτῶν ἢ συγγενεῖς, τούτων δὲ μὴ ὄντων πρὸς τοὺς συντελεστάς· καὶ εὐπόρων μὲν ὄντων αὐτῶν, ἀνταποδιδόναι τὸ ἐξ ἀρχῆς καταβληθὲν τίμημα, ἀπορούντων δὲ πρὸς τὸ ταχὺ τῆς ἀναδόσεως μὴ προσεκβιάζεσθαι[84], ὡς μὴ φορτικωτέραν αὐτοῖς ὀφθῆναι καὶ δυσαχθεστέραν τῆς πρὸς τὸ μέλλον ἐλπιζομένης ὠφελείας καὶ ἀσφαλείας[85] τὴν νῦν ἐπιβαρυνομένην εἴσ-

---

[76] Leuncl. *κοινῇ συμφ.* [77] Verba *εὐνοϊκώτερον — ἅρπαγμα* apud Leuncl. exciderunt. Librarius a *διατίθεσθαι* ad *τίθεσθαι* aberraverat. [78] Apud Labb. in margine est: *ε΄. περὶ τῶν πρὸ τῆς πρώτης ἰνδικτιῶνος κατασχόντων τόπια.* [79] Epit. *τοῦ πλείονος.* Non male. [80] Apud Labb. legitur rubrica marginalis: *ς΄. περὶ τοῦ τιμήματος τῶν ἐξωνηθέντων ἀπὸ πρώτης ἰνδικτιῶνος.* [81] Labb. *περὶ τῶν.* [82] Leuncl. „al. *ἀστασιάστου*“. Ita scil. est in Epit. [83] Epit. *τῷ.* Non male. [84] Leuncl. *προσβιάζεσθαι.* [85] Verba *καὶ ἀσφ.* apud Leuncl. desunt.

πραξιν. ἄλλως τε δὲ καὶ τὸ περίεργον καὶ ἀνελεύθερον τῆς τῶν πολλῶν γνώμης διὰ τῆς ταχείας εἰσπράξεως οὐκ ἐρυθριάσει μὴ οὐκ ἀπαράθραυστον μένειν τὴν τῶν ὑποτυπωθέντων[86] ἔκβασιν διαμηχανήσασθαι. τοῖς γὰρ ἀπληστίας πάθει καὶ ψυχικῇ πενίᾳ πρὸς τοσοῦτον πορισμὸν προστετηκόσι καὶ μηδὲν αἰσχρὸν τῶν εἰς χρηματισμὸν συντελούντων ὑπολογιζομένοις καὶ τοσαύτης πολυπραγμοσύνης ἐφόδιον τὴν ἐλευθερίαν ἐπιφορτιζομένοις οὐδὲν ἀτόλμητον, οὐδὲν ἀνεπιχείρητον[87] περιλειφθήσεται εἰς τὴν τῆς οἰκείας συμβαλλόμενον προθέσεως συντέλειαν. ἀλλ' εἰς κώλυσιν τῶν καινῶν ἐφευρημάτων καὶ ἐκπλήρωσιν τῶν διορισθέντων ὁ τῆς τριετίας εἰς ἀναμονὴν προκείσθω χρόνος, καὶ τῷ ἀπόρῳ τὴν εὐπορίαν φέρειν δυνάμενος καὶ τὴν ἀπόδοσιν ἀλύπως παρέχειν ταμιευόμενος. δεῖ γὰρ μετὰ τοῦ συμφέροντος[88] καὶ τὸ φιλάνθρωπον συνεξυφαίνεσθαι τοῖς θεσμοθετουμένοις καὶ συνεισφέρεσθαι, καὶ ἄλλως δὲ τοῦ[89] χρόνου ὑπερθέσεως εἰσαχθείσης. ἅπαξ γὰρ τῆς περὶ τούτων ἀποφάσεως ἐξενεχθείσης, τοὺς παρακοῇ τῶν προστεταγμένων ἑαλωκότας οὐ ξένον οὐδὲ νόμων[90] ἀλλότριον τῶν οἰκείων ἐπαπολαύειν[91] πόνων τὰ ἐπίχειρα καὶ τῶν προσόντων ἀλλοτριοῦσθαι δικαιωμάτων. ἀλλὰ γὰρ ἀεὶ φιλανθρώπῳ τὸ αὐστηρὸν τῆς ἀκριβείας κεραννύντες γνώμῃ, ἀντὶ τῆς προσηκούσης ἐκπτώσεως τὴν τῆς τριετίας ἀναβολὴν διωρισάμεθα, μετρίως μὲν τοὺς ἐξημαρτηκότας κολάζοντες, ἀξίως δὲ καὶ τοὺς ἐλέους τυχεῖν ἀξίους πένητας τῇ ἀναβολῇ ἀγαθύνοντές τε καὶ παρηγορούμενοι, καὶ σύμμετρον ἑκατέροις[92] τὴν θεραπείαν προσφέροντές τε καὶ ἀφοσιούμενοι.

ϛ'.[93] Ἐπεὶ δὲ καί τινας[94] πρὸς τοσαύτην χρηματισμῶν ἐληλακότας πόθησιν ἀκηκόαμεν, ὡς εὐώνως τὰς τῶν πενήτων, ἀλλὰ γὰρ[95] πῶς εἴπω ἐξωνήσασθαι καὶ μὴ χανδὸν καταπιεῖν; κτήσεις προελέσθαι· τὸ τῆς γνώμης καὶ τῆς πράξεως διάφορον οὐχ[96] ὁμοίαν τῶν προλαβόντων τὴν διάκρισιν ἐξειργάσατο. εἴπερ οὖν εὑρίσκεται ὑπὲρ τὸ διπλάσιον ἡ δικαία τῶν πεπραμένων ἀποτίμησις, ἀναργύρως τοὺς ἀγοράσαντας ἀπελαύνεσθαι.

ζ'.[97] Εἰ δὲ καὶ μὴ πρὸς τοσοῦτον, ὅμως δὲ εἰς περιγρα-

---

[86] Leuncl. *πωληθέντων.* [87] Leuncl. *οὐδ' ἀνεπιχείριστον.* [88] Idem *μετὰ δικαίου καὶ τοῦ συμφ.* Forte *μετὰ τοῦ δικαίου καὶ τὸ συμφέρον καὶ φιλ.* [89] Idem *τῆς τοῦ.* [90] Verbum *νόμων* apud Leuncl. deest. [91] Leuncl. *ἀπολαβεῖν.* [92] Deest apud Labb. [93] Idem in marg. *ζ'. περὶ τῶν εὐώνως προεξωνησαμένων.* [94] Leuncl. *τινας καί.* [95] Idem *γὰρ* non habet. [96] Labb. *καὶ οὐχ.* [97] Haec capiti praecedenti Leuncl. et Labb. conjungunt: ego

φὴν καὶ βλάβην τῶν πεπρακότων, ἔφθασε δὲ τῆς ἐκεῖθεν προσόδου τὸ κέρδος ἐξισωθῆναι τῇ καταβολῇ τοῦ τιμήματος, μηδὲν αὐτοὺς ἕτερον ἐπιζητεῖν. ἐλαττουμένου[98] δὲ, τὸ λεῖπον ἀπολαμβάνειν παρὰ τῶν δικαιουμένων εἰς τὴν τῶν τόπων ἀπόληψιν.

η΄. Ἀλλὰ μηδὲ προφάσει μονάσαντός τινος ἢ μονάσαι βουλομένου καὶ τὴν ἰδίαν προσκυρώσαντος τῷ ἱερῷ φροντιστηρίῳ κτῆσιν τὰ καλῶς νῦν· δόξαντα σύγχυσίν τινα δεχέσθω[99], ἱκανὴν ἐκ τῆς παρούσης διακρίσεως εὐμοιροῦντα[100] τὴν ὠφέλειαν, τὸ[101] τὴν δικαίαν τιμὴν τοῦ κτήματος ἀπολαμβάνειν, εἰ ἀληθῶς σωτηρίας ἕνεκα τοῦτο καὶ μὴ δόλῳ καὶ περιεργίᾳ καὶ σεσοφισμένῃ[102] διαπέπρακται περινοίᾳ. τοῦτο δὲ οὐχ ἧττον εἰς λυσιτέλειαν τῶν ἱερῶν οἴκων ἢ τῶν πενήτων λογισθήσεται, ἀπαλλαττομένων μὲν ἔριδος καὶ φιλονεικιῶν καὶ ἀνελευθέρου κτήσεως, φευγόντων δὲ καὶ οὐκ ἐπιτρεχόντων πτωμάτων αἰτίους εὑρέσεις καὶ κατασχέσεις, ἀνθρώποις τε οὖσι καὶ ἔτι σαρκὶ συνδεδεμένοις[103] καὶ οὐκ ἀναλώτοις μένειν πεπιστευμένοις τοῖς ἀνθρωπίνοις ὀλισθήμασιν.

Ἀλλὰ ταῦτα μὲν φιλανθρωπότερον διωρίσθη, καὶ τὸ τῆς φιλοκτημοσύνης ἀκόρεστον μετριώτερον ἐπιτιμώμενα, καὶ τὸ κοινῇ λυσιτελοῦν εἰσηγούμενα, ὡς μηδένα μηκέτι μήτε τῶν περιβλέπτων μαγίστρων ἢ πατρικίων, μήτε τῶν ἀρχαῖς ἢ ἐξουσίαις ἢ ὅλως βασιλικοῖς ἀξιώμασι τετιμημένων, ἢ πολιτικῶν ἢ στρατιωτικῶν ἢ θεματικῶν ἀρχόντων ἢ ἀπαρχόντων, μήτε μητροπολιτῶν ἢ ἀρχιεπισκόπων ἢ ἐπισκόπων ἢ ἡγουμένων ἢ τῶν εὐαγῶν τόπων προεστώτων, ἢ τῶν ἄλλως κοσμικῆς ἢ ἱερατικῆς[104] δόξης τυγχανόντων, ἢ ἀγορᾶς[105] ἢ δωρεᾶς ἢ ἄλλῳ τινὶ τρόπῳ ὑπεισέρχεσθαι εἰς χωρίων ἢ ἀγρῶν κτήσεις. τοὺς γὰρ μετὰ τὴν παροῦσαν διάταξιν τοιοῦτόν τι κατατολμῆσαι βουληθέντας καὶ ἀναργύρως ἐκεῖθεν ἐξελαύνεσθαι κελεύομεν, καὶ τῶν οἰκείων ἐμπονημάτων καὶ καλλιεργημάτων[106] ἀποστερεῖσθαι, καὶ τῷ δημοσίῳ, περιφανεῖς μὲν ὄντας, τὴν τοῦ ἐπικτήματος τιμὴν καταβάλλεσθαι[107] (οὐκ ὠφελείας ἢ συνεισφορᾶς ἕνεκεν τοῦ δημοσίου, — οἱ γὰρ τὸ τῶν ἄλλων ἀκόρεστον τῆς φιλοκτημοσύνης

---

auctoritate indicis, qui huic Novellae praepositus est, invicem distinguere malui. [98] Scil. τοῦ κέρδους. Sic conjicio. Leuncl. ἐλαττουμένους, Labb. ἐλαττουμένων. [99] Leuncl. δέχεσθαι· ἀλλ' ἱκ. [100] Idem εὐμοιροῦντας ὠφ. [101] Deest artic. apud Leuncl. [102] Labb. διασεσοφ. [103] Leuncl. συνδουμένοις. [104] Verba ἢ ἱερατ. Leuncl. non habet. [105] Al. ἀγορασίας. [106] Verba καὶ καλλ. apud Labb. desunt. [107] Labb. καταβαλλομένους.

ἀναστέλλειν σπουδάζοντες πῶς ἂν εἰς οἰκεῖον κέρδος τοῦτο ἀνερυθριάστως διορισαίμεθα[108], οὐ κοινὴν ὠφέλειαν ἀλλ᾽ ἰδίαν ποιεῖσθαι ἐξελεγχόμενοι;[109] — ἀλλὰ τῆς τῶν πενήτων ἕνεκα προμηθείας)· τῶν εὐτελεστέρων δὲ καὶ ἀναργύρως ἐκδιωκομένων, καὶ διὰ τῆς προσηκούσης τιμωρίας σωφρονιζομένων. ταῦτα κρατεῖν ὑπὲρ τῆς τῶν ὑπηκόων σωτηρίας βουλόμεθα, ὑπὲρ ὧν πολλὴ καὶ διηνεκὴς ἡμῖν πρόκειται πρόνοια. εἰ γὰρ τοσαύτην ἐθέμεθα τῶν ὑπὸ χεῖρα πρόνοιαν, ὡς μηδενὸς φείσασθαι τῶν συντελούντων εἰς ἐλευθερίαν, δι᾽ ἃ καὶ χῶραι καὶ κῶμαι καὶ πόλεις θεοῦ συνεργοῦντος ἡμῖν προσεγένοντο τῶν ὑπεναντίων, αἱ μὲν ἔργον πολέμου γενόμεναι, αἱ δὲ τῷ τούτων ὑποδείγματι καὶ τῷ τῆς ἁλώσεως καὶ πρὸ τῆς πολεμικῆς ἅλουσα φόβῳ σάλπιγγος προσρυεῖσαι, καὶ τοσαύτην τοῖς ὑπηκόοις παρασχεθῆναι τῆς πολεμικῆς ἐφόδου τὴν ἐλευθερίαν θεοῦ συνεργοῦντος διηγωνισάμεθα, εὐχῆς καὶ σπουδῆς ἔργον προθέμενοι[110]· οἱ τοίνυν πρὸς τὴν τῶν ἔξωθεν ἐχθρῶν ἐπιφορὰν τοσαῦτα κατεργασάμενοι, τοὺς οἰκείους καὶ ἔνδοθεν ὄντας ἐχθροὺς τῆς φύσεως, τῆς πλάσεως, τῆς εὐνομίας πῶς οὐκ ἀποτριψόμεθα τῷ δικαίῳ τῆς ἐλευθερίας βουλήματι, τῷ τμητικῷ τῆς παρούσης νομοθεσίας καὶ ἐλευθερίας[111] ξίφει, δυσχεραίνοντες καὶ βαρυνόμενοι τὸ ἀκόρεστον, τὴν πλεονεκτικὴν ἀποτέμνοντες προαίρεσιν, καὶ τοῦ ζυγοῦ τῆς τυραννικῆς καὶ βαρείας καὶ χειρὸς καὶ γνώμης ἀπαυχενίζοντες τὸ ὑπήκοον; ταῦτα ἐπὶ τῆς ἑαυτῶν[112] διηνεκῶς μένειν ἰσχύος ἕκαστος τῶν δικάζειν λαχόντων παρασκευαζέτω, εἰς θεοῦ θεραπείαν καὶ τῆς ἐξ αὐτοῦ βασιλείας ἡμῶν, εἰς κοινὴν[113] λυσιτέλειαν καὶ ὠφέλειαν.

NOV. VI.

Imp. Constantini Porphyrogeniti de potentibus praedia pauperum acquirentibus[1]. (A. 947.)

Νεαρὰ[2] τοῦ κυροῦ κωνσταντίνου τοῦ βασιλέως τοῦ πορφυρογεννήτου περὶ τῶν εἰσερχομένων δυνατῶν εἰς ἀνα–

---

108 Labb. διωρησάμεθα. 109 Leuncl. ἐλεγχ. 110 Labb. προτιθέμ.
111 Verba καὶ ἐλ. apud Leuncl. desunt. 112 Leuncl. αὐτῆς. 113 Leuncl. μόνην.

1 Constantini Novellam de potentibus praedia pauperum acquirentibus integram servavit appendix Synopseos I, II et III classis: Synopseos I cl. appendix insuper etiam epitomen ejus Novellae praestat. Edidit Leuncl. post Syn. p. 14 et JGR. II

κοινώσεις πενήτων, ἣν ὑπηγόρευσε Θεόφιλος πατρίκιος καὶ κοιαίστωρ, μηνὶ μαρτίῳ ἰνδ. ε΄ ἔτους ͵ϛυνε΄.

Παρὰ πολλῶν ἀνέμαθεν ἡ ἐκ θεοῦ βασιλεία ἡμῶν, ὡς οἱ ἐν τῷ θέματι τῶν Θρακησίων[3] δυνατοὶ καὶ ὑπερέχοντες, καταφρονήσαντες καὶ τῆς βασιλικῆς νομοθεσίας καὶ αὐτοῦ τοῦ φύσει δικαίου καὶ τῆς ἡμετέρας προστάξεως, οὐ παύονται ἐπεισερχόμενοι ἐν τοῖς χωρίοις ἕνεκεν ἀγορῶν[4] καὶ δωρεῶν καὶ κληρονομιῶν, καὶ τῇ τοιαύτῃ προφάσει τοὺς ἐλεεινοὺς τυραννοῦντες πτωχοὺς καὶ τῶν ἰδίων ποιοῦντες μετανάστας[5]. διὰ τοῦτο ἐκ κοινῆς διασκέψεως νόμον καὶ δόγμα κοινὸν ἐκτιθέμεθα καὶ ἐκτυπούμεθα ἐν ὅλοις ἡμῶν τοῖς θέμασιν, οὕτως·

α΄. Τῶν γὰρ ἀπὸ τῆς βασιλικῆς νομοθεσίας[6] εἰργομένων ἀγοράζειν προσώπων καὶ οἴκων, βασιλικῶν τε καὶ εὐαγῶν, ἀπὸ τῆς τῶν χωρίων ὁμάδος ἢ τοῦ καθέκαστον, καὶ ἄλλως μὲν τῶν πρὸ τῆς νομοθεσίας ἀπὸ τῆς παρελθούσης πρώτης ἰνδικτιῶνος προκρινομένων, βαρυτέρως δὲ μετὰ τὴν νομοθεσίαν· οὐδὲ οὕτως οἱ πλείονες τῶν δυνατωτέρων ἀπέσχοντο τῶν πρὸς τοὺς πένητας ὀλεθριωτάτων συναλλαγμάτων, ὡς καὶ τοὺς δικαστὰς, ἀνάγκῃ μᾶλλον ἀλλὰ μὴ προαιρέσει ἐκβιασθέντας, ἄλλοτε ἄλλας περὶ τούτων κατ᾽[7] οἰκονομίαν ἐκφέρειν τὰς ἀποφάσεις. ὅθεν[8] κοινῇ

---

p. 142. — Laudatur in Ecloga lib. I—X Basil. eo loco, quem supra Nov. II not. 1 excitavimus. — Exemplar hujus Novellae in thema τῶν Ἀνατολικῶν directum ex Cod. Vatic. 1178 (?) fol. 265 nuper edidit Witte in calce Ἀνεκδότ. ed. Heimb. II p. 273. — Tempus, quo edita est, colligitur ex his quae not. 8 et 18 adducuntur. [2] In Syn. I cl. inscriptio simpliciter haec est: Αἱ νεαραὶ τοῦ κυροῦ κωνσταντίνου τοῦ βασιλέως. In Syn. II et III cl.: Αἱ νεαραὶ τοῦ κυροῦ κωνσταντίνου κτλ., uti supra editum est. Epitomae illi in Syn. I cl. inscribitur: Νεαρὰ β΄ κωνσταντίνου περὶ δυνατῶν εἰσελθόντων εἰς κτῆσιν πενήτων. Denique exemplari in thema τῶν Ἀνατολικῶν misso in Cod. Vatic. inscriptum est: Νεαρὰ τοῦ κυρίου ῥωμανοῦ τοῦ βασιλέως τοῦ γέροντος ἀκόλουθος τῇ πρώτῃ αὐτοῦ νεαρᾷ τῇ περὶ προτιμήσεως. [3] Leuncl. notat: „hoc est Bithynorum Asiae". De themate Thracensium, nec non Anatolicorum videndus est Constant. Porphyr. de thematibus ed. Paris. p. 2. 7. [4] Leuncl. in marg. ἀγορασιῶν. [5] Pro his, quae hactenus leguntur, exemplar in thema Anatolicorum directum haec habet: Περὶ τῆς πενίας καὶ ἀπορίας τοῦ λαοῦ τοῦ θέματος τῶν ἀνατολικῶν καὶ τῆς τῶν δυνατῶν κατ᾽ αὐτῶν τυραννίδος ἀνεμάθομεν, καὶ μεγάλως ἐξεπλάγημεν ἐπὶ τῇ ἀκορέστῳ καὶ πλεονεκτικῇ αὐτῶν γνώμῃ, ὅτι οὔτε νόμος οὔτε φόβος βασιλέως τὸ ἄπληστον αὐτῶν ἐστράγγευσεν. [6] Intelligitur Nov. V, quae praecedit. [7] Praepositionem addo ex exemplari, quod Witte edidit. [8] Hic demum incipit Epitome illa, de qua supra diximus, et quidem sic: Θεσπίζομεν τοίνυν, ὅσοι ἀπὸ τῆς ἡμετέρας ἀναῤῥήσεως ἀπὸ τῆς παρελθούσης ιε΄ ἰνδ. τῶν κεκωλυμένων δυνατῶν προσώπων ἐτόλμησαν ὑπεισελθεῖν — ἀκίνητον, πάντας ἀπελα-

περὶ τῶν τοιούτων ἀπόφασις μετὰ βασιλικῆς ἡμῶν ἐπικρίσεως γέγονεν, ὥστε ἀναμφιβόλως καὶ ἀνυπερθέτως πάντας ἀπελαθῆναι τοὺς ἀπὸ τῆς εἰρημένης νομοθεσίας ἀγοράζειν κωλυομένους, μηδένα λόγον μηδὲ περὶ δαπανημάτων[9] ἀπαιτήσεως ἔχοντας, ὅσοι δηλαδὴ ἐκ[10] τῆς ἡμέρας τῆς αὐτοκρατορικῆς ἡμῶν ἀναῤῥήσεως[11] κατετόλμησαν ὑπεισελθεῖν ἐν χωρίοις ἢ ἀγριδίοις, ἢ εἰς κτῆσιν πενήτων ἀκίνητον.

β΄. Περὶ δὲ τῶν ἀπὸ τῆς πρώτης ἰνδικτιῶνος ἤτοι ἐκ τοῦ καιροῦ τοῦ λιμοῦ μέχρις ἡμέρας τῆς ἡμετέρας ἀναγορεύσεως, ἀδιαφόρως μίαν καὶ τὴν αὐτὴν ἀπόφασιν ἐνταῦθα διωρισμένην ἐνεργεῖν, ὥστε πᾶσαν δωρεὰν καὶ κληρονομίαν καὶ τὰς ἐπινενοημένας πρὸς περιγραφὴν τούτου τοῦ νόμου ἐπικυρωτικάς τε καὶ διαλύσεις μεταξὺ τῶν ἤδη κεκωλυμένων ἀργεῖν καὶ ἀντὶ μηδὲ γενομένων νομίζεσθαι, μηδὲ τῶν ἐπὶ ταύταις καταβληθέντων οἱανδήποτε εἴσπραξιν τῶν πεπρακότων εὐλαβουμένων· ἔτι δὲ καὶ τὰς ἀνταλλαγὰς ἀνατρέπεσθαι, ἀναλαμβάνοντος ἑκάστου τὸ ἀπ᾽ ἀρχῆς ἴδιον[12], εἰ μή τι ἄρα τοῦτο οὐ βούλεται ὁ πτωχὸς, ἅτε πρὶν ἀνακεκοινωμένος ὢν, καὶ οὐ μόνον ἰδίᾳ τὴν ἑαυτοῦ κατάσχεσιν ἀφορίσας διὰ τὸ ἀνενόχλητον, ἀλλὰ καὶ τὸ κρεῖττον ἀντιλαβών. περὶ δὲ τῶν διαπράσεων, ἀνατρέπεσθαι μὲν καὶ ταύτας, παραχρῆμα τῶν διαπραθέντων πρὸς τοὺς πεπρακότας ἀναδιδομένων, ἔτι δὲ καὶ πρὸς τοὺς συγκληρονόμους καὶ συντελεστὰς κατὰ τὴν πρώτην νομοθεσίαν. περὶ δὲ τῶν τιμημάτων, σκοπεῖσθαι τὰ πρόσωπα καὶ τὰ πράγματα· καὶ εἰ μὲν δυνατὸς ἦν ἡ προσῳκειωμένος δυνατῷ ὁ ἠγορακὼς, εἴτε πολιτικῷ εἴτε ἐκκλησιαστικῷ, τυχὸν ἐπισκόπῳ, ὁ δὲ πωλήσας τῶν ἀπόρων ἐστὶν, ὡς μηδὲ ν΄ νομισμάτων εὐπορεῖν, σχολάζειν τὴν ἀπόδοσιν τοῦ τιμήματος. εἰ δὲ ὑπὲρ τὰ ν΄ νομίσματα εὐπορεῖ, καὶ οὕτως ἀνεξικάκως μετὰ προθεσμίαν τριετίας ἀποδώσει τὸ τίμημα, τῶν αὐτῶν ἀπολαύων μετὰ τῆς ὁμάδος προνομίων, κἂν σχολάριός ἐστιν ἢ σεκρέτοις ὑπηρετούμενος. εἰ δὲ ὁμὰς ἦν ἡ πωλήσασα, ἀπορεῖ δὲ πρὸς τὴν ἀνάδοσιν[13], ἐχέτω πρὸς τοῦτο

θῆναι, μηδένα λόγον — ἔχοντας. περὶ τῶν ἀπὸ κτλ., ut est in textu. [9] Leuncl. in marg.: „al. ἐμπονημάτων". [10] Apud Witt. est ἀπό. [11] Leuncl. in marg.: „τουτέστι τῆς παρελθούσης ιε΄ ἰνδ." Quod addidisse videtur ex Epitome hujus Novellae (cf. not. 8). Numquid auctor hujus Epitomae Constantinum Porphyrogenitum ind. XV (i. e. anno 942) imperatorem renuntiatum esse significare voluit? Vulgo id anno 945 ind. III, expulsis Romano ejusque filiis, narrant accidisse. Vide etiam infra notas ad Nov. XV. [12] Hactenus exemplar illud, quod in Vatic. Cod. servatum est. [13] Leuncl. in marg.: „al. ἀπόδοσιν".

τοσούτων χρόνων προθεσμίαν, δι᾽ ὅσων ἂν ὁ δικάζων ἀπὸ τῶν μελλόντων καρπῶν συλλογίσηται δύνασθαι εὐλυτωθῆναι τὸ τίμημα. εἰ δὲ ὁπωσοῦν δείκνυται ὁ πωλήσας ἢ οἱ πωλήσαντες ἐν τῇ πράσει βίαν ἢ δόλον ὑποστάντες, ἢ πρὸ τῆς πράσεως ὑπὸ τοῦ ἀγοραστοῦ ἢ τῆς φαμιλίας αὐτοῦ ἀδικούμενοι καὶ καταδυναστευόμενοι, μηδὲν ἀναδιδότωσαν, κἂν ὁ ἀγοραστὴς οὐκ ἦν τῶν δυνατωτέρων. τὰ δὲ εὐτελέστερα τῶν μοναστηρίων, καὶ ὅσοι ἀπὸ σπαθαρίων τῶν ἐν τῇ θεοφυλάκτῳ πόλει διατριβόντων καὶ κατωτέρων ἀρχόντων ἔτυχον ἀγοράσαντες χωρὶς οἱασδήποτε βίας καὶ ἀδικίας, μηδὲ προστασίαις δυνατωτέρων διφεντευόμενοι, μὴ μόνον τὰς τιμὰς ἀναλαμβανέτωσαν, ἀλλὰ καὶ τὰς ἐπικερδεῖς δαπάνας, οἷον εἰς ἀμπελώνων καταφυτεύσεις καὶ ὑδρομύλων κατασκευήν· δύνασθαι δὲ καὶ τὰς ὕλας τῶν ἰδίων οἰκημάτων περιαιρεῖν μετὰ τοῦ μὴ βλάψαι τὴν προτέραν κατάστασιν, εἰ μὴ τὴν ὑπὲρ τούτων δαπάνην λαμβάνουσιν. ἀπορίας δὲ οὔσης πρὸς τὴν ἀναστροφὴν τῶν χρεωστουμένων, μεσεγγυᾶσθαι τὰ προεκποιηθέντα ἐπὶ[14] τοσούτων διάστημα χρόνων, μέχρις οὗ ἀπὸ τῆς μελλούσης καθαρᾶς ἐπικαρπίας τὸ ὀφειλόμενον τίμημα ἢ τὸ εἰρημένον ἀνάλωμα δύναται[15] ἐπισυνάγεσθαι· ἢ μᾶλλον κατέχεσθαι μὲν τὸ κτῆμα παρὰ τοῦ ἐκποιησαμένου, εἰς δὲ τὴν συγκομιδὴν τῶν καρπῶν γίνεσθαι πρόνοιαν καὶ παραφυλακὴν πρὸς τὸ περισωθῆναι αὐτοὺς εἰς ἀποπλήρωσιν[16] τοῦ συναλλάξαντος, ἐξουσίαν ἔχοντος καὶ αὐτοῦ τούτων προνοεῖσθαι εἰς τὸ μὴ ἀποβάλλεσθαι[17] τοὺς καρπούς. καὶ εἰ μὲν εὐπορεῖ ἑτέρωθεν ὁ ἐκποιησάμενος διοικεῖσθαι, πάντας ἀναδίδοσθαι πρὸς τὸν συναλλάξαντα· εἰ δὲ μή, τὸ ἀνῆκον ἐξ αὐτῶν πρὸς τὴν ἀναγκαίαν χρείαν καὶ γεωργίαν τοῦ ἀγροῦ παρακρατεῖσθαι παρὰ τοῦ ἐκποιησαμένου, τὸ δὲ λοιπὸν ἅπαν εἰς τὸν μετ᾽ αὐτοῦ συναλλάξαντα ἀποκαθίστασθαι.

γ΄. Εἰ δὲ ἐκ τῶν περιφανεστέρων τῆς ὁμάδος πρὸς ἴσους ἢ ὀλίγον ὑποβεβηκότας ἐν ἀξιώμασι, τυχὸν σχολαρίων πρὸς στρατιώτας, ἢ ἐκ τῶν εὐτελεστέρων πρὸς τοὺς μικρόν τι ὑπερέχοντας, οἷον ἀπὸ τῶν ἀστρατεύτων πολιτῶν πρὸς σχολαρίους ἢ σεκρετικούς, ἐκποίησις γέγονεν ἢ γενήσεται, μενέτω ἀπαρασάλευτος. ὁμοίως δὲ κἂν δι᾽ ἀνάγκην ἐπικειμένην ἐκ τοῦ δημοσίου ἢ τυχὸν διὰ τὸ ἐν ἄλλῳ τόπῳ βούλεσθαι προικίσαι θυγατέρα ἰδίαν ἑτέρωθεν οὐκ ἔχει τὶς ἀποδοῦναι τὸ πρὸς τὸν

---

[14] Idem ibid. ἐπὶ τοσοῦτον διάστημα χρόνου, μέχρις ἂν ἀπό. [15] Idem ibid. δύνασθαι. [16] Idem ibid. ἀναπλήρωσιν. [17] Idem ibid. ἀπόλλυσθαι.

δημόσιον ὄφλημα ἢ τὸ ἐπιτεθὲν βάρος ἢ τὴν ὑποσχεθεῖσαν προῖκα ἐν κινητοῖς, καὶ διὰ ταύτην τὴν αἰτίαν δύνασθαι ἐκποίησιν γενέσθαι ἐκ τῶν ἀκινήτων, μόνον μέντοι πρὸς τοὺς συγχωρίτας, ἢ ἐξ ἀνάγκης πρὸς τὰ ὑπὸ τὴν αὐτὴν μητροκωμίαν χωρία ἤτοι ὑπὸ τὴν αὐτὴν κωμητούραν. διὰ τὸν αὐτὸν οὖν τρόπον, καὶ δυνατοῦ προσώπου πιπράσκοντος ἢ ἄλλως ἐκποιουμένου συνεωράθη προτιμᾶσθαι τοὺς χωρίτας, ἐν οἷς εἰσιν ἀνακεκοινωμένοι, ἢ χωρὶς τῆς ἐκείνου νομῆς ἢ τῶν ὑδάτων ἢ τῶν ὀρέων οὐ δύνανται διοικεῖσθαι. ὑπὲρ δὲ τοῦ ἀγοραστοῦ νοεῖται, ἵν' ἐὰν θέλῃ τοῦτο μόνον παρακρατεῖν, τῶν δὲ ἀνακεκοινωμένων ἐκστῆναι, ἔχῃ ἐξουσίαν. εἰ δὲ ἐκ τοῦ ἐκποιουμένου κτήματος ἐστί τι καὶ ἰδιοσύστατον, ἢ τὸ ὅλον ἀναγκάζονται ἀγοράσαι ἢ τοῦ ὅλου ἐξίστασθαι. ἐχέτωσαν δὲ καὶ προθεσμίαν μηνῶν δ' εἰς ἐπισύναξιν τοῦ τιμήματος, ὁπόσον ἕτερος δίδωσιν, ἢ μᾶλλον ὁπόσου διατιμᾶται, εἴπερ τοῦτο οἱ ἐξωνούμενοι πένητες ἐπιλέξωνται.

Τούτων οὕτως παρὰ τῆς βασιλείας ἡμῶν δογματισθέντων καὶ νομοθετηθέντων, κελεύομέν σοι ὑπαναγνῶναι πᾶσι τοῖς ἐν τῷ θέματι τὴν τοιαύτην ἡμῶν ἐκφώνησιν καὶ νομοθεσίαν, ἀπό τε δυνατῶν προσώπων καὶ ἕως ἐσχάτου καὶ τελευταίου· καὶ κατὰ τὴν ταύτης περιοχὴν καὶ δύναμιν καὶ ἐξετάζειν καὶ διοικεῖν περὶ τῶν πτωχῶν καὶ τῶν δυνατῶν[18].

NOV. VII.

Imp. Constantini Porphyrogeniti de sportulis, et de testamentis aperiendis, et ut consuetudinum modus in omni judicio definitus sit[1]. (Inter 945—959.)

Νεαρὰ νομοθεσία τοῦ αὐτοῦ, ἣν ὑπηγόρευσε Θεόφιλος[2] πατρίκιος καὶ κοιαίστωρ. περὶ ἐκταγιατικῶν, καὶ περὶ

---

[18] In Epit. saepius laudata additur: ὁρισθείσης (al. ὡρίσθη) εἰς μῆνα μάρτιον ἰνδ. ε'.

[1] Haec Novella extat in appendice Synopseos in cl. II et III. Eandem in epitomen contractam et in particulas divisam praestat app. Syn. cl. I et ex ea Prochirum auctum in paratitlis; singulas epitomas suo quamque loco indicabimus. Integram edidit Labbaeus p. 52 (is simul rubricas illarum epitomarum singulis Novellae capitibus apposuit); epitomas ex Syn. cl. I Leunclavius post Syn. p. 23 sqq. et in JGR. II p. 151 sqq. [2] In Cod. Paris. 1388 legitur Θεόδωρος.

ἀνοίξεως διαθηκῶν, καὶ περὶ τοῦ ὡρισμένον εἶναι τὸ μέτρον τῶν συνηθειῶν ἐν παντὶ δικαστηρίῳ.

Ἐπειδὴ τῆς συνηθείας καὶ τῆς χρήσεως ἡ αὐθεντία οὐκ ἐπὶ τοσοῦτον ἰσχύει, ὡς καὶ τὸν λογισμὸν καὶ τὸν νόμον ὑπερνικᾶν[3], διὰ τοῦτο πᾶσαν ἄπληστον περισσοπραξίαν, κἂν ἐκ μακρᾶς συνηθείας ἐκράτησεν, ὡρισμένῳ μέτρῳ συστείλαντες, οὕτω διατυποῦμεν·

α΄. Ὥστε[4] τοὺς θεματικοὺς δικαστὰς ἐφ᾽ ἑκάστῃ τοῦ χρυσίου λίτρᾳ μὴ περαιτέρω τριῶν νομισμάτων λαμβάνειν, δηλονότι ἐπὶ τῶν εὐπορούντων (καὶ τὸ παλαιὸν[5] γὰρ οἱ καλούμενοι διαιτηταὶ ἀνὰ δύο νομίσματα ἐν ἀρχῇ τῆς δίκης καὶ ἀνὰ δύο ἐν τῷ τέλει ἐξ ἑκατέρου μέρους ἐλάμβανον, ἔξωθεν τῶν ἐκ τοῦ δημοσίου σιτήσεων), ἅτινα τρία νομίσματα ἕξουσιν ὑπὲρ ἰδίας χρείας καὶ τῶν ἰδίων ἀνθρώπων, ἀλλὰ καὶ τῶν ἀπὸ τῆς τάξεως ὑπηρετουμένων αὐτοῖς[6], ὡς μηδὲν ἕτερον δυναμένων ἰδιαζόντως ἐκ τῶν δικαζομένων προσαπαιτεῖν· μηδέποτε δὲ ὑπὲρ τὰ ρ΄ νομίσματα λόγῳ ἐκταγῆς ἀπαιτεῖσθαι, κἂν ὑπερβαίνει τὰς ρ΄ λίτρας τὰ ἀπαιτούμενα, εἰ μὴ καθ᾽ ὅσον ὑπὲρ τροφῆς καὶ ὁδοιπορίας ἐπιξενούμενος ὁ ἐκβιβαστὴς ἐδαπάνησε. τὸ δὲ ἀγροικικὸν πλῆθος καὶ οἱ λοιποὶ πένητες, εἴτε κατ᾽ ἀλλήλων ἐνάγουσιν ὑπὲρ τῶν κοινῇ διαφερόντων αὐτοῖς ἢ καὶ ἰδίᾳ ἕκαστος καθ᾽ ἑτέρου, ἢ κατὰ τῶν δυνατωτέρων καὶ εὐπόρων[7] ἀνθρώπων, καθ᾽ ἑκάστην λίτραν ἀντὶ τριῶν ἓν μόνον παρεχέτωσαν νόμισμα. εἰ δὲ μηδεμίαν εἶχε νομικὴν ἀμφιβολίαν ἡ δίκη, μηδὲ τὸ πρᾶγμα δίκης ἄξιον ἦν, ἀλλὰ τυχὸν ἀναίσχυντος ἀναρχία ἢ πραῖδα ἢ ἁρπαγὴ ἤ τι τῶν τοιούτων ἐπράχθη, αὐτοὶ οἱ ταῦτα διαπραξάμενοι, εἴπερ εἰσὶ τῶν ἐμφανεστέρων, ὑπὲρ τῶν δικαιωθέντων παρεχέτωσαν τὰ ἐφ᾽ ἑκάστῃ λίτρᾳ ὡρισμένα τρία νομίσματα· εὐτελέστεροι δὲ ὄντες, ἀνὰ νόμισμα ἕν, πρὸς τῷ καὶ τὴν ἀπὸ τῶν νόμων χρηματικὴν ποινὴν ἢ σωματικὴν ἐκτιννύναι[8]. ἐπὶ

---

[3] Vide l. 2 C. *quae sit longa consuet.* 8, 53. Basil. II, 1, 50. [4] In app. Syn. cl. I hujus loci Epitome est sic: *Νεαρὰ ζ΄* (al. *η΄*) *κωνσταντίνου περὶ ἐκταγιατικῶν. Κελεύομεν τοὺς θεματικοὺς κριτάς — μίσθωμα.* Vide Leuncl. post Syn. p. 25 et in JGR. II p. 151. [5] Labbaeus notat: „Ex his manifestum est a Constantino abrogatum esse Justiniani et praedecessorum constitutiones, quibus permissum erat pedaneis judicibus, *χαμαιδικασταῖς* sive *διαιτηταῖς* sive *διαιτηταῖς κληρωτοῖς, δικαστικῶν ἕνεκεν* . . . . duos quidem aureos in contestatione litis et duos in fine negotii ab utraque parte accipere. Justiniani verba . . . extant in c. 9 Nov. 92. . .“ [6] In Epit. *ὑπέρ τε νοταρίων καὶ τῶν ὑπηρετουμένων αὐτοῖς.* [7] Ibid. *εὐπορωτέρων.* [8] Ibid. additur: *ἔτι δὲ καὶ τοὺς*

νομῇ δὲ γενομένης τῆς ἀποδόσεως, εἰ μὲν πρὸς πένητας, οὐδέν· εἰ δὲ πρὸς ἐμφανεστέρους, ἐπὶ τῇ λίτρᾳ τὸ ἥμισυ τοῦ νομίσματος. ἡνίκα δὲ προπετῶς τοῦ ἀντιδίκου ἀπολειφθέντος[9] ἐπὶ νομῇ πεμφθῇ τὸ ἕτερον μέρος, οὐδὲ ὅλως χρὴ πρὸ πέρατος τῆς δίκης ἀποκατάστασιν γίνεσθαι, οὐδὲ τῇ δὲ[10] κἀκεῖσε τὰ πράγματα μεταφερόμενα διαφθείρεσθαι ἀπὸ τῆς ἐναλλαγῆς τῶν προσώπων ἢ τῆς θατέρου τούτων ἐπιβουλῆς, τυχὸν[11] δυσμενῶς πρὸς τὸν ἀντίδικον ἔχοντος ἢ καὶ συνειδότος μὴ καλῶς ἀγωνίζεσθαι. αὗται δὲ αἱ συνήθειαι κατὰ τὴν προκειμένην διάστιξιν καὶ ἐπὶ τῶν ὑπηρετουμένων ἀπαιτητῶν ἤτοι ἐκβιβαστῶν ἅπασι τοῖς πολιτικοῖς δικασταῖς ἔστωσαν, καὶ μηδὲν περαιτέρω· τούτοις γὰρ ἀναγκαῖόν ἐστι, μὴ μόνον καθαραῖς ταῖς χερσὶν ἄρχειν, ἀλλὰ καὶ τοὺς ὑπουργοῦντας ἔχειν παντὸς αἰσχροῦ λήμματος ἀνωτέρους. περὶ δὲ τῶν ὑπουργούντων ἐν ταῖς γραφαῖς τοῖς ἔξω δικάζουσιν ἢ καὶ τοῖς ἐνταῦθα δικαστηρίοις, αὐτοτελοῦς ἀπολυομένης κρίσεως, ἐπὶ μὲν τῶν εὐτελεστέρων ὑποθέσεων ἄχρι λίτρας μιᾶς ἢ καὶ ἐπέκεινα μέχρις ἑνὸς νομίσματος δίδοσθαι· ἐλάττονος δὲ οὔσης, ὑφαιρεῖν πρὸς ἀναλογίαν ἐκ τοῦ νομίσματος· ὥσπερ αὐξάνειν πάλιν ἐπὶ τῶν ὑπερβαινουσῶν τὰς τρεῖς λίτρας δικῶν, ἄχρι δύο ἢ καὶ τριῶν νομισμάτων· μηδέποτε δὲ ἀπὸ πενήτων πολιτικῶν ἢ ἀγροιτικῶν, μηδὲ μεγίστης οὔσης τῆς ὑποθέσεως, γραφῆς χάριν πλέον παρέχεσθαι τοῦ νομίσματος. ἐπὶ δὲ ταῖς ἀπολυομέναις ψήφοις κατὰ κέλευσιν πρὸς τοὺς ἔξω δικάζοντας τὸ δωδέκατον, πολλάκις δὲ καὶ μέχρι ἕκτου διδόναι τοὺς εὐπορωτέρους· τοὺς δὲ ἀπόρους πρὸς τὸ ἀναλογοῦν τῆς γραφῆς[12] καὶ τοῦ πράγματος, περὶ οὗ ἡ ψῆφος προβαίνει, ἔσθ' ὅτε καὶ πλέον τοῦ νομίσματος μετὰ διαγνώσεως τοῦ δικάζοντος. εἰ δέ γε παρόντων ἀμφοτέρων τῶν μερῶν ἀπὸ κρίσεως ἔγγραφος ἀπόφασις[13] ἀπολυθῇ, τῷ μέλλοντι δικάζειν ἐπὶ τοῦ τόπου, εὐπόρου δηλαδὴ περιουσίας ὑποδεικνυμένης, δυνατὸν κατὰ διάγνωσιν καὶ ἕως δυοῖν νομισμάτων ἀναβιβάζεσθαι τὸ μίσθωμα.

β'. Ἐπειδὴ[14] δὲ αἱ διαθῆκαι παρὰ τῷ κοιαίστωρι ἀνοίγονται, τοῖς ὑπουργοῦσιν ἐν τῇ ἀνοίξει καγγελλαρίοις ἐπί τε

τόκους ἢ τοὺς καρποὺς ἐν οἷς ἔξεστιν ἀπαιτείσθωσαν. [9] Labb. ἀποληφθ. [10] Epit. ὧδε. [11] Labb. τυχὸν καὶ δυσμ. — εἰ καὶ συν. Quod conjectura mutandum esse putavi. [12] Epit. ἀναγραφῆς. [13] Labb. ἀπόλυσις. [14] Epit. in app. Synops. cl. I (apud Leuncl. post Syn. p. 27 et in JGR. II p. 154) sic est: Νεαρὰ θ' (al. ι') κωνσταντίνου περὶ ἀνοίξεως διαθηκῶν. Ἐπειδὴ — ἀποδώσει.

τῇ συναγωγῇ τῶν μαρτύρων καὶ τῶν ἐξ ἀδιαθέτου κληρονόμων ἢ καὶ λεγαταρίων καὶ τῶν δι᾽ ἑτέρας χρείας ὀφειλόντων παρίστασθαι παρέχειν[15] νόμισμα ἕν, τῷ δὲ πρώτῳ καγγελλαρίῳ ἕτερον νόμισμα ἕν, καὶ τοῖς δυσὶ νοταρίοις ἀνὰ ἥμισυ τοῦ νομίσματος. ἐλάττονος δὲ τῶν δύο λιτρῶν ἀριθμουμένης τῆς ὑποστάσεως, ὑπεξαιρουμένης μέντοι τῆς τιμῆς τῶν ἴσως ἐλευθερουμένων, πᾶσι τούτοις παρέχεσθαι νόμισμα ἕν. ἐὰν δὲ τὰ ἑκατὸν νομίσματα μόνον ἀποσυνάγεται[16], μηδὲν δίδοσθαι. διὰ δὴ ταῦτα, κἂν ὑπὲρ τὰς τρεῖς λίτρας ἔχει τὰ τῆς περιουσίας, ὦσι δὲ τὰ κληρονομοῦντα πρόσωπα ἀτελοῦς ἡλικίας, ἢ καὶ χήρα μήτηρ ἢ μάμμη συγκληρονομοῦσα, ὅσοι τούτων ἔλαττον ἑκατὸν νομισμάτων ἐκ τοῦ κλήρου ἀποφέρονται[17], μηδὲν αὐτοὺς συντελεῖν εἰς τὴν τετυπωμένην συνήθειαν, ἀλλ᾽ ἐκ τῆς ἀλλαχοῦ ὁπουδήποτε ἀφορισθείσης περιουσίας ὑπὲρ τὰ ἑκατὸν νομίσματα συναγομένης τὸ προδιορισθὲν ποσὸν ἀναλόγως κατὰ τὴν προγεγραμμένην ὑποτύπωσιν καταβάλλεσθαι. ὁ δὲ περισσότερον τῶν διωρισμένων λόγῳ ἐκβιβαστικῶν ἀπαιτῶν, τὸ τριπλοῦν ἀποδώσει.

γ΄. Ἐπειδὴ[18] δὲ ὁ σκρίβας οὐκ ἐστι τέλειος[19] δικαστής, ἀλλὰ καὶ τῶν θεματικῶν[20] καὶ αὐτῶν τῶν ἀντιγραφέων ὑποβέβηκε, σχεδὸν δὲ ἡ πᾶσα φροντὶς τῶν ἀφηλίκων καὶ ὁ περὶ τῶν πραγμάτων αὐτῶν κίνδυνος ἐκ μεγάλης ἀμελείας εἰς αὐτὸν ἀφορᾷ, δεῖ καὶ αὐτὸν μετὰ τῶν ὑπηρετουμένων αὐτῷ ἐν ταῖς αὐτοτελέσι καὶ ἀπηρτισμέναις ὑποθέσεσιν ἤτοι μερισμοῖς καὶ ἀπαιτήσεσι καθ᾽ ἑκάστην λίτραν ὁμοίως ἀνὰ δύο νομίσματα λαμβάνειν, εἰ μὴ ἄρα ἐπ᾽ ἔλαττον τῶν ἑκατὸν νομισμάτων, καθ᾽ ὃν προειρήκαμεν τρόπον, ἔχει τὰ τῆς περιουσίας. ἐκ τούτων γὰρ παντελῶς οὐδὲ αὐτὸν οὐδὲ ἕτερόν τινα λαμβάνειν ὁρίζομεν. ὥσπερ οὐδὲ ἐν ταῖς ἀπογραφαῖς· ἄμισθοι γὰρ καὶ αὗται ὀφείλουσιν εἶναι, εἰ μὴ ἄρα εὐπορία ἐστί. τηνικαῦτα γὰρ δεῖ πρὸς ἀναλογίαν τοῦ γραφέως καὶ τῶν ὑπηρετούντων ταξεωτῶν μέτριόν τινα πορίζεσθαι τὸν μισθόν.

δ΄. Μηδένα[21] τῶν πολιτικῶν δικαστῶν μηδὲ ὑπὲρ οἱασδή-

---

[15] Epit. παρέχεσθαι, quod placet. [16] Ibid. ἐπισυνάγεται. [17] Ibid. ὅσοις ἀπέρχεται. [18] Epit. in app. Syn. cl. I (Leuncl. post Syn. p. 27 et in JGR. II p. 155): Νεαρὰ ι΄ (al. ια΄) κωνσταντίνου περὶ τῶν συνηθειῶν τοῦ σκρίβα. Ἐπειδὴ ὁ σκρίβας — μισθόν. Habetur etiam in Proch aucto Paratitl. 26. [19] Epit. δίκαιος. [20] Ibid. additur κριτῶν. Non male [21] Epit. in app. Syn. cl. I (Leuncl. post Syn. p. 24 et in JGR. II p. 151): Νεαρὰ (alii ϛ΄ alii ζ΄ addunt) κωνσταντίνου περὶ τοῦ μηδὲν τοὺς πολιτι-

ποτε ἀφορμῆς τι λαμβάνειν, ἀλλὰ καθαρὰς ἔχειν τὰς χεῖρας καὶ παντὸς χρυσίου ὑπερφρονεῖν.

έ. Ἔτι[22] δὲ καὶ τοῦτο τοῖς ἀρχαίοις νόμοις ἀκολουθοῦντες διατυπῶσαι συνείδομεν, ὥστε μὴ ἄλλως τὸν ἐναγόμενον εἰς δικαστήριον ἕλκεσθαι, εἰ μὴ ὁμολογήσει ὁ ἐνάγων, ὅτι προσεδρεύει τῇ κινουμένῃ δίκῃ δι' ἑαυτοῦ ἢ διὰ νομίμου ἐντολέως, καὶ[23] εἰ μετὰ ταῦτα δειχθῇ ἀδίκως τὴν δίκην κινήσας, ὀνόματι ἀναλωμάτων ἢ δαπανημάτων δέκατον μέρος τῆς ἐν τῇ δίκῃ ποσότητος παρέχει τῷ δικαιουμένῳ. εἰ δὲ ἄπορος ὢν ὁ ἐνάγων εὑρίσκεται κατὰ συκοφαντίαν ἄδικον δίκην ἀγωνιζόμενος, μηδὲν μὲν αὐτὸν ζημιοῦσθαι λόγῳ συνηθειῶν ἢ ἀναλωμάτων, μείζονι δὲ τιμωρίᾳ διὰ τῶν εἰς σῶμα πληγῶν καθυποβάλλεσθαι· καὶ γὰρ αἱ πληγαὶ μείζους[24] εἰσὶ τῆς χρηματικῆς καταδίκης. εἰ δὲ ἅπαξ κινήσας ὁ ἐνάγων ὕστερον ὑπερτίθεται ἐπεξελθεῖν τοῦ πράγματος, καὶ μηδὲ ἐντὸς τριῶν μηνῶν παραγένηται, δίδοσθαι αὐτῷ ἑτέρου ἐνιαυτοῦ προθεσμίαν. ἐὰν δὲ μηδὲ[25] οὕτως ἑαυτὸν ἐμφανίσῃ, μηδὲ ἕτερον ἀντ' αὐτοῦ πέμψῃ τὸν ὀφείλοντα τῷ πράγματι ἐπεξελθεῖν, ἄδειαν εἶναι τῷ δικαστῇ, καὶ ἀπόντος αὐτοῦ τὰς τοῦ ἐναγομένου μέρους δικαιολογίας κατὰ τοὺς νόμους ἐξετάζειν, καὶ τῆς ἀληθείας ἀκριβῶς ζητουμένης νόμιμον προφέρειν τὴν ψῆφον. ταῦτα δὲ ὁμοίως κρατεῖν καὶ ἐπὶ τοῦ ἐναγομένου, εἴπερ μετὰ προκάταρξιν ἀπολειφθῇ καὶ αἱ δεδομέναι προθεσμίαι παρέλθωσι, καὶ οὐδὲ οὕτως ἀπαντῆσαι ἢ δι' ἑαυτοῦ ἢ δι' ἑτέρου βούλοιτο. προπετῶς οὖν ὡς εἴρηται θατέρου τῶν μερῶν ἀπολειφθέντος μετὰ προκάταρξιν, καὶ μὴ ἐντὸς τριῶν μηνῶν ὑποστρέφοντος, τὴν ἀποκατάστασιν τέως τῷ προσεδρεύοντι μέρει γίνεσθαι ἐπὶ νομῇ· μετὰ δὲ τὸν ἐνιαυτὸν καὶ τὰς ἀποδείξεις προβαίνειν μονομερῶς παρὰ τοῦ[26] προσκαρτεροῦντος, καὶ νομίμῳ δικαίῳ[27] τὴν δίκην διευλυτοῦσθαι[28].

κοὺς δικαστὰς λαμβάνειν. Θεσπίζομεν μηδένα — ὑπερφρονεῖν. Recepta est in Proch. auctum Paratitl. 26. [22] Epit. in app. Syn. cl. I (Leuncl. post Syn. p. 23 et in JGR. II p. 151): *Νεαρὰ ϛ' κωνσταντίνου περὶ τοῦ προσεδρεύειν ἐν τῷ δικαστηρίῳ τοὺς κινοῦντας τὴν ἀγωγὴν καὶ περὶ τῶν ἀπολιμπανομένων ἐπὶ τρισὶ μησὶν ἢ χρόνοις. Μὴ ἄλλως — διευλυτοῦσθαι.* Eadem Epitome reperitur in Prochiro aucto Paratitl. 26. Laudari videtur in scholio Basil. ed. Heimb. I p. 272. [23] Ita Epit. Labb. *ὅτι.* [24] Labb. addit *φησί.* Cf. Basil. LX, 51, 10 th. 3. [25] Ita Epit. Labb. *μή.* [26] Epit. addit *ἐπὶ τῇ δίκῃ.* [27] Epit. *διὰ νομίμου δικαίου ψήφου.* [28] Epit. in nonnullis Codicibus: *διαλύεσθαι.*

NOV. VIII.

Imp. Constantini Porphyrogeniti de fundis militaribus[1]. (Inter 945 — 959.)

Νεαρὰ[2] *νομοθεσία τοῦ αὐτοῦ περὶ τῶν στρατιωτῶν*[3], *ἣν ὑπηγόρευσε Θεόδωρος πατρίκιος καὶ κοιαίστωρ ὁ δεκαπολίτης.*

Ὥσπερ ἐν σώματι κεφαλὴ, οὕτως ἐν πολιτείᾳ στράτευμα, ὧν οὕτως ἢ ἑτέρως ἐχόντων ἀνάγκη καὶ τὸ πᾶν συμμεταβάλλεσθαι, καὶ ὃς μὴ ταῦτα ὑπὸ πολλὴν τίθεται πρόνοιαν, περὶ τὴν οἰκείαν σφάλλεται σωτηρίαν, εἴπερ οἰκείαν οἴεσθαι χρὴ τὸ κοινόν. καὶ ἐπειδὴ τῷ χρόνῳ τὰ τῶν στρατιωτῶν ἀῤῥωστήσαντα, ὅθεν αὐτοῖς καὶ ἡ τοῦ εἶναι καὶ ζῆν προσῆν ἀφορμὴ, πρὸς τὸ χαλεπώτερον ἐναπέκλινον, ἡ ἐκ θεοῦ βασιλεία ἡμῶν

---

[1] Haec Novella nobis servata est in appendice Synopseos cl. I, II et III, indeque ediderunt Cujacius in calce libri feudor. (ed. Neap. II p. 1345), Leunclav. post Syn. p. 17 et in JGR. II p. 144, et Labbaeus p. 26. In Syn. I cl. insuper epitome ejus habetur, sic inscripta: *Νεαρὰ γ' κωνσταντίνου περὶ στρατιωτῶν. Θεσπίζομεν τοίνυν, ὅπερ ἡ συνήθεια ἀγράφως πρῴην ἐκύρωσεν, μὴ ἐξεῖναι — κεχρῆσθαι αὐτῷ.* Inedita quidem est, sed recepta ab Harmenop. I, 16,7—9; lectionis varietatem ex ea ad textum passim enotabimus. Alia ejusdem Novellae epitome habetur in appendice operis Michaelis Attalensis, et quidem hujusmodi: *Νεαρὰ τοῦ πορφυρογεννήτου κυροῦ κωνσταντίνου περὶ στρατιωτοτοπίων. Ἡ δὲ νεαρὰ τοῦ πορφυρογεννήτου κυροῦ κωνσταντίνου ἐξεφωνήθη μὲν καὶ περὶ ἄλλων κεφαλαίων, ἐξεφωνήθη δὲ καὶ περὶ στρατιωτοτοπίων, ἵνα μένωσι τὰ στρατιωτοτόπια ἀνεκποίητα, ὅσα δηλονότι τῇ ὡρισμένῃ παρ' ἐκείνου διατιμήσει προσλαμβάνονται. καὶ γὰρ ἐτυπώθη εἰς ἑκάστην στρατείαν ἱππέων μὲν δ' λιτρῶν συντηρεῖσθαι ὕπαρξιν· τὴν αὐτὴν δὲ διατίμησιν ἔχειν καὶ τὰς ἐπὶ στόλου τεταγμένας τοῦ τε αἰγαίου πελάγους, τῆς σάμου καὶ τῶν κιβυῤῥαιωτῶν· ταῖς δὲ βασιλικοπλωΐμοις καὶ ταῖς λοιπαῖς ἔχειν ἑκάστην διατίμησιν [ἀνὰ λιτρῶν β']. καὶ ταύτην μὲν τὴν διατίμησιν εἰς ἑκάστην στρατείαν εἶναι ἀνεκποίητον διωρίσατο· τὰ δὲ ἐπέκεινα δύνασθαι ἐκποιεῖσθαι τοὺς στρατιώτας, εἰ μὴ ῥητῶς οἱ τόποι τοῖς στρατιωτικοῖς ἀναγράφονται κώδιξιν. εἰ δὲ [οἱ] ἐξωνήτορες ἀναδέχονται καὶ τὰς στρατείας, ἐπικεῖσθαι ταύτας αὐτοῖς μετὰ τοῦ πράγματος. εἰ δὲ μὴ ὁλόκληρον στρατείαν ἔχει τὶς, ἀλλὰ μέρος ὑπηρετεῖται ταύτης, τυχὸν τέταρτον ἢ ἥμισυ, κατὰ ἀναλογίαν τοῦ μέρους τυποῦσθαι καὶ τὴν εὐπορίαν καὶ τὴν ποσότητα τῆς διατιμήσεως. μὴ ἄλλως δὲ κυριεύεσθαι τὰ στρατιωτικὰ τοῖς παρανόμως κτωμένοις, εἰ μὴ διὰ μόνης τῆς τεσσαρακονταετίας.* (Cf. *Μικρὸν Ν*, 43.) [2] In Syn. cl. I inscriptio simpliciter haec est: *περὶ στρατιωτικῶν*, cui nonnulli Codices in margine adjiciunt: *κωνσταντίνου*. In Syn. cl. II et III inscribitur, ut editum est. [3] Labbaeus, qui Cod. Paris. 1351 sequitur, hic tamen legit: *στρατιωτικῶν*. Quam conjecturam probaverim.

πρὸς τὸ εὐεκτοῦν καὶ ἀμεινότερον ταῦτα μετήνεγκε, κοινὴν τῷ παντὶ χαρισαμένη τὴν λυσιτέλειαν.

α΄. Θεσπίζομεν τοίνυν αὐτὸ δὴ τοῦτο, ὅπερ ἡ συνήθεια ἀγράφως πρῴην ἐκύρωσε[4], *μὴ ἐξεῖναι τοῖς στρατιώταις τὰ ἐξ ὧν αἱ στρατεῖαι ὑπηρετοῦνται κτήματα διαπωλεῖν, συντηρεῖσθαι δὲ εἰς ἑκάστην στρατείαν, ἱππέων μὲν ἀκίνητον κτῆσιν δ΄ λιτρῶν ὕπαρξιν*[5]*· οἷς ἀριθμεῖσθαι κελεύομεν καὶ τοὺς ἐπὶ τὸν στόλον ἀποτεταγμένους πλωΐμους τοῦ τε αἰγαίου πελάγους καὶ τῆς σάμου καὶ τῶν κιβυῤῥαιωτῶν· αὐτόστολοι γὰρ καὶ οὗτοι καὶ αὐτερέται*[6] *βαρείας μετιᾶσι τὰς ὑπηρεσίας. τοῖς δὲ τὰ βασιλικὰ πλώϊμα*[7] *ἐπὶ ῥόγαις ὑπηρετουμένοις καὶ τοῖς λοιποῖς πλωΐμοις ἤδη νῦν ἐκράτησεν ἐκ συνηθείας δύο λιτρῶν εἰς ἑκάστην στρατείαν ἀκίνητον διασώζεσθαι κτῆσιν, ὃ καὶ ἡμῖν ἀρκούντως ἔχειν δοκεῖ. εἰ μὲν οὖν ἐν τοσαύτῃ ἀκινήτῳ κτήσει εἶεν οἱ ἐν ἑκατέραις στρατείαις κατειλεγμένοι, καὶ σώζοιεν ταύτην συντηροῦντες ἀνεκποίητον, καὶ παραπέμποιεν εἰς τοὺς φυσικοὺς κληρονόμους καθ᾽ ὃν ἂν βούλοιντο νόμιμον τρόπον, μετὰ τοῦ οἰκείου μέντοιγε βάρους, εἴτε κατιόντες εἶεν πρὸς οὓς παραπέμπονται εἴτε ἀνιόντες εἴτε ἐκ πλαγίου, εἴτε ἐξ ἀδιαθέτου ἰσοκληρία τισὶν ἁρμόσει, εἴτε ἀπὸ διαθήκης ἐξ ἀνίσων μερῶν εἰκότως κληθεῖεν, γνήσιοι ἢ φυσικοὶ ἢ ἐξωτικοὶ παγανοὶ*[8] *κληρονόμοι (τοὺς ἀξιωματικοὺς γὰρ παντὶ τρόπῳ ἀποκλείομεν πρὸς τὰς τοιαύτας διαδοχάς), καὶ κατὰ ἀναλογίαν τοῦ κέρδους τῆς κληρονομίας ἕπεσθαι ὁριζόμεθα καὶ τὸ βάρος τῆς συντελείας. κινητὴν δὲ οὐ περιεργαζόμεθα ὕπαρξιν, ἀλλ᾽ ἐν ἐξουσίᾳ αὕτη κείσεται τοῦ κεκτημένου, εἰ μήπου κατὰ πολὺ ἡ ἀκίνητος ἐλαττοῦται· δέον γὰρ τότε ἀνδρὸς ἀγαθοῦ δοκιμασίᾳ τὸ ἐλλιπὲς τῆς ἀκινήτου ἐκ τῶν κινητῶν ἀναπληροῦσθαι. εἰ δὲ ἐν περιουσίᾳ πολλῶν ἀκινήτων ὁ στρατιώτης καθεστήκοι, ὥστε κατὰ πολὺ τὴν δικαίαν*[9] *ὑπερβαίνειν ποσότητα, εἰ μὲν ἅπαντα ἐν τοῖς στρατιωτικοῖς κώδιξιν ἀπογράφονται, μὴ δύνασθαι μήτε ταῦτα μήτε ἐκ τούτων τὸν στρατιώτην διαπωλεῖν, κἂν μείζονος εἶεν ἠξιωμένα τιμῆς τὰ περιλιμπανόμενα*[10]*· μᾶλλον δὲ μὴ δύνασθαί τινα ἐκ τούτων ἀγοράζειν, καὶ μάλιστα περίβλεπτον ἢ ἀξιωματικὸν ἢ μητροπολίτην ἢ ἐπίσκοπον ἢ μοναστήριον ἢ*

[4] Labb. *προεκύρωσε* (omisso *πρῴην*), quum in MS. invenisset *προσεκύρ.* — Caeterum videatur supra Nov. II c. 3. [5] Apud Cuj. *ὕπαρξιν* deest. [6] Cuj. *αὐταίρετοι.* [7] Al. *βασιλικοπλώϊμα.* [8] Al. *παγανικοί.* [9] In marg. plerique: *τὴν τῶν δ΄ λιτρῶν δηλονότι.* [10] Verba *τὰ περιλ.* desunt apud Leuncl. et Cujacium.

ἕτερον τὸν οἱονδήποτε εὐαγῆ οἶκον ἢ δυνάστην μέχρι σχολαρίου, εἰδότας, ὡς οὐκ ἔσται αὐτοῖς περὶ τῶν τιμημάτων ἀγωγὴ, ἀλλ' οὐδὲ ὁ περὶ τῶν δαπανημάτων λόγος, κἂν εἰ τύχοιεν πολλα καταναλωκότες εἰς φιλοπονίαν τῶν ἠγορασμένων· λήψονται μέντοιγε τὰς ὕλας αὐτῶν, μετὰ τοῦ μὴ βλάψαι τὴν προτέραν κατάστασιν. εἰ δ' οὐ πάντα ἀπογεγραμμένα εἰσὶν, ἀλλ' ἔχει εἰκότως ὁ στρατιώτης κτῆμα ἰδιοπεριόριστον καὶ τῇ στρατείᾳ ἀκαταδούλωτον, ἐξουσίαν ἐχέτω ᾧ δὴ βούλοιτο τρόπῳ[11] *τοῦτο ἐκποιεῖν, ἐν ᾧ μέντοιγε ἡ ἀπογεγραμμένη ἀκίνητος κτῆσις αὐτοῦ ἱκανή ἐστιν ὑπηρετεῖσθαι τῇ στρατείᾳ· εἰ γὰρ ἀπολείπεται, ἀνάγκην ἕξει ὁ παρὰ τοῦ στρατιώτου λαβὼν ἔκ τινος αἰτίας τὸ κτῆμα, τὸ ἐλλιπὲς δι' ἀκινήτων ἀναπληρῶσαι*[12]. *εἰ δ' οὐδόλως ἀπογεγραμμένα εἰσὶ τὰ τοῦ στρατιώτου ἀκίνητα, τὰ εὐχρηστότερα*[13] *σιωπηρῶς ὑποκείσθωσαν ἕως δ' λιτρῶν, καὶ τούτῳ τῷ προνομίῳ ἐξ ἡμετέρας προνοίας συγκροτείσθωσαν*[14]*· τὰ δὲ περιττὰ ἐφεῖσθαι τούτοις ἐκποιεῖσθαι. καὶ εἴπερ συμβῇ τὸν μὲν*[15] *τὰ εὐχρηστότερα ἀγοράσαι πρότερον, τὸν δὲ τὰ ἀχρηστότερα ὕστερον, ἐκνικηθῇ δὲ ἐκ τοῦ προτεθειμένου τούτου προνομίου τὰ εὔχρηστα, ἐχέτω τὰ τῆς προγενεσίας δίκαια κατὰ τοῦ μεταγενεστέρου ὁ προγενέστερος. εἰ δὲ πολλὰς ἔχοντες*[16] *ἀκινήτους κτήσεις καὶ πολυτίμους τὴν ἀπογεγραμμένην ἐκποιήσαιεν, ἐκνικῆσαι δὲ βουληθεῖεν ὕστερον ἅτε*[17] *ἀπογεγραμμένην, δίδοσθαι μὲν*[18] *αὐτοῖς τὴν βοήθειαν τῆς ἐκνικήσεως, ἐκ τῆς ἄλλης δὲ τούτων οὐσίας*[19] *τῷ ἀγοραστῇ τὸ ἱκανὸν περιποιεῖσθαι, ὅτε δηλαδὴ εὐποροῖεν ὑπὲρ τὰς τέσσαρας λίτρας μὲν οἱ ἱππεῖς, ὑπὲρ τὰς δύο δὲ οἱ πλωτῆρες. εἰ δὲ μέρει*[20] *στρατείας ὑπηρετεῖταί τις, κατὰ ἀναλογίαν τοῦ μέρους αὐτοῦ καὶ τὴν εὐπορίαν τυποῦσθαι. μὴ*[21] *ἄλλως δὲ κυριεύεσθαι τὰ στρατιωτικα τοῖς ταῦτα οἱῳδήτινι τρόπῳ κτωμένοις, εἰ μὴ ὁ τῆς τεσσαρακονταετίας ἀνεπιφώνητος διαῤῥεύσει χρόνος. σχεδὸν γὰρ τοῖς κακῇ πίστει νομεῦσιν ἠρίθμει τούτους καὶ πάλαι ἡ συνήθεια· πλὴν ὅσον οἱ μὲν*[22] *ἐκ συναλλάγματος νεμηθέντες τὴν τῶν καρπῶν ζημίαν διέφυγον, οἱ δὲ πίστει κακῇ νεμόμενοι καὶ καρποὺς καὶ*

---

[11] Al. *ὃν δ' ἂν βούλοιτο τρόπον.* [12] Leuncl. *ὁ ἐκ τοῦ στρατιώτου λαβὼν τὸ κτῆμα, τὸ ἐλλ. ἔκ τινος αἰτίας δι' ἀκιν. ἀναπλ.* [13] Al. *ἀχρηστ.* [14] Al. *καὶ τοῦτο τὸ προνόμιον — συγκροτείσθω.* Alii *αὐτοῖς ἔστω δεδομένον* pro *συγκρ.* [15] Leuncl. *ὃν μὲν — ὃν δέ.* [16] Al. *ἔχων τάς.* [17] Cuj. *ὡς.* Leuncl. *τήν.* Adverbium *ὕστερον* apud Cuj. et Labb. deest. [18] Leuncl. *δίδομεν.* [19] Haec verba *τούτων οὐσίας* ex Labbaei notis supplevi [20] Leuncl. *μέρος.* [21] Leuncl. *μηδ'.* [22] Verba *οἱ μὲν* Labb. non habet.

προσόδους καὶ πᾶσαν βλάβην κατατίθενται[23]· ὃ καὶ ἡμῖν ἀρέσκει. στρατιώτας δὲ νομίζεσθαι διατυποῦμεν, οὐ τοὺς καθοσιωμένους μόνον ταῖς ἱεραῖς λεγεῶσι τῶν στρατιωτῶν, ἀλλὰ γὰρ δὴ καὶ τούτους, οἳ διά τινα τύχης ἐπήρειαν ἐπιδεεῖς ὀφθέντες ἀδωρείας ἐνδίκως[24] τετυχήκασι. τῶν αὐτῶν γὰρ καὶ τούτους ἀπολαύειν δικαιοῦμεν προνομίων, οὐ συγχωροῦντες οὔτε παρ᾿ ἐκείνων πιπράσκεσθαι τὰ ἐξ ὧν αἱ στρατεῖαι ὑπηρετοῦνται· καὶ πολλῷ πλέον παρὰ τοῦ δημοσίου. εἰ[25] γὰρ τοῖς κυρίως δεσπόταις ἐπιτιμῶμεν τοῦ κοινῇ συμφέροντος ἕνεκεν, πῶς ἂν τῷ δημοσίῳ πιπράσκειν ἐπιτρέψωμεν, καὶ τὴν πάλαι ἄγραφον ἀδικίαν ἐκείνην νόμου τάξιν ἔχειν μεθήσομεν; ἣν ἐχρῆν γῆς τε ἁπάσης ἐξελαύνεσθαι καὶ θαλάσσης ὡς οὖσαν θηριωδεστάτην καὶ ἀπηνεστάτην. οἶμαι γὰρ, ὡς οἱ ταύτην εἰσαγαγόντες τὴν αὐτὴν ταῖς ἄρκτοις φύσιν τῇ πολιτείᾳ προσένεμον· λόγος γὰρ ἔχει, μόνας θηρίων τὰς ἄρκτους λιμῷ πιεζομένας τοὺς δακτύλους περιλιχμᾶσθαι· καί που[26] καλῶς τις εἰδὼς χεῖρας ἂν μᾶλλον[27] ὅλης τῆς πολιτείας, ἀλλ᾿ οὐχὶ δακτύλους τοὺς στρατιώτας εἶναι δοκοίη.

β΄. Ταῦτα μὲν οὖν τοῖς ἔμπροσθεν χρόνοις ἐντελῶς ἅμα καὶ λυσιτελῶς κατὰ τὸ ἡμῖν δοκοῦν διατυποῦμεν. ἐπὶ δὲ τοῖς προλαβοῦσι, πάλαι μὲν ἐπικρατεῖ ἀδιαίτητος καὶ παχυμερὴς συνήθεια[28], ἀναργύρως τοὺς ἀγοραστὰς τῶν στρατιωτικῶν ἐξωθεῖσθαι. ἡ δὲ λεπτομερὴς τῶν κατὰ μέρος διοίκησις, ἄλλοτε ἄλλως ἐν οἷσπερ ἂν αὐτὴν μετῆγον οἱ τῆς ψήφου κύριοι μεταφερομένη, πολλήν τινα λώβην παρεῖχε τοῖς πράγμασι καὶ πᾶσαν ἀσάφειαν. ἡμεῖς οὖν ἅμα πρόσω καὶ ὀπίσω τοὺς περὶ τῶν συμφερόντων στρέφοντες ἀναλογισμοὺς, τὰς κεχυμένας ἐκείνας καὶ ποικιλοτρόπους ἀποδιαπομπούμενοι πράξεις, ἐν ῥυθμῷ καὶ λόγῳ τὴν ἐν ἅπασι διοίκησιν περιστέλλοντες θεσπίζομεν· εἰ μὲν εἶεν κληρονόμοι αὐτοῖς τοῖς ἀπογεγραμμένοις στρατιώταις, κατιόντες τυχὸν ἢ ἀνιόντες ἢ ἐκ πλαγίου μέχρις ἕκτου βαθμοῦ, τούτους πάντως προσδέχεσθαι κατὰ τὴν τῶν βαθμῶν ἐγγύτητα προτιμωμένους[29] εἰς τὸ ἐκδικεῖν τὰ παρὰ τῶν στρατιωτῶν ἐκποιηθέντα κακῶς ἢ παρὰ δυνάστου[30] βίᾳ κατασχεθέντα. τῶν ἐγγυτέρου δὲ βαθμοῦ συγγενῶν μὴ βουλομένων ἢ μὴ δυναμένων, καὶ τοὺς πορρωτέρους εἰσδέχεσθαι[31] συγγενεῖς. συγγε-

[23] Leuncl. *κατετίθεντο.* [24] Leuncl. *ἐντύχως,* et in marg. *ἐν δίκτῳ* (*ἐδίκτῳ*). [25] Al. *ἅ.* [26] Leuncl. *εἴ που.* [27] Verba *ἂν μᾶλλον* et mox *εἶναι* apud Leuncl. desunt. [28] Atqui cf. Nov. II c. 3. [29] Leuncl. *αὐτοὶ πάντως προσδεχθήσονται — προτιμώμενοι.* [30] Leuncl. *δυνατοῦ.* [31] Leuncl. *οἱ*

νῶν δὲ οὐχ ὑπόντων, ἢ τῶν ἀπὸ νόμου καλουμένων ἀγχιστῶν, τοὺς συνδότας καὶ συναίχμους αὐτῶν ἀκούεσθαι προσερχομένους[32]. τούτων δὲ οὐκ ὄντων, τοὺς συντελεστὰς ἀπορωτέρους στρατιώτας[33], ἵν' ἐξ ἐκείνων αὐτοὶ τὸ ἐνδέον τῆς ἀπορίας ἀνασώζοντες ἐποικοδομηθεῖεν πρὸς ἰσχὺν ἱκανότητος. εἰ δὲ καὶ οὗτοι οὐκ εἶεν, ἀνάγκη καὶ τοὺς πολιτικοὺς συντελεστὰς εἰσακούεσθαι πρὸς τὸ μὴ διαπίπτειν τὸν ἐκ τοῦ κήνσου φόρον. εἰ δέ γε στρατιώτης στρατιώτου ἑτέρου κτῆσιν ἠγόρασεν, εἰ μὲν ὁ εὔπορος[34] ἐξ ἀπόρου, τὴν αὐτὴν ὑφέξει τοῖς δυνατοῖς ποινὴν, ἀναργύρως ἐκπίπτων τῶν ἠγορασμένων· εἰ δὲ ἄπορος ἐξ εὐπόρου, τὸ ἀγορασθὲν ἕξει πάντως ἢ τὸ τίμημα λήψεται. εἰ δὲ ἀμφοῖν ἀπορία εὑρίσκεται, τῷ ζημιουμένῳ μέρει προσβοηθεῖσθαι κελεύομεν, τὴν ἀγαθὴν πίστιν ἐνταῦθα τηροῦντες[35], ἥτις οὐκ ἐᾷ τινα κερδαίνειν ἐκ τῆς ἄλλου ζημίας.

γ'. Ταῦτα περὶ στρατιωτικῶν κτήσεων ἃ μὲν εὑρηκότες ἃ δὲ ἐξευρηκότες, δεῖν ᾠήθημεν μεταβῆναι καὶ ἐπ' αὐτῶν τῶν στρατιωτικῶν προσώπων, καὶ τὰ συμπεσόντα τούτοις μικρὸν ἄνωθεν ἀναγορεῦσαι. ἦν ὅτε ἦν ὁλοσχερὴς τῶν πραγμάτων ἀνατροπὴ καὶ φορὰ ὀλέθρου δυσκάθεκτος, καὶ πᾶς τις τῶν ἐν δόξῃ κραταιῶν πασσυδεὶ[36] χώρας ἀπεριγράπτους ἀποτεμνόμενος ἐν ἀνδραπόδων λόγῳ τοὺς ἀθλίους ἐνέταττε κτήτορας, σχέτλια ποιεῖν οὐχ ἡγούμενος, πάσχειν δὲ μᾶλλον, εἴ τις ἕτερος ὑπέρτερος τούτου ἐν πλεονεξίᾳ ὀφθείη. καὶ ἦν ὁλοσχερὴς ἅμιλλα κακῶν. οὐδὲ γὰρ οὐδὲ μέχρι τῶν δυνατῶν ἔστη τὸ δεινὸν, ἀλλ' ἐκεῖθεν ἀρξάμενον[37] καὶ εἰς τοὺς ὀλιγοσθενεῖς ἐτελεύτησεν· αἱ γὰρ τῶν ὑπερεχόντων ἕξεις διαδόσιμοι ὡς ἐπίπαν τῷ πλήθει γίνονται. καὶ οὕτως[38] οἱ ἄρχειν τοῦ στρατοῦ λαχόντες, ὥσπερ ὄντος νόμου τοιοῦτον εἶναι τὸν στρατηγὸν, ἅπαντες ἦγον ἄνω τε καὶ κάτω τοὺς στρατιώτας, καὶ δῶρα λαμβάνοντες ἀντεδίδοσαν αὐτοῖς ἀστρατείαν[39]. ἄνθρωποι ὤνιοι, ἀμελεῖς, ἀπόλεμοι, μυρμήκων ἀγενέστεροι καὶ λύκων ἁρπακτικώτεροι· δι' ὧν τοὺς

πο῾ῤῥωτέρῳ εἰσαχθήσονται (al. εἰσδεχθήσονται). [32] Leuncl. οἱ συνδόται καὶ σύναιχμοι τούτων ἀκουτισθῶσι προσερχόμενοι. [33] Leuncl. οἱ συντελεσταὶ ἀπορώτεροι στρατιῶται. [34] Idem εὐπορώτερος. [35] Al. ἐνταυθοῖ πληροῦντες. [36] Leuncl. post Syn. πανδυδῆς. [37] Leuncl. οὐδὲ γὰρ οὐδὲ μέχρι τῶν δυνατῶν ἦν, ἀλλ' ἐκ. ἀρξαμένη (sc. ἡ ἅμιλλα). [38] Idem ἐκεῖθέν τε. [39] Cuj. ὥσπερ ὄντος νόμου τὰ τούτων εἶναι τῶν στρατηγῶν, ἃ πάντες εἶχον λαμβάνοντες ἀντεδίδων δὲ αὐτοῖς στρατείαν. Similiter Leuncl., nisi quod in fine legit: ἀντεδίδων αὐτοῖς ἀστρατεύτους ἀνθρώπους, ὠνίους, ἀμελεῖς, ἀπολέμους, μυρμήκων ἀγενεστέρους, καὶ λύκων ἁρπακτικωτέρους. Equidem

ἐχθροὺς δασμολογεῖν οὐκ ἔχοντες, ἠργυρολόγουν τοὺς ὑπηκόους. ὅθεν οὐκ ἐδεήθησαν χρόνου πρὸς τὸ τὸ πᾶν ἀνατρέψαι, ἀλλ' ἐκ τῆς σφῶν καταφορᾶς εἰς ἔσχατον κίνδυνον τὴν τῶν ῥωμαίων ἤλασαν ἀρχήν. ὅσην μὲν οὖν τὴν σπουδὴν περὶ τὴν τούτων ἀναστολὴν κατεβαλλόμεθα, πολλοὶ τῶν χρηστῶν καὶ μετρίων ἀναφωνήσουσιν, ἢ μᾶλλον ἡ πληθὺς τῶν εἰς τὸ πάτριον ἔδαφος ἐπινοστούντων βοήσεται ἄρτι τῆς δουλείας ἀπηλλαγμένων· ἀναγγελοῦσι δὲ οἶμαι καὶ αἱ τῶν ἄλλων πραγμάτων πρὸς τὰ κρείττω μεταβολαί, αἷς προσταλαιπωρούμεθα ταῖς φροντίσιν ὑπνομαχοῦντες, ἵνα μὴ κωφή τις ᾖ καὶ διαπεφορημένη ἡ ἐπινοηθεῖσα τῶν πλημμελῶς φερομένων διόρθωσις, ἣν ἐν τῷ παρόντι ἐδίκτῳ ὡς οἷόν τε ἐστὶν ἀκριβῶς ἀνεστοιχειώσαμεν, καὶ τῷ ἔμπροσθεν χρόνῳ εἰς διαμονὴν ἀΐδιον παραδιδόντες θεσπίζομεν οὕτως· εἴ τις στρατιώτην ἐν παροίκου λόγῳ εὑρεθείη κατέχων, εἰ μὲν αὐτὸς ἐκεῖνος καὶ τὰ ἐξ ὧν ἡ στρατεία ὑπηρετεῖται κτήματα ἁρπάσας ἔχει, τριάκοντα ἓξ[40] χρυσίου νομίσματα ποινῆς ἕνεκεν ἀποτίσει, ἐξ ὧν τὰ ἡμίσεα μὲν ὁ στρατιώτης λήψεται πρὸς ἐπανάληψιν τῆς ἀποκαταστάσεως αὐτοῦ, τὰ ἡμίσεα δὲ ὁ δημόσιος ἧς χάριν ἐστερήθη δουλείας. εἰ δὲ οὐχ ἁρπάσας, ἀλλ' ἀγοράσας εὑρεθῇ τὰ στρατιωτικά, πρὸς μὲν τὸν δημόσιον κδ'[41] χρυσοῦ νομίσματα καταθήσει, πρὸς δὲ τὸν στρατιώτην ἀγωγὴν ὑπὲρ τοῦ τιμήματος οὐχ ἕξει. εἰ δὲ ἑτέρων ἐξελασάντων αὐτοὺς ἐκ τῶν οἰκείων ἢ αὐτῶν ἐκείνων ἐκστασίῳ[42] χρησαμένων, ἄλλοι τούτους κατοικτείραντες ἐδέξαντο εἴτε παροικεῖν εἴτε θητεύειν, ἀνεύθυνοι ἔστωσαν. ὅσοι δὲ στρατιώτας ἱκανοὺς εἰς ἰδίας ὑπηρεσίας κατετόλμησαν ἔχειν τῶν φοσσάτων τούτους ἀποστερήσαντες, εἰς ἕκαστον ἐν ἑκάστῳ χρόνῳ ἓξ νομίσματα ὁ ἐξκουσσεύσας εἰσπραχθήσεται, καὶ ταῦτα ὁ δημόσιος οἰκειώσεται, εἰ μήπου ἀπὸ στρατηγῶν ἢ τῶν ἄλλων ἀρχόντων τούτους ἔτυχον δεδεγμένοι, καὶ οὗτοι ἐκ τῶν ἀποτεταγμένων εἰς ὑπηρεσίαν τῶν στρατηγῶν ἢ τῶν ἄλλων ἀρχόντων καθειστήκεσαν. εἰ γὰρ ἐκ τῶν ἔξωθεν καὶ τῆς κοινότητός εἰσιν, οὐκ ἀθωωθήσεται ὁ τούτους ἔχων, εἰ καὶ δεικνύειν ἑτοίμως ἔχει, παρὰ στρατηγοῦ ἢ ἄρχοντος ἐπιτραπῆναι κεχρῆσθαι αὐτοῖς.

---

sequutus sum Labbaeum, qui ita, ut edidi, „restituit ope MS. et sententia Rigaltii".
[40] Cuj. et Leuncl. non λϛ' sed ϛ' habent. [41] Iidem τρία. [42] Al. ἐκστάσει.

NOV. IX.

Imp. Constantini Porphyrogeniti de sportulis secunda[1]. (Inter 945 — 959.)

Νεαρὰ νομοθεσία τοῦ αὐτοῦ, ἣν ὑπηγόρευσε Θεόδωρος[2] πατρίκιος καὶ κοιαίστωρ ὁ δεκαπολίτης, περὶ ἐκταγιατικῶν. τῆς γὰρ πρὸ ταύτης νομοθεσίας[3] ἀποδοκιμασθείσης, διὰ τὸ περιέχειν τοὺς θεματικοὺς κριτὰς καὶ τὸν σκρίβαν δικαστικὰ λαμβάνειν, ἢ, ὡς ἔνια τῶν ἀντιγράφων ἔχει, δικάζειν, ἐνομοθετήθη αὕτη.

Ἔκτισίν τινα παράλογον ἄρτι πρὸ βραχέος κατὰ τῶν ἡμετέρων ἐπινοηθεῖσαν ὑποτελῶν δεῖν ᾠήθημεν διὰ τοῦ παρόντος ἐπανορθώσασθαι διαγγέλματος. οἶμαι γάρ, ὡς οὐδένα διαπέφευγεν, οἵαν σύγχυσιν καὶ ἐπιπλοκὴν ἡ τῶν λεγομένων ἐκταγιατικῶν ὑπόθεσις παρεισήγαγε. θηρώμενοι γὰρ ὡς οὐκ ὤφελον ἑνὶ τῶν δικαστῶν κέρδος ποιεῖν ἐκ τῆς ἑτέρου ζημίας, οὕτω κατασχίζουσι τὰς ἀποδείξεις, ὡς πολλάκις μηδὲ τὴν τῶν μερῶν παράστασιν ὑπομένειν. πρὸ γὰρ τῆς δεούσης δοκιμασίας καὶ ἀκροάσεως φθάνουσι τὴν μεταγωγὴν δρώμενοι τῆς νομῆς· ἐν οἷς πολλάκις συμβαίνει, ἐκ τῆς τῶν συνεχῶν δικαστῶν ἐφόδου καὶ τῆς ἀλλεπαλλήλου μεταφορᾶς τὴν τῶν ὑποκειμένων διατίμησιν τὸν δεκασμὸν ὑπερακοντίσαι. διὰ τοιαῦτα ἡ ἡμετέρα γαληνότης πολλὴν ποιουμένη τῶν ὑπὸ χεῖρα τὴν πρόνοιαν, οὐ νέαν τινὰ ἐπεισάγουσα νομοθεσίαν, ἀλλὰ τὴν παλαιὰν καὶ ἀδέκαστον ἀνακτωμένη συνήθειαν, συντόμῳ λόγῳ τὰ περὶ τούτων διατυποῖ.

α΄. Πορίζεσθαι μὲν οὖν κατ' οὐδένα λόγον βουλόμεθα τοὺς δικαστὰς[4] κέρδος ἐκ τῶν τοιούτων, οὐδὲ τῇ προφάσει[5] τῶν νοταρίων ἢ ἀνθρώπων αὐτῶν. οὐδὲ[6] γὰρ οὐδὲ τούτους μεριστὰς[7] εἶναι τῶν ἐκταγιατικῶν συγχωροῦμεν, ἀλλὰ μόνοις τοῖς ὑπηρε-

---

[1] Extat in appendice Syn. cl. II et III, unde edidit Labbaeus p. 68. Epitomen dumtaxat praestat appendix Syn. cl. I sub hac inscriptione: *Νεαρὰ η΄* (al. *θ΄*) *κώνσταντίνου περὶ συνηθειῶν.* Quam edidit Leuncl. post Syn. p. 25 et in JGR. II p. 153. [2] Nonnulli Codices, veluti Paris. 1351. 2005, *θεοδόσιος.* Illum sequutus est Labbaeus: ego vero Codicem Vind. 3 sequi malui. [3] Cf. supra Nov. VII c. 1. [4] Epitome, de qua dixi, legit: *θεματικοὺς* (vel vitiose *μαθηματικοὺς*) *κριτάς.* [5] Epit. *τῇ μεθέξει.* [6] Labb. *οὐδὲν,* quod ferri non poterat. [7] Epit. *συμμεριστάς.*

τουμένοις ταῖς τάξεσι[8] τῶν κριτῶν προελευσιμαίοις κατὰ τὴν ὑποκειμένην οἰκονομίαν συμμέτρως ἐπιτρέπομεν τὴν τούτων λῆψιν. ἱκανοῦσθαι δὲ[9] τῷ μὲν κριτῇ διακελευόμεθα ἐν ἐκείνοις τοῖς ἐκ τῆς βασιλικῆς εὐσεβοῦς χειρὸς καὶ τῆς τοῦ προσοδίου αὐτοῦ παροχῆς· τοῖς δὲ τῇ ὑπηρεσίᾳ αὐτοῦ ὑποτεταγμένοις, νοταρίοις τε καὶ ὑπουργοῖς, ἐξ ὧν ὑπὲρ τῶν ἐγγράφων κρίσεων λαμβάνουσιν παρ᾽[10] ἐκείνων, οἳ τὴν νικῶσαν ἀποφερόμενοι ψῆφον κρίσεσιν ἐγγράφοις κατοχυρώσασθαι ταύτην προῄρηνται. οὕτω γὰρ καὶ ὁ κριτὴς ἐπιπονώτερον πρὸς τελείαν ἀπόφασιν τῶν ζητουμένων διαναστήσεται, καὶ οἱ προσήκοντες αὐτῷ ὑπηρέται πρὸς τοῦτο διοικήσεως ἐποτρυνοῦσιν αὐτὸν καὶ παρακαλέσουσι καὶ προθυμότερον θεραπεύσουσιν, εἰδότες ὡς οὐκ ἔσται ἄλλοθεν[11] αὐτοῖς πορισμὸς εἰ μὴ ὁ ἀπὸ συντελείας τῆς δίκης, εἰ δ᾽ ἂν μίαν ἀπόφασιν ἐφ᾽ ἑκάστῃ ἡμέρᾳ καὶ κρίσιν ποιήσηται, ὑπὲρ τὰ τριακόσια νομίσματα πάντως δι᾽ ὅλου τοῦ ἐνιαυτοῦ κομιοῦνται[12] κέρδος.

β΄. Πλὴν ἀλλ᾽ οὐδὲ ἐν τούτοις διακεχυμένην αὐτοῖς καὶ ἀδιάστικτον[13] παρέχομεν ἄδειαν, ἀλλὰ καὶ πρὸς τὴν τῆς δίκης ποσότητα καὶ τὸν μισθὸν διατυποῦμεν τῆς ἐγγράφου κρίσεως. ἐπὶ ὑποθέσει τοίνυν λϛ΄ νομισμάτων ἓξ μιλιαρήσια[14] τὸν δικαιούμενον καὶ κρίσιν ἔγγραφον λαμβάνοντα κατατίθεσθαι κελευόμεθα· ἐπὶ δὲ μιᾶς λίτρας ἢ δυοῖν ἢ τριῶν, νόμισμα ἕν· ἐπὶ δὲ τεσσάρων ἢ πέντε ἢ ἕξ, νομίσματα δύο· ἐπὶ δὲ ζ΄ ἢ η΄ ἢ θ΄, νομίσματα τρία· ἐπὶ δὲ ι΄ ἢ ια΄ ἢ ιβ΄, νομίσματα δ΄· ἐπὶ δὲ ποσότητος πλείονος ὅση δ᾽ ἄν ἐστι μέχρι κεντηναρίου, νομίσματα ε΄ καὶ μὴ περαιτέρω. ταῦτα ἐν κρίσεσιν, ὅπου μερισίαι πολλάκις ἢ ἀποδόσεις ἐπακολουθοῦσιν. ἐν οἷς δὲ μερικοὶ μερισμοὶ ἢ ἐντάλματα ἢ σημειώσεις καταθέσεών τινων εἰκότως ἢ διαγνώσεων, ἀτελῶν μέντοιγε, ἐν τοῖς τοιούτοις μὴ πλέον τοῦ νομίσματος παρέχεσθαι ἐπὶ ιβ΄ λιτρῶν ποσότητι καὶ ἐπέκεινα κἂν ὑπὲρ κεντηναρίου ᾖ[15], ἧττον δὲ τοῦ νομίσματος μᾶλλον κατ᾽ ἀναλογίαν τῆς ὑποκειμένης ποσότητος, ὡς λογίζε-

---

[8] Verba ταῖς τάξ. apud Labb. exciderunt. Supplevi ex Epit. [9] Epit. οὖν. [10] Ibid. ἐξ. [11] Ibid. ἄλλος. [12] Labb. legi vult οὐ κομ. Leuncl. post Syn. κομιοῦται, in JGR. οὐ κομιεῖται. Locus a neutro recte intellectus est: nempe ab εἰδότες ὡς pendet, et comma post ποιήσηται (sc. ὁ κριτὴς) ponendum est: „scientes se omnino supra trecentos numos lucrum capturos esse, si modo unam sententiam quotidie tulerit“. [13] Epit. ἀδιάστατον. [14] Ita Leuncl. recte conjecit. Editi: μίλια. [15] Epit. κἂν ιβ΄ λιτρῶν ἡ ποσότης καὶ ὑπὲρ κεντηναρίου ἐστίν.

σθαι[16] μιλιαρήσιον[17] ἐφ᾽ ἑκάστῃ λίτρᾳ, καὶ τὸ ἐκ τούτων ἀποσυναγόμενον ἱκανὸν εἶναι τοῖς νοταρίοις καὶ τοῖς τοῦ κριτοῦ ὑπουργοῖς.

β΄. Τοῖς δὲ προελευσιμαίοις ἐφίεμεν μετὰ τῆς ἄλλης ἧς ἀπολαύουσιν ἐξκουσσείας, φοσσάτων τε καὶ πολέμων ἀπηλλαγμένοις[18] ἔχειν καὶ τὰ τῶν ἐκταγιατικῶν, ἵν᾽ ἐκ τούτων τὰ διαρκῆ ποριζόμενοι μὴ βαρύνωσιν ἐν τοῖς ἀπλήκτοις τοὺς εὐαγεῖς οἴκους[19], μηδὲ προστιθῶνται καὶ οὗτοι[20] εἰς μείζονα καινοτομίαν τῶν τὴν ὑποδοχὴν ποιουμένων, ἀλλ᾽ αὐτοὶ μὲν ἐξ ὧν κερδαίνουσιν ὠνοῦνται τὴν χρείαν, οἱ δὲ κριταὶ ἄφθονον ἔχοιεν τὴν τῶν ἀναγκαίων παροχήν. συμμετρεῖσθαι δὲ τούτοις τὴν τῶν ἐκταγιατικῶν λῆψιν οὐ πρὸς τὴν ποσότητα τῶν ἀποδιδομένων κτημάτων ἢ πραγμάτων, ἀλλὰ πρὸς τὸν κόπον καὶ τὴν τριβὴν τοῦ τε χρόνου καὶ τῆς ὁδοιπορίας. εἰ γὰρ λόγου χάριν ἅπαξ πεμφθεὶς δέκα λιτρῶν ἀπόδοσιν ἐποιήσατο κτημάτων ἢ πραγμάτων, ἓν νόμισμα λήψεσθαι τοῦτον ἱκανὸν ὑπάρχει[21]. εἰ δὲ δεκάκις ἀπελθὼν[22] πολλὰ συνετρίβη τῆς ὁδοιπορίας μακρᾶς οὔσης, οὐκέτι φορτικὸν τὸ ἐν νομίσμασιν εἴκοσι καὶ τέσσαρσιν ἓν νόμισμα λαβεῖν αὐτόν. ὁρίσασθαι μὲν οὖν τὰ περὶ τούτου πολλοῦ ἂν εἴη λόγου· ἀλλ᾽ ἐπεὶ ταῦτα εἰς κέρδος τῶν κριτῶν ἔρχεσθαι ἅπαξ ἀπηγορεύθη, πιστεύομεν ἀγαθῇ χάριτι τούτοις τυποῦσθαι πρὸς ἀναλογίαν τοῦ κόπου τῶν προελευσιμαίων τὰς τῶν ἐκταγιατικῶν τιμήσεις. πλὴν εἰ μὲν δυσχερής τις ὑπόθεσις καὶ ἐπίκοπος ἐποφθείη, θεσπίζομεν ἄχρι τῶν τριῶν νομισμάτων[23] ἐπὶ τῇ λίτρᾳ ἐκταγιατικὸν ἀπαιτεῖσθαι· μὴ ὑπερβαινούσης μέντοι τὰ κδ΄ νομίσματα τῆς τοῦ ἐκταγιατικοῦ παροχῆς, κἂν εἰ τὰ μάλιστα ἡ εἴσπραξις πολύμοχθος εἴη καὶ τὰ ἀποδιδόμενα ὑπὲρ[24] τὰ ρ΄ τυγχάνουσι λίτρας. ἐν ἥττονι δὲ ποσότητι τοῖς τὰς κρίσεις λαχοῦσιν ἐφίεμεν σταθμᾶσθαι τῷ κόπῳ τὴν λῆψιν, ὥστε ἢ ἓν ἢ δύο ἢ τρία νομίσματα πρὸς τὴν τῆς ὑποθέσεως δυσχέρειαν προσεφιέναι τοῖς προελευσιμαίοις. καὶ ταῦτα, ἐν οἷς ἡ ἀπόδοσις τελεία ἐξ ἀποφάσεως ἐπακολουθεῖ· ἐπὶ γὰρ

---

[16] Epit. εἶναι. [17] Editi: μίλια. Cf. not. 14. [18] Epit. μετὰ τῶν ἄλλων ὧν ἀπολαύουσι φοσσάτων τε ἐξκουσσείας καὶ πολέμων ἀπηλλ. [19] Epit. addit καὶ τὰ μοναστήρια καὶ τὰς μητροπόλεις. [20] Epit. προστίθενται καὶ αὐτοί. [21] Epit. ἔστω. [22] Ibid. παρελθὼν, quod praestare crediderim. [23] Epit. corrupte: οὐκ ἔστι φορτικὸν τοῦτον οὐχ ἓν νόμισμα λαμβάνειν (ἐπεὶ εἰς κέρδος τῶν κριτῶν αὐτὰ ἔρχεσθαι ἀπηγορεύθη), τυποῦσθαι δὲ πρὸς ἀναλ. — ἐπιτιμήσεις. εἰ γὰρ μοχθηρά τις ὑπόθεσις καὶ πολύκοπος ἐποφθείη, θεσπίζομεν μὴ πλέον τῶν γ΄ νομ. κτλ. [24] Addo ex Epit., quum apud Labb. desit.

ταῖς ἐπὶ νομῇ παραδόσεσι, μηδὲν καθόλου ὑπὲρ ἐκταγιατικοῦ παρέχεσθαι κελεύομεν. εἰ δὲ ἅπαξ ἢ δὶς ὁ προελευσιμαῖος εἰς τὸν τόπον ἀφίκετο, μὴ πλέον τοῦ νομίσματος, ἢ τὸ πολὺ δύο[25] δίδοσθαι αὐτῷ, κἂν πολλῆς ποσότητος εἴη τὸ ἀποδιδόμενον.

NOV. X.

Imp. Constantini Porphyrogeniti de homicidis et jure asyli[1]. (Inter 945—959.)

Τοῦ αὐτοῦ νομοθεσία[2] ἐν σχήματι μελέτης περὶ τῶν ἑκουσίως φονευόντων καὶ τῇ ἐκκλησίᾳ προσφευγόντων, ὥστε αὐτοὺς μὴ δέχεσθαι.

Ἡ τοῦ μωσέως νομοθεσία κατὰ τοῦ ἀνδροφόνου ἀποφαίνεται, ὅτι ἐκ τοῦ θυσιαστηρίου λήψῃ αὐτόν. τούτῳ γοῦν τῷ νόμῳ καὶ ὁ ῥωμαϊκὸς καὶ ἡμέτερος κατακολουθῶν τρανῶς ἐγκελεύεται· μοιχοῖς καὶ παρθένων ἅρπαξι καὶ ἀνδροφόνοις καὶ φωρσὶ τόπον ἀσυλίας πρὸς καταφυγὴν μὴ εἶναι· ἡ γὰρ ἐκ τῶν ἱερῶν ἀσφάλεια τοῖς ἀδικουμένοις, οὐχὶ τοῖς ἀδικοῦσι δίδοται. ἐπεὶ δὲ ὁ τοῦτο νομοθετήσας[3] ἐν βασιλεῦσιν ἀοίδιμος ἰουστινιανὸς, ὁ καὶ τὸν πανθαύμαστον τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας κατασκευάσας ναὸν, δέδωκε προνόμιον[4] αὐτῷ δὴ τῷ ἱερῷ τεμένει τόπον ἀσυλίας ἔχειν, οὐ πάντως αὐτὸς τὰ ἑαυτοῦ δι᾿ ἀλλήλων ἀνατρέπεσθαι παρεσκεύασε. νομοθετήσας γὰρ μοιχοῖς καὶ ἀνδροφόνοις καὶ παρθένων ἅρπαξι τόπον ἀσυλίας μὴ εἶναι, οὐδὲν ἐναντίον ὕστερον ἔφη, τοῖς τοιούτοις προσώποις εἶναι τόπον εἰπὼν ἀσυλίας ἐν τῷ παρ᾿ αὐτοῦ κατασκευασθέντι ναῷ· ἀλλ᾿ οἶμαι, ὡς εἴ τις τῶν εὐσεβῶς καὶ φιλοθέως ἐπισκοπούντων τὴν προκειμένην ὑπόθεσιν αὐτόν τε τὸν γεγραμμένον νόμον καὶ τὸν διορισμὸν περὶ τῆς ἀσυλίας, πρόσφορον

---

[25] Pro his ἢ τὸ πολὺ δύο Epit. legit ὡς τὸ πολύ.

[1] Haec Novella servata est in appendice Syn. II et III clasis, praeterea in nonnullis Codicibus MSS., qui juris canonici collectiones continent, veluti Bodlej. 205, Laur. V, 2. (In appendice Syn. I dumtaxat priora ejus verba eaque corruptissima, Novellae insequenti juncta et praeposita, habentur; cf. Leunclav. post Syn. p. 28.) Edita est in Leunclavii JGR. I p. 109, ex quo transiit in Collect. can. ed. Rhalli et Potli V p. 256. Laudatur a Blastare Φ, 8 ed. Bev. II p. 258. [2] Alii: Νεαρὰ τοῦ αὐτοῦ. Leuncl. autem verba Τοῦ αὐτοῦ — μελέτης non agnoscit. [3] Nov. Justiniani 17 c. 7. [4] Quod habetur in Leuncl. JGR. I p. 72.

ποιούμενος τὴν ζήτησιν, συμβιβάσειε, τὴν ἁρμόδιον ἂν εὕροι πρὸς τὰ συμπίπτοντα τῶν πραγμάτων ἀπόφασιν· καὶ συντηρήσει μὲν τὴν ἀσυλίαν, ἐν αἷς ὑποθέσεσι κεκανόνισται, παρόψεται δὲ ταύτην, ἔνθα μὴ δίκαιον εἶναι τόπον ἀσυλίας. ἐπεὶ δὲ πολυσχιδὴς καθίσταταί τις ὁ τῆς μιαιφονίας τρόπος (ἢ γὰρ ἑκουσίως καὶ ἀπὸ προνοίας καὶ παρασκευῆς ἁμαρτάνει τὶς, ὡς ὁ εὐτρεπίζων ξίφος εἰς τὸ φονεῦσαι ἄνθρωπον· ἢ ἀπὸ θυμοῦ, ὡς ἐν ἐφόδῳ, ὅτε σκοπεῖται καὶ τὸ παρ᾽ αὐτοῦ ἐπιφερόμενον ὅπλον καὶ ἡ ἐγχείρησις· ἢ κατὰ τύχην, ὡς ἐν κυνηγεσίῳ ῥίψας μὲν κατὰ θηρὸς τὸ βέλος, ἄνθρωπον δὲ ἀναιρήσας ἐξ ἀγνοίας, ἢ ἐν μάχῃ μετὰ χειρὸς πλήξας, ἢ ἀπὸ μέθης τινὰ φονεύσας, ὅστις καὶ ἐπὶ πενταετίαν ἐξορίζεται), πρὸς τὰς τοιαύτας διαιρέσεις καὶ τὰς κατὰ μέρος αἰτίας ἔχομεν σαφῶς καὶ κατὰ τὸ προσῆκον καὶ τὴν ἐκ τοῦ νόμου ἀπόφασιν. καὶ ὁ μὲν κατὰ ἄγνοιαν φονεύων οὔτε τὸν κατὰ τῶν ἀνδροφόνων δέδοικε νόμον οὔτε ἀσυλίας χρήζει· ὥσπερ καὶ ὁ ἀπὸ τρυφῆς ἀνελὼν, καὶ ὁ μὴ ἐσχηκὼς γνώμην τοῦ φονεῦσαι ἐὰν φονεύσῃ. ἀλλὰ ταῦτα μὲν ἐν τούτοις περιΐσταται· ἐκεῖνο δέ ἐστι τὸ πολυθρύλλητον ζήτημα τὸ περὶ τοῦ ἑκουσίου καὶ ἐκ προαιρέσεως καὶ προθέσεως φόνου. τοῦτον γὰρ τὸν ἑκούσιον φόνον οὔτε ἡ μωσέως νομοθεσία συγχωρεῖσθαι ἀξιοῖ οὔτε ἡ ῥωμαϊκὴ ἡ παρὰ τῶν ἁγίων πατέρων ἀποδεχθεῖσα[5], οὔτε τὶς εὐσεβὴς λογισμὸς ἀνέχεται τὸν κατὰ τοσοῦτον ἀδικήσαντα, ἵνα καὶ ξίφος εὐτρεπίσῃ καὶ διαμελετήσῃ τὸν τοῦ πλησίον θάνατον καὶ τοῦτον τελέσῃ, χρήσασθαι τῇ ἐκ τοῦ ἱεροῦ βοηθείᾳ. οὐκ ἐστὶ τοῦτο, οὐκ ἐστὶ τῶν εὐσεβῶς διανοουμένων· ἀλλὰ δυνατὸν, ὡς εἴρηται, καὶ τοὺς νόμους τηρηθῆναι καὶ φυλαχθῆναι τὸ τῆς ἐκκλησίας προνόμιον. ἡνίκα γὰρ ἂν ἄνθρωπος ἐκ τῆς θείας προνοίας ἐγκαταλειφθεὶς ἀνθρώπου διαμελετήσει θάνατον καὶ τοῦτον ἀπαρτίσει, καὶ ἀφανὴς καὶ ἀνέγκλητος γένηται ὁ παρ᾽ αὐτοῦ καταρτισθεὶς φόνος, εἰς ἑαυτὸν δὲ γενόμενος μετρήσει τὸ μέγεθος τοῦ τολμηθέντος πτώματος καὶ πρὸς ἐξαγόρευσιν ὁρμήσει, λογίζεται δήπου, ποίῳ τρόπῳ ταύτην ἀσφαλῶς ποιήσηται· καὶ λογιζόμενος εὑρίσκει πάντως, ὅτι τοῦ ἐρευνωμένου ἀφανοῦς θανάτου παρ᾽ αὐτοῦ ἐξαγγελλομένου φωρᾶται, καὶ φωραθεὶς ὡς ἀνδροφόνος ἐκ τοῦ νόμου καὶ τοῦ προσφόρου ἄρχοντος ἢ συλλαμβάνεται ἢ ....[6] καὶ διὰ ταῦτα εἰς τὸ ἱερὸν εἰσερχόμενος

---

[5] Leuncl. ἀποδειχθεῖσα. Cf. Photii Nomoc. IX, 26 ibique citt. [6] Exciderunt nonnulla, licet lacunae signum apud Leuncl. non sit conspicuum.

καὶ τῷ ἱερεῖ προσερχόμενος, καὶ πανταχόθεν ἔχων τὸ ἀσφαλὲς ποιεῖται τὴν ἐξαγόρευσιν, τυχὸν οἵῳ τρόπῳ καὶ οἵᾳ μηχανῇ τὴν τοῦ φονευθέντος κατήρτισεν ἀγνοουμένην σφαγὴν, καὶ ἐπιτυγχάνει τῆς ἀφέσεως. αὕτη γὰρ καὶ ἐστὶν ἀληθῶς καὶ λέγεται ἐξομολόγησις, ἡ τοῦ κεκρυμμένου παραπτώματος αὐθαίρετος δήλωσις[7]*· ἡ δὲ περὶ τῆς φανερᾶς καὶ προδήλου πράξεως καὶ μιαιφονίας συγκατάθεσις πῶς καὶ λεχθήσεται ὅλως ἐξομολόγησις; ἐκ τοῦ τοιούτου οὖν συνάγεται καὶ τηρεῖται καὶ ἡ τοῦ νόμου ἀπόφασις καὶ ἡ τοῦ ἱεροῦ ἀσφάλεια. εἰ δὲ αὕτη [μὴ]*[8] *οὕτω διορισθείη, μάχεται πάντως ἑαυτῷ ὁ τοὺς νόμους ἀθροίσας καὶ γράψας Ἰουστινιανὸς, νομοθετήσας μὲν ἀνδροφόνοις μὴ εἶναι ἀσυλίαν, ἐν δὲ τῷ παρ᾽ αὐτοῦ συστάντι ἱερῷ ἀσυλίαν ἔχειν λοιπὸν τοὺς ἀνδροφόνους.*

NOV. XI.

Imp. Constantini Porphyrogeniti de homicidis et jure asyli secunda[1]. (Inter 945—959.)

Τοῦ[2] *αὐτοῦ δευτέρα νομοθεσία περὶ τῶν ἑκουσίως φονευόντων, δεχομένη μὲν αὐτοὺς κατὰ συμπάθειαν*

---

[7] Ita Leuncl. in marg. In textu est *βούλησις*. [8] Negatio desideratur in editione Leunclavii: recte eam addidit Rhallis.

[1] Haec Novella habetur in appendice Syn. cl. II et III, et in Codicibus juris canonici, de quibus Nov. X not. 1 dixi. Edidit Bonefid. p. 19, Leunclav. JGR. I p. 111: inde repetita est in Collect. can. ed. Rhalli et Potli V p. 258. Est etiam in appendice Syn. cl. I, ubi inscriptio est: *Νεαρὰ ια´* (al. *ιβ´*) *κωνσταντίνου περὶ τῶν φονευόντων μετὰ ξίφους ἢ ξύλων μεγάλων ἢ λίθων ἐκ προνοίας.* — Epitomen ejus praestat appendix Michaelis Attalensis: *Περὶ φονευτῶν τῶν προσφευγόντων τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ. Ἐξεφωνήθη δὲ καὶ ἑτέρα νεαρὰ τοῦ αὐτοῦ βασιλέως καὶ περὶ τῶν φονευόντων καὶ προσφευγόντων τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, ἵνα ὁ ἑκουσίως φόνον ποιήσας κατὰ αὐτότομον θερμότητα καὶ ὀργὴν καὶ μετὰ τὴν ἐκκλησιαστικὴν ἐπιτίμησιν καὶ τῆς οἰκείας ἔκπτωσιν περιουσίας ὑπομένει, οὐ τῷ δημοσίῳ προσκυρουμένης, ἀλλ᾽ εἰ μὲν ὕπεστι γαμετὴ, [λαμβάνει] τήν τε προῖκα καὶ τὰ οἰκεῖα πάντα κέρδη παίδων μὴ ὄντων· εἰ δὲ ὕπεισι παῖδες, τὴν χρῆσιν ἔχει τῶν γαμικῶν κερδῶν, τῶν παίδων ἐκ τῆς ἄλλης περιουσίας τὸ τρίτον κληροδοτουμένων. εἰ δὲ ὁ φονεὺς εἴτε οἰκείᾳ προαιρέσει εἴτε ἐκ τῶν κανονισάντων μονάσαι βουληθείη, λαμβάνει τὸ τρίτον μέρος τῆς αὐτοῦ περιουσίας τὸ μοναστήριον, τοῦ λοιποῦ τρίτου μέρους τῇ γυναικὶ, καὶ τοῖς τέκνοις φυλαττομένου τοῦ τελευτήσαντος. εἰ δὲ μὴ ὕπεισι παῖδες τῇ γυναικὶ, καὶ*

παρὰ δύναμιν τῆς πρώτης· ἀειφυγίᾳ δὲ καὶ περιουσίας ἐκπτώσει[3] καταδικάζουσα.

Ταῦτα[4] νομοθετεῖν προῃρήμεθα νῦν, τὸ μὲν αὐστηρὸν τῆς πρὸ ταύτης νομοθεσίας τῇ φιλανθρώπῳ τῶν ἐκκλησιαστικῶν θεσμῶν ἐπιτιμήσει μεταβάλλοντες, τὸ ἀπόλυτον δὲ καὶ ἄνετον τῶν ἐξαμαρτανόντων καὶ διὰ τοῦτο καὶ πρὸς μίμησιν εὔκολον οὐ μόνον τῷ καταδέσμῳ τῶν ἐπιτιμίων ἐξιώμενοι, ἀλλὰ καὶ τῆς προσούσης τῷ φονευτῇ περιουσίας μικροῦ δεῖν ἐκπτώσει· τοῖς μὲν ἀνδροφόνοις αὐτοῖς σωτηρίαν, τῷ κοινῷ δὲ τῆς πολιτείας τὸ μὴ πρὸς τὸν ὅμοιόν τινα ζῆλον ἐλθεῖν κατὰ τὸ λυσιτελὲς προμηθούμενοι, ὡς ἂν δι' ἀμφοτέρων καὶ τὸ δίκαιον σώζηται καὶ τὸ τῶν ἐκκλησιῶν[5] μέγα καὶ θεῖον συντηρῆται[6] προνόμιον, καὶ τὸ πολὺ τῆς μιμήσεως ἀναστέλληται ταῖς τούτων ἀσφαλείαις.

τοῖς ἀνιοῦσι τὸ τρίτον διαιρεῖται. γυναικὸς δὲ τὸν βίον προεξελθούσης καὶ παίδων ὄντων, τούτους φησὶ προτιμᾶσθαι τῶν ἀνιόντων. εἰ δὲ μήτε γυνὴ μήτε παῖδες μήτε ἀνιόντες εἰσὶν τῷ ἀναιρεθέντι, τοὺς ἄλλους ἐκ νόμων καλουμένους συγγενεῖς [λαμβάνειν] τὸ τρίτον τῆς οὐσίας αὐτοῦ. εἰ δὲ μὴ προσέλθῃ πρὸς τὸν μονήρη βίον ὁ φονεύς, οὐ τὸ τρίτον ἀλλὰ τὸ δίμοιρον τῆς αὐτοῦ ἐλευθέρας περιουσίας κατὰ τὴν εἰρημένην διάταξιν τῷ τοῦ πεφονευμένου κληροδοτεῖσθαι μέρει. πρὸς τούτοις εἶναι αὐτὸν ἄτιμον καὶ μηδέποτε τὴν οἱανοῦν ἀρχὴν ἢ πολιτικὴν ἢ στρατιωτικὴν μεταχειρίζεσθαι, ἀλλ' ἀειφυγίαν καταδικάζεσθαι. εἰ δὲ φόνος ἐκ μελέτης καὶ προβουλίου γέγονε, πάντως αὐτὸν πρὸς τοῖς ἄλλοις ἐπιτιμίοις εἰς τὸν μονήρη βίον καταδικάζεσθαι ἑτοιμάζει. οἱ δὲ τῆς στρατείας αὐτοῦ τόποι ἀλλαχοῦ μὴ παραπεμπέσθωσαν, εἰ μὴ εἰς τοὺς αὐτοῦ κληρονόμους· εἰ δὲ μὴ ὕπεισιν οὗτοι, ὁ τοὺς τόπους ἀπολαμβάνων ὀφείλει καὶ τῇ στρατείᾳ ὑπηρετεῖσθαι. Haec, quae ex Cod. Paris. 1357 A protuli, emendari possunt ex *Μικρῷ Ν*, 44. Similia praestat Harm. VI, 6, 4. — Laudant hanc Constantini Novellam scholia Basilicorum ed. Heimbach V p. 761. 763. 765. 767. 859 (— Basil. ed. Heimb. I p. 705, V p. 768 non ad Constantini, sed ad Basilii Porphyrog. Novellam spectant —); *Πεῖρα* LXVI, 14; Ecloga lib. I—X Basil. VI, 3 („ἡ δὲ ια' νεαρὰ τοῦ πορφυρογεννήτου βασιλέως κυροῦ κωνσταντίνου θεσπίζει τοὺς φονεύσαντας προσφυγόντας τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ τῆς ἐκεῖθεν ἀπολαύειν βοηθείας" κτλ.); Balsamon ad c. 91 syn. Trull. ed. Rhalli II p. 520; Blastares *Φ*, 8 ed. Bevereg. II p. 528. Cf. etiam Coll. IV Nov. 66. [2] Sive τοῦ βασιλέως κυροῦ κωνσταντίνου τοῦ πορφυρογεννήτου, ut est in Codicibus nonnullis, veluti Paris. 1355, et edidit Bonefid. [3] Nonnulli: ἀειφυγίαν et ἔκπτωσιν habent. [4] In Vind. jurid. gr. 3 inc.: Περὶ τῶν ἑκουσίως τῷ τοῦ φόνου ἐγκλήματι περιπεσόντων καὶ πρὸς αὐτὴν τὴν τοῦ θεοῦ ἐκκλησίαν προσφευγόντων καὶ ταῦτα νομοθετεῖν κτλ. — In Syn. cl. I nonnulla ex principio praecedentis Novellae praeposita sunt (Ἡ τοῦ μωσέως — διορισάμενος), ut videre est ex editione Leunclaji post Syn. p. 28. [5] Leuncl. post Syn. in marg. ἐκκλησιαστικῶν. [6] Leuncl. in JGR. σωτηρῆται.

α΄. Τὰ μὲν οὖν περὶ τῆς τοῦ φονέως διαγωγῆς καὶ τῆς εἰσέτι βιώσεως, καθὼς ἡ κανονικὴ ἀκρίβεια τυπώσει, διοικεῖσθαι κελεύομεν. ἀειφυγίᾳ δὲ αὐτὸν διὰ τῆσδε τῆς νομοθεσίας καταδικάζομεν τοῦ τόπου, καθ᾽ ὃν γέγονεν ἡ πλημμέλεια τοῦ φονικοῦ μιάσματος, τοῦτο μὲν κολαζούσῃ τὸν ἁμαρτήσαντα, τοῦτο δὲ μὴ πλείονα τῆς ἀνίας[7] καὶ τοῦ ἀλγήματος αὔξησιν τοῖς τῷ πεφονευμένῳ διαφέρουσι κατεργαζομένῃ· ἴσως δὲ καὶ ἀμφοτέρων[8] οὐκ ἀσυμφόρως, ὡς ἂν μή ποτε τοῦ λελυπηκότος συνεχεῖ ὁράσει καὶ τῇ τοῦ προαποβεβιωκότος[9] μνήμῃ εἰς αὐθαίρετον ἐκδίκησιν οἱ προσήκοντες αὐτῷ παρορμώμενοι κακῷ τὸ κακὸν ἐξιάσασθαι πειραθῶσι, καὶ διπλοῦν ἐργάσωνται τὸ πτῶμα τῆς μιαιφονίας. ἔστω μὲν οὖν ἀειφυγίᾳ πάντως ὁ φονεὺς ἐκεῖθεν καταδικαζόμενος, καὶ μηδέποτε περινοστῶν ἐκεῖ[10] καὶ αὐλιζόμενος ἐν τῇ γῇ, ἣ ἔχανε[11] τὸ τοῦ ἀδίκως ἀναιρεθέντος ἀδελφοῦ ὑποδέξασθαι αἷμα. καὶ τοῦτο πρῶτον μετὰ τὴν ἐκκλησιαστικὴν ἐπιτίμησιν τὸ κατάκριμα δεχέσθω.

β΄. Πρὸς τούτῳ δὲ καὶ τῆς οἰκείας ἔκπτωσιν ὑφιστάσθω, περιουσίας, οὐ τῷ δημοσίῳ προσκυρουμένης. εἰ γὰρ ὕπεστι γαμετὴ τῷ φονευτῇ, τήν τε προῖκα δεῖ καὶ τὰ οἰκεῖα πάντα κομίζεσθαι ταύτην, καὶ ἔτι τὴν πρὸ τοῦ γάμου δωρεάν· εἰ τύχῃ δὲ καὶ θεώρετρον ὑποσχεθεῖσα ἢ ἄλλο τὶ, καὶ τούτου πάντως ἔχειν τὴν ἀνάληψιν καὶ τὴν κυριότητα, παίδων μὴ ὑπόντων. εἰ δὲ ὕπεισι παῖδες, τῆς χρήσεως τῶν γαμικῶν κερδῶν ἀπολαύειν αὐτὴν πασῶν τῶν ἐπὶ τούτοις νομικῶν παρατηρήσεων συντηρουμένων, τῶν δὲ παίδων ἐκ τῆς ἄλλης πατρῴας περιουσίας τῷ τρίτῳ κληροδοτουμένων. καὶ εἰ μὲν ὁ φονεὺς οἰκείᾳ προθέσει ἢ τῇ τῶν κανονιζόντων αὐτὸν[12] συμβουλίᾳ καὶ δοκιμασίᾳ πρὸς τὸν μοναχικὸν τὸ πρότερον[13] ἀποσκευαζόμενος μῦσος μετέλθοι βίον, λαμβάνειν τὸ μοναστήριον τὸ τρίτον μέρος τῆς αὐτοῦ περιουσίας, τοῦ λοιποῦ τρίτου μέρους τῇ γυναικὶ καὶ τοῖς[14] τέκνοις φυλαττομένου τοῦ τελευτήσαντος εἰς μικρὰν παραμυθίαν τῆς ἑαυτῶν δυσκληρίας· εἰ δὲ οὐχ ὕπεισι τῷ πεφονευμένῳ παῖδες, τῇ γυναικὶ καὶ τοῖς ἀνιοῦσιν ἐξ ἴσου διαιρουμένου τοῦ τοιούτου τρίτου· γυναικὸς δὲ τοῦ βίου προαπελθούσης[15], καὶ παίδων ὄντων, τούτους προτιμᾶσθαι τῶν ἀνιόντων· εἰ δὲ μήτε[16] παῖδες μήτε γυνὴ μήτε ἀνιόντες εἰσὶ τῷ ἀναιρουμένῳ,

---

[7] Bonefid. et Leuncl. post Syn. τὴν ἀνίαν, quod fortasse praestat. [8] Malim ἀμφοτέροις — ἀσυμφόρῳ. [9] Bonefid. et Leuncl. post Syn. προβεβιωκότος. [10] Leuncl. in marg. ἐκεῖσε. [11] Ibid. ἔλαχε. [12] Ibid. αὐτῶν. [13] Ibid. πρῶτον. [14] Articulum Bonefid. et Leuncl. post Syn. non habent. [15] Leuncl. ib. in marg. τὸν βίον προεξελθούσης. [16] Leuncl. ib. et Bonefid. μή.

τοὺς ἄλλους ἐκ τοῦ νόμου καλουμένους συγγενεῖς καὶ πρὸς τὴν δήλωσιν μὴ ῥαθυμήσαντας τοῦ ἀδικήσαντος λαμβάνειν τὸ τρίτον. εἰ δὲ πρὸς τὸν μοναχικὸν[17] ὁ φονεὺς μὴ[18] μετέλθοι βίον, οὐ τὸ τρίτον, ἀλλὰ τὸ δίμοιρον τῆς ἐλευθέρας αὐτοῦ[19] περιουσίας κατὰ τὴν εἰρημένην διάταξιν[20] τῷ τοῦ πεφονευμένου κληροδοτεῖσθαι μέρει.

γ΄. Καὶ πρὸς τούτῳ μηδέποτε μηδένα τοιούτῳ ἐγκλήματι ἑαλωκότα ἢ πολιτικὴν ἢ ἄλλην τὴν οἱανοῦν ἀρχὴν ἢ[21] πρᾶξιν μεταχειρίζεσθαι, μηδὲ θείας ἀντιγραφῆς ἀξιούμενον[22]· ἀλλ' εἶναι παντοίως ἀτίμους, οἷς καὶ[23] τὸ ζῆν μόνον φιλανθρώπως συγκεχώρηται. πλὴν τοὺς μὲν περιουσίᾳ κακίας μελέτην θεμένους τὴν τοῦ πλησίον σφαγὴν καὶ αὐτὸ τοῦτο προευτρεπισαμένους καὶ παρασκευασαμένους ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν ψυχῆς εἰς τὸν τοῦ ἀδελφοῦ θάνατον, πάντως ἀποκείρεσθαι καὶ μοναχοῖς ἐγκαταλέγεσθαι· καὶ οὐ μόνον τὸν ἐπ' αὐτοῖς δοκιμασθέντα χρόνον τῆς μετανοίας, ἀλλὰ καὶ τὸν ἅπαντα τῆς ζωῆς αὐτῶν ἐν μοναστηρίῳ διοικονομεῖσθαι. τοὺς δὲ ἄλλως ἑκουσίως μὲν ἀνῃρηκότας, προπετείᾳ δὲ καὶ συναρπαγῇ ἀλογίστου θυμοῦ, οὐ μελέτῃ καὶ προπαρασκευῇ καὶ προβουλίοις τὰ τῆς μιαιφονίας ἐπιδειξαμένους, τὴν μὲν ἀειφυγίαν πρὸς ἅπασι τοῖς ἄλλοις ὑφίστασθαι, οὐ μέντοιγε τὸν μονήρη βίον αἱρεῖσθαι καταναγκάζεσθαι[24].

δ΄. Οἱ[25] τόποι δὲ τῆς στρατείας, ἤτοι αἱ ὑπὲρ τοῦ στρατεύειν οἰκονομίαι, πρὸς τοὺς κληρονόμους αὐτοῦ παραπεμπέσθωσαν. εἰ δὲ μὴ ἔχει ὁ φονεὺς κληρονόμους, ἕτεροι τοὺς τῆς στρατείας τόπους λαμβάνοντες καὶ εἰς τὴν στρατείαν ὑπηρετήσουσι.

---

[17] Iidem *μοναδικόν*. [18] Ibidem negatio deest. [19] Iidem: *ἑαυτοῦ*, omisso *ἐλευθέρας*. [20] Malim *διάστιξιν*. [21] Verba *ἀρχὴν ἢ* apud Bonefid. et Leuncl. post Syn. desunt. Mox *τάξιν* legerim. [22] Leuncl. ibid. in marg. *ἀξιοῦσθαι*. [23] Deest ibid. et apud Bonefid. [24] Hactenus Bonefid. et appendix Synopseos. In Syn. I cl. tamen additur: *τὴν δὲ διαφορὰν τῶν ἄλλως προβαινόντων φόνων ἐν τῷ ξ΄ βιβλίῳ ἐφευρήσεις*. Quae ab auctore Synopseos adnotata esse videntur. [25] Haec quae sequuntur unde Leunclavius JGR. sumserit nondum enucleavi. Ipse notat: „Haec de veteri libro exscripsimus, in aliis omissa.“ Interim cf. Harm. ed. Heimb. p. 753 not. 14, et Nov. XVIII c. 2 infra. Spuria crediderim, nisi Mich. Attalensis Epitome (cf. not. 1) quasi confirmata sint.

NOV. XII.

Imp. Constantini Porphyrogeniti, ut, si quis intestatus sine liberis decesserit, tertia bonorum Deo consecretur[1]. (Inter 945—959.)

Νεαρὰ τοῦ βασιλέως κυροῦ κωνσταντίνου τοῦ πορφυρογεννήτου περὶ τῶν ἀδιαθέτως τελευτώντων χωρὶς παίδων, ὥστε μὴ τὸ πᾶν τῆς περιουσίας τοῖς ἐκ νόμων καλουμένοις συγγενέσι τυχὸν, ἢ καὶ τούτων μὴ προσόντων τῷ δημοσίῳ προσκυροῦσθαι, ἀλλὰ τούτοις μὲν τὸ δίμοιρον, τὸ δὲ τρίτον τῷ θεῷ ἀφοσιοῦσθαι· ᾧ συνεισάγονται καὶ οἱ δοῦλοι, ἀξιούμενοι ἀπὸ τῆς παρούσης νεαρᾶς ἐλευθερίας.

Πολλάκις ἐθαύμασα τῶν τὰς πόλεις συστησαμένων, καὶ νόμους καθ᾽ οὓς προσήκει διαζῆν ὁρισαμένων, ὅτι τοῖς τῶν ἀποιχομένων συγγενέσιν, ἔσθ᾽ ὅτε καὶ μηδὲν εἰς ὄνησιν αὐτοῖς περιοῦσιν εἰσενεγκαμένοις καὶ τοῖς[2] ἐνθένδε ἀπιοῦσι παρασχεῖν δυναμένοις, οὐ μὴν ἀλλὰ καὶ βασιλεῦσιν, οἷς δὴ τάχα ὁ ἐκβιοὺς οὐδ᾽ ἐν ἐσχάταις ἦν ὑπηρεσίαις ἐναρίθμιος, ὅτι δὴ τούτοις ἀδιαθέτου τινὸς τελευτήσαντος τὸν κλῆρον τῆς περιουσίας ὡς δή τι μέγα προσκεχαρισμένοις[3] ἐχαρίσαντο, θεῷ δὲ τῷ πάντων πλάστῃ καὶ βασιλεῖ, παρ᾽ οὗ πᾶν ὅ τι κάλλιστον ἐν ἀνθρώποις, τῷ τὰ πάντα ἡμῖν χαριζομένῳ, ὥστε καὶ, ὃ πάντα[4] νοῦν ὑπερ

[1] Haec Novella extat in appendice Syn. II et III cl., unde primus edidit Witte in Ἀνέκδ. ed. Heimbach II p. 270, sequutus Codices Laur. LXXX, 8 et Paris. 1351. (De append. Syn. I cl. vide, quae ad Novellam sequentem not. 1 disputabimus.) — Epitome ejus habetur in Codice Novellarum Bononiensi (Bibl. communal. *B*, IV, 67) sic: *Νεαρὰ τοῦ βασιλέως κυροῦ κωνσταντίνου τοῦ πορφυρογεννήτου· θεσπίζουσα τοὺς ἀδιαθέτως τελευτῶντας παίδων χωρὶς μὴ κληρονομεῖσθαι τελείως παρὰ τῶν ἐκ πλαγίου αὐτῶν συγγενῶν, ἀλλὰ τὸ τρίτον τῆς οὐσίας αὐτῶν προχωρεῖν εἰς ψυχικὰ, συνεισαγομένων τοῖς ψυχικοῖς τῶν τιμημάτων τῶν οἰκετῶν, καὶ ἐὰν τὰ τιμήματα τὸ τρίτον ὑπερβαίνουσι τῆς οὐσίας, τὰ πάντα τοῖς ψυχικοῖς συνεισάγεσθαι, καὶ ἐὰν ἡ οὐσία πᾶσα ἐν οἰκέταις εὑρίσκεται, πάντες οἱ οἰκέται ἐλευθερωθῆναι ὀφείλουσιν καὶ μηδένα τούτων δουλοῦσθαι παρὰ τῶν ἐκ πλαγίου συγγενῶν.* — Aliam epitomen praestat Psellus v. 1407 sqq., quos nuper primus ex Cod. Paris. 478 edidit Witte l. l. p. 264. — Denique Novellam nostram argumento tenus refert Balsamon ad c. 81 syn. Carthag. (ed. Rhalli III p. 507), ex quo hunc locum ediderunt Bonefid. p. 23 et Leunclav. post Syn. p. 23. [2] Codd. *τῶν*. [3] Paris. 1351: *προσκεχαρισμένοι*. Malim *προκεχαρ*. [4] Idem *πάντως*.

αἱρει, συγκληρονόμους χριστοῦ, κληρονόμους δ' αὐτοῦ ἐνστήσασθαι διὰ χριστοῦ, οὐδὲ τὸ πολλοστὸν γοῦν ἀπονενεμήκασι μέρος, ὥσπερ ἀπόκληρον αὐτὸν δι' ἀμνημοσύνης ἀφέμενοι. ἀλλὰ τὸ μὲν ἀνθρώπους, εἴγε δεῖ τοὺς μὴ τὸν ἑαυτῶν ἐπεγνωκότας ποιητὴν τοῦτο εἰπεῖν, περὶ τούτων οὕτως ἐκθέσθαι, εἰ καὶ μωμητὸν καὶ ἀλόγιστον, ἀλλὰ καινὸν οὐδὲν οὐδ' ἀδόκητον, ἅπαξ ἀποσφαλέντας τοῦ καθήκοντος πρὸς τὸ τῇ ἀρχῇ ἀκόλουθον ἐπισπεύδειν κατάλυμα. ἄνθρωποι δὲ, οἷς ἐστὶν ἐν οὐρανοῖς (ἦ φησιν ὁ θεῖος ἀπόστολος[5]) τὸ πολίτευμα καὶ κλῆρος ἡ τῶν οὐρανῶν ἐπήγγελται βασιλεία, οἵ[6] χριστοῦ φίλοι καὶ ἀδελφοὶ καὶ (ὢ[7] δεσπότου φιλανθρωπίας) ὑπερβολῆς συγκληρονόμοι εἶναί τε καὶ λογίζεσθαι ἠξιωμένοι, τίνα μὲν ἀνοίας, ποίαν δὲ ἀλογίας[8] ὑπερβολὴν ὑπολείπονται[9], εἰ τοσούτων τετυχηκότες, ὡς οὐδενὸς ἀπολελαυκότες τῷ εἰς ἀδελφοὺς ἡμᾶς ἀναγράψαντι καὶ συγκληρονόμους τελέσαντι μηδὲ τὴν ἐλάττονά γε μοῖραν τῆς προχωρούσης τοῖς συγγενέσι νομοθετοίημεν ἀποκληροῦν; ὡς ἐστὶν ἄτοπον ἐπιεικῶς, εἶναι μέν τινα παρὰ ἀλόγοις τοῦ μέλλοντος αἴσθησίν τε καὶ πρόνοιαν, ἡμᾶς δὲ λόγῳ τετιμημένους τοσοῦτον τῇ παρούσῃ προστετηκέναι καὶ προσηλῶσθαι ζωῇ, ὡς μηδ' ἐν τοῖς ἀλλοτρίοις (τοῦτο δὴ τὸ ῥᾷστον ἅπασι) τοῦ μέλλοντος μικράν γουν ὑπέρ τε ἡμῶν αὐτῶν καὶ τῶν ἀνεπισκέπτως[10] τελευτώντων ἐπιδείξασθαι πρόνοιαν, ἀλλ' ὃ καὶ εἰρηκότες ἔφθημεν[11], ἀπολειφθησομένῳ μὲν καὶ ὅσον οὔπω φθαρησομένῳ βασιλεῖ καταλιμπάνεσθαι, τῷ δ' αἰωνίως βασιλεύοντι καὶ πρὸς ὃν ἄπεισιν ὁ τελευτῶν τῆς ἐπιγείου λόγον ὑφέξων ζωῆς, μηδὲν τῆς αὐτοῦ περιουσίας ἐκ νομικῆς ἀφοσιοῦσθαι κυριότητος.

α'. Διὰ ταῦτα δὴ τὸν περὶ τούτου προσήκοντα τύπον τοῖς πρὸ ἡμῶν οὐκ οἶδ' ὅπως παρεωραμένον, εἰσηγήσασθαί τε αὐτὸν ἡγησάμεθα δεῖν, καὶ τῷ τε παρόντι βίῳ καὶ τοῖς ἔπειτα δοῦναι τὴν ἐξ αὐτοῦ ὠφέλειαν[12], καὶ τοῖς ἀθρόον τοῦ βίου μεθισταμένοις πρίν τι περὶ τῶν προσόντων καὶ ὡς ἡ βούλησις αὐτοῖς διαθέσθαι, καὶ τούτοις δὴ ἄρα τὴν ὡς ἐν ἀνθρώποις ἥκουσαν ἐννοῆσαι παραψυχὴν, οἷόν τινα κηδεμόνα τῷ παντὶ πολιτεύματι τόνδε τὸν νόμον καὶ κοινὸν ἐφιστῶντες ἐπίτροπον,

---

[5] 1 Petr. 1, 4. [6] Witte οἵ. [7] Idem ὁμοῦ pro ὢ legi voluit. Sed si parenthesi haec includas, omnino bene habet τὸ ὢ. [8] Paris. 1351: ἀνοίαν καὶ ἀλογίαν. [9] Sic Codices. Me quidem judice legendum ὑποδεικνύοιμεν vel ejusmodi quid. Illud λείπονται aliqua deesse significat. [10] Laur. 80, 8: ἀνεπισκήπτως. [11] Paris. 1351: ὤφθημεν. [12] Verba καὶ τοῖς — ὠφέλειαν apud Witt. exciderunt.

δι' οὗ θεσπίζομεν, τῶν ὅσα τοῖς πρὸ ἡμῶν ἐπὶ τῇ κληρονομίᾳ τῆς τῶν ἀδιαθέτως τελευτώντων ὥρισται περιουσίας ἀσαλεύτων τηρουμένων, τοῦτο μόνον ὅπερ οὔπω καὶ νῦν ἔγνωμεν θεσμοθετηθὲν προσθέντες[13], τὸ τρίτον τῆς ἐπιλαγχανούσης μοίρας τοῦ τελευταίας βουλήσεως τετελευτηκότος χωρὶς, τοῦτο μὲν τῆς τοῖς ἐξ ἀδιαθέτου καλουμένοις εἰς κληρονομίαν προσποριζομένης, τοῦτο δὲ τῆς τῷ δημοσίῳ συγγενῶν οὐχ ὑπόντων εἰσκομιζομένης, — τοῦ διμοίρου ἢ τοῖς συγγενέσιν ἢ τῷ δημοσίῳ τηρουμένου ὡς ἔφημεν, — τὸ τρίτον τῷ πάντων θεῷ καὶ βασιλεῖ ὑπὲρ τῆς αὐτοῦ τοῦ[14] τελευτῶντος δωρεῖσθαι ψυχῆς· τούτῳ δηλαδὴ τῷ μέρει συναριθμουμένης καὶ τῆς τῶν ὡς εἰκὸς εὑρισκομένων οἰκετῶν διατιμήσεως, καὶ αὐτῶν ἐλευθερουμένων. οὐ γὰρ ὅσιον οὐδὲ βασιλικῆς προνοίας ἀλλ' οὐδ' ἀνθρωπίνης ἁπλῶς γνώμης ἐστὶν ἄξιον, ἐλεεινῶς τοῦ ἐκβιοῦντος τῶν ἀνθρωπίνων ἁρπασθέντος, μηδὲ τῷ τοῦ δεσπότου[15] θανάτῳ τὸν τῆς δουλείας διαῤῥαγῆναι[16] τοῖς δουλωθεῖσι ζυγὸν, ἀλλ' ἐκ τῆς αὐτῶν συμφορᾶς καὶ τοὺς κληρονομοῦντας συγγενεῖς τὴν ἑαυτῶν θεραπείαν ἐπιζητεῖν καὶ τὴν βασιλείαν τῷ ταμείῳ προσόδους ἐπινοεῖν. διὸ δὴ πάλιν ἐπαναλαμβάνοντές φαμεν· εἴ τις ἀδιάθετος τελευτήσει καὶ παίδων οὐχ ὑπόντων ἢ οἱ τούτου συγγενεῖς ἢ μηδὲ τούτων ὄντων ὁ δημόσιος καλοῖτο[17] εἰς κληρονομίαν, τῆς συγκεφαλαιουμένης ἐντεῦθεν ἁπάσης ὑποστάσεως τὸ μὲν δίμοιρον[18] τῷ ἐκ νόμων διαδόχῳ, συγγενεῖ τυχὸν ἢ δημοσίῳ, τὸ δὲ τρίτον ὑπὲρ σωτηρίας τοῦ ἀδιαθέτως τελευτήσαντος ἀνείσθω θεῷ, τῆς διατιμήσεως ἐν βεβαίῳ[19] τῶν ἐλευθερουμένων οἰκετῶν τῷ συγκληρουμένῳ[20] μέρει τῷ θεῷ συλλογιζομένης.

β'. Εἰ μέντοιγε ὡς εἰκὸς συμβαίη, τῆς προσούσης τῷ ἀποιχομένῳ περιουσίας τὸ πλεῖστον ἢ καὶ τὸ πᾶν εἶναι ἐν θεράπουσι, καὶ τοῦτο διορίσαι φιλανθρώπως ἅμα καὶ συμπαθῶς ᾠήθημεν δεῖν, ὥστε μὴ τοὺς μὲν τοῦ τῆς δουλείας ἀνεῖσθαι ζυγοῦ, τοὺς δὲ ἐνταλαιπωρεῖσθαι τούτῳ καὶ κατατρύχεσθαι[21]· ἀλλ' ὅσους ὁ χαλεπός τε καὶ βαρὺς τῆς δουλείας ἐκάκου τε καὶ κατωδύνα κλοιὸς, τούτοις ἅπασιν ὁ παρὼν ἡμῶν ἐλευθερίαν

---

[13] Paris. 1351: *προσθέντων*. Forte *τοίτου — προσθέντος*. [14] Articulus abest a Paris. 1351. [15] Codd. *δούλου*, quod emendavit Witte. [16] Paris. 1351: *διαρπαγῆναι*. [17] Laur. 80, 8: *καλείσθω*, quod Witte praetulit. [18] Codd. *διπλοῦν*, quod emendandum erat. [19] Haec vitiosa esse videntur. Forte *ἀκεραίας*. [20] Paris. 1351: *συγκληρονόμῳ*. Mox *τοῦ θεοῦ* legendum esse crediderim. [21] Idem *διατρύχεσθαι*.

διδοὺς εὐφραινέτω θεσμὸς, καὶ τῶν δουλικῶν ἁπάντων[22] θεσμῶν[23] ὁμοίως ἀπίτωσαν ἐλεύθεροι.

Οὕτω γὰρ καὶ τοῖς ἐκ νόμου τῷ ἀδιαθέτῳ κληρουμένοις τὸ δέον συνορᾶν βουλομένοις οὐκ ἐπιζήμιον, καὶ τοῖς οἰκέταις καὶ τοῖς ἀποιχομένοις σωτήρια, καὶ θεῷ τῷ καὶ ἐκ σμικρῶν ἀφορμῶν τὴν σωτηρίαν ἀνθρώποις οἰκονομοῦντι τὰ ὅσια ἀποπληρώσομεν. καὶ μηδεὶς πρὸς τὸν παρόντα νόμον τοῦ τελευτῶντος ἢ συγγενὲς ἢ βασιλεὺς ὡς τοῦ καθήκοντος ἀποστερούμενος ἀποδυσπετείτω· ἀλλ' ἐν νῷ πᾶς τις βαλὼν[24] καὶ ἰδιώτης καὶ βασιλεὺς, ὡς ἅπασιν ὁ θάνατος ἀνθρώποις ἄδηλον ἐπίσης καὶ φοβερὸν καὶ οὐκ ἔστιν ὅπως τὶς περὶ τοῦ τέλους βουλεύσηται ἀσφαλῶς, τόνδε τὸν παρόντα νόμον τῆς ἀπαραιτήτου πορείας ἐκείνης λογιζέσθω ἐφοδιαστὴν, καὶ μὴ τὴν ἑτέρων μόνον οὐσίαν χανδὸν ἐπειγέσθω καταπιεῖν· προσεννοείτω δὲ, ὅτι καὶ αὐτὸν ἴσως (τό τε[25] ἀθρόον τῶν ἀνθρωπίνων) ἡ τοῦ θανάτου θερίσει δρεπάνη καὶ πολλῆς ἐκεῖσε τῆς βοηθείας δεήσεται, καὶ εἰ μὴ τῆς τοῦ παρόντος νόμου ἀπολαύσειε χάριτος, οὐδὲ τῆς τυχούσης ἐκεῖ ἐπιτεύξεται παρακλήσεως· οὐ γὰρ σμικρὸν εἰς παρηγορίαν τῷ ἐκβεβιωκότι ἡ εὐπροαίρετος[26] ὡς ἄν τις φαίη καὶ σμικρὰ αὕτη δωρεὰ τῷ θεῷ καὶ φιλανθρώπῳ δεσπότῃ, πολυτρόπως τὴν ἡμῶν σωτηρίαν ἐκ σμικρᾶς[27] οἰκονομοῦντι φιλοτιμουμένης[28] προφάσεως. ταῦτα τῷ[29] παρόντι ἡμῶν πᾶς τις ἐννοείτω ἐντυγχάνων θεσπίσματι, καὶ τὸν παρόντα νόμον οἷόν τινα βοηθὸν καὶ τό γε[30] κρεῖττον εἰπεῖν τῆς ἑαυτοῦ[31] ῥαθυμίας διορθωτὴν, οἷς[32] ἐνδημῶν τῷ βίῳ τὰ τῆς ἐκδημίας οὐ λυσιτελῆ αὐτῷ διέθετο, δεχέσθω ἀσμένως, σωτήριον ὥς γε οἰόμεθα τοῖς τελευταίας χωρὶς τελευτῶσι βουλήσεως, καὶ θεῷ τῷ πάντων βασιλεῖ οὐκ ἀπόβλητον, ἀλλὰ καὶ αὐτῇ τῇ πολιτείᾳ λυσιτελέστατον παρὰ τῆς ἐκ θεοῦ βασιλείας ἡμῶν κυρίῳ τῷ ἡμῶν[33] βασιλεύοντι ἀνατιθέμενον.

---

[22] Laur. 80, 8: ἅπαντες. [23] Witte emendat δεσμῶν. [24] Paris. 1351: ἐννοῶν πᾶς τις λαβών. [25] Witte emendat ποτέ. [26] Idem vertit „inconsulta“, quasi ἀπροαίρετος scriptum sit. Sed εὐπεριαίρετος legendum esse putaverim. [27] Laur. 80, 8: μικρᾶς. [28] Omnino legendum: προφάσεως, φιλοτιμουμένη. [29] Paris. 1351: ἐν τῷ. [30] Deest in Laur. 80, 8. [31] Paris. 1351: ἑαυτῶν. [32] Laur. 80, 8: ὅστις. Witte lectionem οἷς (i. e. eo quod) vitiosam esse putavit. [33] Paris. 1351: ἡμᾶς.

NOV. XIII.

Imp. Constantini Porphyrogeniti de servis fugitivis aliisque capitulis[1].

Νεαρὰ ε' κωνσταντίνου ἡ ἀποκειμένη[2] ἐν τῇ σακέλλῃ. Περὶ φυγῶν ψυχαρίων καὶ ἀπολωλότων κτηνῶν.

α'. Ὑπὲρ ἀπολωλότος ψυχαρίου καὶ ἐν τῷ αὐτῷ θέματι εὑρεθέντος παρέχει ὁ δεσπότης νόμισμα ἓν μίλια[3] τέσσαρα. εἰ δὲ ὑπερθεματίσαν εὑρεθῇ, νομίσματα δύο μίλια τέσσαρα. εἰ δὲ δύο ἢ τρία θέματα διελθὸν κρατηθῇ, νομίσματα τρία μίλια τέσσαρα. καὶ πρὸ μὲν τοῦ παρελθεῖν τὸν δωδεκαμηνιαῖον χρόνον μὴ ἐξεῖναι διαπιπράσκειν αὐτὸ ἀλλαχοῦ, ἀλλὰ συντηρεῖν καὶ φυλάττειν ἐν ἀσφαλείᾳ. εἰ δὲ καὶ τῶν δώδεκα μηνῶν παρελθόντων οὐκ ἀναζητηθῇ τὸ ἀπολωλὸς ψυχάριον παρὰ τοῦ κυρίου αὐτοῦ, τότε ἐξεῖναι τῷ εὑρηκότι διαπιπράσκειν αὐτὸ εἰς ἐμφανὲς πρόσωπον ἐπὶ καταβολῇ νομισμάτων ἓξ καὶ μιλίων τεσσάρων. διὰ τοῦτο δὲ οὕτως εὐώνως διαπιπράσκειν, διὰ τὸ μὴ εἶναι τὸν δεσπότην διηνεκῆ, ἀλλὰ πάλιν ἐπ' ἐξουσίας ἔχειν τὸν κύριον αὐτοῦ, ὅταν διαγνῷ, παρέχειν τὰ τοιαῦτα ἓξ νομίσματα μετὰ τῶν τεσσάρων μιλίων, καὶ τὸν ἴδιον ἀπολαμβάνειν οἰκέτην.

β'. Ὑπὲρ δὲ κτηνῶν ἀπολωλότων, ἐπὶ μὲν τοῖς μείζοσι καὶ ἁδροτέροις, οἱονεὶ βουσὶ καὶ ἵπποις καὶ ἡμιόνοις, παρέχειν τὸν ἴδιον αὐθέντην μίλια τέσσαρα καὶ λαμβάνειν αὐτά. ἐπὶ δὲ τοῖς μικροτέροις, τουτέστι προβάτοις καὶ χοίροις, μόνοις κείσθω τοῖς κυρίοις αὐτῶν ὃ βούλονται παρέχειν.

γ'. Χάριν δὲ τῶν ἐπὶ κεφαλῇ τραυμάτων εἴτ' οὖν ἐκτραχωμάτων ἢ πορνείας ἢ μοιχείας ἢ κλοπῆς μηδ' ὁτιοῦν ἀπαιτεῖν. τὰ δὲ κλοπιμαῖα εὑρισκόμενα ἀνασώζεσθαι τοῖς ἰδίοις δεσπόταις. δεσποτῶν δὲ μὴ ὄντων, τῷ δημοσίῳ εἰσκομίζεσθαι.

[1] Quae hic subsunt, ex appendice Synops. cl. I edidit Leuncl. post Syn. p. 22 et in JGR. II p. 150. Novellam ipsam non esse, quivis intelligit: deperditaene Novellae Epitome sit, dubitari potest. Nonnulli capita 4 et 5 ex Novella XII, quae praecessit, epitomata esse putaverunt: minus recte, quum cap. 4 cum illa nihil commune habeat, et cap. 5 aliud quam illa statuat. Ad successionem cognatorum usque ad sextum gradum conferas supra Nov. VIII c. 2. [2] Leuncl. in marg. „al. *ἀποκλειομένη*. Male“. [3] Hic et infra *μιλιαρήσια* scribendum esse crediderim. Quamquam Leuncl. ad v. *μίλια* notat: „monetae nomen, quae et *μιλιαρίσιον*: pars scilicet aurei duodecima, ut Suidas, sive siliquae (hoc est, *κεράτια*) duae, ut Cedrenus tradit, qui siliquam ait obolos XII continere.“

δ'. Ὡσαύτως δὲ καὶ τελευτώντων τινῶν ἀδιαθέτως, καὶ μηδὲ συγγενεῖς ἐχόντων ἕκτου βαθμοῦ, τὰ διαφέροντα αὐτοῖς τῷ δημοσίῳ εἰσκομίζεσθαι. διαθεμένου δὲ, κἂν συγγενεῖς μὴ εὑρίσκονται καὶ ἴδιοι μέχρι τοῦ εἰρημένου βαθμοῦ, φυλάττεσθαι τὰ τῆς διαθήκης.

ε'. Ὡσαύτως δὲ ἀδιαθέτου τετελευτηκότος καὶ συγγενῶν εὑρισκομένων, πρὸς ἐκείνους τὰ τῆς κτήσεως μεταπέμπεσθαι. εἰ δὲ μήτε διάθοιτο μήτε συγγενεῖς ἔχοι ὁ τετελευτηκὼς, τότε τὸ μὲν τρίτον μέρος τῆς αὐτοῦ κτήσεως δίδοσθαι ὑπὲρ λύτρου τῶν ἁμαρτιῶν αὐτοῦ τοῖς ἐν χριστῷ ἀδελφοῖς· τὸ δὲ περιττεῦον τῷ δημοσίῳ εἰσκομίζεσθαι.

NOV. XIV.

Imp. Constantini Porphyrogeniti rescriptum de restitutione praediorum a potentibus comparatorum[1].

Non extat.

NOV. XV.

Imp. Romani junioris rescriptum de restitutione pretii praediorum a potentibus evictorum[1]. (Inter 959—963.)

Νεαρὰ νομοθεσία ῥωμανοῦ βασιλέως τοῦ νέου περὶ στρατιωτῶν[2], ἤτοι λύσις ἀναφορᾶς θεματικοῦ κριτοῦ, ἣν ὑπηγόρευσε θεόδωρος μάγιστρος ὁ δεκαπολίτης[3].

Ἡ ἀναφορά σου κελεύσει βασιλικῇ, ἡγιασμένε κύριε, πρὸς τὴν ἡμετέραν ἀπεστάλη ταπείνωσιν. καὶ οἰόμεθα, ὡς οὐδὲ αὐ-

---

[1] Hujus Novellae mentio fit in Nov. XV. Retulerat ad Imperatorem Theodorus Decapolitanus magister et statuerat ille, ut pauperes, si vel infra L solidos in bonis haberent, praedia potentibus vendita evincentes pretium acceptum emtoribus restituerent, contra quam Nov. VI c. 1 constitutum fuerat, concesso tamen ad hoc quinquennio.

[1] Imp. Romani rescriptum, ut hic editur, servatum est in appendice Syn. I et II cl., unde edidit Labbaeus p. 80, sequutus Cod. Paris. 1351. Epitomen praestat appendix Syn. cl. I; quam edidit Leuncl. post Syn. p. 21 et in JGR. II p. 148, emendatus passim a Labbaeo p. 88 sqq. [2] Verba π. στρατιωτῶν addo ex Cod. Paris. 2005. Forte legendum στρατιωτικῶν. Caeterum non solum de militaribus fundis eorumque restitutione, sed in universum de restitutione praediorum a pauperibus alienatorum et refusione pretii accepti tractat. [3] Labb. subjicit rubricam περὶ ἀνα-

τὸς ἀγνοεῖς τὴν τῶν νεαρῶν διατάξεων δύναμιν. ὅτι μὲν γὰρ πολὺ τὸ ποικίλον ἔχουσι, καὶ πολλάκις κατὰ καιροὺς ἄλλοτε ἄλλως μετεσχηματίσθησαν, τοῦτο δῆλον· οὐδέποτε δὲ οὔτε ἄποροι στρατιῶται οὔτε πολιτικοὶ ἀναργύρως ἀπολαμβάνειν τὰ παρ' αὐτῶν ἀπεμποληθέντα προνόμιον ἔσχον ἕως τοῦ χρόνου τῆς τοῦ ἀοιδίμου καὶ τρισμακαρίστου ἡμῶν βασιλέως[4] ἀναῤῥήσεως· καὶ οἱ ὑπὲρ τὰς δ' λίτρας εὐπορίαν δι' ἀκινήτων ἔχοντες στρατιῶται καὶ πάντες οἱ πολιτικοὶ ἀπὸ τῶν νέων βασιλικῶν θεσπισμάτων ἐκελεύοντο, τὰς τιμὰς ἃς εἰλήφασι διὰ τριετίας ἀποδιδόναι, μόνοι δὲ οἱ ἀπορώτεροι τῶν στρατιωτῶν τὴν ἐξ αὐθεντίας βοήθειαν τῆς ἀναργυρίας εἶχον. ἔδικτον[5] δὲ γέγονε τοῦ θείᾳ τῇ λήξει βασιλέως ἡμῶν, πρὸς τοὺς ὄπισθεν χρόνους τὴν ἰδίαν ἰσχὺν ἀνακαλῶν, ἀπὸ τοῦ χρόνου δηλαδὴ τοῦ λιμοῦ, ἀφ' οὗπερ καὶ αἱ νομοθεσίαι ἤρξαντο, ὅπερ ὑπηγόρευσεν ὁ μακαρίτης πατρίκιος Θεόφιλος ὁ κοιαίστωρ, διακελευόμενον, εἴ τις πολιτικὸς οὐκ εὐποροίη πλειόνων τῶν ν'[6] νομισμάτων, μὴ ἀναγκάζεσθαι τοῦτον[7] τὰς τιμὰς ἃς ἔλαβεν ἀποδιδόναι. αἰτήσεως δὲ γεγονυίας ὑπὸ τῶν ἀρχόντων τοῦ στρατιωτικοῦ καταλόγου, οὐδὲν ἕτερον ὁ μακαρίτης ἡμῶν βασιλεὺς ἐκαινοτόμησεν[8], εἰ μὴ τοῦτο μόνον τὸ ἀποδιδόναι καὶ τούτους τὰς τιμάς. σφοδρὸν γὰρ ἡγήσατο καὶ ἄδικον, τὸν μηδὲν ἐπταικότα ἀγοραστὴν, ἀλλὰ τίμημα καλῇ πίστει καταβαλλόμενον, προσαποστερεῖσθαι μετὰ τοῦ ἐωνημένου τοπίου καὶ τοῦ παρ' αὐτοῦ ἠριθμημένου τιμήματος· καὶ καλῶς εἰδὼς μόνην προθεσμίαν τοῖς εὐθυνομένοις πένησι προσηύξησεν, ὅπως τὰ μὲν τόπια τὰ πεπραμένα αὐτοὶ παρευθὺ οἱ διεγκαλοῦντες ἀπολαμβάνωσιν, ἐὰν εἰς κοινότητα δηλονότι χωρίου ὦσι, τὸ δὲ τίμημα μηκέτι διὰ τριετίας, ἀλλὰ διὰ πενταετίας ἀποδιδῶσι, καὶ ὅπερ ἀμελείᾳ καὶ ῥαστώνῃ καθηδυπαθήσαντες κατεκένωσαν, τοῦτο διὰ πενταετίας ἱδρῶσι καὶ φιλοπονίᾳ ἀποτίσωσι, πρὸς ἕξιν αὐτοὺς ἐνάγων οἶμαι φιλοπονίας διὰ τῆς ὡρισμένης ἀπαραιτήτου πενταετίας.

α'. Ὅσοι μὲν οὖν ἀπελάβοντο ἴδια ἀναργύρως πρὸ τοῦ βα-

δόσεως τιμήματος στρατιωτικῶν. Hanc autem desumsit ex Epitome illa, cui modo sic simpliciter, modo plenius: Νεαρὰ δ' περὶ ἀναδ. τιμ. στρατ. inscribitur. Ea autem quum in appendice Syn. I cl. inter duas Novellas Constantini posita sit, Leunclavius nimis audacter Νεαρὰν δ' κωνσταντίνου περὶ ἀν. τιμ. στρ. vocavit. [4] i. e. Constantini Porphyrogeniti. Cf. Nov. VI. Theodorus magister Nov. II c. 3 non videtur habuisse cognitam. [5] Intelligitur Nov. VI supra edita. [6] Numerus deest in edit. Labbaei. Supplevi ex Nov. VI c. 1. [7] Labb. τοῦτον. [8] Novella, de qua hoc loco sermo est, intercidit. Cf. Nov. XIV.

σιλικοῦ ὁρισμοῦ, ἐὰν κρίσιν ἔχωσι δικαστοῦ, οὗτοι οὐκ ὀφείλουσιν ὀχλεῖσθαι, ἀλλὰ ταῦτα ἀναφαιρέτως ἔχειν· ἤδη γὰρ κατὰ τὸ τότε κρατοῦν ἡ ἀπόφασις ἐξηνέχθη, καὶ ὁ ὕστερον γενόμενος βασιλικὸς ὁρισμὸς τὰ πρῴην τυπωθέντα ἀναψηλαφᾶσθαι οὐ διεκελεύσατο, ἀλλὰ μᾶλλον ἡ βασιλικὴ δικαιοσύνη ῥητῶς τῷ ἀναξίῳ αὐτῆς δούλῳ[9] διωρίσατο, ὅπως τὰ μέχρι τότε διοικηθέντα μένωσιν ἀπαρασάλευτα. εἰ οὖν καθ' οἱονδήποτε τρόπον ἐδικαιώθησαν πένητες καὶ ἀπέλαβον τοὺς ἰδίους τόπους ἀναργύρως, καὶ προκομίζουσιν ἔγγραφον κρίσιν, τούτους ἡ ὑπεροχή σου μὴ ἐνοχλείτω. εἰ δέ γε ἀπολαβόντες αὐτοὺς ὡρίσθησαν ἀποδοῦναι τὰ τιμήματα διὰ προθεσμίας, καὶ παρῆλθεν ἡ προθεσμία, εἰ μὲν κἄν τι μικρὸν ἀποδεδώκασιν ἀπὸ τῶν τιμημάτων, ἢ συντίθενται καὶ ἐπαγγέλλονται λαμβάνοντες προθεσμίαν ἑτέραν ταῦτα ἀποδοῦναι, χρὴ τὸν θεάρεστον κύριον[10] ἐγγράφους ἀσφαλείας ἀπαιτῆσαι τούτους, ἃς ὀφείλουσιν ἐκτίθεσθαι πρὸς τοὺς ἀγοραστὰς, ὡς δι' ἑτέρας προθεσμίας ἣν ἂν σὺ δοκιμάσῃς ἀποδώσουσιν ἢ τὰ λειπόμενα ἢ καὶ πάντα. εἰ δὲ οὐδὲν ὅλως ἀποδεδώκασι, καὶ μάλιστα εἰ ἐγγράφους ἀσφαλείας ἐποιήσαντο πρὸς τοὺς ἀγοραστὰς καὶ οὐκ ἴσχυσάν τι παρασχεῖν ἐκ τῶν τιμημάτων, ἢ τόπον ἀπὸ τῆς ὁμάδος τοῦ χωρίου ἀποτεμεῖν, ἐὰν τοῦτο λυσιτελέστερον εἶναι τοῖς πένησι κατανοῇς, ἢ τέως εἰς ταῦτα τὰ διαπεπραμένα[11] δημοσίᾳ εἰσαγαγεῖν[12] τὸν ἀγοραστὴν, καὶ πρὸς τὴν τοῦ καταβληθέντος παρ' αὐτοῦ ποσοῦ ἀναλογίαν καὶ τὴν ἐκ τῆς ἀπολαύσεως τῶν τόπων ἐσομένην αὐτῷ εἰσφορὰν[13] ἐφ' ὅσον ὀφείλει τοὺς τοιούτους νεμηθῆναι, ἐπὶ τρισὶ τυχὸν ἢ καὶ πλείοσι χρόνοις, μὴ περαιτέρω δὲ[14] τῶν δέκα, καὶ ἰδιόχειρα ἀμοιβαῖα παρασκευάσεις[15] ἀμφοτέρους ἐκθέσθαι, τοὺς μὲν ἀγοραστὰς πρὸς τοὺς χωρίτας, τοὺς δὲ χωρίτας πρὸς τοὺς ἀγοραστὰς, ὅπως διὰ τοῦ ὡρισμένου χρόνου τῆς ἀπολαύσεως οὔσης ἀντὶ τῶν τιμημάτων τῷ ἀγοραστῇ πρὸς τὴν κοινότητα αὖθις παλινδρομῇ ἡ τῶν τόπων χρῆσις, τῆς δὲ δεσποτείας μηδέποτε τούτων οἱ πένητες ἐκπίπτωσιν, ἀλλ' εἴη διὰ τοῦ ἐγγράφου δῆλον

---

[9] i. e. Theodoro magistro. [10] Nomen *τοῦ κριτοῦ*, uti videtur, suppressum est. „Sic enim", ut ait Labbaeus, „hujusmodi constitutiones in archivis imperatorum, ut et formatae epistolae et *ἴσα* in scriniis episcoporum, servabantur nullius nomine adscripto, quoniam ad plures mittebantur". [11] Labb. *διαπεπραγμένα,* quod ex Epit. correxi. [12] Malim *ἀποτέμῃς* et *εἰσαγάγῃς*. Et *ἀποτέμῃς* quidem Epit. habet: pro *εἰσαγαγεῖν* vero legit: *εἰσέλθῃ ὁ ἀγοραστής*. [13] Ex Epit. addendum *ὁρίσεις* vel *ὁρίσῃς*. [14] Ex Epit. addo. [15] Labb. *παρασκευάσαι,* quod emendare necesse erat.

τὸ πρᾶγμα καὶ μὴ δυνάμενον ἔκ τινος μοχθηρίας ἐπικαλυφθῆναι. εἰ δὲ δύνανται καὶ προαιροῦνται οἱ πένητες, μέρος μέντοι[16] τοῦ τιμήματος καθόσον ἰσχύος ἔχουσι καταβαλεῖν, μέρος δὲ παραχωρῆσαι τοῖς ἀγορασταῖς ἐπὶ χρόνοις[17] καταπολαῦσαι τῶν ἠγορασμένων, δεῖ αὐτοὺς καθ' ὃ ἂν δυνάμεως ἔχωσι μέρος ἐκ τοῦ τιμήματος παρασχόντες, διατέμνειν τὸν ὡρισμένον χρόνον, συγχωρούμενον[18] ἀπολαύειν δηλαδὴ τὸν ἀγοραστὴν τῆς τῶν τόπων χρήσεως ἀναλόγως. εἰ γὰρ δῆλον χάριν ρ' νομίσματα[19] εἴληφεν ὁ διαπράσας πένης, δέκα δὲ χρόνοι ὁρίζονται τῆς χρήσεως τῷ ἀγοράσαντι, ν' νομίσματα ἰσχύος ἔχει ὁ πένης παραυτίκα ἢ ὕστερον καταβάλλεσθαι[20], ἐπὶ πέντε μόνοις χρόνοις συγχωρεῖται ὁ ἀγοραστὴς καρποῦσθαι τὰ ἠγορασμένα.

β'. Ταῦτα μὲν οὖν ἀπὸ τῆς πρώτης βασιλικῆς νομοθεσίας μέχρι τῆς ἀναῤῥήσεως τοῦ ἀοιδίμου καὶ τρισμακαρίστου βασιλέως ἡμῶν οὕτω σπεύσεις διαιτῆσαι, ἐν οἷς εἰσὶ μεταξὺ ἔτη ιη'[21]. ἀπὸ δὲ τοῦ χρόνου τῆς αὐτοκρατορείας τοῦ ἐν τῇ θείᾳ λήξει βασιλέως ἡμῶν ἀδιστάκτως[22] πάντας στρατιώτας τε καὶ πολιτικοὺς ἀναργύρως ἀποκαταστήσεις τοῖς ἰδίοις τόποις. οὐδὲ[23] γὰρ ἔχουσι πρόφασιν οἱ[24] μετὰ τοσαύτας προφωνήσεις καὶ βασιλικὰς παραγγελίας ὑπεισελθόντες καὶ τὰς τῶν χωρίων ὁμάδας καὶ κοινότητας γνώμης ἀπληστίᾳ διαταράξαντες, καὶ ἀγορασίας ἀπὸ στρατιωτῶν ἢ πενήτων ποιήσασθαι κατατολμήσαντες. παρεδήλου δὲ ἡ ἀναφορά σου τὴν ἄρτι ἐπικειμένην τοῦ λοιμοῦ[25] ἀνάγκην καὶ τὴν παντελῆ τῶν καρπῶν ἀστοχίαν· καὶ χρὴ διευλαβεῖσθαι ἡμᾶς, μὴ λιμοῦ βιαιοτέραν ἀνάγκην κριτοῦ τοῖς ἀθλίοις ἐπιστήσομεν πένησι, καὶ ὥσπερ οἱ τῶν ἰατρῶν ἄριστοι τὰς φαρμακείας ἐν καιροῖς φλεγμαίνουσι παραιτοῦνται, οὕτω καὶ αὐτοὺς παραβιβάσαι τὰς ἀπαιτήσεις καὶ μικρὸν ἐνδοῦναι φειδοῖ τῆς βιαίας τοῦ καιροῦ συνοχῆς.

---

[16] Epit. ἐκ τοῦ, omissa particula τοι. Recte. [17] Epit. ἐπὶ χρόνους ὡρισμένους. [18] Haec meo judicio corrupta sunt: certe παρασχόντας et συγχωροῦντας scribendum fuerat. Epitome omittit verba δεῖ αὐτούς, et deinde habet διατέμνουσι. Forte legendum: δεῖ αὐτῶν — παρασχόντων — συγχωρουμένων — τῶν ἀγοραστῶν κτλ. [19] Epit. addit τίμημα. [20] Epit. καταβαλεῖν. [21] Scilicet inter terminum, quem prima illa Romani senioris constitutio (Nov. V) definivit, i. e. inter tempus famis, quae anno 927 initium cepit, et renuntiationem imperatoris Constantini Porphyrogeniti, quae in annum 945 incidit, XVIII anni intercedunt. — Cf. supra Nov. II not. 2 locum Codini et infra Nov. XXIX not. [22] Epit. ἀδιαστίκτως. [23] Labb. οὐδέν. [24] Labb. εἰ. [25] Malim λιμοῦ.

NOV. XVI.

Imp. Romani junioris de fundis militaribus[1]. (A. 962.)

Ἐκ[2] τοῦ ἐκφωνηθέντος βασιλικοῦ ἐδίκτου πρὸς τοὺς ἐν τῷ θέματι τῶν Θρακησίων, μηνὶ μαρτίῳ ἰνδικτιῶνος ε´ ἔτους ͵ςυο´.

α´. Θεσπίζομεν, ἐάν τινες μερίδας τινὰς ἀπὸ στρατιωτικῶν κατέχουσι τόπων, εἰ μὲν καλῇ πίστει τουτέστιν ἀγορᾶς[3] ἢ δωρεᾶς ἢ ἀνταλλαγῆς ἢ ἀντιλήψεως τρόπῳ ταύτας ἐκτήσαντο, καὶ οὐδεμίαν ἀπὸ τοῦ χρόνου βοήθειαν ἔχωσιν, ἐκ τῶν τοιούτων τοὺς μὲν τόπους μόνους ἀφαιρεῖσθαι καὶ τοῖς ἐγκαλοῦσι στρατιώταις ἀναδιδόναι, ζημίαν δὲ μηδεμίαν τῷ κατασχόντι προσφέρειν. οὐδὲ γὰρ βούλεται ἡ βασιλεία ἡμῶν τὸν μὴ ἐξ ἁρπαγῆς καὶ βίας, ἀλλὰ καὶ καλῇ πίστει στρατιωτικοὺς τόπους κτησάμενον ζημίαν ὑπομένειν, πλὴν μόνην τὴν ἀνάργυρον τῶν τοπίων ἀπόδοσιν[4]. εἰ δὲ ἐξ ἁρπαγῆς στρατιωτικούς τινες δεσπόζουσι τόπους, τότε κατὰ τὴν ἀναλογίαν τοῦ κατεχομένου τόπου καὶ τὴν ζημίαν τῷ καθαρπάσαντι ἐπιφέρεσθαι. ἐὰν δὲ καί τις στρατιώτης παρ᾽ ἑτέρου στρατιώτου στρατιωτικὸν ἐξωνήσατο τόπιον, ζημίαν μὲν οὐδεμίαν τὸν ἠγορακότα ὑφίστασθαι, ἐπεὶ καὶ αὐτὸς καλῇ πίστει κτησάμενος φαίνεται. πλὴν εἰ μὲν ὁ πωλήσας τὸ ἱκανὸν ἔχει τῆς στρατείας, ὁ δὲ ἐξωνησάμενος ἀπορεῖ, ἀποστρέφεται πρὸς μὲν τὸν πωλήσαντα ὁ τόπος, πρὸς δὲ τὸν ἠγορακότα τὸ τίμημα. ἐὰν δὲ ὁ πωλήσας μᾶλλον ἀπορεῖ, ὁ δὲ ἠγορακὼς εὔπορος ᾖ, τότε ἀναργύρως τὸν πωλήσαντα ἀναλαμβάνειν τοὺς τόπους. εἰ δὲ καὶ ἀμφότεροι στρατιῶται ὄντες ἀμφότεροι ἀποροῦσιν, ἀντιστρέφεσθαι μὲν πρὸς τὸν ἠγορακότα τὸ τίμημα, πλὴν μετά τινος προσδιορισμοῦ τουτέστι τριετοῦς χρόνου.

β´. Εἰ δὲ καί τινες παρὰ ἐπόπτου ἢ βασιλικοῦ στρατιώ-

[1] Hujus edicti epitome, quae sequitur, habetur in appendice Syn. cl. I: in cl. II et III desideratur. Ediderunt Leunclav. post Syn. p. 45 et in JGR. II p. 167, nec non Labbaeus p. 90. — Particula ejus recepta est ab Harmenop. I, 16, 10.
[2] Leunclavius praeposuit inscriptionem: Ῥωμανοῦ (τοῦ νέου) τοῦ πορφυρογεννήτου νεαρά, eumque Labb. sequutus est. In Codicibus MSS. nihil ejusmodi est; imo Paris. 1357 A ad oram habet: κωνσταντίνου. Sed annus a m. c. 6470 sive p. Chr. 962 in Romani junioris imperium cadit, ut sane Romani junioris edictum esse videatur. [3] Leuncl. hic et infra ἀγορασίας. [4] Idem ἀνάδοσιν.

του[5] στρατιωτικοὺς διὰ λιβέλλων ἐξωνήσαντο τόπους, καὶ τούτους διωρισάμεθα, εἰ μὴ βοηθοῦνται οἱ κατέχοντες ἀπὸ τοῦ χρόνου, ἐπεὶ στρατιωτικοὶ ὑπάρχουσιν, ἀναργύρως μὲν ἀντιστρέφειν, ζημίαν δὲ μηδεμίαν[6] προσαπαιτεῖσθαι. τῷ γὰρ τῆς καλῆς πίστεως δικαιώματι καὶ αὐτοὶ ἐπερείδονται.

γ'. Ἀλλὰ καὶ ἐάν τις ἀγορᾶς ἢ δωρεᾶς ἢ ἀνταλλαγῆς ἢ ἀντιλήψεως τρόπῳ ἐκτήσατο τοὺς τόπους[7], οὗτοι δὲ ἔτυχον ἢ μερικῶς ἢ καθόλου στρατιωτικοὶ ὄντες, καὶ ὁ χρόνος οὐ βοηθεῖ τῷ κατέχοντι, αὐτὸν μὲν οὖν τὸν κατέχοντα, ἐπεὶ καλῇ πίστει φαίνεται δεσπόζων, μηδὲν ζημιοῦσθαι χωρὶς τῆς τῶν τόπων ἀναργύρου ἀφαιρέσεως, ἀλλὰ πρὸς τὸν πωλήσαντα ἢ δωρησάμενον ἢ ἀνταλλάξαντα ἢ καὶ τῆς ἀντιλήψεως ἐπιτυχόντα μεταπέμπεσθαι τὴν ζημίαν. εἰ δὲ καὶ οὗτος καλῇ πίστει εὑρίσκεται κατασχών, μηδὲ αὐτὸν ζημιοῦσθαι.

δ'. Εἰ δέ τινες τῶν στρατιωτῶν διαιρεθέντες, καὶ τὸν μὲν στρατιωτικὸν ἅπαντα κλῆρον παρὰ τοῖς πατράσιν ἢ ἀδελφοῖς καὶ συνδόταις αὐτῶν ἐκδουλεύεσθαι καταλελοιπότες, αὐτοὶ δὲ τέλεον τῆς στρατιωτικῆς μοίρας ἀπαλλαγέντες, ἔν τισι προσώποις προσῆλθον, μηδὲν τοὺς ὑποδεξαμένους αὐτοὺς ζημιοῦσθαι, εἴπερ ὡς εἴρηται ἡ στρατεία αὐτῶν παρὰ τῶν ἄλλων ἐκδουλεύεται καὶ μηδεμίαν ἐκεῖνοι μερίδα ἐκ τοῦ στρατιωτικοῦ εὑρίσκονται κατέχοντες κλήρου. πρὸς τούτοις καὶ ἐάν τινας τῶν στρατιωτῶν εἰς ἐσχάτην καταντήσαντας ἀπορίαν καὶ μηδόλως δυναμένους τὸ στρατιωτικὸν ὑπέρχεσθαι βάρος, ἀλλὰ καὶ ὀδυρομένους, ἐὰν ὑπεδέξαντό τινες, μήτε ὑπὲρ τούτων μήτε ὑπὲρ ἐκείνων (τουτέστι τῶν ἠπορημένων στρατιωτῶν) τὴν στρατιωτικὴν[8] ὑφίστασθαι ζημίαν, ἀλλὰ μᾶλλον τοὺς ἐκδιώξαντας τοὺς στρατιώτας καὶ τῆς ἀπορίας αὐτοῖς καὶ τῆς φυγῆς αἰτίους καταστάντας, ἐκείνους καὶ τὴν ζημίαν ὑπομένειν. τὸν δὲ εὔπορον καὶ σωζόμενον ὑποδεξάμενον στρατιώτην καὶ ἐν γνώσει αὐτὸν κατέχοντα, παρὰ τοῦ τουρμάρχου προφωνηθέντα εἴτε παρὰ δρουγγαρίου ἢ κόμητος ἢ προαγέτου, εἴτε καὶ παρὰ συνδότου αὐτοῦ[9], καὶ μὴ δυνάμενον εἰς ἄγνοιαν καταφεύγειν, ἐκεῖνον καὶ διωρισάμεθα τὴν ζημίαν ὑφίστασθαι. ἐὰν γὰρ οἱ σωζόμενοι στρατιῶται τῆς τῶν ταξειδίων διακωλύονται δουλείας, πρόδηλόν

---

[5] Leuncl. lectiones affert: *παρὰ ἐπισκοπείου ἢ βασιλικοῦ οἴκου*, vel *παρὰ ἐπόπτου ἢ βασιλικοῦ* (absque substantivo *στρατιώτου*). Hoc praetulerim: cf. Nov. XXIX c. 4. [6] Idem *μή*. [7] Idem *καρπούς*, quod in *ἀγρούς* mutandum censet. [8] Malim *τῶν στρατιωτῶν*. [9] Leuncl. *παρὰ συνόδου αὐτῆς*.

ἐστιν, ὡς οὐ μικρὰ ἐντεῦθεν βλάβη τοῖς στρατεύμασιν ἡμῶν ἐπενεχθήσεται.

NOV. XVII.

Imp. Romani junioris de poenae stipulationibus[1]. (Inter 959—963.)

Νεαρὰ νομοθεσία τοῦ αὐτοῦ[2], ἣν ὑπηγόρευσε συμεὼν πατρίκιος καὶ πρωτασηκρῆτις, περὶ προστίμων.

Παλαιὸν καὶ καλὸν ἔθος τοῖς νόμοις μὲν ἐπικρατῆσαν, οὐκ οἶδα δ' ὅπως ἀμεληθὲν καὶ πρὸς τὸ μὴ ὂν συνωθούμενον, ἡ φιλόκαλος ἡμῶν βασιλεία σπουδὴν ἔθετο πάλιν ἀναλαβεῖν, καὶ πρᾶγμα τῇ πολιτείᾳ δοῦναι προσῆκόν τε καὶ λυσιτελὲς καὶ κοινωφελὲς ὡς μάλιστα. τί δὲ τοῦτό ἐστι; τὸ τῶν προστίμων φημὶ, ὅπερ ἔργῳ[3] πρῴην τελούμενον καὶ οὐκ ἐν γράμματι μόνον κείμενον τοσαύτην ὠφέλειαν τῷ κοινῷ παρεῖχεν, ὅσην ἀμεληθὲν ἔσχατον[4] ἐπήγαγε βλάβην. εἰ γὰρ καλὸν ἐῤῥῶσθαι τὰς μεταξὺ τῶν ἀνθρώπων συμφωνίας, (πῶς δὲ οὐ καλὸν, ἐπεὶ μηδὲ βιωτὸν ἑτέρως μηδὲ πολιτείαν ἄλλως συστῆναι καὶ βίον τὸν κοινὸν ἐγχωρεῖ;) ἄλλως τε καὶ τὸ μὴ ἀδικεῖν εἰ καλὸν, μηδὲ ἐπηρεάζειν μηδὲ τὸν πλησίον ἀκώλυτα παραβλάπτειν, καλὴ δήπου καὶ ἡ τῶν προστίμων ἀπαίτησις, τῶν πονηρῶν τούτων ἀναίρεσιν ποιουμένη καὶ τῆς ἀληθείας φυλακὴν καὶ ἀσφάλειαν. τὸ μὲν γὰρ πρῶτον ἀγαθὸν ἦν, ἀδιάφθορον ἕκαστον τὸ συνειδὸς τηρεῖν καὶ φόβῳ κυρίου στοιχεῖν[5] καὶ τῷ τρόπῳ τούτῳ βεβαιοῦν τὰ λεγόμενα· καὶ οὕτως ἂν ἀπηλλάγμεθα πραγμάτων καὶ τῶν περὶ τούτων οὐκ ἐδεόμεθα μαρτύρων καὶ προστίμων καὶ γραμματείων καὶ τῆς ἄλλης τῆς περὶ τοῦ βέβαια κεῖσθαι τὰ μεταξὺ συμβόλαια ἀσφαλείας. ἐπεὶ δὲ οὐ πᾶσιν ἔχει τὸ συνειδὸς ὑγιῶς, οὐδὲ παρὰ πάντων οἶμαι πρεσβεύεται ἡ ἀλήθεια, ἀλλ' εἰσὶν ὧν καὶ στόμα πλεονάζει κακίᾳ[6] καὶ ἡ γλῶσσα δολιότητα περιπλέκει, καὶ τὸ κακουργῆσαι χρημάτων ἕνεκα καὶ ὠφελείας[7] παρα-

---

[1] Extat in appendice Syn. II et III, unde primus edidit Witte in Ἀνέκδ. ed. Heimb. II p. 274. [2] i. e. Romani junioris. Praecedit enim in MSS. Nov. XV supra edita. [3] Laur. LXXX, 8: ἔργον. [4] Sic Codd. Witte ἐσχάτην legendum censet. [5] Laur. στοιχειοῦν. [6] Paris. 1351: κακίαν. [7] Aut χάριν ὠφελείας aut καὶ παραβ. legendum esse videtur.

βῆναι συνθήκας οὐ πλήττει τὸ συνειδὸς, ἀλλὰ καὶ ἐν μοίρᾳ τοῦ κατορθοῦν τέτακται[8], καὶ τὸ ἐπιορκῆσαι καὶ περιφρονῆσαι θεὸν, ἐν οἷς τι παρὰ τὴν θέλησιν ἀπαντᾷ[9], ῥαδία τούτοις πρὸς τὸ ἀνύσαι τὸ κατὰ γνώμην ὁδὸς, ἀναγκαίως τούτων ἐδεήθημεν τῶν βοηθημάτων, ὥστε καὶ γραφῇ διδόναι τὰς μεταξὺ συμφωνίας, καὶ μάρτυρας συγκαλεῖσθαι, τὴν δεξιὰν παρέχοντας εἰς ἀσφάλειαν χάριν τοῦ μὴ ἐξ΄ρνους γίνεσθαι[10] τῆς ὁμολογίας. ἐπεὶ δὲ οὐκ ἐν τῷ λανθάνειν μόνον τὸ ἀδικεῖν, ἀλλὰ καὶ μέχρι τοῦ φανερῶς αὐτὸ προέβη ποιεῖν, πάνυ σφόδρα προσφόρως τὴν τῶν προστίμων ὁ νόμος ἐξαίρει[11] βοήθειαν, ἱκανὸν ἔρυμα τοῖς τὰς συνειδήσεις διεφθαρμένοις, ἀθετεῖν τὰ ὡμολογημένα καὶ τὰς συμφωνίας ἀναιρεῖν μὴ δυσωπουμένοις, ἵν᾽, ὅταν ὁρμήσωσι πρὸς ἀθέτησιν τῶν συμφωνηθέντων, εἰδότες ἀπαραιτήτως αὐτοῖς μέλλειν τὴν τῶν προστίμων ἀπαίτησιν ἀπαντᾶν[12] καθέλκωνται τῆς ὁρμῆς, καὶ ὃ διὰ τὸν τοῦ θεοῦ φόβον ποιεῖν οὐκ ἀπέσχοντο, κἂν τῷ φόβῳ τῶν ζημιῶν (ὢ θείων οἰκτιρμῶν ἀνοχῆς) φείσωνται πράττειν. ὥστε ὁ κωλύων τὴν τῶν προστίμων ἀπαίτησιν τί ἕτερον ἢ τὰς πρὸς ἀλλήλους συμφωνίας ἀσφαλεῖς καὶ ἀπαραβάτους εἶναι κωλύει; καὶ πολλὴν μὲν τοῦ ἀνθρωπίνου βίου κατασκευάζει[13] σύγχυσιν, μυρίαν δέ τινα καὶ ἀμύθητον εἰσάγει τὴν βλάβην, τοῖς δὲ ἀδίκοις μόνοις καὶ πονηροῖς ἕρμαιον εἶναι τὰς τοιαύτας συμφωνίας ποιούμενος καὶ ὁδὸν ἀνοίγων ἀδικίας εὐπορωτάτην. ὅτι μὲν οὖν ἀδύνατον τοὺς κατὰ τὸν βίον ἀνθρώπους ἄνευ τῶν τοιούτων διάγειν συμφωνιῶν, δῆλον ἅπασι καὶ καταφανές. πῶς γὰρ καὶ συσταίη ὁ κοινωνικὸς βίος συναλλαγμάτων δίχα καὶ τῶν πρὸς ἀλλήλους συμφωνιῶν; ὅτι δὲ οὐδὲν ἰσχύουσιν αὗται τῶν προστίμων χωρὶς, καὶ ὅτι μὴ καινὰ[14] νομοθετεῖν ὡρμήμεθα νῦν, ἀλλὰ πάλαι καὶ πρόπαλαι τοῦτό ἐστι νενομοθετημένον, τὸ τῶν προστίμων φαμὲν, δηλοῦσιν οἱ νόμοι. κεῖται γὰρ ἐν αὐτοῖς οὕτως[15]· „τὸ ψιλὸν σύμφωνον ἀγωγὴν οὐ τίκτει, ἀλλὰ παραγραφήν." καὶ πάλιν[16]· „οὐκ ἀεί τις ἀπὸ ψιλῆς ἐπαγγελίας κατέχεται· εἰ μέντοι προσομολογήσει ποινὴν παραβαίνων τὴν ἐπαγγελίαν, δίδωσι τὸ πρόστιμον." καὶ αὖθις[17]· „ὁ χωρὶς ποινῆς ὁμολογῶν τι ποιεῖν

---

[8] Laur. τετάχθαι. [9] Codd. περὶ τὴν θέλ. ἅπαντα. Witte conjecturam refert: ἐν ᾧ (sc. τῷ θεῷ) ἐστὶ τὰ περὶ τὴν θέλ. ἅπαντα. [10] Paris. γενέσθαι. [11] Witte vertit „elegit", quasi ἐξῄρει scriptum esset. Forte ἐξηῦρε. [12] Laur. ἀπαιτῶν. [13] Laur. κατασκεδάζει. [14] Id. κενά. [15] Witte: „Hic deficit Cod. Laurent." — Cf. Basil. XI, 1, 7. [16] Basil. XLIII, 5, 5. [17] Basil. XLIII, 1, 78 (Heimb.). Locus in Basil. restituendus.

ἢ παριστᾶν εἰς τὸ διαφέρον ἐνάγεται.“ καὶ πάλιν[18]· „καλῶς ἐπερωτῶ τὸ πρόστιμον ἐκ τοῦ γενέσθαι τι. ἐὰν γὰρ μὴ τεθῇ τοῖς συμφώνοις ποινὴ, οὐ γίνονται ἀσφαλιστικά[19].“ καὶ αὖθις[20]· „ἐὰν ὑποβληθῇ τῷ συμφώνῳ ποινὴ, ἐπιλογὴν ἔχει ὁ ἐπερωτήσας ἢ τῇ ἐπερωτήσει χρήσασθαι ἢ τῇ παραγραφῇ, καὶ ποιῆσαι τῆς ποινῆς ἀποχήν.“ καὶ ὅτι[21]· „ἐὰν ἐμπροθέσμως ὑπὸ ποινὴν ὁμολογήσω χρήματα, εἰ καὶ πρὸ τῆς ἡμέρας ἀποθάνω καὶ μὴ ὑπεισελευσθῇ ἡ κληρονομία μου, βεβαιοῦται ἡ ποινή.“ καὶ πάλιν[22]· „ἐπηγγείλατό τίς τινι χωρὶς προστίμου παρέχειν ν' νομίσματα· καὶ λέγει ἡ διάταξις, μὴ ἀναγκάζεσθαι ταῦτα παρέχειν, εἰ μὴ παρηκολούθησε πρόστιμον.“ καὶ μυρία ἄν τις τοιαῦτα παρὰ τοῖς νόμοις ἐφεύροι, ἀκριβῶς τὴν τῶν προστίμων δηλοῦντα δύναμιν, καὶ ὡς οὐδὲν χωρὶς τούτων, πλὴν μόνον τῶν γαμικῶν, τὰ συμπεφωνημένα δύναται. εἰ δὲ τίθεται μὲν καὶ νῦν ἐπερώτησις καὶ πρόστιμα τοῖς συμφώνοις, οὐκ ἀπαιτοῦνται δὲ, τί πλέον ἀπὸ τοῦ κεῖσθαι γίνεται, τοῦ ἀναιρεῖν τὰ συμφωνηθέντα βουλομένου μηδὲν ἀπὸ τοῦ κεῖσθαι κωλυομένου, ἐπεὶ τὴν εἴσπραξιν ἐπίσταται μὴ ἀκολουθοῦσαν; πόσῳ δὲ μηδὲν κεῖσθαι κάλλιον ἦν, μηδὲ καταψεύδεσθαι τῶν συμφώνων καὶ πρᾶγμα γίνεσθαι μάταιον καὶ κενόν; διὰ ταῦτα καλόν τε καὶ κοινωφελὲς ἔδοξε τῷ ἡμετέρῳ κράτει, πρόστιμα κατατίθεσθαι, ὃ καὶ βουλόμεθα καὶ θεσπίζομεν εἰς τὸ ἑξῆς ἐνεργεῖσθαι, ἐνεργεῖσθαι δὲ κατά γε τὸ θεῷ φίλον καὶ τὴν τοῦ νόμου ἀκρίβειαν.

NOV. XVIII.

Imp. Nicephori Phocae

de fundis militum Armenicorum et homicidarum[1]. (Inter 963—969.)

Νεαρὰ [νικηφόρου][2] ἐν λύσει ἀναφορᾶς περὶ ἀρμε-

---

[18] Basil. XLIII, 1, 68 (Heimb.). Locus restituendus. [19] Codd. ἀσφαλιστικαί. [20] Basil. XI, 1, 10. [21] Basil. XLIII, 1, 74 (Heimb.). Locus restituendus. [22] Non invenio. Forte depravata sunt ex Bas. XI, 1, 89.

[1] Extat in app. Syn. II et III cl., unde edidit Labbaeus p. 47. In app. Syn. I cl. habetur ejus Epitome, quam edidit Leuncl. post Syn. p. 46 et in JGR. II p. 169. [2] In Syn. II et III cl. est: Νεαρὰ τοῦ αὐτοῦ ἐν λύσει κτλ. Praecedit autem Novella Constantini Porphyrogeniti supra no. VIII edita, ut proinde Novella, quam tractamus, Constantino, non Nicephoro tribui videatur. Epitomae tamen, quam appendix Syn. cl. I exhibet, inscribitur: Νεαρὰ α' νικηφόρου περὶ ἀρμενικῶν τόπων καὶ φονευτῶν. (Nonnulli Codices MSS. rubricam περὶ

νίων τῶν τε ἄλλων καὶ τῶν ἐγκλήματι φόνου περιπιπτόντων[3].

α΄. Κελεύομεν, εἴ τινες τῶν ἀρμενίων στρατιωτῶν ἀναχωρήσαντες τριετίαν ἀλλαχοῦ ποιήσαιεν, καὶ μετὰ ταῦτα ὑποστρέψαντες εὕροιεν τοὺς ἑαυτῶν τόπους εἴτε πρὸς φύλαξιν[4] εἴτε τισὶ στρατιώταις ὡς ἀριστεύσασιν ἐπιδοθέντας, ἢ καὶ ἄρχουσι θεματικοῖς καὶ ταγματικοῖς εἴτε στρατηγοῖς ἀνδραγαθήσασιν ἢ καὶ ἑτέροις τισὶ διὰ κοινωφελεῖς δουλείας παρασχεθέντας, μὴ ἔχειν ἐπ᾽ ἀδείας τοὺς μετὰ τὴν τριετίαν ἀρμενίους στρατιώτας ἐπανελθόντας τοὺς τοιούτους ζητεῖν καὶ ἀπολαμβάνειν τόπους. τὸ γὰρ τῶν ἀρμενίων ἄστατον καὶ πολυπλανὲς ἐὰν μὴ διὰ τῆς τοιαύτης νομοθεσίας παιδευθῇ, ἀλλ᾽ ἐπ᾽ ἐξουσίας εἴη τούτοις ἀλλαχοῦ ἀπιέναι καὶ μετοικεῖν[5] καὶ πάλιν ἐπανερχομένοις τοὺς τόπους ἀκωλύτως κατέχειν, πάντα τὰ ἀρμενικὰ οἰχήσονται. ἀλλὰ χρὴ, καθὰ δεδήλωται, τοὺς τῶν ἀναχωρησάντων ἀρμενίων τόπους, εἰ τριετία διέλθοι καὶ μὴ ὑποστρέψαιεν, εἴτε πρὸς φύλαξιν ὡς εἴρηταί τισι παρέχειν εἴτε στρατιώταις ἀνδρισαμένοις ὡς ἀριστεῖον διδόναι. εἰ δέ τινα τῶν τοιούτων ἀρμενικῶν τοπίων εἴτε τῇ βασιλικῇ τῆς λακάπης[6] μονῇ ὡς ἔγραψας ἐπεδόθησαν, εἴτε ἀφωρίσθησαν οἱαισδήποτε κουρατωρείαις, ἢ καί τινι τῶν δυνατῶν οὐ διά τινας κοινωφελεῖς δουλείας ἀλλὰ διὰ μόνην[7] προσπάθειαν ἐδωρήθησαν, τῶν τοιούτων οἱ κληρονόμοι, μὴ μόνον εἰ τριετία διῆλθεν, ἀλλὰ καὶ πρὸ τῆς παρελεύσεως τῶν τριάκοντα χρόνων ὑποστρέφοντες, ἐχέτωσαν ἐπ᾽ ἀδείας ἀναλαμβάνειν τὰ ἴδια. κἂν γὰρ λιβέλλους ἐποπτῶν καὶ χρυσοβούλλια[8] ἐπιφέρονται οἱ ταῦτα εἰληφότες διὰ προσπάθειαν ὡς εἴρηται, τὸ μηδὲν[9] κελεύομεν λογίζεσθαι πάντα, καὶ τοὺς τῶν στρατιωτῶν κληρονόμους τοὺς ἰδίους ἀπολαμβάνειν βουλόμεθα τόπους. εἰ δὲ ἀνταλλαγαὶ παρά τινων ἢ παρ᾽

φονευτῶν s. περὶ φονευσάντων capiti 2 Novellae sive c. 5 Epitomae praeponunt, quasi ex duabus Novellis confecta sit.) Cui ergo imperatori hanc Novellam vindicemus? Ex eo, quod c. 1 de triginta annorum praescriptione sermo est (cf. etiam Nov. II c. 4), quam XL annorum esse Constantinus Porphyrog. Nov. VIII c. 1 jussit, et ex ratione quae inter c. 2 et Nov. ejusdem Constantini XI c. 4 intercedit, nihil certi colligi potest. Nicephorum autem auctorem esse crediderim, quippe cui post res in Asia minori gestas Armenicarum rerum statum et notum et curae cordique fuisse probabile sit. [3] Paris. 1388: περιπεσόντων. [4] Epit. πρόσφυξιν. [5] Labb. μετοιτεῖν, operarum vitio, ut videtur. [6] Labb. vertit Lacapenae. [7] Epit. διὰ χάριν ἢ προσκ. [8] Ibid. χρυσόβουλλα ἐπιφέρωνται. [9] Ibid. ἀντ᾽ οὐδενός.

αὐτῶν ἐδόθησαν, οἱ μὲν στρατιῶται ἀποκομιζέσθωσαν τὰ ἑαυτῶν, ἐκεῖνοι δὲ προσερχόμενοι[10] *διεγκαλείτωσαν, καὶ ἃ δεδώκασι ἐπιζητείτωσαν. εἰ δὲ καὶ βελτιώσεις πεποιήκασιν ἐν αὐτοῖς, εἰ μὲν χρειώδεις αὐταί εἰσιν, οἷον ἀμπελώνων καταφυτεύσεις, μυλοστασίαι*[11]*, ἀχυρῶνες, οἰκήματα, ἕτερα μὴ πολυτελῆ καὶ πρὸς κάλλος ἐξειργασμένα ἀλλὰ λιτότητι στρατιωτῶν ἁρμόζοντα, ὑπὲρ τῶν τοιούτων χρὴ παρέχειν τοὺς ἀπολαμβάνοντας τοὺς τόπους τὰς ἀναλογούσας τιμάς. εἰ δὲ πρὸς κάλλος μόνον καὶ οὐ χρείαν τοιαύτην ἀφορῶσι, τῶν τοιούτων τὴν ὕλην μόνην τοὺς κτίσαντας ἀπολαμβάνοντας ἀναχωρεῖν*[12]*. ὅσοι δὲ τῶν ἀρμενίων ηὐτομόλησαν πρὸς συρίαν, οὗτοι μὴ πρὸ τῆς τριετίας μόνον, ἀλλὰ καὶ πρὸ χρόνου ἑνὸς ὑποστρέφοντες, ἵνα μὴ τοὺς ἰδίους ἀπολαμβάνωσι τόπους, ἀλλὰ τῆς αὐτῶν ἐκπίπτωσι δεσποτείας καὶ ἔχωσι τοῦτο*[13] *εἰς ἐπιτιμίου λόγον· πλὴν τῶν*[14] *ὑποστρεφόντων αὐτῶν καὶ οὕτω χρὴ πρόνοιαν γίνεσθαι διὰ παροχῆς ἑτέρων τοπίων.*

β'. Ἐπὶ δὲ τῶν ἐγκλήματι φόνου περιπιπτόντων ὀφείλεις αὐτὸν μὲν τὸν τὴν μιαιφονίαν ἐργασάμενον τῇ τοῦ νόμου ὑπάγειν τιμωρίᾳ· τὴν δὲ τῆς στρατείας αὐτοῦ γῆν μὴ ἐπιδιδόναι εἰς παραμυθίαν τοῖς τοῦ φονευθέντος παισὶν ἢ συγγενέσιν, ἀλλ' ἐκείνους μὲν διά τινων κινητῶν παραμυθεῖσθαι, τὴν δὲ ἀκίνητον ὕπαρξιν εἰς σύστασιν[15] *τῆς στρατείας συντηρεῖν. εἰ δὲ μὴ κινητὰ πράγματα εἶεν, καὶ οὕτως ὑποτιθέναι*[16] *τοῦ πεφονευκότος διαδόχους πρὸς ἐκπλήρωσιν τῶν ἀνηκόντων εἰς παραμυθίαν τοῖς τοῦ ἀνῃρημένου κληρονόμοις*[17]*, τοὺς δὲ τῆς στρατείας αὐτοῦ τόπους μὴ ἐᾶν ἐκποιεῖσθαι. εἰ δὲ καὶ πάντες οἱ τοῦ αὐτοῦ οἴκου τῷ*[18] *τοῦ φόνου ἐνέχονται μύσει, οὗτοι μὲν τὰς προσηκούσας ἕκαστος τῷ νόμῳ ποινὰς ὑπεχέτωσαν*[19]*, οἱ δὲ τῆς στρατείας ὡς πολλάκις δεδήλωται τόποι ἀλλαχοῦ μὴ παραπεμπέσθωσαν. ἀλλὰ κἂν μήτις ὑπολειφθείη κληρονόμος τὴν στρατείαν ὑπελθεῖν βουλόμενος*[20]*, ἕτερος τοὺς τόπους ἀναλαμβάνων ὑπηρετείτω αὐτῇ.*

---

[10] Epit. *δεηθήτωσαν βασιλέως.* [11] Ibid. *μυλοστάσια.* [12] Ib. additur: *τοῦ πρωτοτύπου σωζομένου.* [13] Labb. *τοῦτον.* [14] Articulum deleverim. [15] Epit. *στάσιν.* [16] Epit. *ὑποκεῖσθαι τοὺς τοῦ πεφ. συγγενεῖς.* Unde *τοὺς τοῦ* in textu emendandum esse censeo. [17] Epit. *τῶν τοῦ ἀνῃρ. συγγενῶν.* [18] Supplevi ex Epit. [19] Epit. *παρὰ τοῦ νόμου π. ὑποδεχέσθωσαν.* [20] Ib. *ὁ τὴν στρ. ὑπ. μέλλων.*

NOV. XIX.

Imp. Nicephori Phocae de monasteriis[1]. (A. 964.)

Νεαρὰ νικηφόρου[2] βασιλέως, ἣν κατὰ τὸ α' ἔτος τῆς αὐτοῦ βασιλείας ἤτοι κατὰ τὴν ζ' ἰνδ. τοῦ ,ςυοβ' ἔτους ὑπηγόρευσε συμεὼν[3] πατρίκιος καὶ πρωτασηκρῆτις, περὶ τοῦ μὴ γίνεσθαι νέα[4] μοναστήρια καὶ γηροκομεῖα, μήτε πλατύνεσθαι ὅλως[5] διὰ τῶν κτημάτων τοὺς εὐαγεῖς οἴκους.

Ὁ τοῦ θεοῦ πατρὸς λόγος πολύν τινα λόγον τῆς ἡμῶν ποιούμενος σωτηρίας, καὶ δεικνὺς ὅπως ἡμῖν ἔσται, καὶ τίνων μὲν ἀπεχομένους, ποίων δὲ δεῖ ἐχομένους ταύτης ἐπιτυχεῖν, τὸν πλοῦτον καὶ τὴν τῶν πολλῶν κτῆσιν ἐπιεικῶς πρὸς ταύτην ἔδειξεν ἐμποδίζοντα, δύσκολον εἶναι τοῖς πλουσίοις τὴν τῆς βασιλείας εἰπὼν εἴσοδον, καὶ τοσοῦτον ἀπερίττους εἶναι βουλόμενος, ὡς μὴ μόνον ῥάβδον ἡμῖν καὶ πήραν καὶ χιτῶνα τὸν δεύτερον, ἀλλὰ καὶ αὐτήν φημι τὴν εἰς αὔριον ἀπαγορεῦσαι τῆς τροφῆς μέριμναν. ἄρτι δὲ βλέπων τὴν περὶ τὰ μοναστήρια καὶ τὰ ἱερὰ ταῦτα σεμνεῖα περιφανῆ νόσον (νόσον γὰρ ἐγὼ τὴν ἀπληστίαν ταύτην καλῶ), οὐκ οἶδα τίνα δὴ τοῦ κακοῦ θεραπείαν ἐπινοήσω, ἢ πῶς κολάσω τὴν ἀμετρίαν. τίσι γὰρ πειθόμενοι τῶν πατέρων ἢ πόθεν λαβόντες τὰς ἀφορμάς, πρὸς τοσαύτην περιττότητα καὶ μανίας ψευδεῖς (κατὰ τὸν θεῖον φα-

---

[1] Haec Novella reperitur in appendice Syn. I, II et III cl.; inde edidit Leunclav. JGR. I p. 113, et ex eo recusa est in Collect. can. ed Rhalli et Potli V p. 261. Praeterea in appendice Syn. I cl. ejusdem epitome exhibetur, hac inscriptione: *Νεαρὰ β' νικηφόρου περὶ μοναστηρίων, ξενώνων καὶ γηροκομείων.* (*Θεσπίζομεν ὅσοι — τίθεμεν.*) Quam epitomen edidit Leuncl. post Syn. p. 47 et in JGR. I p. 113. Denique laudatur a Bals. ad c. 1 syn. Primosec. ed. Rhalli II p. 652, quem locum Bonefid. p. 31 et Leuncl. JGR. I p. 113 ediderunt. — In Cod. Vindob. Supplem. 47 et 48 huic Novellae in fine adscriptum est: *ὅρα· αὕτη ἡ νεαρὰ κατηργήθη παρὰ τοῦ τζυμισχῆ· κακῶς δέ.* Sed vide infra Nov. XXVI. [2] Sic edo ex Syn. II et III cl. In Syn. I cl. inscribitur: *Τοῦ κυροῦ νικηφόρου τοῦ βασιλέως ἡ νέα νομοθεσία* vel *Νεαρὰ νομ. τοῦ βασ. κυροῦ νικηφόρου.* [3] Leuncl. *σιμών.* Is scilicet eandem inscriptionem habet seque haec ex antiquissimis membranis electoralis bibliothecae Palatinae edere profitetur, licet inter Palatinos Syn. II aut III cl. nullus sit Codex. [4] Leuncl. et Syn. III cl. verbum *νέα* non agnoscunt. [5] Def. apud Leuncl.

ναι δαβὶδ) ἐξήχθησαν; γῆς πλέθρα μυρία, φιλοτίμους οἰκοδομὰς, ἵππων ἀγέλας, βοῶν, καμήλων, ἄλλων κτηνῶν ἀριθμοῦ κρειττόνων, ὅσαι ὧραι κτᾶσθαι σπουδάζοντες, καὶ τὴν ὅλην μέριμναν τῆς ψυχῆς περὶ αὐτὰ κατατείνοντες, ὥστε κατ' οὐδὲν τοῦ κοσμικοῦ βίου καὶ πολλαῖς φλεγμαίνοντος ταῖς φροντίσι τὰ μοναχικὰ ταυτὶ διαφέρειν· καίτοιγε τῶν θείων λογίων ἀπεναντίας τούτοις ἡμῖν φθεγγομένων, καὶ φροντίδων τοιούτων ἀπηλλάχθαι τὸ σύνολον διακελευομένων (— μὴ μεριμνήσητε γάρ φησι, τί φάγητε ἢ τί πίητε —) καὶ τὸ τῶν πετεινῶν ἄπραγμον[6] εἰς ὄνειδος ἡμῖν προτιθέντων. τί δὲ καὶ ὁ θεῖος ἀπόστολος; αἱ χεῖρες αὗται, φησιν, ἐμοί τε καὶ τοῖς σὺν ἐμοὶ διηκόνησαν· καὶ, ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα. τὸν βίον ὅρα μοι τῶν θείων πατέρων, τῶν ἐν αἰγύπτῳ φημὶ, τῶν ἐν παλαιστίνῃ, τῶν ἐν ἀλεξανδρείᾳ, τῶν ἀλλαχοῦ πολλαχοῦ γῆς λαμψάντων, καὶ τοῦτον οὕτως λιτὸν εὑρήσεις, οὕτως ἀπέριττον, ὡς σχεδὸν μόνῃ ψυχῇ ζῶντας αὐτοὺς ἀποφαίνειν[7] καὶ τῆς τῶν ἀγγέλων ὥσπερ παραψαύοντας ἀϋλίας. ἄλλως δὲ τοῦ χριστοῦ βιαστὴν ὑπάρχειν τὴν βασιλείαν τῶν οὐρανῶν λέγοντος, καὶ βιαστὰς ἁρπάζειν αὐτὴν, καὶ διὰ πολλῶν θλίψεων δεῖν ἡμᾶς εἰς αὐτὴν ἐλθεῖν, ὅταν ὁρῶ τοὺς πρὸς τοιοῦτον βίον χωρεῖν ἐπαγγελλομένους καὶ τῇ ὑπαλλαγῇ τοῦ σχήματος ὥσπερ σημειουμένους τῇ πολιτείᾳ, σφόδρα τοῦ ἐπαγγέλματος καταψευδομένους καὶ ἀντιφθεγγομένους τῷ σχήματι, οὐκ οἶδα πῶς οὐχὶ σκηνὴν καλέσω τὸ πρᾶγμα, καὶ εἰς βλασφημίαν[8] χωροῦν ἄντικρυς τοῦ ὀνόματος εἴποιμι τοῦ χριστοῦ. ἐπεὶ οὖν οὔτε ἀποστολική τις οὔτε πατρικὴ νομοθεσία ἡ τῶν πολυπλέθρων τούτων ἀγρῶν καὶ τῶν χωρίων κτῆσις τῶν οὕτως ὑπερφυῶν καὶ φροντίδων πλῆθος ὑπὲρ τοὺς καρποὺς γεννᾶν πεφυκότων (πῶς γὰρ οὔ; εἴ γε τούτων[9] μὲν ἡ σπουδὴ τὸ συνῳδὰ πρᾶξαί τε καὶ διδάξαι ταῖς τοῦ χριστοῦ ἐντολαῖς, ἐντολὴ δὲ χριστοῦ οὐχ ἡ τῶν ὑλικῶν κτῆσις, ἀλλ' ἐκ διαμέτρου μᾶλλον ἡ τῶν τοιούτων ἀπόκτησις· εἴπερ ἐκείνου τὸ πωλεῖν τὰ ὑπάρχοντα καὶ διδόναι τοῖς πτωχοῖς), πρόδηλόν ἐστιν, ὡς οὐ φιλαρέτου ταῦτα πολιτείας οὐδ' ἀκριβείας, ἀλλὰ χρείας σωματικῆς μᾶλλον, πρὸς τὸ βιωτικώτερον (οἴμοι) τῶν πνευματικωτέρων ἀποκλινάντων· ἡ χρεία δὲ τῷ χρόνῳ προῆλθεν εἰς ἀμετρίαν, ὥσπερ φιλεῖν οἶδε τὰ χείρω διὰ μικρᾶς ἀφορμῆς καὶ

---

[6] Leuncl. ἄπραγμος, quod emendavi. Rhallis legit παράδειγμα. [7] Leunclav. in marg. ὑποφαίνειν. Fortasse rectius. [8] Ibid. βλάβην. [9] Ibid. τούτοις.

τῆς τυχούσης εἰς μέγα χωρεῖν. τί τοίνυν παθόντες οἱ ἄνθρωποι, πρᾶξαί τι τῶν πρὸς θεοῦ θεραπείαν καὶ λύσιν ἁμαρτημάτων κεκινημένοι, παρορῶσι μὲν εὔκολον οὕτως καὶ φροντίδων ἐλευθέραν[10] τὴν τοῦ χριστοῦ ἐντολὴν, τὸ πωλοῦντας τὰ ὄντα διδόναι πένησιν[11]; ὥσπερ δὲ δύσκολον ταύτην ἐπίτηδες καὶ πραγματωδεστέραν ποιεῖν βουλόμενοι, καὶ φροντίδων ἐγνωκότες πλῆθος ἐπισυνάγειν, πρὸς τὸ μοναστήρια συνιστᾶν, ξενῶνάς τε καὶ γηροκομεῖα ἑαυτοὺς κατατείνουσιν; ὧν ἐν μὲν τοῖς προτέροις χρόνοις ἡ σύστασις, ἕως ἔτι σπάνις ἦν τῶν τοιούτων, πολὺ τὸ εὔλογον εἶχε καὶ χρησιμώτατον· καὶ πῶς γὰρ οὐ μονιμώτερον εἶναι[12] τὸ καλὸν τῶν συνιστώντων ταῦτα, προθυμουμένων τῶν μὲν εἰς ἀνθρωπίνων σωμάτων τροφήν τε καὶ θεραπείαν, τῶν δὲ εἰς ψυχῆς ἐπιμέλειαν καὶ ὑψηλοτέρου βίου διαγωγήν. ἀφ' οὗ δὲ πρὸς πλῆθος ἐπιδέδωκε ταῦτα καὶ ὑπὲρ τὴν χρείαν ἑστήκασι καὶ τὸ μέτρον, τὸ ἔτι παρορᾶν καὶ ἀφίστασθαι τοῦ κατὰ πολλὴν εὐπέτειαν ἀγαθοῦ γινομένου καὶ πρὸς τὴν τῶν εἰρημένων σύστασιν ἀσχολεῖσθαι, πῶς ἄν τις ἀμιγὲς εἶναι κακίας τὸ ἀγαθὸν τοῦτο λογίσαιτο καὶ μὴ τῷ σίτῳ φαίη παραμεμίχθαι καὶ τὰ ζιζάνια; μᾶλλον δὲ πῶς οὐ κενοδοξίας εἴποι προκάλυμμα γίνεσθαι τὴν φιλοθεΐαν, ἵνα φανεροὶ πᾶσιν ὦσι τὸ καλὸν ποιοῦντες, ὥσπερ οὐκ ἀγαπῶντες[13] εἰ μόνους ἔχουσι μάρτυρας τοὺς παρόντας ἧς μετίασιν ἀρετῆς, ἀλλὰ μηδὲ τοῖς ἐπιγινομένοις ἀγνοεῖσθαι ταύτην βουλόμενοι; καὶ ταῦτα τίνες; χριστιανοὶ, φεῦ, οἱ παντὶ τρόπῳ λανθάνειν ἐν τῇ τῶν ἀγαθῶν πράξει κεκελευσμένοι. τοῦτο δὲ πῶς οὐκ ἄν τις ἔκδηλον εἶναι δόξειε καὶ πολλῷ τῷ περιόντι πεπιστευμένον, ὅταν μυρίων[14] ὄντων ἑτέρων τῶν ὑπὸ τοῦ χρόνου πεπονηκότων καὶ πολλῆς δεομένων χειρός τε καὶ βοηθείας ἀμελοῦντες[15] ἡμεῖς τοῦ εἰς ἐκεῖνα δαπανᾶν προθύμως καὶ διορθοῦσθαι ταῦτα καὶ συνιστᾶν, ἐπὶ τὸ καινουργεῖν ἴδια κατὰ πολλὴν φερόμεθα τὴν ὁρμὴν, ἵνα μὴ μόνον ὀνόματος ἀπολαύοιμεν καινοῦ[16], ἀλλὰ καὶ καθαρῶς φαίνοιτο καὶ ἀποτεταγμένον ᾖ τὸ ἡμέτερον, ὡς καὶ τίθεσθαι τὰ ὀνόματα ἡμῶν ἐπὶ τῶν γαιῶν, κατὰ τὸν προφήτην φᾶναι τὸν θεῖον.

α΄. Διὰ τοῦτο καὶ πρὸς τὴν ἐργασίαν τῶν τοῦ χριστοῦ[17] ἐντολῶν ὑμᾶς διεγείροντες καὶ τῆς θεομισοῦς ταύτης φιλοδοξίας

---

[10] Leuncl. ἀπηλλαγμένην. [11] Leuncl. [τοῖς] πέν. [12] Ibid. in marg. εἴη, quod praestat. [13] Malim ἀρκοῦντες. [14] Malim μοναστηρίων. [15] Leuncl. ἀμελοῦντας. [16] Leuncl. in marg. κενοῦ. [17] Ibid. κυρίου.

τὸ κακὸν ἐκκόπτειν βουλόμενοι, καὶ σπουδάζοντες ὅπερ ἂν ἀγαθὸν ποιῶμεν διὰ Θεὸν μόνον ποιεῖν καὶ μὴ συνάπτειν τούτῳ καὶ τὴν ἀνθρωπίνην ἀρέσκειαν, ἵνα μὴ τῆς ἀντιμισθίας πάντως τῆς παρ᾽ αὐτοῦ διαπίπτωμεν (ἀπέχειν γὰρ ἤδη τοὺς τοιούτους ὁ θεῖος λόγος φησὶ τὸν μισθὸν), κελεύομεν τοὺς εὐσεβεῖν βουλομένους καὶ χρηστότητος καὶ φιλανθρωπίας ἔργα ἀνύειν ἀκολούθως τῇ τοῦ χριστοῦ πορεύεσθαι ἐντολῇ, καὶ πωλοῦντας τὰ ὑπάρχοντα διδόναι πένησιν. οὕτως γὰρ περιττοὺς ἡμᾶς εἶναι καὶ φιλοδαπάνους περὶ τὸν ἔλεον βούλεται, ὡς μὴ μόνον ὧν ἔχομεν χρημάτων τοῖς χρῄζουσι κοινωνεῖν, ἀλλὰ καὶ ταῦτα[18] δαπανήσαντας ἐπὶ τὴν πρᾶσιν ἑτοίμως χωρεῖν τῶν κτήσεων. εἰ δέ τινες οὕτως εἰσὶ φιλόκαλοι καὶ μεγαλουργοὶ (καλοῦμεν γὰρ οὕτως αὐτῶν τὸ φιλότιμον), ὡς καὶ μοναστήρια συνιστᾶν βούλεσθαι, ξενῶνάς τε καὶ γηροκομεῖα, ὁ κωλύσων οὐδείς. ἀλλ᾽ ἐπεὶ πολλὰ τῶν ἐκ πολλοῦ τοῦ χρόνου γεγενημένων κεκμήκασιν ἤδη καθάπερ εἴρηται καὶ πρὸς τὸ μηδὲν εἶναι σχεδὸν περιέστησαν, ἐκείνων οὗτοι ἐπιμελείσθωσαν, καὶ διδότωσαν χεῖρα κειμένοις καὶ περὶ αὐτὰ δεικνύτωσαν τὸ φιλόθεον. ἕως δ᾽ ἂν τῶν προλαβόντων οὕτως ἐχόντων αὐτοὶ παρορῶντες, καὶ ὥσπερ ἐπ᾽ αὐτὰ μύοντες καὶ εὐαγγελικῶς εἰπεῖν ἀντιπαρερχόμενοι[19], πρὸς καινῶν ἑτέρων οἰκοδομίας κατατείνονται, οὔτ᾽ ἐπαινέσω τὸ πρᾶγμα οὔτε μὴν τὸ παράπαν ἐάσω γίνεσθαι, οὐδὲν ἕτερον ἢ κενῆς ἔρωτα δόξης καὶ μανίαν περὶ αὐτὴν ὡμολογημένην καὶ εἰδὼς τοῦτο καὶ ὀνομάζων. ἐπιμελεῖσθαι[20] δὲ τῶν προλαβόντων καὶ βοηθείας δεομένων κελεύομεν, οὐκ ἀγροὺς παρέχοντας οὐδὲ τόπους δή τινας καὶ οἰκοδομὰς (ἱκανὰ γὰρ τὰ φθάσαντα, καὶ ἅπερ ἔχοντες τυγχάνουσιν ἐξ ἀρχῆς)· ἀλλ᾽ ἠμελημένα ταῦτα καὶ ἀκαμῇ καὶ ἀνέργαστα δι᾽ ἀπορίαν κείμενα χρημάτων, ἐκεῖνοι τοὺς ἀγροὺς οὓς ἔχουσι καὶ τοὺς τόπους ἀπεμπολοῦντες πρὸς οὓς τῶν κοσμικῶν βούλονται, προνοίας αὐτὰ τῆς προσηκούσης καταξιούτωσαν, οἰκέτας παρέχοντες, βόας, ποίμνια, τἆλλα ὅσα ἕτερα τῶν κτηνῶν. εἰ γὰρ αὐτοὺς ἐκείνους οὓς ἔχομεν ἀγροὺς καὶ τόπους παράσχοιμεν, ἐπεὶ τὰ τῶν οἴκων καὶ τῶν ἐκκλησιῶν ὁ νόμος εἴργει πιπράσκεσθαι, εἰς ταὐτὸν ἥξομεν τῷ προτέρῳ, καὶ τὰ κακῶς ἔχοντα καὶ πεπονηκότα καταλείψομεν ἀθεράπευτα, χρημάτων οὐκ ὄντων, οὐδὲ τῆς χειρὸς ἐχούσης τὶ τῶν προεστηκότων[21] καὶ δυναμένης. ὥστε ἀπὸ τοῦ νῦν[22] μηδενὶ ἐξέστω μὴ

---

[18] Leunclav. αὐτά. [19] Ibid. παρερχ. [20] Hinc Epitome nonnullis mutatis incipit. [21] Leuncl. in marg.: „al. προσηκόντων". [22] Bals., qui se-

ἀγροὺς, μὴ τόπους μοναστηρίοις ἢ γηροκομείοις ἢ ξενῶσιν ὁπωσοῦν παραπέμπειν, ἀλλ' οὐδὲ μητροπόλεσιν ἢ ἐπισκοπείοις[23]· *οὐδὲ γὰρ οὐδὲν ἐκείνοις λυσιτελεῖ. εἰ δέ τινα τῶν φθασάντων εὐαγῶν οἴκων ἢ μοναστηρίων*[24] *τοιαύτης φαύλης ἔτυχον*[25] *χειρὸς καὶ προνοίας, ὡς ἔρημα τόπων καταλελεῖφθαι, τούτοις*[26] *γνώμῃ βασιλικῇ καὶ δοκιμασίᾳ ἡ τῶν ἀρκούντων κτῆσις οὐ κωλυθήσεται. κελλία δὲ καὶ τὰς καλουμένας λαύρας ἐν ἐρήμοις οἰκοδομεῖν, μὴ πρὸς κτήσεις καὶ ἀγροὺς ἑτέρους*[27] *ἐκτεινομένας, ἀλλὰ τῇ περιοχῇ μόνῃ τῇ ἰδίᾳ ὁριζομένας, τοσούτῳ τοὺς βουλομένους οὐκ εἴργομεν, ὅσῳ καὶ δι' ἐπαίνου μᾶλλον τὸ πρᾶγμα τίθεμεν*[28].

Ταῦτα παραινῶν ἐγὼ καὶ νομοθετῶν οἶδ' ὅτι τοῖς πολλοῖς μὲν καὶ φορτικὰ λέγειν δόξω, καὶ πρὸς τὴν γνώμην αὐτῶν ἀπᾴδοντα· ὧν οὐδὲν ἐμοὶ μέλον[29], *εἴπερ ἀρέσκειν*[30] *κατὰ* ***Παῦλον*** *οὐκ ἀνθρώποις, ἀλλὰ θεῷ βούλομαι. τοῖς δὲ νοῦν ἔχουσι καὶ φρένας, καὶ μὴ ἐξ ἐπιπολῆς ὁρᾶν ἠσκημένοις*[31] *ὡς τὸ προσπεσὸν ἁπλῶς ταραχὴν αὐτῶν ἐπάγειν τῇ διανοίᾳ, ἀλλὰ προσωτέρω χωροῦσι καὶ συνορᾶν βάθος πραγμάτων δυναμένοις, καὶ λυσιτελῆ δόξομεν καὶ ὠφέλιμα τοῖς τε κατὰ θεὸν ζῶσι καὶ τῷ κοινῷ παντὶ φθέγξασθαι*[32].

NOV. XX.

Imp. Nicephori Phocae

ut potentes a potentibus dumtaxat et milites et pauperes a paribus emant, et de his qui ante tempus famis praedia comparaverunt[1].

(A. 967.)

Νεαρὰ[2] *νικηφόρου βασιλέως, ἣν ὑπηγόρευσε συμεὼν*

---

quentia verbotenus habet, addit: *ὅπερ ἐστὶν ἡ ἀρχὴ τῆς ζ' ἰνδ.* [23] Idem: *ἐπισκοπαῖς*, et mox *οὐδὲν γὰρ οὐδέ.* [24] Idem addit: *εἴτε μὴν ἐπισκοπῶν ἢ μον.* Epit. *ἢ μον. ἢ μητροπόλεων ἢ ἐπισκοπείων.* [25] Leuncl. in textu *ἔτυχον τινὸς*, ad marg. *ἔτυχε.* [26] Idem in textu *τούτων.* [27] Ibid.: *πρὸς κτήσεσι καὶ ἀγροῖς ἑτέροις.* [28] Hactenus Bals. et Epit. [29] Leuncl. in marg. *μέλλον.* [30] Ibid. *ἀρέσαι.* [31] Forte *ἠρκημ.* [32] Nonnulli Codices: *φθέγγεσθαι.*

[1] Extat haec Novella in appendice Syn. II et III cl., unde edidit Labbaeus p. 97. Appendix Syn. I cl. epitomen continet in duas partes divisam, quarum priori „*Νεαρὰ γ' νικηφόρου περὶ τοῦ ἐξωνεῖσθαι δυνατοὺς ἀπὸ δυνατῶν [καὶ ὅμοιον ἐξ ὁμοίων]*“, alteri vero „*Νεαρὰ ε' νικηφόρου βοηθοῦσα τοῖς ἐξωνησαμένοις πρὸ τοῦ καιροῦ τῆς ἐνδείας*“ inscribitur; utramque edidit Leuncl. post Syn. p. 48 sq. et in JGR. II p. 170 sq. Prioris epitomae particulam praestat Harm. III, 3, 114, quem locum edidit Bonefid. p. 29. [2] Paris. 2005: *Τοῦ αὐτοῦ νεαρὰ*

πατρίκιος καὶ πρωτασηκρῆτις, περὶ τοῦ προτιμᾶσθαι τῶν πενήτων τοὺς δυνατοὺς εἰς ἐξώνησιν τῶν παρὰ τῶν δυνατῶν πιπρασκομένων.

Πατὴρ δίκαιος ὁ πάντας τοὺς παῖδας ἐπίσης περιποιούμενος, καὶ ζυγὸς δικαιοσύνης καὶ ἰθυτενὴς στάθμη καὶ κανὼν ἀκριβὴς, ὁ κύριος ἡμῶν καὶ θεὸς, μὴ ἑτεροῤῥεπὴς ὢν μηδὲ ἀπὸ τοῦ ἀνίσου τιμώμενος, ἀλλὰ μᾶλλον ἀπὸ τοῦ κήδεσθαι πάντων ὁμοίως, καὶ διὰ πάντας κατεσκεύασε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν τούτοις περιεχόμενα. κατὰ τοῦτο δὴ καὶ τοὺς βασιλεύειν λαχόντας προσήκει πλέον ἐκεῖνον μιμεῖσθαι, καὶ πρὸς πάντας τοὺς ὑπὸ χεῖρα φυλάττειν τὸ ἴσον καὶ προνοεῖσθαι τῶν ἁπάντων κοινῶς, ὡς ἐννόμους ἐπιστασίας παρὰ τῶν παλαιῶν νομοθετῶν[3] ἐπονομασθέντας καὶ κοινὸν καὶ ἰσόῤῥοπον ἀγαθόν. ἐπεὶ οὖν οἱ πρὸ ἡμῶν βεβασιλευκότες διὰ τὴν γενομένην κατὰ τὸν τότε καιρὸν ἔνδειαν νομοθεσίαν[4] ἐξέθεντο, κωλύοντες τοὺς δυνατοὺς μὴ τὰ τῶν πενήτων τε καὶ στρατιωτῶν ἐξωνεῖσθαι καὶ καλῶς ποιοῦντες, προσέθεντο δὲ ἐν αὐτῇ, καὶ τὴν προτίμησιν τοὺς πένητας δέχεσθαι εἰς τὰ τῶν δυνατῶν κτήματα, μὴ μόνον ἐξ ἀνακοινώσεως, ἀλλὰ καὶ ἐξ ὁμοτελείας, καὶ πάντῃ τοὺς καθ' ἑκάστην αὐξανομένους ἀπέκλεισαν, μὴ δόντες τὴν οἱανοῦν τούτοις παρείσδυσιν ἐπικτήσεως, ἀλλὰ μᾶλλον καὶ τοὺς προγεγονότας εὐπόρους ἐκ τοῦ προτιμᾶσθαι τοὺς πένητας εἰς τὴν ἐξώνησιν στενώσει καὶ ἀπορίᾳ συζῆν πεποιηκότες, καὶ μηδ' ὅλως περὶ τῆς τούτων φροντίσαντες σωτηρίας καὶ μᾶλλον εἰπεῖν ἐκ τούτου μηδὲ ἐπὶ τῶν αὐτῶν διαμένειν τούτοις συγχωρήσαντες, ἑτεροῤῥεπεῖς τε ἔδοξαν καὶ τὸ πᾶν τῆς ῥωμαϊκῆς δυνάμεως ἐκ τούτου τοῦ ῥήματος εἰς τὸ μὴ ὂν περιέστησαν καὶ κατέλυσαν. καὶ οὐδὲ εὑρίσκετο τὸ σπουδαζόμενον διὰ τὸ ἀδύνατον πάντως διενεργούμενον. τὸ[5] ἡμέτερον κράτος τὴν ἴσην νομοθεσίαν πρὸς ἅπαντας σπεῦδον διαμένειν[6] τε καὶ φυλάττεσθαι, τὸν κατωτέρω ῥηθησόμενον νόμον μὴ παντελῶς ἀνατρέποντα τὴν νομοθεσίαν, μᾶλλον δὲ καὶ τὸ ἴσον καὶ μόνιμον αὐτῇ περιποιούμενον, κατὰ τὴν δεκάτην ἰνδικτίωνα[7] τρανῶς ἐξεφώνησεν οὕτως.

α΄. Θεσπίζομεν τὴν παρὰ τῶν προβεβασιλευκότων ἐκτεθεῖσαν νομοθεσίαν διενεργεῖν καὶ ταύτην ἐπικυροῦμεν ἐν ἅπασι,

---

ἣν ὑπηγ. ὁ αὐτὸς συμεὼν περὶ τοῦ κτλ. [3] Epanag. II, 1. [4] Indicatur Nov. II et V. [5] Aliquid deest. Forte τοίνυν τὸ, vel τὸ οὖν. [6] Legerim διανέμειν. [7] Ind. X in a. 967 incidit.

πλὴν κατὰ τοῦτο μόνον ἀργεῖν αὐτὴν παρακελευόμεθα, ὥστε μὴ προτιμᾶσθαι[8] τοὺς πένητας εἰς τὸ διαπωλούμενον[9] κτῆμα τοῦ δυνατοῦ, μήτε ἐξ ὁμοτελείας μήτε ἐξ ἀνακοινώσεως, κἄντε στρατιῶται κἄντε πολιτικοὶ ἐφευρίσκονται· ἀλλὰ τὴν τούτου πάλιν διαδέχεσθαι[10] δεσποτείαν ἀρχοντικὸν πρόσωπον, τὸ πρὸς ἀνάπαυσιν δηλονότι καὶ ὠφέλειαν τῶν συμπαρακειμένων ἐν τούτῳ πενήτων ἀναφαινόμενον, ὅπερ καὶ μετὰ τὸ δεσπόσαι τοῦ κτήματος παραβλάπτειν τοὺς γειτονοῦντας κατανοούμενον ὡς βίαιον καὶ κακὸν μὴ μόνον ἀπὸ τῆς ἐπικτήσεως, ἀλλὰ καὶ ἀπὸ τῶν γονικῶν ἐκδιώκεσθαι κελεύομεν. καὶ τοὺς μὲν δυνατοὺς ἐκ δυνατῶν μόνον ποιεῖσθαι τὰς ἐξωνήσεις βουλόμεθα, τοὺς δὲ στρατιώτας καὶ πένητας ἐκ τῶν τὴν ὁμοίαν τάξιν λαχόντων αὐτοῖς. καὶ ὥσπερ τούτους ἐκωλύσαμεν τοῦ μὴ ἐξωνεῖσθαι τὰ τῶν δυνατῶν, οὕτως πάλιν ἐκείνους ἀπείργομεν τοῦ μὴ ἐκ πενήτων τε καὶ στρατιωτῶν ἀπόρων ποιεῖσθαι τὰς ἐξωνήσεις, μηδὲ τὴν ὁμοτέλειαν ἢ ἀνακοίνωσιν προβάλλεσθαι εἰς δικαιοσύνην, εἰς ἣν πρὸς ἅπαντας τὴν νομοθεσίαν ποιούμενοι, καὶ μὴ τῶν μὲν πλέον κηδόμενοι τῶν δὲ ἔλαττον[11].

β'. Ἐπειδὴ δὲ καὶ ἡ τῶν τεσσαράκοντα χρόνων παραδρομὴ ἀνέγκλητος μὲν καὶ ἀνεπιφώνητος παραῤῥέουσα[12] τὸ δίκαιον ἐπεβράβευε τοῖς τὰ ἐκ τῶν στρατιωτῶν προσκτηθέντα κατέχουσι[13], περικοπτομένη δὲ διὰ τῶν ἐπιφωνήσεων καὶ ἀναποδίζουσα καὶ τοὺς πρὸ τῆς ἐνδείας τὰς ἐπικτήσεις ποιησαμένους ἐβάρυνε, καὶ ἀποστερεῖσθαι τούτων ἐποίει πολλάκις ἀδιαφόρως ἐνεργουμένη· διοριζόμεθα, τοὺς καλῇ πίστει πρὸ τοῦ καιροῦ τῆς ἐνδείας εὑρισκομένους ποιῆσαι τὴν ἐπίκτησιν ἀπὸ στρατιωτῶν καὶ πολιτικῶν ἀμερίμνους διάγειν, καὶ μὴ ἐνεργεῖν τὴν τεσσαρακονταετίαν καὶ ἐν τούτῳ ἀναποδίζουσαν ἐξ ἐπιφωνήσεως[14], μηδὲ τὸ καθόλου παρασαλεύεσθαι καὶ μετακινεῖσθαι τὴν δεσποτείαν αὐτῶν, εἰ μὴ εἰς μόνους τοὺς ἐξ ἁρπαγῆς τὰς ἐπικτήσεις ποιησαμένους καὶ ἐκ βιαίας νομῆς καὶ κακῆς πίστεως, ὡς ἐπιπηδῶντας τοῖς ἀλλοτρίοις καὶ τοῦ πλείονος προῖκα ἐφιεμένους[15]· διὰ τὸ παλαιὸν νόμον[16] εἶναι τότε τὸν παρακελευόμενον τὴν ἐξώνησιν,

---

[8] Epit. ἵνα μὴ προτιμῶνται οἱ πένητες. [9] Ib. ἀπεμπολ. [10] Leuncl. in marg. διεκδέχηται. [11] Epit. εἰς δικαίωσιν πρὸς ἅπαντας τὴν νομοθ. ποιούμενοι. Hinc equidem emendaverim: εἰς δικαίωσιν ἐάσομεν, πρὸς κτλ. [12] Epit. παραδραμοῦσι. Et Leuncl. in marg. ἀνεγκλήτως μὲν καὶ ἀνεπιφωνήτως. [13] Nov. VIII c. 1. — Cf. Πεῖρα IX, 3. 4. [14] Eo ipso nimirum tempore, quo haec lex data est, XL anni post famem illam praeterlapsi erant. [15] Hactenus epitome, quae et verbum προῖκα omittit. [16] Cf. Coll. II Nov. 114.

μετὰ τοῦτο δὲ παρὰ τῆς νομοθεσίας τῆς ἐκτεθείσης κατὰ τὴν ἔνδειαν ἐπισχεθῆναί τε καὶ ἀνατραπῆναι.

NOV. XXI.

Imp. Nicephori Phocae de aedificiis a potentibus in praedio a pauperibus comparato exstructis[1]. (A. 967.)

Νεαρὰ δ' νικηφόρου περὶ οἰκημάτων.

Ἐπειδήπερ τινὲς τῶν κεκωλυμένων ἀπὸ τῶν νεαρῶν νομοθεσιῶν ἐξωνεῖσθαι καὶ πλατύνεσθαι προσώπων ἔτυχον ἐκ γονικῆς κληροδοσίας ἀκίνητον κτῆσιν ἐν χωρίοις ἢ ἀγριδίοις εἰληφότες, ἐξωνήσαντο δὲ μετὰ ταῦτα ἀπὸ τῶν συγχωριτῶν αὐτῶν σμικρά τινα καὶ ὀλιγοστὰ τόπια, ἐν οἷς οἰκήματα πολύτιμα καὶ ἀπειρομεγέθη ἐδείμαντο πλεῖστα εἰς ἀνοικοδομὴν αὐτῶν καταβαλλόμενοι· δεῖν ᾠήθημεν μὴ διὰ τὰ σμικρὰ ταῦτα καὶ ὀλιγοστὰ τόπια καταστρέφεσθαι τὰς ἐπ' αὐτοῖς δομηθείσας ἀπειρομεγέθεις καὶ πολυτίμους οἰκίας, ἀλλ' ἀντὶ τῶν πεπραμένων τοπίων λαμβάνειν μὲν τοὺς πεπρακότας, εἴπερ ἐν τοῖς ζῶσιν εἰσὶν, ἢ μὴ ὄντων αὐτῶν τοὺς τούτων κληρονόμους ἢ συγκληρονόμους διπλοῦν τὸ ποσὸν τοῦ καταβληθέντος τιμήματος ἢ γῆν διπλασίονα τῆς αὐτῆς τῶν πεπραμένων ποιότητος καὶ ποσότητος οὖσαν, καὶ μὴ ἀποστερεῖσθαι τοὺς ἠγορακότας τῶν ἰδίων ἐμπονημάτων.

NOV. XXII.

Imp. Nicephori Phocae de fundis militaribus[1]. (Inter 963—969.)

Περὶ τῶν ἀπεμπολησάντων στρατιωτῶν τόπους αὐτῶν, εἶτα τούτους ἐπιζητούντων.

Ἀνήγαγεν ὁ πρωτοσπαθάριος βασίλειος, ὁ ἐπὶ τῶν δεήσεων, ὅτι τόπους ἀναλαμβανομένους ἀναργύρως ἀποδίδωσι τοῖς

[1] Haec Novella servata est in app. Syn. cl. I: unde edidit Leuncl. post Syn. p. 49 in JGR. II p. 171, hoc titulo: Νικηφόρου τοῦ φωκᾶ νεαρὰ δ' π. οἰκ. — Equidem membrum disjectum praecedentis Novellae esse existimaverim.

[1] Hanc edidit Leuncl. JGR. II p. 168 tamquam Νικηφόρου τοῦ φωκᾶ νεαρὰν α'. Unde sumserit in obscuro est.

στρατιώταις, διὰ τὸ ἐν αὐτοῖς ἐκείνοις εὑρεθῆναι αὐτοὺς στρατευθέντας· καὶ ἐδείξατο, ὅτι τοῦτο δυσχερὲς εἶναι δοκεῖ, τὸ μὴ ἔχειν ἐξουσίαν τινὰ ἐκ τῶν ὑπαρχόντων αὐτῷ τοπίων ἀλλαχοῦ διαπιπράσκειν, οἵας ἂν καὶ ὅσης δεσπόζει περιουσίας.

α΄. Διὰ ταῦτα μέχρι μὲν τοῦ νῦν ἐπὶ τοῖς διαπωλήσασι στρατιώταις τόπους αὐτῶν τοιαύτην βουλόμεθα νομοθεσίαν κρατεῖν, ὥστε τῷ στρατιώτῃ τεσσάρων λιτρῶν ἀκίνητον περιουσίαν εὐπρόσοδον ἀφορίζεσθαι λόγῳ τῆς στρατείας αὐτοῦ· καὶ εἰ ταύτην ἔχων εὑρεθῇ ἀλλαχοῦ διαπωλήσας τόπον ἕτερον αὐτοῦ, εἶτα νῦν ἐπιζητῶν, ἵνα γένηται μὲν ἐν προτιμήσει τοῦτον[2] ἀπολαβεῖν, πλὴν μὴ ἀναργύρως, ἀλλὰ τῇ τοῦ δικαίου καταβολῇ τιμήματος. εἰ δὲ μέρος τὶ τῶν τεσσάρων λιτρῶν τῆς ἀκινήτου εὐπροσόδου ὑπάρξεως διεπώλησε, τὸ τοιοῦτον ἀναργύρως ἀπολαμβάνειν.

β΄. Ἀπὸ δὲ τοῦ νῦν, ἐπεὶ τὰ τῶν κλιβανοφόρων καὶ ἐπιλωρικοφόρων κίνησιν ἔλαβε, διακελευόμεθα, μὴ ἔχειν ἐπ᾽ ἀδείας μηδένα ἁπλῶς στρατιώτην ἀλλαχοῦ διαπιπράσκειν ἀπὸ τούτου[3] ἀκίνητον ὕπαρξιν, εἰ μὴ ἐπέκεινα ἔχει ιβ΄ λιτρῶν ἀκίνητον εὐπρόσοδον περιουσίαν· ἀλλ᾽ εἴ τι μὲν ἐκ τῆς εἰς τοσαύτην συγκεφαλαιουμένης ποσότητα τοιαύτης ὑπάρξεως ἀπεμπόλησεν, ἵνα ἀναλαμβάνῃ ἀναργύρως· εἴ τι δὲ ἐπέκεινα ταύτης ἔχων (τῶν δυοκαίδεκα λιτρῶν δηλονότι) διεπώλησεν, εἶτα τοῦτο ἐπιζητεῖ, μὴ ἀναργύρως ἀπολαμβάνειν, ἀλλὰ τὸ προσῆκον ἐπιδιδοὺς τίμημα.

NOV. XXIII.

Imp. Nicephori Phocae aurea bulla de patriarchatu Antiochensi[1].

Non extat.

---

[2] Leuncl. τοῦτο. [3] Malim τούτων.

[1] Laudatur in tractatu περὶ μεταθέσεων apud Leuncl. JGR. I p. 294 et 295: „ἀπὸ τῆς αὐτῆς ἐπισκοπῆς φλαδιάδος (l. φλαβιάδος) ὁ κῦρος νικηφόρος ὁ φωκᾶς κοινῇ ψήφῳ διὰ χρυσοβούλλου αὐτοῦ ἀγαγὼν τὸν ἐπίσκοπον εὐστράτιον ἐποίησε χειροτονηθῆναι πατριάρχην ἀντιοχείας τῆς μεγάλης, ἀποσπασθείσης τῆς δηλωθείσης ἐπισκοπῆς ναυάρζου καὶ ἑνωθείσης τῷ πατριαρχείῳ ἀντιοχείας“.

NOV. XXIV.

Imp. Nicephori Phocae de metropoli Patrensi[1].

Non extat.

NOV. XXV.

Imp. Joannis Tzymischis de vectigali captorum mancipiorum[1]. (Inter 972—975.)

Νεαρὰ νομοθεσία Ἰωάννου βασιλέως περὶ τοῦ κομμερκίου τῶν ἁλωσίμων ψυχαρίων[2].

Ἀδιορίστου καὶ ἀδιαστίκτου τῆς ὑποθέσεως τυγχανούσης τοῦ κομμερκίου τοῦ ἀπὸ τῶν ἁλωσίμων ψυχαρίων ἐπερχομένου[3] τῷ δημοσίῳ, καὶ τοῦ νόμου διαγορεύοντος[4] ἀκομμέρκευτα διαμένειν τὰ ζωγρούμενα παρὰ τῶν στρατιωτῶν καὶ δορύκτητα κατονομαζόμενα, καὶ ποτὲ μὲν τῶν[5] παρὰ τῶν πενεστέρων χειρουμένων στρατιωτῶν μᾶλλον κομμερκευομένων, ποτὲ δὲ τῶν

---

[1] Laudatur in Leuncl. JGR. I p. 279. — Bonefidius JO. I p. 28—30 ex Cedreno et Zonara nonnulla affert, quae ad acta Nicephori Phocae pertineant. Primum est de moneta ex Zonara: „*Μέχρι γὰρ ἐκείνου παντὸς νομίσματος ἑξαγίου σταθμὸν ἕλκοντος, ἐκεῖνος τὸ τετάρτηρον ἐπενόησε, κολοβώσας αὐτὸ κατὰ τὸν σταθμόν,*“ et ex Cedreno: „*Ἠλάττωσε δὲ καὶ τὸ νόμισμα, τὸ λεγόμενον τετάρτηρον ἐπινοήσας. διπλοῦ δὲ τοῦ νομίσματος ἔκτοτε γεγονότος, ἡ μὲν εἴσπραξις τῶν δημοσίων φόρων τὸ βαρύτερον ἀπῄτει, ἐν δὲ ταῖς ἐξόδοις τὸ μικρὸν ἐσκορπίζετο. νόμου δὲ καὶ ἔθους ὄντων, πάντα χαρακτῆρα βασιλέως, εἰ μὴ τῷ σταθμῷ ἐλαττοῖτο, δύναμιν εἰσφέρειν καὶ ἔχειν ἰσότιμον, ὁ δὲ τὸν ἑαυτοῦ προκεκρίσθαι ἐνομοθέτησεν ὑποβιβάσας τοὺς τῶν ἄλλων.*“ — Alterum ex Cedreno est, qui quidem alludit ad Nov. XX, et sic pergit: „*νόμον . . . ἐν ᾧ καί τινες ἐπίσκοποι . . . ὑπέγραψαν, διοριζόμενον, μὴ ἄνευ τῆς αὐτοῦ γνώμης καὶ προτροπῆς ἐπίσκοπον ἢ ψηφίζεσθαι ἢ προχειρίζεσθαι,*“ qui locus fortasse respicit ad auream bullam supra Nov. XXIII laudatam.

[1] Haec Novella fere inest appendici Syn. II et III cl. Primus edidit Witte in *Ἀνέκδ.* ed. Heimb. II p. 276 ex Codd. Laur. LXXX, 8 et Pariss. 1351 et 2005.
[2] Ducange (post glossar. in ind. auct. ined. p. 28) de Joanne Comneno cogitavit, dum hanc Nov. ex Cod. Paris. qui nunc est 2005 allegat. Sed in indice Codicis Laur. IV, 10 Joannes Tzymisches indicatur his verbis: *τζυμισχοῦ περὶ τοῦ κομμ. κτλ.* [3] Laur. *ἐπερχομένων.* [4] Vide l. 9 §. 7 D. *de publicanis* 39, 4; l. 3. 7 C. *de vectigalib.* Coll. I Nov. 29 not. 1. [5] Articulus deest in Laur.

ὀφειλόντων κομμερκεύεσθαι διαβιβαζομένων παρὰ δυνατῶν ἴσως προῖκα καὶ ἀμισθὶ, ὡς ἐκ τούτου ζημίαν[6] μὲν τῷ κοινῷ προξενεῖσθαι, ζημίαν δὲ παντὶ τῷ στρατῷ, ἡ βασιλεία ἡμῶν ἀμφοτέρων προνοουμένη καὶ τὸ μὲν ἄδικον ἐκκόπτουσα εἰ[7] τάχα καὶ περιττὸν, τὸ δὲ δίκαιον βεβαιοῦσα εἰ καὶ ἐνδεέστερον, διεγείρουσα δὲ καὶ τὸ πρόθυμον τοῦ στρατιώτου, ἐκεῖνα βούλεται ἀπὸ τῆς σήμερον κομμερκεύεσθαι καὶ μὴ, ὅσα παραδηλώσει κατὰ μέρος ὁ κατωτέρω διορισμός.

α'. Θεσπίζομεν τοιγαροῦν, ἵνα εἴ τις ἐκ τῶν στρατιωτῶν δρουγγάριος εἴτε κανδοφόρος[8] εἴτε κόμης εἴτε σχολάριος ἢ ἕτερος οἱοσδήποτε στρατιώτης μικρὸς ἢ μέγας, ταγματικὸς ἢ[9] θεματικὸς, διαπωλήσει ψυχάρια ἢ ἀποχαρίσεταί[10] τινι τῶν συνταξειδαρίων αὐτοῦ, εἴτε καὶ τῷ στρατηγῷ[11] ἢ ἑτέρῳ προέχοντι[12] ἄρχοντι καὶ ἐν τῷ ταξειδίῳ διάγοντι, μὴ ἔχῃ[13] ἐξουσίαν τὶς κομμερκεύειν αὐτά. εἰ δὲ ἐξ αὐτῶν τῶν στρατιωτῶν τινες, εἴτε στρατηγὸς εἴτε τουρμάρχης εἴτε λοιποὶ ἄρχοντες ταγματικοὶ καὶ θεματικοὶ παράσχωσιν ἀνθρώποις αὐτῶν ψυχάρια, καὶ ἀποστείλωσι ταῦτα δωρεᾶς τρόπῳ εἴς τινα πρόσωπα τὰ ἐπὶ τῆς βασιλευούσης διάγοντα ἢ ἔξωθεν διατρίβοντα, ἢ καὶ πολλάκις πρὸς τὸν ἴδιον οἶκόν τε καὶ τὰ κτήματα ἢ καὶ πρὸς συγγενεῖς παραπέμψονται ἀπὸ τούτων, ἵνα μηδὲ αὐτὰ κομμερκεύωνται· πλὴν εἰ ἐξ αὐτῶν τῶν στρατιωτῶν τινες ἐξελθόντες εἰς τὰ ἐμπόριά τε καὶ χωρία τῆς ῥωμαϊκῆς γῆς ἀπεμπολήσουσι ψυχάρια εἰς τοὺς κατὰ τὸν[14] τόπον ἄρχοντας, τοὺς μὴ παρευρεθέντας ἴσως εἰς ταξείδιον, οὗτοι δὲ (οἱ ἐξωνησάμενοι δηλονότι) θελήσουσι ταῦτα διαπωλῆσαι εἴτε[15] καὶ ἀποχαρίσασθαι προσώποις ἑτέροις, ἵνα παρέχωσι τὸ κομμέρκιον. ἐὰν δέ τινες ἐκ τῶν ἀρχόντων τῶν μὴ ταξειδευόντων ἀνθρώπους αὐτῶν μετὰ τὴν ἐξέλευσιν τοῦ φοσσάτου τὴν γενομένην ἀπὸ τῆς πολεμίας γῆς ἀποστείλωσι τοῦ ἐξωνήσασθαι ψυχάρια, ταῦτα ἵνα κομμερκεύωνται, τῶν ἀγοραστῶν δηλονότι παρεχόντων τὸ κομμέρκιον. καὶ ταῦτα μὲν περὶ τῶν καβαλλαρίων στρατιωτῶν.

β'. Περὶ δὲ τῶν πλωΐμων τοῦτο θεσπίζομεν, ἵνα ὅσοι μὲν εὑρίσκονται[16] κάστρα πολιορκοῦντες εἴτε κουρσεύοντες μετὰ τοῦ

---

[6] Laur. hic et mox ζημία nominativo casu. [7] Idem et Par. 2005: εἰ καὶ τ. [8] Sic Codd. Witte κουδοφόρος, Ducange βανδοφόρος conjiciunt. [9] Laur. καί. [10] Par. 2005: ἀποχαρίσηται. [11] Laur. et Par. 2005: τὸν στρατηγόν. [12] Par. 1351: προσέχ. [13] Laur. et Par. 2005: ἔχειν. [14] Articulum non habet Par. 1351. [15] Laur. εἰ (l. ἢ). [16] Par. 2005: εὑρίσκωνται.

καβαλλαρικοῦ στρατοῦ εἰς πολεμίαν γῆν καὶ ψυχάρια χειρούμενοι, μὴ παρέχωσι τὸ κομμέρκιον· ὅσοι δὲ διερχόμενοι εἰς τὰ ἐμπόριά τε καὶ χωρία ἐξωνήσονται ἀπὸ πραγματευτῶν ἢ καὶ βουλγάρων[17] ψυχάρια, ἢ καὶ ἐξ ἄλλης τῆς οἱασδήποτε προσκτήσονται ὑποθέσεως εἴτε ἀπὸ χαριστικῆς ἔχουσιν, ἵνα κομμερκεύωνται. ἐὰν δὲ μὴ ὄντος πολέμου κατὰ δόλον τινὲς τῶν πλωΐμων ἀπολείψουσι[18] ψυχάρια, ἵνα μὴ μόνον τὸ κομμέρκιον παρέχωσι πρὸς τὸ τοῦ δημοσίου μέρος, ἀλλὰ καὶ εὐθύνην ὑφίστανται. εἰ δὲ συμβῇ πολλάκις ἐπὶ τὸ αὐτὸ εἶναι καὶ πλωΐμους μετὰ τοῦ καβαλλαρικοῦ στρατοῦ, καί τινες ἀπὸ τῶν ἀρχόντων τῶν καβαλλαρίων ψυχάρια διαπωλήσωσιν ἢ καὶ ἀποχαρίσωνταί τισι τῶν πλωΐμων, ἵνα μηδὲ αὐτὰ κομμερκεύωνται.

NOV. XXVI.

Imp. Basilii Porphyrogeniti, quae legem Nicephori de monasteriis tollit[1]. (A. 988.)

Νεαρὰ τοῦ εὐσεβοῦς ἡμῶν βασιλέως βασιλείου τοῦ νέου τὴν κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν εὐαγῶν οἴκων νομοθεσίαν τοῦ νικηφόρου βασιλέως τέλεον ἀναιροῦσα[2].

Ἡ ἐκ θεοῦ βασιλεία ἡμῶν καὶ παρὰ μοναχῶν ἐπ' εὐλαβείᾳ καὶ ἀρετῇ μαρτυρουμένων καὶ παρὰ πολλῶν ἄλλων ἀναμαθοῦσα τὴν περὶ τῶν ἐκκλησιῶν τοῦ θεοῦ καὶ τῶν εὐαγῶν οἴκων[3] παρὰ τοῦ τῆς βασιλείας ἐπιβάντος κυροῦ νικηφόρου τεθεῖσαν νομοθεσίαν αἰτίαν καὶ ῥίζαν τῶν παρόντων γενέσθαι κακῶν καὶ τῆς οἰκουμενικῆς ταύτης ἀνατροπῆς καὶ συγχύσεως, ἅτε μὴ πρὸς ἀδικίαν καὶ ὕβριν τῶν ἐκκλησιῶν μόνον καὶ τῶν εὐαγῶν οἴκων ἀλλὰ καὶ αὐτοῦ τοῦ θεοῦ γενομένην, ἄλλως τε δὲ καὶ ἔργῳ τοῦτο βεβαιωθεῖσαν[4] (ἐξ ὅτου γὰρ τὰ τῆς τοιαύτης

---

[17] Witte hinc colligere voluit, praesentem constitutionem post pacem cum Sphendosthlavo, Russorum regulo, anno 972 initam, emissam esse. [18] Witte conj. ἀπολήψονται. Equidem ἀποκλέψουσι legendum esse censeo.

[1] Extat in app. Syn. cl. II et III, et verbotenus laudatur a Bals. ad. c. 1 syn. Primosec. ed. Rhalli II p. 652. Ex Bals. edidit Bonefid. p. 32 et Leuncl. post Syn. p. 50: in JGR. I p. 117 accedunt, quae apud Bals. circa finem deficiunt. Ex JGR. recudi curarunt Rhallis et Potlis Collect. can. V p. 270. [2] Ita inscriptio est in Syn. II et III cl. [3] Apud Bals. additur: ἢ κατὰ τῶν ἐκκλησιῶν μᾶλλον καὶ τῶν τοιούτων οἴκων. [4] Bonef. et Leuncl. βεβαιωθεῖσα. In nonnullis Codd. Balsamonis: βεβαιωθέν.

ἐκράτησαν νομοθεσίας, οὐδ᾿ ὁπωσοῦν οὐδ᾿ ὁτιοῦν χρηστὸν ἄχρι καὶ σήμερον τῷ[5] καθ᾿ ἡμᾶς ἀπήντησε βίῳ, ἀλλὰ τοὐναντίον συμφορᾶς μᾶλλον ἐπέλιπεν εἶδος ὅλως οὐδέν)· θεσπίζει διὰ τοῦ παρόντος εὐσεβοῦς[6] ἐνυπογράφου χρυσοβούλλου, τὸ τὴν ῥηθεῖσαν[7] νομοθεσίαν ἀργεῖν ἀπὸ τῆς παρούσης ταύτης ἡμέρας, ἀκυρόν[8] τε καὶ ἄπρακτον τοῦ λοιποῦ διαμένειν· ἐνεργεῖν δὲ τοὺς πρὸ ταύτης κειμένους περί τε τῶν ἐκκλησιῶν τοῦ θεοῦ καὶ τῶν εὐαγῶν οἴκων νόμους[9], καὶ οὓς ὅ τε ἀοίδιμος τῆς βασιλείας ἡμῶν πάππος, ὅ τε πατὴρ ἐκείνου πάλιν, ὅ τε ἐπίπαππος[10] ἄριστά τε καὶ θεοφιλέστατα ἔθησαν. καὶ ὥστε ἀσφαλῆ καὶ ἀμετάθετον εἶναι τὴν παροῦσαν διάταξιν, οἰκείᾳ χειρὶ ὑποσημηνάμενοι χρυσῷ σφραγίδι ταύτην ὑποσφραγισθῆναι διωρισάμεθα[11] μηνὶ ἀπριλλίῳ δ΄ ἐπινεμήσεως α΄ ἐν ἔτει ͵ςυςς΄[12].

NOV. XXVII.

Impp. Basilii et Constantini aurea bulla Venetorum mercatoribus libertates concedens[1]. (A. 992.)

In nomine patris etc.

Basilius et Constantinus omnes, quibus istud pium nostrum sigillum demonstretur, fideles in deo Imperatores Romanorum.

Non solum rogationibus, quae sub manu nostra sunt, obaudire misericordiosissimum et laudabile est, sed enim et extraneos et pertinente publico obaudire rogatur cum providentia (*et*) pietate; indeque enim et pietas sufficienter ad miseriam propitius demonstretur, lonquimque[2] etenim cum pietate imperiali detur significatio.

A qua enim et Dux Veneticorum, et qui sub illo est, et cum omnis plebis intercessione cum praecationem ad nostrum fecerunt

---

[5] Bals. *τό.* [6] Deest apud Bals. [7] Bals. et editi libri: *παροῦσαν.* Ad quod verbum Leuncl. notat: „*προλαβοῦσαν,* al. *ῥηθεῖσαν.*“ [8] Malim: *καὶ ἄκυρον.* [9] Hactenus Bals. [10] Videntur indicari tum Basilica a Basilio et Leone edita tum Novellae Constantini de potentibus. Nisi quis putaverit, Constantinum non tanquam Novellarum istarum, sed tanquam repetitae praelectionis Basilicorum auctorem laudari. [11] Paris. 2005: *διορισόμεθα.* [12] Bals. anno *͵ςυςε΄* editam esse perperam auctor est.

[1] Authenticum graecum nondum inventum est. Versio latina perquam barbare facta, quam textus praestat, extat in Codice diplomatico S. Marci Trevisaneo cl. X cod. CLXXXI fol. 8; eamque nuper post alios ediderunt Tafel et Thomas Urkunden z. älteren Handels- u. Staatsgesch. der Rep. Venedig. To. I. (Wien 1856) p. 36–39.
[2] i. e. *longinque.*

Imperium, ut unusquisque suum navilium, quod de sua provincia, sed enim et ab alia provincia et civitate cum negotio veniendo, nihil aliud donare, sed solidos duos; dicebant etenim ab hactenus tantam donare quantitatem. Et ideo multos commeschabios[3] interrogantes, inventum est magis, quae ut plus de 30 solidis dabant unusquisque navigio deo coronato Imperio nostro. Unum enim, a quo et Christianorum gens fiendo, et deum nobiscum fide, alium aut(*em*) pro promissione, quae antiquitus fecerunt, ut non solum ad ista de(*o*) data conservata civitate inventuri, secundum antiquas consuetudines cum prompta voluntate indefessis servitiis, et forsitan ambulant nostrum Imperium in Longombardiam, dirigere illius karicationes, operare cum suis navigiis, et nullam occasionem aut memoriam in isto facere servitio.

Ideo exaudiunt eorum deprecationem et jussu per istum suum chrisobolum, ut unusquisque suum navigium, quod ex Venetia et ab aliis partibus veniret cum suis negotiis, nihil aliud donare ad ipsum publicum pro karicatione de Abido veniente solidos duos, et discedentes eos a sua provincia quindecim tantum, ut pervenirent omnem donationem unumquemque navigium XVII.

Et ipsi soliti adducere ipsi Venetici (*Logothetae*)[4] de domo, qui illo tempore erit; et ille detur ab ipso commerciario, cercando illos ipse commerciarios, quandoque revertere voluerunt ad suam provinciam.

Ne autem habere licentiam pro cupiditate tenere illos plus diebus tribus, et illud fieret, quandoque necessitat[*is*] ea occasio est, quod debet viam ejus contraire, et ipsi autem Venetici pro occasione defensionis eorum alioquin quod negotium habent de Constantinopolin in suis navigiis levare, scilicet Amalfitanos, Judeos, Longombardos, de civitate Bari et aliorum, sed solum illorum negocium adduxerint. Quodsi hoc faciunt, non solum illos defendere potuerint[5], sed et suum justum perdiderunt.

Insuper et hoc jubemus, ut per solum Logotheta, qui tempore illo erit de diorno[6], ista navigia de istis Veneticis et ipsi Venetici scrutentur, et pense*n*tur et judice*n*tur, secundum quod ab antiquo fuit consuetudo; et quibus judicium forsitan inter illos aut cum aliis crescetur, scrutari et judicare pro ipso solo logotheta, et non pro

---

[3] Commerciarios intelligi editores monent. [4] Hoc verbum supplendum esse censeo. Cf. not. 6. [5] Legendum: *non potuerint.* [6] Editores notant: „Logotheta de domo erit *λογοθέτης τῶν οἰκειακῶν* s. *τοῦ ἰδικοῦ.*“ Imo Logotheta dromi intelligendus esse videtur.

alio judice qualemcumque unquam. Ideo jubemus et omnibus mandamus . . .[7] ipsi cartularii qui sub illo sunt et notarii parohalasari, luminarchi[8], epologerni[9], et illi dicuntur silocalami, commerclarii de Avido, aut alios homines, qui reductus ut imperiali servitio usque in minimo servitio, verum de publico etiam nullum hominem habere licentiam unquam tempore per qualemcunque occasionem aut ipsi Venetici aut illo navigiis tentare aut tangere aut scrutari aut qualecumque occasione perquirere, aut dicere illis, pro quibus[10] nostro Imperio commendabit illos esse sub manu de logothetis de diorno solo, et ab illo solo illos pensetur. Observando et illos omnia, quae suprascripta sunt, et cum aliis servitiis operare cum suis navigiis pro karicatione de nostro hoste, qui forsitan vult nostro Imperio in Longombardia dirigere. Pensando omnes et expectando, qui ausus fuisset contrarium, quae nos jussimus et hec scripsimus, pro quovis prevaricare et contraire faciunt, super eum venire disdignationem et iram de nostro Imperio, sufficiendo omni demonstratione sola de nostro ipso chrisobulli sigillo; quod factum est in mense Martio indictione quinta; in quo et nostro pio et a deo ordinato Imperio confirmavit. Amen.

NOV. XXVIII.

Imp. Basilii Porphyrogeniti

ut monasteria sint, quae ultra VIII vel X monachos habeant, siquidem sufficientem iis terram possideant[1]. (Inter 975—996.)

Non extat.

NOV. XXIX.

Imp. Basilii Porphyrogeniti

ne locum habeat XL annorum praescriptio in praediis a potentibus acquisitis: de finium descriptione aureis bullis inserta: de monaste-

---

[7] Editores *Logothetae* supplent. Male. Potius de *ἐπάρχῳ παραθαλασσίτῃ* cogitaverim. [8] *Λιμενάρχαι.* [9] *Ὑπολόγοι τοῦ γενικοῦ.* [10] Haec verba: *aut dicere illis, pro quibus,* in Cod. inter *scrutari* et *aut qualecunque* posita, transponenda esse viderunt editores.

[1] Laudatur in Nov. XXIX c. 3 (cf. ibi not. 3). Ipsa non extat.

riis: de tollenda praescriptione temporis adversus fiscum: de homicidio: de bullis aureis: et de nundinis[1]. (A. 996.)

---

[1] Haec Novella extat: 1) quodammodo in linguam magis vulgarem mutata et in brevius contracta et capite ultimo truncata in plerisque Codicibus appendicis Syn. I cl., e. gr. Paris. 1347. 1357 A; — 2) integra in app. Syn. II et III cl.; — 3) in nonnullis Codicibus fortuito inserta, e. gr. Clarkiano 11 (in bibl. Bodlej.), MS. Thomae Gale in coll. S. Trinitatis Cantabrig. (Bernard Catal. no. 5848. 14) — Epitomas ejus praestant: 1) Psellus v. 1375–1400, quibus variarum Novellarum epitomas inesse Mortreuil II p. 357 sqq. temere arbitratus est; 2) appendix Michaelis Attalensis, ubi (e. gr. in Paris. 1385 A, Bodl. 264, Vind. jurid. gr. 3) sic est: *Νεαρὰ τοῦ βασιλέως κυροῦ βασιλείου. Ἡ νεαρὰ τοῦ βασιλέως κυροῦ βασιλείου ἡ διαταττομένη μηδόλως ἰσχύειν χρόνον κατὰ τῶν πενήτων μήτε αὖ τὴν μ'ετίαν, ἀλλὰ πάλιν ἀναλαμβάνεσθαι τοὺς πένητας ἴδια, ὅσα οἱ δυνατοὶ εἰς χωρίων ὁμάδας ἐπεκτήσαντο, μήτε τὰς βελτιώσεις ἀποδόντας μήτε τὰ τιμήματα τῶν τοιούτων τόπων. ἡ αὐτὴ νεαρὰ νομοθετεῖ, μήτε τοὺς περιορισμοὺς τοὺς ἐν τοῖς χρυσοβούλλοις ἐνεργεῖν, ἀλλὰ τὰ μὲν χρυσόβουλλα ἐνεργεῖν, τοὺς δὲ περιορισμοὺς ὡς παρ' ἄλλων γεγονότας ἀποδικάζεται. διέξεισι δὲ ἡ αὐτὴ νεαρὰ, ἵνα καὶ τὰ ἐν τοῖς χωρίοις εὐκτήρια πάλιν ὦσι τῶν χωριτῶν καὶ μὴ ἰδιοποιῶνται παρὰ τῶν μητροπολιτῶν ἢ ἐπισκόπων καὶ δέχωνται τὴν παρ' αὐτῶν σφραγίδα καὶ τὴν διόρθωσιν τῶν ἴσως γινομένων ἐκεῖσε σφαλμάτων· μήτε δὲ συνήθεια ἀπὸ τούτων ὁπωσοῦν δήποτε δίδοται. τὰ δὲ ἰδιόστατα καὶ ὅσα μεγάλα μοναστήρια ἐκ παλαιοῦ ἦσαν, ἵνα πάλιν ὦσιν ὑπὸ τὴν μητρόπολιν. λέγει δὲ ἡ αὐτὴ νεαρὰ, ἵνα καὶ τοὺς πρωτοσπαθαρίους, ἐὰν ποιήσωσι φόνον ἀπὸ βουλῆς καὶ θελήσεως πονηρᾶς, μὴ ἐξκουσεύῃ τὸ ἀξίωμα, ἀλλ' ἵνα θάνατον ἔχωσι τὴν τιμωρίαν.* — 3) Cod. Vind. jurid. gr. 7, ubi fol. 69 et 73 haec occurrunt: *Νόμος τοῦ βασιλέως ῥωμανοῦ καὶ βασιλείου βασιλέως ἀνεψιοῦ αὐτοῦ περὶ ἁρπαγῆς ἐκκλησιῶν. Εἰ δέ τινες τῶν χωριτῶν εὐκτήριον τελοῦντες κλῆσιν ἐπιτιθέασιν αὐτῷ μοναστηρίου, κἀντεῦθεν ἀπροφάσιστον ὁρμὴν ἐφευρηκότες τῶν ἐπισκόπων ἔνιοι κρατοῦσι τὰ τῶν τόπων, ἀναίρεσιν ἡ νεαρὰ τούτων πάντων ποιεῖται καὶ πάλιν ἀποδίδωσι τὰς κτήσεις τοῖς χωρίταις. εἰ δ' ἴσως ἐπηυξήνθησαν αἱ κτήσεις αἱ τοιαῦται, πολλοί τε ἀπεκάρησαν τῶν πεπλησιακότων, ἐπίδοσίς τε γέγονε τούτοις τῶν ἀνακτόρων, ιη' μοναχῶν τούτοις ἀποκαρέντων, τούτων οὐδὲν ἀνῄρικε καλῶς ὁ νομοθέτης. Ἑρμήνεια. Οὗτος ὁ ἁγιώτατος βασιλεὺς ἔφη, ἐάν τινες τῶν χωριτῶν τῆς χώρας* (l. *εὐκτήριον*) *μέλλουσι ποιῆσαι εἰς ὄνομα μοναστηρίου, οἱ δὲ ἐπίσκοποι εὑρίσκοντες ἀφορμὴν ἀπροφάσιστον ἐκράτησαν τὸν τόπον καὶ τὸ εὐκτήριον, ἡ νεαρὰ νομοθεσία τοῦ βασιλέως κυροῦ ῥωμανοῦ τὴν ἁρπαγὴν τῶν ἐπισκόπων ἀναιρεῖ καὶ ἀποδίδει τὰ εὐκτήρια τοῖς χωρίταις. κἂν ἴσως τὰ μοναστήρια ἐκεῖνα ηὐξήνθησαν καὶ ἐκάρησαν μοναχοὶ πολλοὶ καὶ οἱ βασιλεῖς εὐεργέτησαν τὰς ἐκκλησίας τούτων τῷ θελήματι τῶν χωριτῶν, ὁ νομοθέτης βασιλεὺς οὐδὲν ἀνῄρικεν ἀλλ' ἠθέλησεν. — Ὁ αὐτὸς βασιλεὺς ἐπρόσταξε καὶ διὰ τοῦ δημοσίου, ἵνα μηδεὶς διὰ τὸν χρόνον πλεῖστον κρατήσῃ τὰ πράγματα τοῦ δημοσίου καὶ ἔχῃ αὐτά.* — 4) Harmenop. I, 3, 65 et VI, 6 21. — Novella nostra allegatur, et quidem *caput* 1 in *Πείρᾳ* VIII, 1; IX, 1. 6. 10; XXIII, 3; LI, 9; Coll. IV Nov. 26; Ecloga lib. I—X Basil. (cf. supra not. 52 ad

Νεαρὰ [2] νομοθεσία τοῦ εὐσεβοῦς βασιλέως βασιλείου τοῦ νέου περὶ τῶν δυνατῶν τῶν ἀπὸ πενήτων ἐπικτωμένων, καταδικάζουσα αὐτοὺς ἀπὸ τῆς πρώτης νομοθεσίας ῥωμανοῦ βασιλέως τοῦ πρεσβύτου [3] ἤγουν ἀπὸ τῆς β′ ἰνδ. τοῦ ͵ϛυλζ′ ἔτους.

α′ [4]. Ἐπειδήπερ ἡ βασιλεία ἡμῶν, ἀφ᾽ οὗ τὴν αὐτοκρατορικὴν ἀρχὴν θεοῦ χάριτα ἔλαβε καὶ τὰς ἐναγομένας [5] ὑποθέσεις παρά τε τῶν πλουσίων καὶ τῶν πενήτων [6] ἐπεχείρησε ζητεῖν, εὗρεν ὅτι οἱ βουλόμενοι πλεονεκτεῖν δυνατοὶ τῆς [7] ἰδίας ἐπιθυμίας εὔλογον ἀφορμὴν ἔχουσι τὸν μέχρι τῆς τεσσαρακονταετίας χρόνον, καὶ σπουδάζουσιν εἴτε διὰ ξενίων καὶ δώρων εἴτε διὰ τῆς ἐνούσης αὐτοῖς δυναστείας τοῦτον διελθεῖν [8] καὶ τηνικαῦτα κατὰ τελείαν δεσποτείαν ἔχειν ἅπερ κακῶς ἐπλεονέκτησαν τοὺς πένητας, ἐξέθετο τὴν παροῦσαν νομόθεσίαν, τοῦτο μὲν καὶ τὰ προλαβόντα διορθουμένη, τοῦτο δὲ καὶ τοὺς νῦν δυνατοὺς ἀναστέλλουσα, καὶ τοὺς μετέπειτα κωλύουσα τοῦ μὴ τοῖς αὐτοῖς ἐπιχειρῆσαι γινώσκοντας ὡς οὐδεμίαν ἐντεῦθεν βοήθειαν εὑρή-

---

Nov. II); Cedreno ed. Paris. p. 702; — *caput* 4 in scholiis Basil. ed. Heimb. V p. 832 et *Πεῖρα* IX, 7; — *caput* 5 in scholiis Basil. ed. Heimb. I p. 705 et V p. 768 sq. (utroque loco textus ipse exhibetur; in inscriptione autem *βασιλείου* pro *βασιλέως* legendum, quod et Heimbachium et Mortreuil II p. 348 fugit); Mich. Attal. tit. 35 (JGR. II p. 64). — Quod ad editiones attinet, primo quidem Bonefidius p. 33 locum Cedreni et Harm. I, 3, 65 dedit. Deinde Leunclav. post Syn. p. 50 sqq. eundem Harmenopuli locum et Novellae ipsius partem priorem: post in JGR. II p. 172 pleniorem ex app. Syn. I cl. Nuper denique Witte (*Ἀνέκδ.* ed. Heimb. II p. 265. 278) variantes lectiones ad eam et cap. ultimum ex app. Syn. II et III cl. publicavit. Jam integra ex Cod. Paris. 1351 editur. [2] Ita inscriptio est in Syn. II et III cl. In app. Syn. I cl. fere est: *Νομοθεσία νεαρὰ βασιλείου πορφυρογεννήτου δεσπότου ἐκφωνηθεῖσα κατὰ τὸν ἰαννουάριον μῆνα τῆς θ′ ἰνδ. τοῦ ͵ϛφδ′ ἔτους.* — Geo. Codinus de orig. CP. ed. Paris. p. 78: *Ὁ κύριος βασίλειος ὁ πορφυρογέννητος . . . . προστάξας γενέσθαι τὰ ἰσόδικα* (?) *ἐτελείωσε ταῦτα ἐν ἔτει τῷ ͵ϛφγ′· τὴν δὲ νεαρὰν αὐτοῦ τὴν μεγάλην ἐκθέμενος ἐξεφώνησε ταύτην μηνὶ ἰαννουαρίῳ ἰνδ. θ′ ἔτους ͵ϛφδ′.* [3] i. e. a tempore, quod prima illa Romani constitutio (Nov. V) definivit, non a tempore huius constitutionis publicatae; cf. Nov. XV not. 21. Proinde scribendum fuerat: *ἤγουν ἀπὸ τῆς α′ ἰνδ. τοῦ ͵ϛυλϛ′ ἔτους.* (Paris. 1388 non *͵ϛυλζ′*, sed *͵ϛυλβ′* habet.) [4] Apud Leuncl. in marg. huic capiti inscribitur: *Περὶ τεσσαρακονταετίας.* [5] Epitome illa in app. Syn. I cl. inc.: *Ἐπειδήπερ ἡ βασιλεία μου, ἀφ᾽ οὗ ηὐτοκρατόρευσε καὶ τὰς κινουμένας ὑποθ. κτλ.* In sqq. lectiones notatu digniores referemus, maxime ut indoles ejus epitomae clarior fiat. [6] Epit. *πτωχῶν.* [7] Paris. 1351: *τὰς.* [8] Epit *διαβῆναι.*

σουσιν, ἀλλ᾽ ἀφαιρεθήσονται τὰ ἀλλότρια οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ[9] οἱ παῖδες αὐτῶν καὶ οἷς ἂν ταῦτα καταλείψωσιν. ὅτι μὲν οὖν ἡ βασιλεία ἡμῶν οὐκ ἀσκόπως οὐδ᾽ ἀδοκιμάστως τὴν διὰ χρόνου δεσποτείαν[10] ἀνατρέπει, ἀλλὰ τοὺς πένητας ἐλεοῦσα καὶ τοῦ κοινοῦ καὶ τῆς συστάσεως αὐτοῦ φροντίζουσα καὶ τὸ δίκαιον ἀσπαζομένη καὶ τὸ τῆς πλεονεξίας δεινὸν πάθος θεραπεύουσα, φανερὸν ἔσται ἀφ᾽ ὧν ἐθέλομεν[11] εἰπεῖν. καὶ γὰρ πλεῖστα παρηνοχλήθημεν ὑπὸ τῶν πτωχῶν χάριν τούτου, καὶ τὰς γινομένας εἰς αὐτοὺς ὁσημέραι[12] πλεονεξίας καὶ ἀδικίας οἰκείοις[13] ὀφθαλμοῖς εἴδομεν διερχόμενοι τὰ θέματα τῆς βασιλείας ἡμῶν καὶ πρὸς τὰ ταξείδια ἀπερχόμενοι. πῶς γὰρ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐνεργήσει χρόνος, ὅτε δυνατὸς ὢν ὁ τὸν πένητα πλεονεκτήσας, πολὺν χρόνον ποιήσει δυναστεύων καὶ εὐημερῶν, καὶ τὴν δυναστείαν αὐτοῦ καὶ εὐημερίαν εἰς τοὺς διαδόχους αὐτοῦ παραπέμψει; καὶ τυχὸν οὗτος μὲν πατρίκιός ἐστιν, εἰ δὲ ἐξ αὐτοῦ, διαρκέσει[14] τῇ δυναστείᾳ καὶ τὸ δύνασθαι[15] εἰς τοὺς ἐξ αὐτοῦ παραπέμψει; καὶ τυχὸν οὗτος μὲν μάγιστρός[16] ἐστι καὶ δομέστικος τῶν σχολῶν, οἱ δὲ ἐξ αὐτοῦ[17] ὁμοίως δυνατοὶ καὶ μέχρι[18] οἰκειότητα ἔχοντες πρὸς τοὺς βασιλεῖς καὶ μέχρι τῶν ἑβδομήκοντα ἢ ἑκατὸν χρόνων τὴν εὐπραγίαν αὐτῶν παρεκτεινομένην ἔχοντες. ἆρ᾽ οὖν τούτους οὐ κωλύσομεν, καὶ τὸ προσὸν δίκαιον τοῖς πένησι ἐφ᾽ οἷς κακῶς ἀφῃρέθησαν καὶ ἐπλεονεκτήθησαν ἐπιβραβεύσομεν[19]; τοῦ γὰρ εἰς χωρίων κοινότητας ἐπικτησαμένου ἢ πλέον ἐκτίσαντος δυνατοῦ τυγχάνοντος, καὶ τῶν αὐτοῦ διαδόχων μετὰ τῆς περιουσίας[20] καὶ τὴν δυναστείαν διαδεχομένων καὶ μὴ διδόντων χώραν τῷ πένητι πρὸς τὸ κατ᾽ αὐτῶν κινῆσαι περὶ ὧν κακῶς ἀφείλοντο καὶ ἐπλεονέκτησαν αὐτὸν, πάντως πρόδηλόν ἐστιν, ὅτι ὅσος ἂν χρόνος ἐπὶ τούτων διέλθοι[21], ἀκώλυτος ὁ πένης ἔσται πρὸς τὸ ζητεῖν καὶ ἀναλαμβάνειν[22] τὸ ἴδιον. εἰ μὴ γὰρ τοῦτο ποιήσομεν, πάροδον δώσομεν τῷ πλεονέκτῃ τοῦ λέγειν, ὅτι ἐπεὶ ἐγὼ σήμερον εὐημερῶ καὶ οὐ δύναται κατ᾽ ἐμοῦ ὁ πένης κινῆσαι, ἐὰν εὐημερήσῃ καὶ ὁ υἱός μου καὶ διὰ τῆς εὐημερίας ἡμῶν ὁ τοῖς νόμοις ἐγνω-

---

9 Epit. simpliciter καὶ οἱ κληρονόμοι. 10 Ibid. τὴν μ᾽ετίαν. 11 Hoc ex Epit. recepi. Paris. 1351: ὀφείλομεν. 12 Epit. καθεκάστην. 13 Ibid. τοῖς ἰδίοις ἡμῶν. Et sic infra fere pro οἰκεῖος habet ἴδιος. 14 Ibid. πολὺν χρόνον ποιήσει δυναστεύων καὶ εὐημερῶν. 15 Ibid. τὴν δυναστείαν αὐτοῦ καὶ εὐημερίαν. Forte τὸ δυναστεύεσθαι. 16 Ibid. πατρίκιος. 17 Ibid. additur οἷον ἔγγονοι καὶ δισέγγονοι. 18 Ibid. μέχρι hoc loco rectius deest. 19 Ib. δώσομεν. 20 Ib. ὑποστάσεως. 21 Ib. διαβῇ. 22 Ib. ἀπαίρειν.

σμένος χρόνος διέλθοι[23], ἢ ἐγὼ χρονίσω εὐημερῶν, ἔχομεν ἀναφαίρετα τὰ ἐπικτηθέντα, καὶ συμφέρει μοὶ τὸ πλεονεκτεῖν[24]. πάλιν δὲ πῶς οὐ λογισόμεθα δυνατὸν καὶ ἀδύνατον τὸν ἐξαρχῆς μὲν πένητα, ὕστερον δὲ τιμώμενον καὶ πρὸς ὕψος δόξης καὶ εὐτυχίας ἀναγόμενον; ἀδύνατον μὲν, ἕως ὑπάρχει τῶν κάτω· καὶ τὸν χρόνον βοηθεῖν αὐτῷ συγχωρήσομεν· δυνατὸν δὲ, ἀφ᾽ οὗ καιροῦ τῆς τιμῆς ἀξιωθῇ[25]· καὶ τὸν χρόνον μηδὲν αὐτὸν ὠφελοῦντα δείξομεν. οἷα πολλάκις καθ᾽ ἑκάστην ἔστιν ἰδεῖν συμβαίνοντα, καὶ ἄρτι παρ᾽ ἡμῶν εὑρέθη. καὶ γὰρ εὕρομεν τὸν φιλοκάλην[26] γενόμενον μὲν καταρχὰς τῶν εὐτελῶν καὶ χωριτῶν ἕνα, ὕστερον δὲ τῶν περιδόξων καὶ πλουσίων· ὃς ἕως μὲν ὑπῆρχε τῶν κάτω, συνετέλει τοῖς ἑαυτοῦ συγχωρίταις καὶ οὐδὲν αὐτοὺς ἐκαινοτόμει· ἀφ᾽ οὗ δὲ τοῦτον εἰς τιμὴν ὁ θεὸς ἀνῆγεν ἑβδομαδαρίου[27], εἶτα κοιτωνίτου, καὶ μετέπειτα πρωτοβεστιαρίου, καὶ τὸ ὅλον κατέσχε[28] χωρίον καὶ προάστειον ἴδιον ἐποίησεν [ἐναλλάξας καὶ τὴν ἐπωνυμίαν τοῦ τοιούτου χωρίου][29]. ἐπεὶ οὖν οὕτως ἀνήχθη καὶ οὕτως ἐγένετο τὰ κατ᾽ αὐτὸν, ἐνδεχόμενόν ἐστιν, ἵνα δώσωμεν τούτῳ χρόνον εἰς βοήθειαν καὶ καταλείψωμεν ἔχειν ἃ κακῶς ἐπλεονέκτησεν; οὐδαμῶς[30]. ὅθεν καὶ ἡ βασιλεία ἡμῶν κατὰ τὸν τόπον διερχομένη[31] καὶ τὸ πρᾶγμα ἐγκλήσει τῶν πενήτων διαγνοῦσα, τὰ τούτου εἰκήματα πολυτελῆ ὄντα κατέστρεψεν ἕως ἐδάφους, καὶ τοῖς πένησι τὰ ἑαυτῶν ἀποδέδωκεν, ἐκείνῳ δὲ κατέλιπεν ὅπερ [ἐξαρχῆς][32] εἶχε δημόσιον, καὶ τῶν χωριτῶν ἕνα πάλιν ἐποίησεν. δυνατοὶ δὲ λογιζέσθωσαν μὴ μόνον οἱ τοιοῦτοι, ἀλλὰ καὶ ἅπαντες οἱ τῇ διατάξει τοῦ προπάππου ἡμῶν βασιλέως ῥωμανοῦ τοῦ γέροντος

---

[23] Epit. διαβῇ μ᾽ετία. [24] Leuncl. hic intercalat: τοῦτο δὲ φανερον ἐστι καὶ ἀπὸ τῆς γενεᾶς τῶν μαλεΐνων, καὶ πάλιν τῶν φωκάδων. ὁ μὲν γὰρ πατρίκιος κωνσταντῖνος ὁ μαλεΐνος, καὶ ὁ μάγιστρος εὐστάθιος ὁ τούτου υἱὸς, μέχρι τῶν ἑκατὸν χρόνων ἢ καὶ τῶν ἑκατὸν εἴκοσι τὴν εὐημερίαν ἔσχον συμπαρεκτεινομένην αὐτοῖς. οἱ δὲ φωκάδες πολὺ τούτων ἐπέκεινα. ὅ τε γὰρ πάππος (al. πρόπαππος) αὐτῶν, εἶτα καὶ ὁ πατὴρ, μετὰ δὲ ταῦτα καὶ οἱ τούτου υἱοὶ ἀδιάδοχον σχεδὸν εἰπεῖν ἕως ἡμῶν εἶχον τὴν δυναστείαν. καὶ πῶς οἱ τοιοῦτοι βοηθοῦντα τὸν χρόνον ἕξουσι; Eadem scholii instar in Paris. 1388 ad marg. adscripta sunt. Eliminanda erant e textu, quippe cujus tenorem male interrumpunt. Fortasse superius reponenda sunt: vide tamen not. 33. [25] Epit. τιμηθῇ. [26] Sic Epit. Paris. 1351: εὕρομέν τινα γεν. [27] Leuncl. in marg. ἀνῆξεν ἑβδομαρίου. [28] Epit. ἐκ τοῦ κατ᾽ ὀλίγον ἐκράτησε. Et sic inferius pro κατέχειν constanter κρατεῖν usurpat. [29] Inclusa ex Epit. supplevi. [30] Epit. οὐκ ἐστὶ δίκαιον. [31] Ib. διαβαίνουσα. [32] Addo ex Epit.

περιεχόμενοι καὶ κατὰ μέρος ἐν ἐκείνῃ ἀναγραφόμενοι[33]· [οὗτος γὰρ καὶ αὐτοὺς τοὺς σχολαρίους δυνατοὺς ὠνόμασεν. ἡμεῖς δὲ λέγομεν καὶ τούτους δυνατοὺς, προστίθεμεν δὲ καὶ πρωτοκεντάρχους· καὶ γὰρ τούτους δυνατοὺς ἤδη πραγματικῶς διέγνωμεν.] διὰ ταῦτα τοιγαροῦν θεσπίζομεν διὰ τῆς παρούσης ἡμῶν νομοθεσίας, τὰ μὲν μέχρι τῆς πρώτης νομοθεσίας τοῦ προπάππου ἡμῶν βασιλέως ῥωμανοῦ τοῦ γέροντος ἐπικτηθέντα τοῖς δυνατοῖς εἰς χωρίων κοινότητας δι' ἐγγράφων δικαιωμάτων καὶ συστατικῶν μαρτυριῶν τὸ βέβαιον ἔχοντα, φυλάττεσθαι καὶ εἶναι παρ' αὐτοῖς[34], καθὰ καὶ τοῖς παλαιοῖς διηγόρευται νόμοις[35]. διὰ τοῦτο γὰρ ἔγγραφα δικαιώματα καὶ συστατικὰς μαρτυρίας παράγεσθαι[36] βουλόμεθα, ὅπως μὴ κατὰ περίνοιαν οἱ δυνατοὶ τὰ νεωστὶ αὐτοῖς ἐπικτηθέντα προφασίσωνται διαφέρειν αὐτοῖς ἐγγράφως ἔκπαλαι τῶν χρόνων[37]. ἀπὸ τότε δὲ καὶ μέχρι τοῦ νῦν, ἥτις ἐστὶ πρώτη τοῦ ἰανουαρίου μηνὸς τῆς ἐννάτης ἰνδικτιῶνος τοῦ ‚ςφδ' ἔτους, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς, ἐπεὶ καὶ παραγγελία ἔγγραφος ἐξηνέχθη[38] διὰ τῆς δηλωθείσης νομοθεσίας τοῦ προπάππου ἡμῶν βασιλέως ῥωμανοῦ τοῦ γέροντος, μηδὲν ὅλως δύνασθαι τὸν χρόνον[39] μήτε τινὰ τὸ καθόλου κατὰ τῶν πενήτων ἐνέργειαν ἔχειν, ὅπου μετὰ δυνατῶν ἔχουσιν, ἀλλ' ἀντιστρέφεσθαι τοῖς πένησι τὰ ἑαυτῶν[40], μηδὲ περὶ τὴν ἀνάληψιν τῶν τιμημάτων ἢ τῶν βελτιώσεων δικαιουμένων τῶν δυνατῶν[41], διότι καὶ τὴν εἰρημένην νομοθεσίαν παραβάντες εὑρίσκονται καὶ μᾶλλον ἄξιοί εἰσιν εὐθύνεσθαι. γράψας γὰρ ὁ ῥηθεὶς πρόπαππος ἡμῶν βασιλεὺς ῥωμανὸς ὁ γέρων καὶ εἰπὼν, ὅτι ἀπὸ τοῦ νῦν κωλύω τοὺς δυνατοὺς τοῦ μὴ ποιεῖν ἐπικτήσεις εἰς κοινότητας χωρίων, ἔδειξεν, ὡς δι' αἰῶνος[42] καὶ

---

[33] Vide Nov. V c. 1. Quae sequuntur, quatenus uncis inclusa sunt, ex Epitôma hausta sunt, quum in Paris. 1351 desint. Quamquam genuina esse pro certo non affirmaverim: de scholariis enim in Nov. V c. 1 ne verbum quidem dicitur, atque etiam reliqua epitomatorem sapiunt. Caeterum ut illa quae supra not. 24 dedimus, ita et haec „Δυνατοὶ δὲ λογιζέσθωσαν — διέγνωμεν", quae textus ἀκολουθίαν mire turbant atque interrumpunt, scholii loco habenda et e textu eliminanda crediderim. Neque vero privati hominis scholium esse existimes: videtur potius ab ipso imperatore in mundo, dum subscriberet, ad oram adjectum esse. [34] Epit. δεσπόζεσθαι παρ' αὐτῶν. [35] Ib. οἱ παλαιοὶ νόμοι λέγουσι. [36] Ib. προκομίζεσθαι. [37] Epit. κρατεῖσθαι παρ' αὐτῶν ἀπὸ παλαιοῦ. [38] Epit. ἐγένετο. [39] Ib. μηδὲν τὸ σύνολον ἰσχύειν ἢ ἀκούεσθαι τὴν μ'ετίαν. [40] Ib. τὰ ἴδια. [41] Ib. μήτε μὴν τοὺς δυνατοὺς δικαιοῦσθαι εἰς τὸ ἀναλαβεῖν τὰ τιμήματα τῶν τοιούτων τόπων ἢ τὰς βελτιώσεις, ἀλλ' ἀπόλλειν καὶ τὰ τιμήματα καὶ τὰς βελτιώσεις. [42] Ib. διόλου.

εἰς ἀπέραντον τούτους ἐκώλυσεν καὶ χρόνον[43] οὐ δέδωκεν αὐτοῖς βοηθείας[44]. οὐκ εἰς τὸ ἑξῆς[45] δὲ μόνον ὡς εἴρηται ταῦτα νομοθετοῦμεν, ἀλλὰ καὶ τὸν ὄπισθεν χρόνον[46] ὃν εἴπομεν[47] τὴν νομοθεσίαν ταύτην εἰσάγομεν. εἰ γὰρ ὅσα τῶν παρελθόντων ἄρτι κινοῦνται μὴ διορθωσόμεθα, πῶς ἂν τὰ μέλλοντα φυλαχθεῖεν, καὶ οἱ μετέπειτα φοβηθεῖεν[48];

β'[49]. Ἐπεὶ δὲ καὶ δόλους πολλοὺς εὕρομεν εἰς τοὺς ἀνα-

---

[43] Ib. *τὴν μ'ετίαν.* [44] Nimirum Imp. Constantinus Porphyrogenitus Nov. VIII c. 1 iis, qui militares fundos comparaverant, XL annorum praescriptionem concesserat: hanc, ut videre est ex Nicephori Nov. XX c. 2, ad praedia a pauperibus emta indistincte traxerant; Basilius autem id amplius fieri vetat, utpote quod a ratione et sententia Novellae Romani V abhorreat. [45] Epit. *εἰς τοὺς παρέμπροσθεν χρόνους.* [46] Ib. *κατὰ τῶν διαβάντων χρόνων.* [47] Epit. *δηλονότι ἀφ' οὗ ἡ νομοθεσία τοῦ προπάππου ἡμῶν καὶ βασιλέως τοῦ κυροῦ ῥωμανοῦ τοῦ γέροντος ἐξετέθη.* [48] Ib. *πῶς ἔχουσι φυλαχθῆναι τὰ μέλλοντα καὶ πῶς ἔχουσι φοβηθῆναι καὶ ἀνασταλῆναι οἱ μετέπειτα;* — Quo verbo editio Leuncl. post Syn. mutila explicit. In JGR. sequentia exhibentur e Codd. Palatinis descripta. Additur autem ad c. 1 post verbum *μετέπειτα* haec: „*Καὶ πῶς ἔχουσι παῦσαι τοῦ ποιεῖν τὰ τοιαῦτα; ὃ δὲ πάντων ἐστὶ χαλεπώτερον, ὅτι τὰ ἐξ ἁρπαγῆς καὶ πλεονεξίας συνιστάμενα κτήματα καταλιμπάνουσιν οἱ δυνατοὶ τοῖς ἑαυτῶν παισὶν, ἐλπίδι τῆς τεσσαρακονταετίας ἀναφαίρετον ἔχειν τὴν δεσποτείαν τῶν τοιούτων οἰόμενοι. τῆς δὲ τοιαύτης βοηθείας, δηλονότι τῆς ἀπὸ τῆς τεσσαρακονταετίας, ἀναιρουμένης, ἀφαιρούμενοι οἱ τῶν δυνατῶν παῖδες τὸν τοιοῦτον πλεονεκτικὸν κλῆρον, ὃν ἐκ πατέρων ἔλαβον, εἰς ἀπορίαν καταντῶσι, καὶ τελείαν ἔνδειαν, οἷα καὶ παρὰ τῆς βασιλείας ἡμῶν ἔπαθον οἱ τοῦ μαγίστρου ῥωμανοῦ τοῦ μουσελὲ ἔγγονοι. καὶ γὰρ οὗτοι κατὰ τὸ φιλομίλιον τοιαύτην περιουσίαν ἐκ πάππου τὲ καὶ πατέρων καταλειφθεῖσαν αὐτοῖς ἔχοντες, κατήντησαν καὶ αὐτοὶ εἰς πενίαν. τὴν οὖν τοιαύτην ἀδικίαν καὶ ἀνισότητα ἡ βασιλεία ἡμῶν ἐκτέμνουσα, καὶ πᾶσι πλουσίοις τε καὶ πτωχοῖς τὰ συμφέροντα καὶ δίκαια ἐπιβραβεύουσα, τὸν τῆς τεσσαρακονταετίας χρόνον ἀναιρεῖ, ὡς ἂν καὶ οἱ δυνατοὶ τοῦτο γινώσκοντες, τοιοῦτον κλῆρον τοῖς ἑαυτῶν παισὶ μὴ καταλιμπάνωσιν· ἀλλὰ καὶ οἱ πένητες τῶν ἰδίων στερούμενοι μὴ ἀπογινώσκωσιν, ἀλλ' ἔχωσι βεβαίαν τὴν ἀπὸ τῆς παρούσης νομοθεσίας βοήθειαν πρὸς τὴν τῶν ἰδίων ἀνάληψιν*". De quibus idem judicium esto, ac de locis nota 24 et 33 relatis tuli. Imperatoris quidem verba esse videntur, sed ad marginem adscripta, quum subscriberet. [49] Apud Leuncl. in marg. rubrica est: *περὶ τῶν περιορισμῶν.* — In Paris. 1388 ad marginem notatur: *Γράφεται καὶ οὕτως· Ἐπεὶ δὲ εἰς τοὺς περιορισμοὺς τῶν χρυσοβουλλίων εὑρίσκονται τόποι πολλοὶ πενήτων συμπεριλαμβανόμενοι, οὐ μὴν ἀλλὰ καὶ βασιλικὰ λιβάδια, καὶ ὡς ἐκ τούτου οἱ τὰ χρυσόβουλλα λαμβάνοντες, τοιούτους τόπους ἐκ προφάσεως τοῦ περιορισμοῦ κατέχουσιν, οἷα πολλὰ εὗρεν ἡ βασιλεία ἡμῶν εἴς τε τὴν ἀνατολὴν ὅλην σχεδὸν, καὶ εἰς πᾶσαν τὴν δύσιν, ἐν ταῖς ἐκστρατείαις διατρίβουσα· παρακελεύεται, τοῦ μηδὲν ὅλως ἰσχύειν τοὺς τοιούτους περιορισμοὺς, μηδέ τινα δικαίωσιν ἐκ τούτων ἔχειν ἀμφιβολίας παρεμπιπτούσης τοὺς προκομίζοντας αὐτούς.*

γραφομένους ἐν τοῖς χρυσοβουλλίοις[50] περιορισμοὺς, καὶ τοιαῦτα πολλὰ πρὸ τοῦ βήματος ἡμῶν ἐκινήθησαν, διοριζόμεθα μηδὲν ὅλως ἰσχύειν τοὺς δηλωθέντας περιορισμοὺς, μηδέ τινα δικαίωσιν ἐκ τούτων ἔχειν ἀμφιβολίας παρεμπιπτούσης τοὺς προκομίζοντας αὐτούς. οὐ γὰρ εἰδήσει καὶ γνώμῃ βασιλικῇ ἀλλὰ τῶν λαμβανόντων αὐτοὺς ἐκτίθενται· ἀλλ' οὐδὲ πάλιν οἱ τοῖς[51] χρυσοβουλλίοις ἀναγράφοντες αὐτοὺς πρωτασηκρῆται πάρεισιν ἐπὶ τοῦ τόπου καὶ βλέπουσιν, ὅτε τὸ μέτρον ἢ ἡ ἔκθεσις αὐτῶν γίνεται[52]. καὶ διὰ τοῦτο καθὰ δεδήλωται ἀκύρους εἶναι, καὶ μηδεμίαν ἔχειν ἐνέργειαν οἷς ἀμφιβολία παρεμπέσοι βουλόμεθα. εἰ δὲ καὶ οἱ τοιοῦτοι περιορισμοὶ ἐν τοῖς τοῦ γενικοῦ σεκρέτου κωδίκοις ἤ τισιν ἑτέροις συστατικοῖς δικαίοις τυγχάνουσι, καὶ ἀκούεσθαι καὶ τηρεῖσθαι τούτους παρακελευόμεθα.

γ'[53]. Ἐπεὶ δὲ καὶ παρὰ πάντων σχεδὸν εἰπεῖν τῶν θεμάτων ἐκινήθη ἐνώπιον τῆς βασιλείας ἡμῶν, ὅτι πολλὰ τῶν χωρίων εὑρίσκονται βλαπτόμενά τε καὶ ἀδικούμενα, τινὰ δὲ ἀφανιζόμενα παρ' ὀλίγον ἀπὸ τῆς τῶν μοναστηρίων ἀφορμῆς· — εὑρίσκεται γὰρ ὡς λέγουσιν εἰς πολλὰ τῶν χωρίων, ὅτι ἐποίησέ τις χωρίτης ἐκκλησίαν εἰς τὸν ἴδιον τόπον καὶ ἀφώρισε ταύτῃ τὴν ἰδίαν μοῖραν [βουλομένων καὶ τῶν συγχωριτῶν αὐτοῦ][54], ἐγένετο δὲ καὶ αὐτὸς μοναχὸς[55] καὶ ἐκάθητο ἐν αὐτῇ ἕως ἔζη, ἐποίησε δὲ αὐτὸ καὶ ἄλλος χωρίτης καὶ ἕτερος ὁμοίως, καὶ ἐγένοντο δύο καὶ τρεῖς ἐκεῖ μοναχοί. εἶτα τελευτησάντων αὐτῶν κατέσχε τὴν ἐκκλησίαν ὁ ἐπὶ τοῦ τόπου μητροπολίτης τυχὸν ἢ ἐπίσκοπος καὶ ἰδιοποιήσατο ταύτην καὶ ὠνόμασε μοναστήριον, καὶ[56] τὰ μὲν τῶν τοιούτων μοναστηρίων αὐτοὶ ἐκεῖνοι κατέχοντες οἱ μητροπολῖται ἢ ἐπίσκοποι τὰ δὲ κατὰ δωρεὰν δυνατοῖς τισι διδόντες πλεονεκτοῦσι τὰ χωρία καὶ ἀδικοῦσι καὶ ἐξαλεί-

---

οὐδὲ γὰρ τοιοῦτοι περιορισμοὶ παρὰ τῆς βασιλείας μου γίνονται, ἵνα τελείαν ἔχουσα τὴν τούτων κατάληψιν, βεβαίους αὐτοὺς καὶ ἀμεταβλήτους ἡγῆται, ἀλλὰ τὴν ἐπὶ τοῦ χρυσοβουλλίου δωρεὰν ἡ βασιλεία μου ἐντίθησιν· οἱ δὲ περιορισμοὶ παρ' ἑτέρων γινόμενοι, τὸ ἀξιόπιστον καὶ ἀσφαλὲς καὶ βέβαιον ὡς ἀπὸ τῆς τοῦ χρυσοβουλλίου δυνάμεως ἔχειν ἴσως οὐ δύνανται. Nimirum haec ipsa sunt, quae leguntur in Epit. illa a Leuncl. edita. Fortasse scholii imperatorii (cf. not. 24. 33. 48) vestigia continent. [50] Paris. 1351 hic et mox χρυσοβουλίοις. [51] Idem τῃ. [52] Inter γίνεται et καὶ lacuna dimidiae lineae est in Cod. Paris. 1351. Si quid omnino deest, ex Epit. (not. 49) facile suppleri potest. [53] Leuncl. in marg. περὶ τῶν μοναστηρίων. — Interpretando huic capiti inservit c. 1 syn. Primosec. [54] Inclusa ex Epit. adjeci. [55] Epit. hic et infra pro μοναχὸς scribit καλόγηρος. [56] Leunclavius in marg. καὶ εἶτα.

φουσιν[57]· κελεύομεν ὅσα τοιαῦτα καὶ οὕτω γενόμενα εὐκτήρια (οὐδὲ καὶ μοναστήρια λέγομεν) εὑρίσκονται, ἀποδίδοσθαι[58] ταῦτα πάντα πάλιν τοῖς πένησιν, τὸ δὲ τῆς μητροπόλεως ἢ τῆς ἐπισκοπῆς μέρος ἐκεῖθεν τελείως ἐκβάλλεσθαι. εἰ δὲ καὶ προσώποις τισὶν ἐδωρήσαντο ταῦτα οἱ μητροπολῖται ἢ οἱ ἐπίσκοποι, καὶ τὰ τοιαῦτα πρόσωπα ἐκεῖθεν ἀποδιώκεσθαι, εἰ τάχα καὶ πολὺν ἔχουσι χρόνον [τὴν δεσποτείαν αὐτῶν. οὐδὲν γὰρ ἰσχύειν εἰς ταῦτα τὸν χρόνον][59] ὁρίζομεν, ἀλλὰ τὰ εὐκτήρια πάλιν ὡς εἴρηται τοῖς χωρίταις ἀποκαθίστασθαι, καὶ εἶναι μὲν εἰς τὸ ἑξῆς εὐκτήρια, ἀλλ' ὑπὸ τὰ χωρία· καὶ καλογήρους ἐν αὐτοῖς ὑπάρχειν, ὅσοι καὶ πρώην ὑπῆρχον. μόνην δὲ τὴν ἀναφορὰν ἐν αὐτοῖς καὶ τὴν σφραγίδα[60] καὶ τὴν διόρθωσιν τῶν ἴσως γινομένων σφαλμάτων παρὰ τῶν καλογήρων τῶν μητροπολιτῶν τυχὸν ἢ τῶν ἐπισκόπων εἶναι· καὶ μήτε συνήθειαν μήτε τὶ ὁπασοῦν ἄλλο ἐκ τούτων λαμβάνειν, ὡς δῆθεν ἀπὸ μοναστηρίων. ἀναγκάζεσθαι δὲ τὰ τοιαῦτα χωρία ἔχειν[61] ἐν τοῖς δηλωθεῖσιν εὐκτηρίοις καλογήρους, ὅσοι καὶ πρότερον ἐν αὐτοῖς ἦσαν. εἰ δὲ εἴς τινα τῶν αὐτῶν εὐκτηρίων σολέμνια παρὰ βασιλέως ἢ φωταψίαι[62] γεγόνασιν, ἔχουσι δὲ τὰ τοιαῦτα εὐκτήρια καὶ καθίσματα, εἰ τάχα καὶ δίκαιον οὐκ ἐστὶν, ἀλλ' οὖν ἐπεὶ προνοίας βασιλικῆς ἔφθασαν ἀξιωθῆναι, διαμένειν εἰς τὸ ἑξῆς εἴτε ὑπὸ μητροπολιτῶν εἴ τε ὑπὸ] ἐπισκόπων· ὑφ' ὧν καὶ νῦν εἰσὶν ἔχοντα καὶ πάλιν τὰ αὐτὰ καθίσματα, πλὴν μὴ παραπέμπεσθαι εἰς ἕτερα πρόσωπα. διὰ τοῦτο γὰρ ἡ βασιλεία ἡμῶν οὐδὲ μοναστήρια ὀνομάζει αὐτὰ, ἀλλ' εὐκτήρια τοῦ χωρίου, ἔχοντα (ὡς εἴρηται) καὶ καλογήρους. ὅσα δὲ πάλιν ἀπὸ χωρίων καὶ τοῦ τοιούτου προσώπου[63] συνέστησαν μοναστήρια, ἔφθαζον δὲ πολλοὶ τῶν πλησιαζόντων ἐν αὐτοῖς ἀποκαρῆναι, ἀφώρισάν τε καὶ τὰς οἰκείας ὑποστάσεις ἐκεῖ, καὶ γεγόνασι μετὰ ταῦτα μεγάλα καὶ εἰσὶν ἐν αὐτοῖς ἀνὰ η' ἢ ι' ἢ καὶ ἐπέκεινα μοναχῶν, εἰ καὶ τάχα καὶ δίκαιον οὐκ ἐστὶν, ἀλλ' οὖν εὐδοκοῦμεν εἶναι ταῦτα ὑπὸ τοὺς μητροπολίτας καὶ τοὺς ἐπισκόπους, καὶ μὴ διακωλύεσθαι τούτους τοῦ δωρεῖσθαι ἢ παρα-

[57] Epit. addit: *ἐπεὶ οὖν πολλὰ τοιαῦτα πρὸ τοῦ βήματος ἡμῶν ἐκινήθησαν.* [58] Epit. *ἵνα παρέχωνται,* et sic pluries pro infinitivo cum accusativo hanc verborum structuram *ἵνα κτλ.* posuit. [59] Inclusa ex Epit. supplevi. Nempe propter *ὁμοιοτέλευτα* in Paris. 1351 exciderunt. [60] Leuncl. de signaculo baptismi intelligit. Pessime. Cf. Bals. ad c. 1 syn. Primosec. ed. Rhalli II p. 652. [61] Paris. 1351: *τοῦ ἔχειν.* [62] Leuncl. in marg. *φωθαψίαι.* [63] Epit. *τρόπου,* non male.

πέμπειν αὐτὰ ὅπου βούλονται· πλὴν εἴγε προεῖχον ἀλλὰ καὶ νῦν ἔχουσιν ἐπέκεινα τῶν η' ἢ ι' μοναχῶν, καὶ ἰσχύουσι διὰ τῆς παρούσης αὐτοῖς[64] εὐπορίας τούτους διοικεῖν. οὐδὲ γὰρ δύνανται νέας ἐπικτήσεις ποιεῖσθαι, κωλυθέντα πρότερον μὲν παρὰ τοῦ προπάππου ἡμῶν βασιλέως ῥωμανοῦ τοῦ γέροντος, νῦν δὲ παρὰ τῆς βασιλείας ἡμῶν. ἀπὸ γὰρ τῆς παρούσης διατάξεως[65] καὶ πλείονας ἐὰν ἀφορίσωσιν εἰς αὐτὰ μοναχοὺς ἢ μητροπολῖται ἢ ἐπίσκοποι, διὰ τὸ τὴν βασιλείαν ἡμῶν ἄρτι διορίσασθαι μοναστήρια εἶναι τὰ ἐπέκεινα τῶν η' ἢ ι' μοναχῶν ἔχοντα εἰ τάχα καὶ τὴν ἐξαρκοῦσαν τοῖς τοσούτοις μοναχοῖς γῆν ἔχουσιν, οὐ δεχόμεθα ταῦτα· ἀλλ' ὡς εἰς ἀνακοινώσεις χωρίων γινόμενα εὐκτήρια λογιζόμεθα, οἷα καὶ προείπομεν, καὶ ὑπὸ τὰ χωρία πάλιν αὐτὰ ποιοῦμεν. τὰ δὲ ἰδιόστατα καὶ ὅσα μεγάλα μοναστήρια ἐκ παλαιοῦ ἦσαν, εἰ τάχα καὶ μοναχοὺς ἄρτι πολλοὺς οὐκ ἔχουσιν, ἀλλὰ τῇ ἀμελείᾳ τυχὸν τοῦ μητροπολίτου ἢ τοῦ ἐπισκόπου χωρὶς μοναχῶν εἰσι, διοριζόμεθα ταῦτα καὶ πάλιν ὑπὸ τὰς μητροπόλεις καὶ τὰς ἐπισκοπὰς εἶναι καὶ δωρεῖσθαι καὶ παραπέμπειν αὐτὰ τούς τε μητροπολίτας καὶ τοὺς ἐπισκόπους ὅπου καὶ ὅτε θέλουσιν[66].

δ'[67]. Πρὸς τούτοις θεσπίζομεν, μὴ εἶναι κατὰ τοῦ δημοσίου χρόνον τὸν ἀποκλείοντα τὸ ἴδιον αὐτοῦ δίκαιον, ἀλλ' ἀνακαλεῖσθαι αὐτὸν τοῦτο ἀπὸ αὐγούστου καίσαρος, καὶ περὶ τὴν τούτου ἀνάληψιν δικαιοῦσθαι. πολλὰ γάρ εἰσι τὰ συνιστῶντα τοῦτον ἐκζητεῖν δι' ὅλου τὰ ἴδια· πρῶτον μὲν τὸ μὴ δύνασθαι ἐξαρκεῖν τὸν κρατοῦντα τούτου βασιλέα πάντα ἐκεῖνον ἐπισκέπτεσθαι καὶ ἐπιτηρεῖν διὰ τὸ πολυάσχολον καὶ πολυφρόντιστον τοῦ κοινοῦ καὶ τὸ μυρίαις πανταχόθεν περιστοιχίζεσθαι φροντίσιν, ἔπειτα δὲ τὸ ἀνατιθέναι τὰ τούτου τοῖς ἐξερχομένοις εἰς τὰ θέματα. ὅθεν δῆλόν ἐστιν, ὡς ὅσα μὲν οἱ τοιοῦτοι καλῶς καὶ μετὰ δικαιοσύνης καὶ μὴ πρὸς περιγραφὴν τοῦ δημοσίου ποιήσουσι, βέβαια καὶ κεκυρωμένα[68] ἔσονται· ὅσα δὲ παραλόγως καὶ πρὸς περιγραφὴν αὐτοῦ, ἀνίσχυρα μενοῦσι· μᾶλλον δὲ, εἰ χρή τι καὶ ὑπὲρ τοῦ δημοσίου εἰπεῖν, ὅταν ὁ βασιλεύειν λαχὼν βουληθείη, ἵν' ἔχῃ ἐπ' ἀδείας τὰ τοιαῦτα ζητεῖν καὶ ὡς ἀρεστὸν αὐτῷ ταῦτα διοικεῖν. ἄλλως τε καὶ οὐδὲ εὑρεθήσεται, ὡς ἀπερικόπως[69] τεσσαρακονταετία διῆλθε καὶ οὐκ

---

[64] Epit. ἧς ἔχουσι. [65] Epit. νομοθεσίας. [66] Cf. Nov. XXVI. [67] Leuncl. in ora rubricam apponit: περὶ τοῦ χρόνου μὴ εἶναι κατὰ τοῦ δημοσίου. [68] Epit. παγία. [69] Leuncl. ἀπερισκόπως.

ἐξῆλθεν ἐπόπτης ἢ βασιλικὸς ζητήσων τὸ τοῦ δημοσίου δίκαιον. εἰ δὲ ὁ τοιοῦτος πρὸς σύστασιν καὶ τὸ ἀνακαλεῖσθαι τὰ τοῦ δημοσίου ἀποστελλόμενος δίκαια, αἰσχροκερδὴς καὶ δολερὸς εὑρισκόμενος, παρορᾷ μὲν τὸ ταῦτα ἐπιζητεῖν καὶ ἀναῤῥύεσθαι, πλεονεκτικῇ δὲ καὶ μοχθηρᾷ γνώμῃ προδότης μᾶλλον τῶν ἐκείνου δικαίων ἀναφανῇ, οὐδὲν παρὰ τοῦτο κατακριθήσεται ὁ δημόσιος ὁ μηδέποτε παυσάμενος τὸ ἑαυτοῦ δίκαιον ζητεῖν[70]. καὶ τοῦτο ἐπ' αὐτῶν τῶν ἔργων πρακτικῶς[71] εὗρεν ἡ βασιλεία μου, ὡς καὶ οἱ ἐπόπται καὶ οἱ ἄλλως προνοούμενοι τοῦ δημοσίου καὶ εἰς δουλείας ἀποστελλόμενοι μυρίους κατ' αὐτοῦ τεχνάζονται δόλους, καὶ ὀλίγοι εὑρίσκονται οἱ τὰς προστάξεις ἡμῶν ἐκπληροῦντες.

ε'[72]. Ἐπὶ πᾶσι δὲ τοῖς εἰρημένοις καὶ τοῦτο θεσπίζομεν· εἰ τάχα καὶ νόμος παλαιός ἐστι, τοὺς πρωτοσπαθαρίους καὶ τοὺς ἀνωτέρω τούτων τῷ φονικῷ περιπίπτοντας μύσει μὴ ἀποθνήσκειν, ἀλλ' ἀτιμοῦσθαι, πανθάνειν[73] τε καὶ ἄλλα, ὅσα τῷ νόμῳ ἐκείνῳ διηγόρευται[74]· ἀλλ' οὖν τοὺς φανερῶς ἐλεγχομένους φονεῖς, καὶ[75] δόλους ἢ συνωμοσίας ἢ συσκευὰς ἢ ἐπιθέσεις πρὸς τὸ μύσους ἄξιον τοῦτο ἔργον ποιοῦντας, ἢ τοὺς ὑπηρετουμένους αὐτοῖς παραπείθοντας καὶ τὸ πονηρὸν ἐκτελοῦντας τοῦτο[76], μηδὲν ἀπὸ τοῦ ἀξιώματος ὠφελεῖσθαι, ἀλλ' ὡς ἀναξίους καὶ ἀτίμους κολάζεσθαι καὶ ἀποθνήσκειν. πλὴν τοῦτο λέγομεν γίνεσθαι, ὅταν ἡ συσκευὴ ἐκ μελέτης καὶ δόλου καὶ συνωμοσίας[77] καὶ ἡ ἐπίθεσις ἀπὸ φανεροῦ καὶ ἀπὸ πονηρᾶς γνώμης ὑπάρχωσι, καὶ πᾶσι καταφανὲς εἴη, ὡς προτροπῇ καὶ συναινέσει καὶ εἰδήσει αὐτῶν εἴτε λαὸς συνέστη καὶ τὸν προβάντα φόνον ἐνήργησεν, εἴτε οἱ ὑπηρετούμενοι αὐτῶν[78] διὰ τὴν προϋπάρξασαν μέσον αὐτῶν τε καὶ τοῦ φονευθέντος διαμάχην καὶ φιλονεικίαν τοῦτον ἐτέλεσαν, ἢ αὐτοὶ ἐκεῖνοι οἰκειοχείρως τὸ τοιοῦτον ἄθεσμον ἔργον εἰργάσαντο, ἢ ἄλλως[79] γνωστοὺς αὐτοῖς καὶ φίλους παρέπεισαν τοῦτο διαπράξασθαι.

ϛ'[80]. Ἐπὶ πᾶσι δὲ τοῖς ἀνωτέρω εἰρημένοις διοριζόμεθα καὶ τοῦτο. ἐπεὶ καὶ χρυσοβούλλια πολλὰ γεγόνασιν ἀφ' οὗ ἡ βασιλεία ἡμῶν τῆς αὐτοκρατορικῆς ἐπέβη ἀρχῆς μέχρις οὗ ὁ

---

[70] Leuncl. ἐκζητεῖν. [71] Ibid. πραγματικῶς. [72] Ibid. ad oram: περὶ φόνου. [73] Leuncl. in marg. παθαίνειν. Basil. παθεῖν. [74] Basil. διέγνωσται. [75] Basil. καὶ non habent, et mox δόλον ἢ συνωμοσίαν. [76] Leunclav. τούτους. [77] Sic Basil. Paris. 1351 et Leuncl. καὶ ἡ συνωμοσία. [78] Basil. αὐτοῖς, ut et Leuncl. in marg. [79] Iidem: ἄλλους. [80] Leuncl. in ora: περὶ τῶν χρυσοβούλλων.

πρόεδρος βασίλειος καὶ παρακοιμώμενος κατέβη, εἰς δὲ τοὺς τοιούτους χρόνους οὐ τὰ δοκοῦντα ἡμῖν ἐγίνετο, ἀλλ' ἡ ἐκείνου ἐν πᾶσι θέλησις ἐνεργεῖτο καὶ πρόσταξις, παρακελευόμεθα τὰ ἐν ἐκείνοις τοῖς χρόνοις γενόμενα χρυσοβούλλια πάντα ἄκυρα μένειν καὶ ἀνενέργητα, ὅσα δηλονότι μὴ προεκομίσθησαν μετὰ τοῦτο τῇ βασιλείᾳ μου καὶ τὸ „ἐτηρήθη“ ἐν αὐτοῖς ἐγράφη. ἡ γὰρ βασιλεία ἡμῶν, ἡνίκα τὸν δηλωθέντα πρόεδρον καὶ παρακοιμώμενον κατεβίβασε[81], πρόσταξιν ἐξέθετο, ἵνα πάντες τὰ τοιαῦτα προκομίσωσι χρυσοβούλλια ὡς ἂν βεβαίωσιν δέξωνται, τοῦ „ἐτηρήθη“ οἰκειοχείρῳ ἡμῶν γραφῇ προστιθεμένου ἐν τοῖς τοιούτοις. ὅσα δὲ οὐ προεκομίσθησαν οὐδὲ ἐδέξαντο τὴν βεβαίωσιν, ἄκυρα καὶ ἀβέβαια ἔστωσαν ὡς νόθω καὶ ψευδῆ· εἰ γὰρ ἀληθῆ ἦσαν προεκομίσθησαν ἂν παρὰ τῶν ἐχόντων αὐτά.

ζ'[82]. Τελευταῖον δὲ καὶ τὸ περὶ τοῦ δικαίου τῶν πανηγύρεων στασιασθὲν βουλόμεθα τὴν προσήκουσαν τάξιν λαχεῖν. Ἐπεὶ γὰρ ἐδεήθησάν τινες διεγκαλοῦντες, ὡς ἔκπαλαι τῶν χρόνων ἐχόντων αὐτῶν πανήγυριν συνισταμένην ἐν τοῖς ἰδίοις τόποις, ἀφίστανται τούτων καὶ ἀναχωροῦσιν οἱ τὴν πανήγυριν συνιστῶντες πραγματευταὶ, καὶ τοὺς μὲν παλαιοὺς δεσπότας τῆς πανηγύρεως ἐρήμους καταλιμπάνουσιν, ἐν δὲ τοῖς τόποις τῶν ὑποδεχομένων αὐτοὺς καινίζουσι τὴν πανήγυριν· κελεύομεν, εἴπερ ποτὲ τοιοῦτόν τι γένηται, εἰ μὲν ἀθρόον πάντες καὶ[83] ὁμοθυμαδὸν οἱ πανηγυρισταὶ καὶ ἔμποροι οἵ τε αὐτόχθονες καὶ οἱ ἐπήλυδες ἀφίστανται μὲν ἀπὸ τοῦ παλαιοῦ δεσπότου τῆς πανηγύρεως, προσέρχονται δὲ ἑτέροις τόποις καινίζοντες τὴν πανήγυριν, ἔχειν αὐτοὺς τὸ ἀκώλυτον καὶ ἐλεύθερον, καὶ ὡς ἂν δὴ[84] βούλονται διενεργεῖν τῆς πανηγύρεως τοπικὴν μετάθεσιν, μὴ βιαζομένους πάντως, ἀλλ' ἑκουσίως καὶ αὐθαιρέτως πρὸς τοῦτο φερομένους. εἰ δὲ διάστασις ἐν τοῖς πανηγυρισταῖς γένηται, καὶ οἱ μὲν αἱροῦνται εἶναι ἐν οἷς τόποις ἐπανηγύριζον καὶ πρότερον, οἱ δὲ τούτων ἀφίστανται καὶ πρὸς ἑτέρους μεθίστανται, τηνικαῦτα τὸ διαφέρον τῇ ἀρχαιότητι κρατεῖν, καὶ τοὺς ἀφισταμένους μᾶλλον ὁποῖοι ἄν τινες καὶ εἶεν συνελαύνεσθαι πρὸς τὴν ἕνωσιν τῶν αἱρουμένων, καὶ κρατεῖν τὸ παλαιὸν τοῦ τόπου[85] προνόμιον. καὶ ἐπεὶ αἱ μεταστάσεις ἤτοι μεταθέσεις τῶν πανηγύρεων τετραχῶς τὴν διαίρεσιν δέχονται (ἢ γὰρ ἀπὸ

---

[81] Leuncl. *κατεδίκασε.* [82] Huic capiti illustrando insigniter inservit *Πεῖρα* LVII, 1. [83] Abest a Cod. Laur. LXXX, 8. [84] Idem: *δὴ καί.* [85] Idem: *τοῦτό που.*

δυνατῶν εἰς δυνατοὺς εἰώθασι μετατίθεσθαι, ἢ ἀπὸ ἀδυνάτων εἰς ἀδυνάτους, ἢ ἀπὸ δυνατῶν εἰς ἀδυνάτους, ἢ ἀπὸ ἀδυνάτων εἰς δυνατοὺς, τὰ μὲν ἤδη προθεσπισθέντα ἐπὶ τῶν τριῶν πρώτων[86] καὶ μόνων τὴν ἰσχὺν ἕξει θεμάτων, ἤτοι ἐπί τε τῶν ἐκ δυνατῶν εἰς δυνατοὺς μεταθέσεων καὶ ἀπὸ ἀδυνάτων εἰς ἀδυνάτους καὶ ἀπὸ δυνατῶν εἰς ἀδυνάτους. τὸ γὰρ τέταρτον κεφάλαιον ἰδικωτέρας καὶ φιλανθρωποτέρας τεύξεται τῆς ἡμετέρας ἑρμηνείας· ἐπεὶ γὰρ εὐχέρεια τοῖς δυνατοῖς πολλή τίς ἐστι πρὸς τὸ τὰς πανηγύρεις ἀπὸ τῶν δικαίων τῶν ἀδυνάτων ἀποσπᾶσθαι[87], θεσπίζομεν ἐν τούτῳ τῷ κεφαλαίῳ μὴ ἄλλως τοῦτο παραχωρεῖν γίνεσθαι, ἤγουν τὴν ἀπὸ τῶν ἀδυνάτων εἰς δυνατοὺς τῆς πανηγύρεως μετάθεσιν, εἰ μὴ ὁμοθυμαδὸν ἀναχωρεῖ ἅπασα ἑκουσίως καὶ ἐκεῖσε μεθίσταται ἔνθα καὶ πρότερον καὶ ἐκ παλαιοῦ συνίστατο· ὡς συντρέχειν ἐνταῦθα τὰ δύο εὔλογα, τό τε τῆς ἀρχαιότητος δίκαιον καὶ τὴν τοῦ παντὸς πλήθους σύῤῥοιάν τε καὶ σύμπνοιαν. καὶ γὰρ, εἰ τάχα ἐν τοῖς ἄλλοις τρισὶ θέμασι καὶ τὸ ἓν εὔλογον ὂν μόνον οἶδεν[88] ἀρκεῖν, οἷον μόνην τὴν σύμπνοιαν ὅτε ἅπασα μεθίσταται ἡ πανήγυρις, ἢ μόνην τὴν ἀρχαιότητα διϊσταμένης δηλονότι καὶ διατεμνομένης εἰς δύο τῆς πανηγύρεως, ἀλλ᾽ ἐπὶ τοῦ τετάρτου τοῦδε κεφαλαίου τὴν τῶν δύο εὐλόγων συνέλευσιν[89] εἶναι κελεύομεν ἐπὶ τῷ κρατεῖν τὴν ἀπὸ ἀδυνάτων εἰς δυνατοὺς μετάθεσιν τῶν πανηγύρεων, τήν τε ῥηθεῖσαν τοῦ παντὸς σύμπνοιαν καὶ τὸ τῆς ἀρχαιότητος δίκαιον· τοῖς πένησι πάντη χεῖρα βοηθὸν ὀρέγοντες καὶ τὸ περιὸν τῆς δυνάμεως τῶν δυνατῶν ἀναστέλλοντες, ὃ καὶ τῷ μακαρίτῃ πάππῳ[90] ἡμῶν βασιλεῖ κυρῷ ῥωμανῷ τῷ γέροντι μεμερίμνηται πάλαι ἄριστα ἐπὶ ταῖς τῶν ἀκινήτων δικαίων τῶν ἀδυνάτων πρὸς δυνατοὺς ἐκποιήσεσιν.

---

[86] Codd. καὶ πρώτων. [87] Codd. ἐπισπᾶσθαι. [88] Witte conjecit: ἔοικεν. [89] Laur. ἐνέλευσιν. [90] Witte: „Rectius προπάππῳ". Ita supra constanter.

NOV. XXX.

Imp. Basilii Porphyrogeniti de archiepiscopatu Bulgariae[1].

Πολλῶν ὄντων καὶ μεγάλων τῶν παρὰ τοῦ φιλανθρώπου θεοῦ δεδωρημένων τῇ βασιλείᾳ ἡμῶν ἀγαθῶν κατὰ διαφόρους καιροὺς καὶ ἀριθμὸν ὑπερβαινόντων, τοῦτό ἐστι παρὰ πάντα ἐξαίρετον τὸ προσθήκην γενέσθαι τῇ ῥωμαϊκῇ ἀρχῇ καὶ τὴν τῶν βουλγάρων γενέσθαι ὑπὸ ζυγὸν ἕνα ἐντεῦθεν οὖν καὶ τὸν εὐλαβέστατον μοναχὸν ἰωάννην ἀρχιεπίσκοπον βουλγαρίας ἐκυρώσαμεν εἶναι καὶ τὰ τῇ ἀρχιεπισκοπῇ προσήκοντα παρ' αὐτοῦ ἰθύνεσθαι. καὶ ἐπεὶ ᾐτήσατο ὁ τοιοῦτος ἐγγράφως ἔχειν τοὺς ὀφείλοντας ταῖς ἐκκλησίαις τῆς ἐνορίας αὐτοῦ καὶ τῶν ἐπισκόπων αὐτοῦ κληρικοὺς καὶ παροίκους ὑπηρετεῖν, δεδώκαμεν αὐτῷ τὸ παρὸν σιγίλλιον τῆς βασιλείας ἡμῶν.

Δι' οὗ παρακελευόμεθα, αὐτὸν μὲν τὸν ἀρχιεπίσκοπον ἔχειν εἰς τὰ κάστρα τῆς ἐνορίας αὐτοῦ ἤτοι εἰς τὴν ἀχρίδα, τὴν πρέσπαν, τὸν μάκρον καὶ τὴν κίτζαβιν κληρικοὺς μ' καὶ παροίκους λ'· τὸν δὲ ἐπίσκοπον καστορίας εἰς τὰ κάστρα τῆς ἐνορίας αὐτοῦ ἤτοι εἰς αὐτὴν τὴν καστορίαν, εἰς τὸν κόρεστον, τὴν κολώνην, τὴν δεάβολιν[2], τὴν βοῶσαν καὶ τὸν μῶρον κληρικοὺς μ' καὶ παροίκους λ'· εἰ τάχα καὶ περισσοτέρους εἶχε πρόφην, ἀλλ' οὖν οὐ βουλόμεθα ὑπερβαίνειν τὸν ἀριθμὸν τῶν κληρικῶν καὶ παροίκων τοῦ ἀρχιεπισκόπου. τὸν δὲ ἐπίσκοπον γλαβινίτζης εἰς αὐτὴν τὴν γλαβινίτζαν καὶ εἰς τὰ κάνινα καὶ εἰς νεάνισκαν κελεύομεν ἔχειν κληρικοὺς μ' καὶ παροίκους μ'· τὸν δὲ ἐπίσκοπον μογλαίνων εἰς αὐτὰ τὰ μόγλαινα καὶ τὸν πρόσακον καὶ τὴν μυρίχοβαν καὶ τὴν σετίνην καὶ τὸν ὀστροβὸν καὶ εἰς τὰ ζαόδρυα κληρικοὺς ιε' καὶ παροίκους ιε'· καὶ τὸν ἐπίσκοπον βουτέλεως εἰς τὴν πελαγονίαν καὶ εἰς τὸν πρίλαπον καὶ εἰς τὴν δευρετὴν καὶ εἰς τὸν βελεσὸν κληρικοὺς ιε' καὶ παροίκους ιε'· καὶ τὸν ἐπίσκοπον στρουμμίτζης εἰς αὐτὴν τὴν στρούμμιτζαν καὶ τὸν ῥαδόβιστον καὶ τὸν κονέτζην κληρικοὺς ιβ' καὶ

---

[1] Hanc Novellam primi ediderunt Rhallis et Potlis in Collect. canon. V p. 268 ex Codice MS. quodam Gerasimi archiepiscopi. Ibi tamen quum simul exhibita sit constitutio Justiniani de archiepiscopatu Bulgariae, quam ipsi illi editores spuriam esse judicant, etiam Basilii Novella, quam hic edimus, an genuina sit, dubitare fas est. [2] Vulgo *διάβολιν* scribi Rhallis notat.

παροίκους ιβ'· καὶ τὸν ἐπίσκοπον μοροβίσδου εἰς αὐτὸν τὸν μορόβισδον καὶ τὸν κοζίακον καὶ τὴν σλαβίστην καὶ τὴν σθλετοβὰν καὶ τὸν λουκόβιτζον καὶ τὴν πιάνιτζαν καὶ τὴν μολέσοβαν κληρικοὺς ιε' καὶ παροίκους ιε'· καὶ τὸν ἐπίσκοπον βελεβουσδίου εἰς αὐτὴν τὴν βελέβουσδαν καὶ τὸν σουντιασκὸν καὶ τὴν γερμάνειαν καὶ τὸν τερίμερον καὶ τὸν στοβὸν καὶ τὸν κάτω σουαδέασκον καὶ τὰ ῥαίλογα κληρικοὺς ιε' καὶ παροίκους ιε'· καὶ τὸν ἐπίσκοπον τριαδίτζης εἰς αὐτὴν τὴν τριάδιτζαν καὶ τὸν πέρνικον

(*Reliqua desiderantur.*)[3]

NOV. XXXI.

Imp. Constantini Porphyrogeniti de seditiosis[1]. (A. 1026.)

Ἡ κατὰ τὸν ἰούνιον μῆνα τῆς θ' ἰνδ. τοῦ ͵ςφλδ' ἔτους γενομένη νεαρὰ παρὰ τοῦ βασιλέως κυροῦ κωνσταντίνου τοῦ πορφυρογεννήτου συμπράξαντος καὶ τοῦ τότε ἁγιωτάτου πατριάρχου κυροῦ ἀλεξίου καὶ τῆς συνόδου, ἡ καὶ τάξιν τόμου[2] ἐπέχουσα ὡς ὑπογραφεῖσα παρὰ τοῦ βασιλέως καὶ τῆς συνόδου, καὶ διοριζομένη ἀναθεματίζεσθαι τοὺς ἐπιχειροῦντας ἀποστασίαν κατὰ βασιλέων ποιῆσαι ἢ τυραννίδα, κἀντεῦθεν τοὺς ὑπηκόους κατὰ τῶν αὐθεντῶν αὐτῷ ἀποστατοῦντας[3], διορίζεται μετὰ τῶν ἄλλων περὶ τὸ τέλος καὶ ταῦτα ῥητῶς.

Τοῖς μέλλουσιν ἢ ἐπιβουλαῖς[4] ἀπό γε τοῦ νῦν ἐπιχειρεῖν ἢ μούλτῳ[5], ἀνάθεμα. τοῖς συμπράττουσιν αὐτοῖς καὶ συγκοινω-

---

[3] Praeter Basilii Porphyrog. Novellas hactenus recensitas aliarum vestigia haec sunt: 1) Bonefid. p. 33 ex Zonara (edit. Paris. II p. 234) locum affert: *Ἐδογμάτιζε τὰς τῶν ἀπολωλότων ταπεινῶν συντελείας εἰσπράττεσθαι ἐκ τῶν δυνατῶν· τοῦτο δ' ἐκλήθη ἀλληλέγγυον.* Quo loco an lex aliqua Basilii indicetur, et an *ἀλληλέγγυον* idem sit quod notissima illa sterilium adjectio, nondum perspexi. — 2) In JGR. I p. 203 sententia synodalis Basilii subscriptione firmata laudatur. — 3) In JGR. I p. 253 Basilii et Constantini *ἔγγραφα τυπικὰ*, ut civiles judices ecclesiastica privilegia observent, laudantur. — 4) Denique Basilii *κρίσιν* de conditione „*si castratus sit*“ non admittenda affert Tipucitus. Videantur Basil. ed. Heimb. II p. X et IV p. 353 not. z: quibus locis *κῦρος βασίλειος* legendum est.

[1] Quae hic subjecta sunt, sumta sunt ex Bals. ad c. 3 syn. Gangr. ed. Rhalli III p. 103. (Cf. etiam Blastares Σ, 11 ed. Bevereg. II p. 232.) Ex Balsamone pridem edidit Bonefid. p. 14 et Leuncl. JGR. I p. 118. Bonefidium sequutus, Mortreuil II p. 349 perperam Constantino, Leonis filio, tribuit. [2] Apud Leuncl. additur *συνοδικοῦ*. [3] In edit. Rhalli est *ἀναστατοῦντας*. Non male. [4] Ibid. *ἐπιβουλῇ*. [5] Ibid. ex Cod. Trapezunt. lectio *ἢ βουλεύονται* affertur. Sed *τουμούλτῳ* legerim.

νοῦσιν ἐν τῇ ἀποστασίᾳ, ἀνάθεμα. τοῖς συμβουλεύουσιν ἢ παρορμῶσιν εἰς τὰ τοιαῦτα, ἀνάθεμα. τοῖς συνεκστρατεύουσι τούτοις, ἀνάθεμα. τοῖς δεχομένοις αὐτοὺς ἐν μετανοίᾳ, μὴ μεταμελουμένους ἀπὸ τῆς ἀποστασίας καὶ καταλιμπάνοντας αὐτὴν, ἀνάθεμα.

NOV. XXXII.[1]
Imp. Constantini Monomachi
typicum de consuetudinibus ab episcopo percipiendis[2].
(Inter 1042—1054.)

Non extat.

NOV. XXXIII.
Imp. Constantini Monomachi
de officiis τοῦ ἐπὶ τῶν κρίσεων et τοῦ νομοφύλακος[1].

Non extat.

---

[1] Bonefidius p. 34 ex Cedreno locum affert, quo Romanum Argyrum narratur magnae ecclesiae ex aerario principis quotannis LXXX libras auri destinasse, et quod ἐξέκοψε καὶ τέλεον ἀπεῤῥίζωσε τὸ ἀλληλέγγυον, ὅπερ ἐμελέτα μὲν ὁ κωνσταντῖνος ποιῆσαι, οὐκ ἔφθασε δέ (cf. supra Nov. 30 not. 3): idemque p. 35 ex eodem locum habet, quo narratur Zoen γράμματα καὶ διατάγματα emisisse, ut magistratus ἀπρωάτην fierent. Denique de Michaele Stratiotico narratiunculam profert, quae cum Novellis constitutionibus nihil commune habet.

[2] Laudatur in Novella Alexii Comneni, Coll. IV Nov. 27.

[1] Cf. Bals. Epist. in Leuncl. JGR. I p. 471 et in Coll. can. ed. Rhallis et Potlis IV p. 524: „τοῦ βασιλέως κυροῦ κωνσταντίνου τοῦ μονομάχου τὰ θεσπεσιώτατα διατάγματα τὰ τελεσφορήσαντα τὰ ὀφφίκια τοῦ ἐπὶ τῶν κρίσεων καὶ τοῦ νομοφύλακος, καὶ διοριζόμενα τούτους ἐτησίως μετὰ καὶ ἄλλων πολλῶν ἀποφέρεσθαι χάριν ῥόγας ἀνὰ χρυσίου τοσήνδε ποσότητα καὶ τὰ συνήθη βαΐα.“ (De verbo βαΐα videatur Ducange s. v.)

COLLATIO QUARTA.

Novellae constitutiones annorum 1057—1204.

NOV. I.

Imp. Isaacii Comneni
aurea bulla de sportulis pro ordinatione praestandis et de canonico[1].
(Inter 1057—1059.)

α΄. Τυποῖ ἡ βασιλεία μου, καὶ ἐπὶ τῇ χειροτονίᾳ τῶν ἱερέων καὶ ἐπὶ τῷ κανονικῷ τὸν παλαιὸν ἐνεργεῖν τύπον[2]· καὶ μηδὲν ἐπὶ τῇ χειροτονίᾳ λαμβάνειν πλέον τὸν χειροτονοῦντα τοῦτον[3] ἐπίσκοπον ἢ τὸν ἀρχιεπίσκοπον, ἀλλ᾽ ἢ μόνα τὰ ἑπτὰ χρυσᾶ νομίσματα τῆς προτιμωμένης χαραγῆς τῆς βασιλείας μου· ἤγουν ἓν μὲν ὅτε ποιεῖ τοῦτον λιτὸν παπᾶν ἤτοι ἀναγνώστην,

---

[1] Chrysobulli typici pars, quae subjecta est, servata est a Balsam. ad Phot. Nomoc. I, 34 (ed. Rhalli I p. 75). Ex eodem ut videtur excepta habetur in Cod. Vind. theol. gr. 253. Laudatur praeterea infra in Nov. XXVII Alexii Comneni, nec non a Bals. in Resp. 59 (ed. Rhalli IV p. 492) et Harmenop. in scholio ad Epit. can. in JGR. I p. 7. — Balsamonem sequuti ediderunt Bonefid. p. 36, Leuncl. post Syn. p. 54 et in JGR. I p. 120. — Et Balsamon quidem sic habet: *Χάριν δὲ τοῦ κανονικοῦ καὶ τῶν ὑπὲρ χειροτονίας διδομένων συνηθειῶν ἐνεργεῖ μέχρι τοῦ νῦν χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως κυρίου ἰσαακίου τοῦ κομνηνοῦ, οὕτως ἔχον ἐν μέρει· „Τυποῖ — τῇ βασιλείᾳ μου“. σὺν τῷ τοιούτῳ δὲ χρυσοβούλλῳ τυπικῷ γέγονε καὶ σημείωμα συνοδικὸν κατὰ τὴν ιε΄ τοῦ νοεμβρίου μηνὸς τῆς ι΄ ἰνδ. παρὰ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου νικολάου παρακελευόμενον κατὰ τὸ τοιοῦτον χρυσόβουλλον δίδοσθαι τὰ κανονικὰ καὶ τὰ ὑπὲρ χειροτονίας.* Plenius Harm. refert, chrysobullum illud primum decreto synodico patriarchae Michaelis Cerularii (1043—1059) et postea demum decreto Patriarchae Nicolai Grammatici (1084—1111) confirmatum esse. Quod autem Mortreuil III p. 134 Balsamonem erroris hac in re arguit, nulla idonea ratio est. [2] Cf. Justiniani Nov. 123 c. 16. [3] Leuncl. in marg. *τούτους*.

τρία δὲ ὅτε χειροτονεῖ αὐτὸν διάκονον, καὶ ἕτερα τρία ὅτε πληροῖ[4] αὐτὸν ἱερέα ἤτοι πρεσβύτερον.

β΄. Ὡσαύτως καὶ ὑπὲρ τοῦ κανονικοῦ[5] ἀπὸ τοῦ ἔχοντος χωρίου λ΄ καπνοὺς νόμισμα ἓν χρυσοῦν ὅμοιον, ἀργυρᾶ δύο, κριὸν ἕνα, κριθῆς μόδια ἓξ[6], οἴνου μέτρα ἕξ, ἀλεύρου μόδια ἕξ, καὶ ὄρνιθας[7] τριάκοντα· ἀπὸ δὲ τοῦ ἔχοντος κ΄ καπνοὺς τὸ δίμοιρον τοῦ νομίσματος, καὶ ἀντὶ τῶν β΄ ἀργυρῶν ἀργυροῦν α΄[8], μέσαρνον ἕν, κριθῆς[9] μόδια δ΄, οἴνου μέτρα δ΄, ἀλεύρου μόδια δ΄ καὶ ὄρνιθας[10] κ΄· ἀπὸ δὲ τοῦ ἔχοντος ι΄ καπνοὺς χωρίου ἀργυρᾶ ε΄, ἀρνίον[11] ἕν, κριθῆς[12] μόδια β΄, οἴνου μέτρα β΄, ἀλεύρου μόδια β΄ καὶ ὄρνιθας[13] ι΄· καθὼς καὶ ἐν τοῖς σιγιλλίοις[14] τῶν παλαιῶν πρακτικῶν[15] ἀναγράφεται, καὶ ἡ σύμφωνος κατάθεσις τῶν ὅλων θεματικῶν παρέστησε τῇ βασιλείᾳ μου.

NOV. II.

Imp. Constantini Ducae, quod imperator thronorum praesidentiam mutare non possit[1]. (A. 1065.)

Οἱ θεοφιλέστατοι μητροπολῖται ἐδεήθησαν τῆς βασιλείας μου, ἁγιώτατέ μου δέσποτα, ὅτι οἱ μητροπολῖται σύγκελλοι καὶ

---

[4] Nonnulli Codd. *ποιεῖ.* [5] De canonico cf. Coteler. Mon. eccl. gr. II p. 604. [6] Alii *κρίθου,* alii *καρπὸν μοδίους ἕξ.* [7] Alii *ὀρνίθια.* [8] Numerus *α΄* apud Bonef. et Leuncl. deest: hic autem in marg. habet *ἀργυρᾶ ι΄.* Sed ratio postulat, ut legatur: *ἀργυροῦν α΄ ῐ* i. e. *ἓν ἥμισυ.* [9] Alii *κρίθου,* alii *καρπόν.* [10] Al. *ὀρνίθια.* [11] Al. *ἄρνα.* [12] Leuncl. in marg. *κριθαρίου.* [13] Al. *ὀρνίθια.* [14] Al. *σιγίλλοις.* [15] Al. *πρακτωρικῶν,* al. *πραιτόρων.*

[1] Hoc *χρυσόβουλλον* primi ediderunt ex Cod. Vind. hist. gr. 34 (olim 53) Rhallis et Potlis in Coll. can. V p. 274. Controversiam de praesidentia thronorum sub Romano Argyro coepisse notant ex Cedreno ed. Bonn. II p. 486. Caeterum in Cod. Vind. haec praemittuntur: *Τοῦ μητροπολίτου ἐκείνου τῆς μητροπόλεως ἀθηνῶν νικολάου τοῦ ἁγιοθεοδωρίτου τιμηθέντος προστάξει βασιλικῇ διὰ τοῦ ἀξιώματος τοῦ ὑπερτίμου, καὶ σπουδάσαντος μεταπεσεῖν ἀπὸ τοῦ λαχόντος τόπου τὸν θρόνον αὐτοῦ καὶ προκαθῆσθαι πάντων τῶν ἀρχιερέων διὰ τὸ βασιλικὸν ἀξίωμα, γέγονεν ἀμφιβολία μεγάλη παρά τε τῷ βασιλικῷ βήματι καὶ παρὰ τῇ ἁγίᾳ συνόδῳ χάριν τούτου μέσον τῶν λοιπῶν ἀρχιερέων καὶ αὐτοῦ τοῦ ἀθηνῶν. καὶ ὁ μὲν ἀθηνῶν ἐχρῆτο τῷ παρόντι κανόνι* (scil. Syn. Trull. c. 38), *διοριζομένῳ ἀκολουθεῖν τοὺς ἐπισκόπους τοῖς διοριζομένοις παρὰ τοῦ βασιλέως χάριν ἐνοριῶν, καὶ τῇ κρατούσῃ συνηθείᾳ χάριν τοῦ γίνεσθαι τοὺς μητροπολίτας διὰ βασιλικοῦ προστάγματος, καὶ*

πρωτοσύγκελλοι πειρῶνται διὰ τῶν συγκλητικῶν τιμῶν ἀλλάξαι τοὺς σεβασμίους θρόνους. καὶ τί ἐξουσίαν ἔχει ὁ βασιλεὺς ἢ τὸ συγκλητικὸν ἀξίωμα ἀμείβειν θρόνους, οὓς ὁ θεὸς διὰ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων καὶ τῶν θεοφόρων πατέρων ἔταξε; τοῦ γὰρ βασιλέως ἱσταμένου μετὰ φόβου καὶ τρόμου (ἐάν ἐστιν ἄνθρωπος ὁ βασιλεὺς) καθεζομένου τοῦ ἱερέως, πῶς δύναται ὁ ἱστάμενος χαρίσασθαι τῷ καθεζομένῳ ὑψηλότερον θρόνον, καὶ ὁπότε οὐχὶ μόνον ἐπὶ τῶν μητροπολιτῶν καὶ ἀρχιεπισκόπων τοῦτο γίνεται, ἀλλὰ καὶ ἐπὶ ἱερέως πτωχοῦ ζευγηλατοῦντος ἢ καὶ ποιμαίνοντος, ὥσπερ ἦν καὶ ὁ ἐν ἁγίοις μέγας σπυρίδων ὁ θρυλλούμενος; λοιπὸν ἐν μὲν τῇ ἐκκλησίᾳ, ἔνθα καὶ ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πατριάρχης τυγχάνει, ἔν τε συνόδοις καὶ στάσεσι καὶ δικαστηρίοις, ἔν τε καθέδραις καὶ τοῖς λοιποῖς, ἕξει τὸν θρόνον ἕκαστος, ὃν δέδωκεν αὐτῷ ἡ ἁγία σοφία, ἥτις ἐστὶν ὁ λόγος τοῦ θεοῦ καὶ κυρίου. καὶ ᾧπερ δέδωκεν ἐκεῖνος θρόνον, τίς ἀφαιρήσεται ἐξ αὐτοῦ καὶ ἀποστερήσεται; ἐν δὲ τῷ παλατίῳ ἕξει τὴν τιμὴν ἕκαστος τὴν ἐν τῇ συγκλήτῳ τυπωθεῖσαν αὐτῷ. πίστευσον γάρ μοι ὅτι καὶ φρίκης τὸ πρᾶγμα, καὶ οὐδὲ οἱ ἁγιώτατοι μητροπολῖται πρωτοσύγκελλοι καὶ σύγκελλοι οὐδὲ ἐμοῦ κατανεύσαντος ἀνέξονται τοῦτό ποτε. ὅμοιοι γάρ εἰσιν ἅπαντες τῇ ὁμηγύρει τῶν ἁγίων καὶ πανενδόξων ἀποστόλων· καὶ οὓς ἔταξεν ὁ χριστὸς καὶ θεὸς ἡμῶν ἐν τῷ μυστικῷ καὶ ζωοποιῷ δείπνῳ καθεσθῆναι καὶ δειπνῆσαι, τίς δύναται ἀμεῖψαι τὴν καθέδραν ἐκείνων; ἡ δὲ παροῦσα σήμερον ἀντίτυπός ἐστιν ἐκείνης, ὡς ἔχω καὶ ὡς πιστεύω. ἀλλ' οὐδὲ οἱ ἅγιοι μητροπολῖται σύγκελλοι καὶ πρωτοσύγκελλοι ἵνα τοῦτο φέρωσι βαρέως, πειθόμενοι τῷ μεγάλῳ παύλῳ πράξαντι καὶ διδάξαντι· „ὅσος μὲν εἶ, τοσοῦτον ταπείνου σαυτὸν", καὶ πρὸ τούτου τοῦ δεσποτικοῦ ῥήματος διδάσκοντος πάντας ἡμᾶς τό· „ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται". τίς εἶδε, τίς ἤκουσε τοιαύτην εὐκολίαν καὶ ὁδὸν εἰσάγουσαν εἰς ζωήν; εἰ τοί-

---

οὕτω τὸν μέχρι τοῦ χθὲς ἔσχατον τόπον ἐν ἐπισκόποις ἔχοντα προκαθῆσθαι τῶν ὅλων ἐπισκόπων· ἀλλὰ μὴν καὶ ἑτέρᾳ συνηθείᾳ, τῇ ἐκχωρούσῃ τοὺς ἐπισκόπους ἀκολουθοῦντας μετὰ τοῦ βασιλέως ἱερουργεῖν παρ' ἐνορίαν, ὅταν διὰ βασιλικῆς προστάξεως ἐκχωρηθῶσι τοῦτο ποιεῖσθαι. οἱ δὲ ἀθετοῦντες τῷ ἀθηνῶν ἀρχιερεῖς, τῷ ζ' κανόνι τῆς παρούσης συνόδου (scil. Syn. Trull.) χρησάμενοι καὶ ἑτέροις κανόσιν, ἀλλὰ μὴν καὶ προστάγματι τοῦ βασιλέως κυροῦ κωνσταντίνου τοῦ δούκα, ἀναγράπτῳ ὄντι ἐν πίνακι παρὰ τοῖς κατηχουμένοις τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἔνθα αἱ σύνοδοι γίνονται, τὸ ἀμφίβολον ἔλυσαν. τὸ δὲ τοιοῦτον βασιλικὸν πρόσταγμα ἔχει κατὰ ῥῆμα οὕτως· Sequuntur jam, quae supra edita sunt.

νυν εἰς ταύτην τὴν ὁδὸν καὶ ἐμὲ καὶ τὴν ἁγιωσύνην σου (ἣν γινώσκω ἐγὼ) ἐδοκίμασεν, εὗρεν ἂν καθίσαντας ὅπου ἐκέλευσε, μέχρις ἂν ἔσωσεν, ὡς ἐν τῷ βαλαὰμ ἀναγινώσκεται· καὶ οὐ δεῖται πολλῆς ἐξηγήσεως, ὅτι ἐποίησαν βασιλεῖς δεικνύοντας ἑαυτοὺς μαθητὰς τοῦ χριστοῦ· ἐγὼ ὀλίγον ἐνέτυχον τοῖς κανόσιν, ἀλλ᾽ εὗρον γεγραμμένον, ὅτι ὁ μὴ στοιχῶν πᾶσι τοῖς τυπωθεῖσι παρὰ τῶν ἁγίων πατέρων ἀναθέματι ὑποκείσθω· ἢ τίς ἐστὶν οὕτω τολμητίας καὶ ἀλαζὼν καὶ αὐθάδης, ἵνα παρασείσῃ ἓν ῥῆμα τῶν θείων κανόνων ἐκείνων; εἰ δέ τις ἐτόλμησε καὶ τοιοῦτον, ἴσως ἠγνόησε τοὺς κανόνας ἢ ἐπελάθετο, καὶ ἵλεως αὐτῷ γένοιτο ὁ κύριος ὡς ἀγνοήσαντι. ὅπερ δὲ θέλω ἐρωτῆσαι, ἀποκριθήτω μοί τις τῶν ἁπάντων. ἐὰν γένηται μητροπολίτης λιτὸς πρωτόθρονος εἰς καισάρειαν καὶ ἕτερος εἰς ἔφεσον, γένωνται δὲ σύγκελλοι εἰς θεσσαλονίκην ἢ ὑδροῦντα, ἆρα προκαθίσουσι τοῦ καισαρείας ἢ τοῦ ἐφέσου; ὅμως ἂν θέλῃ τὶς καινοτομεῖν τὸ θεῖον καὶ βλασφημεῖν καὶ ἀνατρέπειν τοὺς κανόνας τῶν ἁγίων ἀποστόλων καὶ θεοφόρων πατέρων, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν. εἰς δὲ τὸ παλάτιον ἐχέτω τὴν τιμὴν ὁ σύγκελλος καὶ εἰς τὰ κοσμικὰ δικαστήρια.

Ἀποτεθήτω οὖν ἡ παροῦσα γραφὴ ἐν τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, ὡς ἂν ᾖ δήλη καὶ εἰς τὸ ἑξῆς ἡ τοιαύτη πρόσταξις καὶ οἰκονομία τῆς βασιλείας μου· ἥτις καὶ τῇ διὰ κινναβάρεως ὑποσημασίᾳ καὶ τῇ διὰ χρυσῆς βούλλης σφραγίδι τυπωθεῖσα ἐξετέθη μηνὶ μαΐῳ ἰνδ. γʹ [2].

NOV. III.

Imp. Constantini Ducae de dotis privilegio[1]. (Inter 1059—1067.)

Τοῦ βασιλέως κυροῦ κωνσταντίνου τοῦ δούκα νεαρά.

Ἰστέον ὅτι ὁ δούκας ὁ βασιλεὺς λύσιν ἐποίησε πρὸς ανα-

---

[2] Cod. Vind. addit: ζήτει ὄπισθεν εἰς τὸ εʹ στοιχεῖον (sc. Matthaei Blastaris) καὶ κανόνα ιβʹ τῆς δʹ συνόδου ἀνατρέποντα τοῦτο.

[1] Hujus rescripti epitome, quae sequitur, extat in appendice operis Michaelis Attalensis, v. c., in Codd. Paris. 1385 A, Bodlej. 264, Vind. jur. gr. 3. Primus edidi in Delin. hist. JGR. p. 119. Laudatur etiam in Ecloga lib. I—X Basil., et quidem lib. I tit. 2 sic: „εἰ χρεωστεῖ τις προῖκα τῇ ἰδίᾳ γυναικὶ, ἐστὶ δὲ ἔνοχος καὶ τῷ δημοσίῳ, καὶ ἔλθοι καὶ ὁ δημόσιος ἀπαιτεῖν τὸ χρέος καὶ ἡ γυνὴ

γραφὴν ἀντιγραφεῖσαν σεκρετικῷ[2], ἐν ᾗ ποιεῖται διαστολήν τινα περὶ τῆς προτιμήσεως τῆς προικὸς τῆς κατὰ τοῦ δημοσίου τυγχανούσης, ὁπόταν ἡ προῖξ προγενεστέρα τυγχάνῃ. ἐπὶ γὰρ καὶ μόνοις τοῖς φαινομένοις τῆς προικὸς πράγμασι προτιμᾶσθαι βούλεται τὴν γυναῖκα τοῦ δημοσίου, οὐ μὴν καὶ ἐπὶ τοῖς μὴ φαινομένοις, τουτέστιν ἐπὶ τοῖς ῥητῶς ἐν τοῖς συμφώνοις τῆς γυναικὸς ἀναγεγραμμένοις· τὰς δὲ σιωπηρὰς ὑποθήκας τῆς ἀνδρῴας οὐσίας κατὰ τοῦ δημοσίου ἐνισχύειν ἀπαγορεύει, ἐν οἷς δηλονότι τὴν τοῦ ἀνδρὸς ὕπαρξιν ἔνοχον σχῇ ὁ δημόσιος· καὶ οὐδὲ τὴν γυναῖκα δέχεται λέγουσαν ἐκ τῶν προικιμαίων νομισμάτων αὐτῆς ἠγοράσθαι τόδε τὸ πρᾶγμα, εἰ μὴ ῥητῶς αὐτὸ ἐν τοῖς συμφώνοις διώρισται. ταῦτα δὲ διατέτακται οὕτως παρὰ τοῦ μνημονευθέντος βασιλέως διὰ τὰς εἰωθυίας συμβαίνειν ἐν τοῖς τοιούτοις περινοίας κατὰ τοῦ δημοσίου, καὶ δόλον συμπλεξουσῶν πολλάκις καὶ τῶν γυναικῶν[3] τοῖς ἰδίοις ἀνδράσι καὶ λεγουσῶν καταναλωθῆναι παρ᾽ ἐκείνων τὰς σφετέρας προῖκας, ἢ καὶ σκεπτομένων ψευδῶς ἐκ τῶν προικιμαίων πραγμάτων τόδε τὸ ἀκίνητον ἐωνῆσθαι. ἡ οὖν τοιαύτη λύσις τοῦ δούκα κρατεῖ σήμερον ἐν τύπῳ νεαρᾶς διατάξεως καὶ τὸ ἐνεργὸν ἔχει.

NOV. IV.

Imp. Constantini Ducae aurea bulla de episcopatu Basileensi[1].

Non extat.

ζητοῦσα τὴν προῖκα ὡς δαπανηθεῖσαν, νικᾷ ὁ δημόσιος ἀδιαστίκτως σήμερον ἀπὸ νεαρᾶς τοῦ βασιλέως τοῦ δούκα". — Caeterum controversia illa: an fiscus dotem vincat, quomodo a Graecis tractata fuerit, videre est ex Tractatu de debitis, quem edidi in Heidelberg. Jahrb. 1841 p. 542. [2] Paris. 1385 A: σεκρετικόν. [3] Idem: συγγενῶν, quod omnino emendandum erat.

[1] Laudatur in epistola synodali Patriarchae Nicolai (apud Leuncl. JGR. I p. 278 et in Coll. can. ed. Rhalli et Potli V p. 71): „ὑπομνήματί τε πέφρακται τοῦ μακαρίτου βασιλέως τοῦ δούκα, ὅστις τὴν τοῦ βασιλείου ἐπισκοπὴν εἰς μητροπολιτικὸν ἀνήγαγε δίκαιον, διοριζομένῳ τῷ θανάτῳ τοῦ τιμηθέντος μητροπολίτου εἰς ἐπισκοπὴν κατεσπάσθαι τὴν εἰρημένην ἐκκλησίαν· μὴ ἐπαισχυνθέντος λίαν νουνεχῶς τοῦ βασιλέως τὸ οἰκεῖον ὀλίσθημα καὶ τὴν ἄγνοιαν καὶ θριαμβεῦσαι καὶ διορθώσασθαι".

NOV. V.

Imp. Eudociae
decretum de insterstitio aedificiorum servando[1]. (A. 1067.)

Non extat.

NOV. VI.

Imp. Michaelis Ducae
de tempore, intra quod juramentum praestandum sit[1]. (A. 1075.)

Μηνὶ ὀκτωβρ. ιη′ ἰνδ. ιγ′[2] κατεστρώθη ὑπομνηστικὸν βεβουλλωμένον καὶ ὑπογεγραμμένον τοῦ πρωτοπροέδρου κυροῦ κωνσταντίνου καὶ δρουγγαρίου τῆς βίγλης πρὸς τὸν βασιλέα κῦριν μιχαὴλ τὸν δούκα. περιέχει οὕτως·

Τολμῶν ὁ ἀνάξιος καὶ πανευτελὴς δοῦλος τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου ὑπομνήσκω. δέσποτα μου ἅγιε, ἀμφιβολία [τῷ δικαστηρίῳ ἐνέπεσε][3] οὐ νῦν πρῶτον[4] στασιασθεῖσα, ἀλλὰ καὶ πολλοῖς τῶν παλαιῶν δικαστῶν ζητηθεῖσα, ἄλυτος δὲ καταλειφθεῖσα μέχρι τοῦ νῦν διὰ τὸ μὴ εὑρίσκεσθαι νόμον τὸν ταύτην ἐξομαλίζοντα. ἐστὶ δὲ αὕτη. ἡνίκα παραχθῶσι μάρτυρες

---

[1] Tipucitus LIX, 2 (cf. Basil. ed. Heimb. V p. 224 not. n): *γίνωσκε, ὅτι ρ πόδας ὀφείλει ἀπέχειν ὁ κτίσας, ὡς διωρίσατο τοῦτο ἡ βασίλισσα εὐδοκία ἡ τοῦ δούκα σύνευνος. ἐγένετο δὲ ὑπόμνημα περὶ τούτου τῷ δαλασσηνῷ θεοδώρῳ καὶ πρωτονοβελισσίμῳ, συνελθόντων εἰς τὴν αὐτὴν γνώμην τοῦ τε νομοφύλακος τοῦ δολ..* (?) *καὶ τῶν κριτῶν τοῦ ἱπποδρόμου πάντων.*

[1] Haec Michaelis Ducae Novella extat in Cod. Bonon. *B*, IV, 67: relatio autem, quam praemisi, forte fortuna servata est in Paris. 2872. Hanc et illam primus edidi in Delineatione hist. JGR. p. 120 sqq. Appendix Mich. Attal. epitomen (Nov. III, quae supra habetur, subjectam) praestat hanc: *Ἑτέρα νεαρὰ τοῦ υἱοῦ αὐτοῦ κυροῦ μιχαὴλ τοῦ βασιλέως. Ἐπεὶ οἱ μέλλοντες ὑποσχεῖν ὅρκον ἐξ ἀποφάσεως δικαστικῆς ἢ δέχεσθαι ἀποδιδόμενον καλούμενοι πολλάκις ὑπερετίθεντο, καὶ ἀπὸ τούτου συνέβαινε τὸν ἐκβιβασμὸν τῆς δίκης παραβιβάζεσθαι καὶ παρέλκεσθαι μέχρι πολλοῦ, νεαρὰν διάταξιν ὁ μνημονευθεὶς ἐξέθετο βασιλεὺς, ὥστε γίνεσθαι τρεῖς ἐπιφωνήσεις ἐγγράφους προστάξει δικαστικῇ πρὸς τὸν ἀναποδίζοντα ἐξ ὑπερθέσεως πρὸς τὸν ὅρκον, [κἂν] μὴ ὑπακούσῃ ἀλλ' ἐπιμείνῃ ἀπειθῶν καὶ παρέλθῃ τὸ τρίτον* (l. *τρίμηνον*), *μηκέτι εἶναι χρείαν τοῦ ὅρκου, ἀλλὰ καταδικάζεσθαι τὸν τοιοῦτον ἀνωμοτί.* — Denique Novella, de qua agimus, laudatur in schol. Basil. ed. Heimb. II p. 573.

[2] Cod. *γ′*. [3] Cod. *ἀμφιβολίαν*, post quod verbum lacuna dimidiae lineae est.

[4] Cod. *πρώτης*.

παρὰ τοῦ ἑνὸς μέρους καὶ δοθῶσιν αἱ τούτων φωναὶ, ἀδιάβλητα δὲ μείνωσι τὰ τοῦ μάρτυρος αὐτοῦ δι' ἀντιπαραγωγῆς ἢ διαβολῆς μὴ περιτρεπόμενα, ὅρκος τούτοις ἐπάγεται. ἀπειθοῦντος δὲ τοῦ ὀφείλοντος δέξασθαι τὸν ὅρκον, διὰ τὸ μὴ τὴν δίκην ἴσως ἐθέλειν τοῦτον πέρας λαβεῖν, οἱ μὲν τῶν δικαστῶν λέγουσιν, ὅτι ἐπιφωνήσεων ἐπάνω[5] γενομένων καὶ τριῶν τριακονθημέρων παρερχομένων, μετὰ τὴν τούτων διάῤῥευσιν ὁ μὴ βουλόμενος τὸν ὅρκον δέξασθαι ἔκτοτε τοῦτον ἀνακαλεῖσθαι οὐ δύναται. ἕτεροι δέ φασιν, ὅτι ἐὰν ἡ μαρτυρία δοθῇ χρηματικῆς οὔσης τῆς ὑποθέσεως, ἐπεὶ αἱ χρηματικαὶ δίκαι ἐντὸς τριετίας ὀφείλουσι τέμνεσθαι, δυνατὸν καὶ τὸν ὅρκον παρεκτείνεσθαι ἄχρι τῆς τῶν τριῶν ἐνιαυτῶν παραδρομῆς· τούτων δὲ διερχομένων οὐ πρὸς ἰσχύος ἐστὶ τῷ τὸν ὅρκον ὀφείλοντι δέξασθαι ἀνακινεῖν καὶ αὖθις τὴν δίκην· ἐπάγεται γὰρ τῷ παρεκτείνοντι δικαστῇ ἐπὶ πλέον τῶν τριῶν ἐνιαυτῶν ἀπὸ τοῦ νόμου ποινή. ἄλλοι δὲ πάλιν τῶν δικαστῶν, καὶ ἄχρι τριακονταετίας δυνατὸν εἶναι ἀνατιθέναι[6] τῶν μαρτύρων τὸν ὅρκον, ὅτι καὶ αἱ διηνεκεῖς ἀγωγαὶ τῇ τριακονταετίᾳ παύονται, καὶ δυνατὸν ὅρκου ἀγωγὴν περὶ τούτου ἔχειν ἄχρι τριακονταετίας [τὸν ὀφείλοντα δέξασθαι αὐτὸν][7], εἴ γε οἱ μάρτυρες ζῶσι, καὶ τὸν ὅρκον τοῦτον ζητεῖν. τὴν οὖν τοιαύτην ἀμφιβολίαν διὰ τὸ μὴ εὑρίσκεσθαι τὸν νόμον ὡς προδιείληπται τὸν ταύτην διατέμνοντα, τῇ κραταιᾷ καὶ ἁγίᾳ βασιλείᾳ σου ἀναφέρω, ἵν' αὕτη ὡς ἀπὸ τῶν νόμων ἔχουσα τὴν ἐξουσίαν τὰ διαμφιβαλλόμενα τοῖς δικασταῖς τέμνειν, ὅπερ εὐδοκεῖ, διορίσηται, καὶ ἀντὶ νόμου ἀπό γε τοῦ νῦν ἡ πρόσταξις αὕτη κρατῇ, οἱ δὲ πρὸς ταύτην ὡς στάθμην ὁρῶντες τῶν πολλῶν ὅσον τὸ ἐπὶ τούτῳ κεφάλαιον διενέξεων ἀπαλλαγῶσιν. ὡς δοῦλος ἀνάξιος τολμήσας ὑπέμνησα.

Ἡ νεαρὰ τοῦ ἀοιδίμου βασιλέως κυροῦ μιχαὴλ τοῦ δούκα ἡ περὶ τῆς τριακονθημέρου προθεσμίας τοῦ ὅρκου ἐξ ἀναφορᾶς κωνσταντίνου πρωτοπροέδρου τοῦ γεγονότος μεγάλου δρουγγαρίου τῆς βίγλης ἐξενεχθεῖσα, περὶ τοῦ παύσασθαι τὴν δίκην καὶ λύεσθαι, ἐάν, ἀποφάσεως γενομένης δικαστικῆς προβῆναι ὅρκον, γίνωνται διαμαρ-

---

[5] Cod. ἐπιφωνητέων ἐπάνων. Conjeceram olim ἐγγράφων, nunc ἐπιφωνήσεων ἐπάνω scripsi. Sed et ἐπ' αὐτῷ legi poterit. [6] Cod. ἀνατιθέασι.
[7] In Cod. lacuna dimidiae lineae, et paulo ante δύναται scriptum est.

τυρίαι τριακονθήμεραι γ' καὶ οὐ πεισθῶσι τελέσαι τούτους οἱ δικαζόμενοι ἢ τυχὸν οἱ μεμαρτυρηκότες.

Καλή σου ἡ ὑπόμνησις καὶ ἀτεχνῶς τῆς σῆς πολυπειρίας τε καὶ φρονήσεως ἐπαξία. πρὸς ἄλλην γὰρ καὶ ἄλλην μεριζομένων γνώμην τῶν δικαστῶν εἰκὸς ἐπὶ πολὺ ἢ μᾶλλον διὰ παντὸς τὰς κινουμένας δίκας κυμαίνεσθαι, ὅτε ὅρκῳ τὴν λύσιν ἀλλὰ μὴ ἄλλως δέξασθαι δέον αὐτὰς, καὶ ἀθανάτους μένειν, μικροῦ καὶ ἀλύτους. εἰ γὰρ καὶ πρὸς ἀλλήλους ἑτεροδόξως ἔχουσι καὶ ἀλλοίως ἑκατέρων αἱ γνώσεις, ἀλλά γε καὶ νόμοις καὶ λογισμοῖς συγκεκρότηνται ἰσχυροῖς, ὡς δοκεῖν ἑκάστην ἀκαταγωνιστὴν εἶναι αὐτῶν καὶ μὴ τῆς ἑτέρας ἡττᾶσθαι καὶ ὑποπίπτειν μικρόν.

α'. Ὅμως εἰ καὶ οὕτως ἔχουσιν, ὡς προλέλεκται, ἀλλὰ προτίθησιν ἡ βασιλεία τὴν πρώτην αὐτῶν, καὶ ταύτῃ τῶν ἄλλων προστίθεται μᾶλλον, καὶ τὴν παρ' ἑαυτῆς χαρίζεται γνώμην αὐτῇ, καὶ βούλεται δίκης ὅρκῳ μελλούσης δέχεσθαι τὴν τομὴν, παρ' οὗ ἂν καὶ ὀφείλοι τελεσθῆναι οὗτος, εἴτε παρὰ μαρτύρων ἀδιαβλήτων μενόντων, εἴτε καὶ δι' ἀντιπαραστατικῶν ἑτέρων μαρτυριῶν ἀκαταγωνιστῶν διαμενουσῶν ἕως τέλους, εἴτε καὶ παρὰ τοῦ διώκοντος ἢ τοῦ φεύγοντος, μὴ εἰς μακρὸν παρατείνεσθαι τὴν τῆς δίκης τομὴν, μήδ' ἄχρι τριετίας ἢ τριακονταετίας τὸν ὅρκον ἀναρτᾶσθαι, ὡς ἔνιοι λέγουσι τῶν κριτῶν, ἀλλὰ διαμαρτυρίας στέλλεσθαι πρὸς αὐτοὺς τρεῖς τριακονθημέρους, καὶ τηνικαῦτα ἢ τῶν μαρτύρων ἀπειθούντων τελέσαι τὸν ὅρκον, ὃν ἐψηφίσατο δοῦναι ὁ δικαστὴς, ἢ τοῦ μέλλοντος δέξασθαι τὸν ὅρκον αὐτῶν, ἢ πάλιν[8] τοῦ διώκτου ἢ τοῦ φεύγοντος παρομοίᾳ χρωμένου τῇ ἀπειθείᾳ καὶ ὑπερτιθεμένου αὐτὸν, παύεσθαι τὴν δίκην, καὶ ἔχειν τὰ νικητήρια ἀπὸ τοῦ κριτηρίου τοῦ σοῦ ἢ καὶ παντὸς ἑτέρου δικαστηρίου κατὰ τοῦ ἑκόντως[9] ὑπερτιθεμένου καὶ τὸν ἀντιπαλαμώμενον ἐπίτηδες τρίβοντος ὡς εἰπεῖν.

Τὸ γὰρ παρὸν πρόσταγμα τῆς βασιλείας ὡς καινόν τι διάταγμα ἐπὶ πάσαις ὀφείλει ταῖς τοιουτοτρόπως μελλούσαις λυθῆναι δίκαις κρατεῖν καὶ ἐπὶ παντὸς πολιτεύεσθαι οὕτως δικαστηρίου, ἐξ αὐτῆς [τῆς] ἀρχῆς τοῦ εἰσιέναι μέλλοντος ὀκτωβρίου μηνὸς τῆς παρούσης ιγ' ἐπινεμήσεως τοῦ ,ϛφπγ' ἔτους, σοῦ τοῦ πρωτοπροέδρου κωνσταντίνου καὶ μεγάλου δρουγγαρίου τῆς βίγλης διαπεμπομένου πρὸς πάντα τὰ δικαστήρια, ὥστε εἴδησιν πάντας λαβεῖν τῆς καινῆς ταύτης νομοθεσίας τῆς βασιλείας

---

[8] Cod. αὐτοῦ ἢ παλ. [9] Cod. ἑκόντους.

μου. τὸ δὲ μηνὶ σεπτεμβρίῳ ἰνδ. ιγ' δι' ἐρυθρῶν τοῦ βασιλέως γραμμάτων καὶ ἡ διὰ κηροῦ συνήθης σφραγίς.

NOV. VII.

Imp. Michaelis Ducae de his, quibus castra concessa sunt[1]. (Inter 1071—1078.)

Νεαρὰ τοῦ βασιλέως κυροῦ μιχαὴλ τοῦ δούκα θεσπίζουσα τοὺς κάστρα λαμβάνοντας οἱουσδήτινας κἂν ὅπως ταῦτα λάβωσιν, ἐφ' ἑνὶ προσώπῳ ταῦτα κεκτῆσθαι, καὶ οὕτω νοεῖσθαι τὰς δωρεάς.

NOV. VIII.

Imp. Michaelis Ducae aurea bulla de episcopatu Basileensi[1].

Non extat.

NOV. IX.

Imp. Michaelis Ducae aurea bulla de metropoli Neocaesariensi[1].

Non extat.

---

[1] Rubrica tantum, quae sequitur, in Cod. Paris. gr. 1277 fol. 261 verso servata est.

[1] Laudatur in epistola P. Nicolai in Coll. can. ed. Rhalli et Potli V p. 71.

[1] Laudatur ibid. p. 72. — Caeterum Bonefid. p. 37 Novellam Michaelis Ducae ex Harm. III, 3, 112 affert, eumque sequutus est Mortreuil III p. 139. Sed rectius in edit. Heimbachii legitur *νεαρὰ τοῦ καίσαρος μανουήλ*. Cf. enim infra Nov. LXVII.

NOV. X.

Imp. Michaelis Ducae

rescriptum, quo confirmatur decretum patriarchae Jo. Xiphilini a chartophylace editum de nuptiis ob affinitatem quinti gradus prohibendis[1].

Τὸ κριθὲν παρὰ τοῦ τιμιωτάτου χαρτοφύλακος καὶ μᾶλλον ἐπὶ κωλύσεως γάμου οὕτω μενεῖ, ὥσπερ ἐκρίθη.

NOV. XI.

Imp. Nicephori Botaniatae

de relevatione fiscalium debitorum[1]. (A. 1078.)

Non extat.

NOV. XII.

Imp. Nicephori Botaniatae,

ne poena gladii intra XXX dies a sententia infligatur, et de aliis capitulis[1]. (A. 1080.)

Χρυσόβουλλον τοῦ βασιλέως κυροῦ νικηφόρου τοῦ βοτανειάτου, τὸ ἐν τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ ἀποτεθὲν, περί τε τοῦ μὴ ἔσωθεν τῶν λ' ἡμερῶν γίνεσθαι σωματικὴν ποινήν· καὶ περὶ τοῦ τοὺς ὑπηρετοῦντας τοῖς βασιλεῦσι καὶ τοῖς συγγενέσιν αὐτῶν μετὰ τὸ αὐτοὺς τῆς βασιλείας ἐκστῆναι μὴ ἐκπίπτειν τῶν διαφερόντων αὐτοῖς, καὶ δημοσιεύεσθαι ταῦτα καὶ τότε [2] ἄνευ αἰτίας εὐλόγου ἢ ἐννόμου τινός· καὶ περὶ τοῦ καθ' ἕκαστον

---

[1] Laudatur in sententia patriarchali Jo. Xiphilini ed. Rhalli V. p. 55. Possis et Constantino Ducae vindicare.

[1] Bonefid. p. 38 ex Zonara ed. Paris. p. 291 refert: „πρῶτον ἅπασι παρέσχε τὸ φιλοτίμημα, τὰς εἰς τὸ δημόσιον ἁπάντων κοινῶς ὀφειλὰς ἐκτεμὼν ἀπροσδιορίστως, καὶ χρεοκοπίαν τούτων θεσπίσματι μεγαλοπρεπῶς ἐργασάμενος".

[1] Extat in appendice Synopseos tertiae classis. Eandem reperi in Cod. τῶν ἰβήρων 12. Primus edidit Witte in Ἀνέκδ. ed. Heimb. II p. 279, ex Cod. Paris. gr. 1351. [2] Witte conj. καὶ τοῦτο.

τετράμηνον τὸν κατὰ τὴν ἡμέραν πατριάρχην τῶν ἐξορίστων ὑπομιμνήσκειν.

Ὥπλισε καὶ μελίττας ἡ φύσις κέντρῳ[3], καὶ κατὰ τῶν ἐπιόντων ταύτας ἐστόμωσεν, οὐκ ἔξωθέν ποθεν ἐνισχύσασα, ὃ δὲ λέγεται ἀφ᾽ ἑστίας χαρισαμένη τὴν ἄμυναν· ἀλλ᾽ οὐχὶ τῆς παντευχίας ταύτης καὶ ὁ τούτων μετείληχε βασιλεὺς, ταῖς δὲ κεντροφόροις ταύταις ὡς δορυφόροις περικυκλούμενος ἔξωθεν, αὐτὸς τῆς τοῦ κέντρου βολίδος γυμνὸς ἐν μέσαις αὐταῖς ἀναστρέφεται· δηλοῦντος οἶμαι τοῦ λόγου, μὴ δεῖν περὶ τὸν κρατοῦντα φαίνεσθαι τὸ λυποῦν, μηδ᾽ εὔθετον εἶναι τοῦτον πρὸς τὸ πλήττειν ἑτοίμως καὶ κεντᾶν τὸ ὑπήκοον. νυνὶ δὲ τοσοῦτον ἔνιοι τῶν ἀνθρώπων κατεστράφησαν τῷ θυμῷ καὶ τῷ ἀλόγῳ μέρει κατεχαρίσαντο τῆς ψυχῆς, ὥστε παρεμπεσούσης προφάσεως, οἷα πολλὰ φιλεῖ συμβαίνειν ἑκάστοτε, οὐδὲ μαλακὸν φρονοῦντες οὐδὲ συμπαθὲς καὶ φιλάνθρωπον, τῷ δὲ τῆς ἀρχῆς ἀποχρησάμενοι κράτει καὶ ἐκ τοῦ παθητικοῦ τῆς ψυχῆς κρατῆρος πολὺ τὸ τοῦ θυμοῦ ἀρυσάμενοι μέθυ, εὐθὺ κατὰ τῶν ὁμοφύλων νεανιεύονται, καὶ ἀποτομίᾳ κερασάμενοι τὴν ἀπόφασιν οὐ τῇ ἐσύστερον σκέψει τὸ πρᾶγμα διδόασιν, οὐδὲ παλιμβουλίᾳ καὶ κρείττονι λογισμῷ μεταθέσει κλίνουσιν ἐκ τούτου εἰς τοῦτο, ἐκ τοῦ ἀπηνοῦς δηλαδὴ ἐπὶ τὸ φιλάνθρωπον, ἀλλὰ καθαπερεὶ τῆς τιμωρίας ἁρπάζοντες τὸν καιρὸν καὶ ἀνθρωπείας σάρκας μονονοὺ διαμασήσασθαι σπεύδοντες, εὐθὺς καὶ τὸ τέλος τῇ ἀποφάσει συναναμιγνύουσι, καὶ τῶν θυμῶν ζεόντων εἰσέτι θερμὸν τῶν βασιλικῶν ὁ δήμιος τὸ ξίφος ἐπανατείνεται καὶ καταφέρει τὴν πληγήν· πρᾶγμα κομιδῇ ἀπάνθρωπόν τε καὶ ἀφιλάνθρωπον. ἢ γὰρ ὑπερζέοντος τοῦ θυμοῦ τὸ δικάζεσθαι καὶ τῷ θυμικῷ μέρει καταδυναστευομένου τοῦ κρατοῦντος ἡ ἀκριβὴς περιήρηται γνῶσις, κἀντεῦθεν ἀθῶον αἷμα ἐπὶ γῆς ἀφορᾷ ἐκχεόμενον ἥλιος· ἢ τοῦ πάθους ἴσως ὑπολωφήσαντος μετεβουλεύσατο μέν τι χρηστὸν ὁ βασιλεὺς καὶ σωτήριον, καὶ τὸ αὐστηρευόμενον ὑπανεὶς ἀφεῖναι τῷ κατακρίτῳ παρεκελεύσατο τὴν σφαγὴν, ὁ δὲ τοῖς δημίοις προκαταλειφθεὶς* καὶ τὸ τραχὺ δουλεύσας τῆς ἀποφάσεως ἀνόνητον τῷ κρατοῦντι τὸν ἐπὶ αὐτῷ μετάμελον περιλέλοιπεν. ὅπερ ὡς μὲν τυραννικὸν, ὡς δὲ ἔκνομον, ἀλλὰ δὴ καὶ αὐτῆς τῆς χριστιανικωτάτης πολιτείας ἀνάξιον καὶ πρὸ ἡμῶν ὁ μέγας ἐν βασιλεῦσι καὶ ἀξιομνημόνευ-

---

[3] Ita Witte. Cod. κέντρον. * Forte προκαταληφθείς.

τος τῆς παρ' ἡμῖν πολιτείας ἐξωστράκισε Θεοδόσιος[4], αὐτῇ[5] πείρᾳ συνεὶς τὸ μέγεθος τοῦ κακοῦ, καὶ τὴν θεραπείαν κατὰ καιρὸν αὐτός τε τηνικαῦτα δεξάμενος καὶ τοῖς ἐφεξῆς ἰάσιμον τὸ πάθος καταστησάμενος. διετάξατο γάρ, τραχυτέρας ἐξαγομένης τῆς τιμωρίας κατά τινων μὴ εὐθὺς ὑπεισιέναι τούτους τὴν τιμωρίαν, ἀλλ' ἐν ὅλαις ἡμέραις λ' τοὺς περὶ τῆς αὐτῶν καταστάσεως κλήρους μετεωρίζεσθαι, ὡς ἀρκοῦντος τοῦ διαστήματος τοῦδε τοῦ καιροῦ τῷ παθητικῷ τῆς ψυχῆς διαιτῆσαι καὶ τὸ ἴσως ἀκροσφαλὲς τῆς ἀποφάσεως διορθώσασθαι. ἀλλ' ὁ τὰ πολλὰ συγχέων χρόνος καὶ ἀλλοιῶν, ἢ τῶν ἀνθρώπων μᾶλλον τὸ πρὸς τὴν ἁμαρτίαν εὐπετὲς καὶ εὐόλισθον, ἐν γράμμασιν ὡς τὰ πολλὰ κεῖσθαι καὶ μόνοις τουτὶ τὸ νομοθέτημα παραλέλοιπε· καὶ ὁ βασιλεύς, καθάπερ ἄρχων μόνον τῶν ὁμοφύλων κατασταθεὶς καὶ οὐ[6] παρὰ θεοῦ καὶ αὐτὸς ἀρχόμενος ἄνωθεν, οὔκουν οὐδὲ μετριάζει πρὸς τὰς τῶν ὁμογενῶν συμφοράς, οὐδέ τι φρονεῖ μετριοπαθὲς καὶ ἀνθρώπινον, ὡς κακούργου δέ τινος καὶ ὑπαιτίου παραγομένου εἰς μέσον πρὸς ἀλήθειαν ἴσως ἢ καὶ μὴ οὕτως (πολλὰ γὰρ καὶ κατὰ τῶν βασιλικῶν τὸ ψεῦδος παῤῥησιάζεται ἀκοῶν καὶ ταύτας πολλάκις συλαγωγῆσαν οἴχεται), εὐθὺς ἡ ἀπόφασις φονικὴ καὶ ὁ δήμιος εὔθετος εἰς ἔργον ἄγων τοῦ βασιλέως το ἐπίταγμα, καὶ κεῖται ἄνθρωπος παρὰ πόδας διαβολῆς ἐνίοτε γενόμενος πάρεργον. ἀλλὰ τοῦτο μὲν καὶ τοὺς πρὸ ἡμῶν αὐτοκράτορας ἔδει ἐπανορθώσασθαι κατὰ καιρόν, βαλόντας εἰς νοῦν ὡς σάρκες εἰσὶ καὶ ὀστέα, κἂν πορφυρίδα περίκεινται, καὶ δόξαν οὕτω θεῷ στεφηφοροῦσι κατὰ τῶν ὁμοφύλων, καὶ τῶν βεβιωμένων λόγον ὑποσχεῖν τῷ πάντων ὀφείλουσι δικαστῇ, ὃς καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ἐπεὶ δὲ εἰσέτι τὸ πρᾶγμα ἔμεινεν ἀδιόρθωτον, ἡμῖν ὁ θεὸς ἀνῆκεν ὡς ἔοικεν ἐπαναπληρῶσαι τὸ ἔλλειμμα.

α'. Ὃ καὶ ὡς ἀνάθημα ἢ πρεσβεῖον ἢ καρπὸν ἀκροθίνιον καὶ ὅ τι ἄν τις εἴποι κατὰ καιρὸν προσαγόμενον τὴν παροῦσαν θεσμοθεσίαν προσάγομεν, ἀφ' ἡμῶν τε νῦν ἀρξαμένην καὶ καθ' ἡμῶν πρῶτον κρατεῖν ὀφείλουσαν· δι' ἧς διοριζόμεθα ἀπό γε τοῦ νῦν καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους μὴ ἐπ' ἀδείας ὅλως ἐξεῖναι, τὰς δι' αἵματος ἐξαγομένας ἀποφάσεις εἰς αὐτοτελὲς προβαίνειν ἔργον, εἰ μὴ μετὰ τὴν βασιλικὴν ἀπόφασιν λ' ὅλαι ἡμέραι παρέλθωσι, μένειν δὲ τὸν κατάκριτον ἀθιγῆ καὶ τοῦ καιροῦ προσμένειν τὴν παρολκήν, στρατιωτικῇ

---

[4] Cf. l. 20 C. *de poenis.* [5] Legerim *αὐτῇ τῇ.* [6] Witte conj. *οὐ.* Male.

φρουρᾷ πρὸς ἀκρίβειαν φυλαττόμενον. καὶ εἰ μὲν τοῦ τριακονθημέρου ἐντὸς διαστήματος μεταμέλῳ ληφθεὶς ὁ κρατῶν φιλάνθρωπόν τι περὶ τὸν ἄνθρωπον ἀποφήνηται καὶ καταπράξηται, ἤρεσε τοῦτο τῷ θεῷ, καὶ τῆς δι' αἵματος καταδίκης ἀπολελύσεται· εἰ δ' ἐπὶ τῆς αὐτῆς προαιρέσεως ἵσταται καὶ θανάτου κρίνει τὸν ἄνθρωπον ἄξιον ἢ τῆς ἄλλης εἰς σῶμα διὰ σιδήρου πληγῆς μετὰ τὴν τριακονθήμερον ὑπομιμνησκόμενος, τὸ μὲν ἔνδικον εἶδέ τε καὶ οἶδεν ἡ δίκη, ἡ μέντοι βασιλικὴ ἀπόφασις τὸ ἐξ ἐκείνου ἐκβιβαζέσθω καὶ πέρας δεχέσθω τὰ ὡρισμένα. ἱκανὴ γὰρ ἡ τῶν λ' ἡμερῶν προθεσμία τὸ πολὺ τοῦ θυμοῦ κατευνάσαι καὶ τῷ λογιστικῷ τὴν κρίσιν χαρίσασθαι, οὗ κρίνοντος ὑγιῶς καὶ ἡ ἀπόφασις ὅπως ἂν ἔχῃ εὐσθενής ἐστιν. ὅτι μηδὲ τὰς τῶν δημίων χεῖρας ἀσυντελεῖς εἶναι τῇ πολιτείᾳ ὁρῶμεν κατὰ τῶν ἀξίων κολάσεως. ἀλλὰ ταῦτα μὲν ἔσται οὕτως. καὶ ἡ παροῦσα τῆς ἡμῶν εὐσεβείας διαταγή, ἀφ' ἡμῶν ἀρξαμένη ὡς εἴρηται τὸ κράτος λαβοῦσα τῆς ἐνεργοῦ, τὴν ἴσην καὶ εἰς τὸ ἑξῆς προνομίαν ὡς πιστεύομεν εὑρήσει παρὰ πᾶσιν τοῖς μεθ' ἡμᾶς αὐτοκράτορσιν, ὅσοις δηλονότι θεοῦ τε φόβος ἐγκατοικεῖ τῇ ψυχῇ καὶ τὸ ἀδέκαστον ἐκεῖνο πιστεύεταί τε καὶ ἐλπίζεται δικαστήριον. εἰ δέ τινες ἴσως τῶν μεθ' ἡμᾶς, μὴ βασιλικὴν ἔχοντες ἀλλὰ μαγειρικὴν τὴν ψυχήν, αἱμάτων ἀνθρώπων ἐφήδονται προχοαῖς, καὶ θυμῷ τὰ πρεσβεῖα, θεῷ δὲ τὰ δευτερεῖα βραβεύοντες τῶν ἡμῖν δεδογμένων τῇδε καλῶς παραβάται φανεῖεν, καὶ ἀδιαίτητον κατὰ τοῦ κατακρίτου τὴν τιμωρίαν προθυμηθῶσιν ἐπαγαγεῖν, μὴ τῷ διαμέσου τῶν λ' ἡμερῶν διαστήματι τὸ γενησόμενον ἀναλογισάμενοί τε καὶ κρίναντες καὶ οὕτω τὸ ποιητέον συνθέμενοι, μὴ ἀναίτιοι γένοιντο τῷ θεῷ, μηδὲ φῶς αὐτοῖς ἐν ἡμέρᾳ δίκης ἐπιλάμψοι σωτήριον, ἀντιλάβοι δὲ αὐτοὺς ἐκεῖθεν σκότος αἰώνιον, καὶ ἄγγελος κυρίου καταδιώξαι αὐτοὺς συνωθῶν εἰς τὸν τάρταρον, ἐπιλάβοιτο δὲ αὐτῶν κἀνταῦθα σκότος καὶ ὀλίσθημα, καὶ μὴ ἴδοιεν ἑωσφόρον ἀνατέλλοντα, μηδ' ἐπισκοπὴ θεοῦ αὐτοὺς ἐπισκέψοιτο, ὅτι λογικὸν ἐμπιστευθέντες ποίμνιον ἐκ θεοῦ ἀνθρωπίνως αὐτῷ οὐκ ἐχρήσαντο, ἀλλ' ἱερεῖον καθάπερ καταδαιτρεῦσαι τοῦτο ἠνέσχοντο. κἂν γὰρ ἡ τοῦ πράγματος κρίσις ἀξία καὶ ὁ πάσχων ἴσως κατάλληλος τῇ ὀργῇ, ἀλλά γε τοῦτο τῶν τοῦ θεοῦ χειρῶν τούτους οὐκ ἐξαιρήσεται, ὅτι μηδὲ καλῶς ἐχρήσαντο τῷ καλῷ, μηδὲ κατὰ τέχνην ἀρίστης οἰκονομίας, ἀλλὰ κατὰ ψυχῆς ἄτακτον θηριωδίαν τον ἴσως ἄξιον τῆς διὰ σιδήρου πληγῆς κατειργάσαντο ἄνθρωπον.

β'. Ἀλλ' οἷόν με καὶ τοῦτο εἰπεῖν ἐπῆλθε καὶ βασιλικὴν τῷ λόγῳ προσαναμῖξαι προμήθειαν. πρᾶγμά τι καινοφανὲς τῶν ἀνακτόρων ἐντὸς ἔλαθε παρεισδυκὸς, οὔπω χρόνος πολὺς ἐξότου· καὶ τὸ πρᾶγμα ὡς μὲν θεομισὲς, ὡς δ' ἀκοαῖς εὐγνώμοσιν οὐκ ἀνασχετὸν, καὶ ἵν' ἐπιτρέχοντι λόγῳ ἐρῶ ὡς διὰ πάντων παρὰ πᾶσι τοῖς φιλαρέτοις ἀπόβλητον. τῶν γὰρ καθ' ἡμᾶς πραγμάτων τοῦ ἄξονος ἄλλοτε ἄλλως ἔχοντος καὶ τῆς στροφῆς τῇ δινήσει ἄνω καὶ κάτω συστρέφοντος πάντα καὶ περιάγοντος, οἱ κατὰ διαδοχὰς τῶν βασιλείων ἐπιλαμβανόμενοι σκήπτρων μηδὲν ὁμαλὸν φρονοῦντες μηδὲ εὐγενὲς καὶ βασιλικὸν, μικροῦ δὲ καὶ μηνιῶντες[7] τῷ θεῷ ὅτι καὶ τὴν βασιλείαν αὐτοῖς ἐνεπίστευσε, ἐπὶ τοὺς πρὸ αὐτῶν βασιλεύσαντας τοὺς κατὰ σφᾶς ὅλους θυμοὺς ἀνακαίουσι· κἀκείνους μὴ δυνάμενοι τίσασθαι (κωφὴν γὰρ γαῖαν αἰκίσασθαι, κἂν μεμήνασι λίαν, ἐπέχονται) ἐπὶ τοὺς καθυπηρετοῦντας τούτοις ἢ κατὰ γένος ἅμα προσήκοντας πόσαις φέρονται ταῖς ὁρμαῖς· καὶ ὃ πάσχει φορὰ ποταμοῦ, ἀντιτυπίᾳ κωλύματος τῆς εἰς τοὔμπροσθεν ἀναχαιτισθεῖσα ὁρμῆς ἐφ' ἕτερον μετατίθεται ὄχθον, κἀκεῖσε πολλῷ συνωθισθεῖσα τῷ ῥοίζῳ ἅπαν τὸ παρατυχὸν παρασύρει τῇ πλημμύρᾳ τοῦ ὕδατος, τοῦτο κἀκεῖνοι ἀγεννῶς καὶ ποιοῦσι καὶ πάσχουσι. τῶν γὰρ πρὸ αὐτῶν βασιλέων ἀποτυγχάνοντες ἐπὶ τοὺς ἐκείνοις προσανέχοντας τὸν ὅλον θυμὸν ἀναῤῥήσουσι[8], καὶ ἀπληστίαν μίξαντες τῷ θυμῷ, καὶ καθαπερεὶ ποταμοὺς δύο ἐπὶ μίαν συνελάσαντας φάραγγα τὰς τῶν ἀναιτίων οὐσίας τῇ παρόδῳ εὐθὺς κατασύρουσι, καὶ τοὺς μηδὲν ἁμαρτήσαντας ὡς ὑποδίκους εἰς δίκην πρὸ καταδίκης[9] ὑπάγουσιν. ἐφ' ᾧ τίς οὐκ ἂν ἀλγήσοι μέτριος ἄνθρωπος καὶ τοῦ καλοῦ στοχαζόμενος, ἢ πῶς τοῖς κακῶς παθοῦσιν οὐ συστενάξει ἐπικαιρότατα; δέον ἢ ἁλῶναι τούτους ἡμαρτηκότας νομίμως καὶ τὴν ἀπὸ νόμου ποινὴν κατὰ τοῦ τένοντος δέξασθαι, ἢ μὴ ἔρημον τοῦ δικαίου τὰ τῶν καταδίκων οὕτω παθεῖν καὶ βαρυσυμφορωτάτους ἐξ οὐδενὸς αἰτίου γενέσθαι. ὅπερ ἵν' ἐνταῦθα στῇ τῆς συμφορᾶς καὶ μηκέτι καὶ εἰς τοὔμπροσθεν προοδεῦσαι[10], τῷ μακρῷ χρόνῳ εἰς ἔθους τάξιν προβιβαζόμενον καὶ οὕτως εἰς νόμου τύπον μετατιθέμενον, εὐγενῶς καὶ λίαν βασιλικῶς ἡ γαληνότης τοῦ κράτους ἡμῶν ἵστησι νῦν καὶ τὴν τοῦ κακοῦ σηπεδόνα καθαπερεὶ καυτῆρι τῷ παρόντι χρυσοβούλλῳ λόγῳ πατάξασα, δι' οὗ

---

[7] Ita conj. Witte. Cod. μονιῶντες. [8] Witte ἀναῤῥήσσουσι legi vult.
[9] Idem conj. πρὸς καταδίκην. [10] Cod. προοδεῦσαι. Witte conj. προοδεύσῃ.

πᾶσι τοῖς μεθ᾽ ἡμᾶς ἐλευσομένοις βασιλεῦσιν εὐσεβέσι καὶ τὴν τοῦ χριστιανισμοῦ κλῆσιν ἐπαληθεύουσιν αὐτοκράτορσιν ἀδελφικῶς καθεξῆς ἐπισκήπτομεν, μὴ ζηλωτὰς γενέσθαι τοῦ ἀγεννοῦς τοῦδε καὶ παρανομωτάτου πράγματος καὶ τολμήματος, μηδὲ ἐπὶ τοὺς τοῖς πρὸ αὐτῶν καθυπηρετήσαντας ἢ καὶ ἀφ᾽ αἵματος ἴσως ᾠκειωμένους ἀναξιοπρεπῶς τὴν ὀργὴν ἐπαφεῖναι, καὶ τὰ διαφέροντα τούτοις πάντα μηδὲν δέον δημοσιεῦσαι, καὶ εἰς ἀνάγκην αὐτοὺς συμφορᾶς περιστῆσαι ἢ τὸ τοῦ αἵματος προσγενὲς ἢ τὸ τῆς γνώμης κακοθελὲς[11], δι᾽ ὃ κἀκείνοις πρὶν ᾠκειώθησαν. καὶ γὰρ εἰδέναι πρὸς ἀνάγκης καὶ οὗτοι ὀφείλουσιν, ὡς κἂν τὸ στέφος περιεβάλοντο ἄνωθεν, ἀλλά γε ὁ χρόνος αὐτοῖς ἀριθμητὸς τῆς ζωῆς καὶ (ὅ φησιν ὁ προφήτης καὶ βασιλεὺς) παλαιστὰς αὐτοῖς τὰς ἡμέρας ἔθετο ὁ θεὸς, καὶ χρεία τούτοις καὶ φίλων καὶ συγγενῶν καὶ ὑπηκόων οὐκ ἀγεννῶν[12] εἰς τὴν τῆς βασιλείας ἀντίληψιν, εἰ μέλλοιεν ὑγιῶς οἰκονομῆσαι τὰ πράγματα· μέτρῳ δὲ μὴ καλῷ μετροῦσιν ἀντιμετρηθήσεται ἰσοτάλαντον, καὶ τὰ ἀδικίας ζυγὰ οὐκ ἐνδίκως οὐδ᾽ ἐπ᾽ αὐτοὺς ἑτεροζυγήσαντα τῷ ἀδίκῳ τὸ δίκαιον καταστήσεται, καθαπερεί τινος φθόγγου εὐαρμοστία ἐξ ἀντιφώνων συνισταμένη χορδῶν. ἀλλὰ γὰρ τὸ τῆς πλεονεξίας ἴσως διακαὲς[13] ἢ τὸ τῆς μανίας περιφλεγὲς ἐνίους ἴσως τῶν μεθ᾽ ἡμᾶς αὐτοκρατόρων ἐκκαύσαντα κατὰ[14] τῶν ἡμῖν δεδογμένων ἐνταῦθα παροινῆσαι συμπείσουσι· χρημάτων γὰρ ἀλλοτρίων ἔρως καὶ θυμὸς βακχεύων ἀλλόκοτος τῆς ψυχῆς προκαταλαβόντα τὸ λογιζόμενον ὁμίχλην ἐνσείουσι τῷ νοΐ, καὶ πρὸς τὸ φῶς διαβλέψαι τῆς ἀληθείας κωλύουσι. μανίας δὲ καὶ πλεονεξίας[15] μαργῶσαν στῆσαι πυρκαϊὰν καὶ ἀποτεφρῶσαι φλόγα παφλάζουσαν, οὐκ εὐχερὲς ἀλλὰ δύσεργον. ἀμέλει καὶ τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην σύναμα τῇ ἱερωτάτῃ καὶ θείᾳ τῶν ἀρχιερέων συνόδῳ κοινωνὸν προσλαβομένη τοῦ σκέμματος ἡ εὐσεβὴς ἡμῶν βασιλεία, καὶ τὴν αὐτῶν χεῖρα τῷ γραμματείῳ τῷδε προσχρήσασα, τῷ μὲν θεῷ διὰ τούτων (ὡς κοινῶν τῶν ψυχῶν ποιμένων καὶ ἡμῖν τὸν δεσπότην ταῖς ὑπὲρ ἡμῶν λατρείαις ἱλασκομένων) ὡς ἱερὸν ἁγνὸν καὶ ἀμόλυντον ἁγιοπρεπῶς ἀναφέρομεν· τοῖς δὲ ἀθετῆσαι τὰ δεδογμένα τῇδε τολμήσουσι καὶ εἰς ἐναντίωσιν τούτων καθάπαξ ἐλθεῖν, οὐ γλῶσσαν χρυσῆν κατὰ τὸν ἄχαν[16] ἱεροσυλή-

---

[11] Omnino legendum καλοθελές. [12] Sic Witte. In schedis meis ex Cod. Paris. 1351 legitur: ἀγεννῶς. [13] Witte διακαές. [14] Idem: καί. [15] Sic Witte. In schedis meis scriptum invenio: μανίαν δὲ καὶ πλεονεξίαν. [16] Cod. ἄχαρ.

σασιν, ἀλλ' ἱερεῖον καὶ θεῖον ἀνάθημα περιελεῖν ἀνιέρως οὐκ ἀποκνήσουσιν, οὐ λίθων βολὰς ἀνατείνομεν ἐκ πάσης φυλῆς υἱῶν Ἰσραὴλ, ἀλλ' ἀναθέματι τούτους καθυπάγομεν αἰωνίῳ ἐκ παντὸς γένους, ἐκ πάσης συνόδου χριστιανῶν, καὶ τῆς μερίδος αὐτοὺς τῶν πιστῶν ἐκκηρύττομεν ὡς περιφρονητὰς θεοῦ καὶ τῶν θείων καὶ ἀνέδην πατοῦντας τὰ τίμια.

γ'. Ἐπεὶ δὲ τὸ μὲν μὴ ἀπολισθαίνειν τοῦ κρείττονος μόνου θεοῦ, θαῤῥῶ δὲ λέγειν καὶ τῶν ἐγγιζόντων ταγμάτων θεῷ, τὸν δὲ χθόνιον τοῦτον χῶρον κῆρες πολλαὶ κακίας συνέσχον καὶ περιέλαβον, κἀντεῦθεν οὐδὲν θαυμαστὸν ὑπερορίους τίθεσθαι τῆς πατρίδος ἐνίους τὸν βασιλεύοντα, τοῦτο[17] δόξαν αὐτῷ εἰς ἄμυναν πλημμελούσης γνώμης ἐπενεγκεῖν, τοῦ χρόνου δὲ προϊόντος ὑπολήγειν μὲν οὐδὲν ἀπεικὸς τῆς ὀργῆς τὸ φλεγμαῖνον καὶ τὸ ζέον αὐτῆς ἀναψύχεσθαι, λήθης δὲ τῶν πασχόντων τὸν βασιλέα ὑποτρεχούσης διὰ τὴν πολυμερῆ τῶν πραγμάτων καὶ πολυάσχολον μέριμναν, ἐπὶ μακρὸν αὐτοὺς κακουχεῖσθαι συμβαίνει καὶ βίον ἕλκειν ὀδυνηρὸν καὶ πολύμοχθον. ἐπεὶ οὖν οὕτω πολλάκις συμβαίνειν φιλεῖ καὶ τὸ πρᾶγμα τῆς προσηκούσης δεῖται διορθώσεως, ἐστοχασμένην ταύτην τοῦ δέοντος ποιούμεθα τὴν διαίτησιν. διοριζόμεθα γὰρ, ἐπ' ἀδείας εἶναι τῷ κατὰ καιροὺς ἁγιωτάτῳ καὶ οἰκουμενικῷ πατριάρχῃ τρὶς ἑκάστου ἐνιαυτοῦ, ἤγουν καθ' ἑκάστην τετραμήνου περίοδον, τὸν κατὰ καιροὺς βασιλεύοντα περὶ τῶν ὑπερορίων ὑπομιμνήσκειν καὶ ἀναφέρειν περὶ αὐτῶν, ὡς ἂν, εἰ μὲν ἀρκούντως δόξει τετιμωρῆσθαι[18] ὁ ἄνθρωπος, τῆς ὑπερορίας ἀνακληθεὶς οἴκαδε πάλιν ἀφῖχθαι· εἰ δέ τι ἐνδεῖν πρὸς κόλασιν ἄξιος κρίνεται, πρὸς τὸ δοκοῦν μέτρον τῷ βασιλεύοντι αὖθις ἐαθῇ τιμωρούμενος. οὐδὲ γὰρ τὸ πρὸς ἀξίαν τῆς τῶν μοχθηροτέρων κολάσεως ἀφαιρούμενοι τὴν νομοθεσίαν ταύτην εἰσφέρομεν, ἀλλ' ἐν ταὐτῷ καὶ τῆς τῶν μεθ' ἡμᾶς βασιλέων σωτηρίας φροντίζοντες, καὶ τοῖς ἀθλίως ἔχουσι τὴν ἀπὸ τῆς λήθης περιτρέποντες ἄμυναν.

Ταῦτα οὖν ἡμῖν ἐμμερίμνως ἠκρίβωται καὶ τετύπωται, καὶ ἡ ἐπὶ τούτοις πᾶσι τῆς εὐσεβείας ἡμῶν διαταγὴ ὡς δεκτὴ θυσία καὶ καλλιέρημα τῷ θεῷ προσενήνεκται. φυλάξαι δὲ ταῦτα καὶ τοῖς μεθ' ἡμᾶς αὐτοκράτορσιν, ἡμῖν μὲν εὐκταῖον καὶ περισπούδαστον· εἰ δὲ μὴ δοκεῖ ἐκείνοις, τῷ περιφρονουμένῳ θεῷ τῆς ἐπὶ τούτοις ἐκδικήσεως μελήσει· ὧν ἕκαστος, ἵνα μὴ ἔχῃ κατα-

[17] Cod. τούτῳ. Emendavit Witte. [18] Ita conj. Witte. Cod. δόξει τε τιμωρεῖσθαι.

φεύγειν εἰς ἀπολογίαν ὅλως εὐπρόσωπον, διὰ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἐφ᾽ ἑκάστῳ κεφαλαίῳ τῶν τῇδε τεθεσπισμένων ὑπομνησθήσεται, καὶ ἀπειθὴς εὑρισκόμενος ἴσως κρίμα ἑαυτῷ θησαυρίσει ἐν ἡμέρᾳ ἀποτομίας θεοῦ, καὶ ταῖς γεγραμμέναις τῇδε ἀραῖς ὑποκείσεται. καὶ αὐτοῦ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἐξ ἀνάγκης πάσης εἰδέναι ὀφείλοντος ὡς, εἰ τῶν ἡμῖν δεδογμένων ἐνταῦθα περιφρονητὴς οὐκ ἐνδίκως φανείη, καὶ καθ᾽ οἱονδήτινα λόγον μὴ παῤῥησιάσηται τὴν ἀλήθειαν καὶ τὸν κατὰ καιροὺς αὐτοκράτορα ἐν εἰδήσει τῶν διωρισμένων ποιήσηται καὶ καθ᾽ ὅσον σθένει τοῦ ποιμνίου ὑπεραγωνίσηται, αὐτὸς τῷ θεῷ τοὺς λόγους ὑφέξει, μισθωτὸς ἀντὶ ποιμένος φαινόμενος καὶ ἐπὶ κρίματι τῆς ἰδίας ψυχῆς τὴν ἐμπιστευθεῖσαν αὐτῷ ποίμνην καθαπερεὶ θηρίοις τοῖς μοχθηροῖς εἰς βορὰν προτιθέμενος. διὰ γὰρ τοῦτο καὶ ὁ παρὼν χρυσόβουλλος ἐξετέθη λόγος, γεγενημένος κατὰ τὸν δεκέμβριον[19] μῆνα τῆς γ΄ ἰνδικτιῶνος ἐν ἔτει τῷ ,ςφπη΄, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Νικηφόρος ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ ῥωμαίων ὁ βοτανειάτης.

NOV. XIII.

Imp. Nicephori Botaniatae, confirmans decreta synodalia de incestis nuptiis[1]. (A. 1080.)

Χρυσόβουλλον τοῦ μακαρίτου βασιλέως κυροῦ νικηφόρου τοῦ βοτανειάτου, ἐπικυροῦν τὰς συνοδικὰς ἀποφάσεις[2] τὰς περὶ τῶν ἀθεμίτων γάμων καὶ τῆς μνηστείας γεγενημένας ἐπὶ ἰωάννου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου τοῦ ξιφιλίνου, οὗ μετὰ θάνατον ἐπεβραβεύθη τῇ ἐκκλησίᾳ ὁ ὑποτεταγμένος χρυσόβουλλος λόγος.

Τὸ ταῖς μεγίσταις τῶν διοικήσεων θεὸν ἀεὶ συνέρχεσθαι,

---

[19] In schedis meis: *δεύτερον*.

[1] Hoc chrysobullum passim in Codd. MSS. reperitur, veluti Paris. 1355 et 1351, Bodlej. 205, Scorialensi X, II, 14 (olim Ant. Augustini 182), et *τῶν ἰβήρων* 12. Ediderunt Leunclav. post Syn. p. 54 et in JGR. I p. 121, nec non Rhallis et Potlis in coll. can. V p. 277. Laudatur infra Nov. XXIV. [2] Quas vide apud Bonefid. p. 48—52, Leuncl. post Syn. p. 56 - 58 et in JGR. I p. 211—214, denique apud Rhallin et Potlin in Coll. can. V p. 51 sqq. editas.

λόγος θεῖος καὶ σοφὸς ἐπεκράτυνε· καὶ οὕτω διεξάγεσθαι τὰ μείζονα τῶν πραττομένων, οἴδαμεν ἅπαντες καὶ οὐκ ἀμφιβάλλομεν. εἰ δὲ τῶν μεγίστων ἔργων τῶν ἐκ θεοῦ καὶ ἡ τῶν ἀνθρώπων ἐστὶ ζωὴ, καὶ ἡ ἐκ τούτων παιδογόνησις καὶ εἰς τὸν βίον ἐπαύξησις οἰκονομίᾳ γίνεται τῇ ἐξ αὐτοῦ, πολλῷ μᾶλλον ἐκ τῆς τούτου κηδεμονίας καὶ προστάξεως γνωρίζεται ὁ γάμος ὁ τοῖς νόμοις θεμιτὸς καὶ μὴ ἐκ θεοῦ χωριζόμενος, ὥσπερ ἄραγε ἀλλότριός ἐστι καὶ ἐθνικὸς ὁ τῆς αὐτοῦ προστάξεως ἀλλοτριούμενός τε καὶ διαιρούμενος. εἰ γὰρ αὐτὸς ῥητῶς οὑτωσὶ διετράνωσέ τε καὶ ἐξεφώνησε, τοὺς ἐκ θεοῦ συνηνωμένους παρὰ ἀνθρώπων μὴ χωρίζεσθαι, καθά φησιν ἡ εὐαγγελικὴ καὶ θεία φωνὴ, τίς ἂν ἀπιστήσειε, μὴ κατὰ βούλησιν αὐτοῦ κωλύεσθαι τὰ ἀθέμιτα, προβαίνειν δὲ κατὰ τὴν ψῆφον αὐτοῦ τὰ κατὰ τοὺς θείους καὶ ἐκκλησιαστικοὺς κανόνας συνηνωμένα[3] καὶ μὴ κωλυόμενα; ἢ εἴ τις ἀπαυθαδιάσαιτο πρὸς τὰ ἐκ τῆς τῶν θείων νόμων καὶ συνοδικῶν οἰκονομίας καὶ κελεύσεως ἀρίστης οἰκονομούμενα, οὐκ ἄντικρύς ἐστιν ἀντίστασις θεοῦ καὶ ἀπόστασις τὸ πραττόμενον; ἀλλὰ μὴ οὕτω τὶς μανείη καὶ τῶν οἰκείων ἐκσταίη φρενῶν, ὡς ἐμπεσεῖν εἰς χεῖρας μείζονος καὶ ἀπαραιτήτου κριτοῦ ἐκ τῆς ἀντινομίας τοῦ καλοῦ καὶ πρὸς τὸ χεῖρον μεταφορᾶς. εἰ γοῦν ἅπαντας ὁ θεῖος νόμος καὶ συνοδικὸς καταναγκάζει καὶ μὴ βουλομένους μεταφέρεσθαι πρὸς τὰ κρείττονα, ὡς ἂν μὴ τῆς συνόδου τῆς θείας ψήφου[4] ἐξοστρακίζοιντο, πολλῷ γε μᾶλλον ἄξιόν ἐστι μετὰ τῆς ψηφοφορίας τῆς συνοδικῆς καὶ ἀρχιερατικῆς καὶ τὸν κρατοῦντα ἐπιψηφίζεσθαι, καὶ ὥσπερ δὴ συμπράττειν καὶ συνεδριάζειν τοῖς καλῶς παρὰ τῶν ἱερωτάτων καὶ θειοτάτων ἀρχιερέων καὶ αὐτοῦ τοῦ πανιέρου πατριάρχου ψηφισθεῖσί τε καὶ οἰκονομηθεῖσι καλῶς.

α΄. Καὶ γὰρ ἐπεὶ διακρίσεως[5] συνοδικῆς τοῦ μακαρίτου πατριάρχου κυρίου Ἰωάννου τοῦ Ξιφιλίνου γεγενημένης κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς παρελθούσης δ΄ ἰνδικτιῶνος, ἔτι τε καὶ τῶν τότε ἐνδημούντων κατὰ τὴν βασιλεύουσαν ἱερωτάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων, ἀνέμαθεν ἡ βασιλεία μου, ὅτι συνοδικῶς ἐκρίθη τὰ περὶ τῶν ἀθεμίτων γάμων, πῶς τε ὀφείλουσιν οἱ κεκωλυμένοι κατὰ τοὺς θείους κανόνας καὶ νόμους ἀναχαιτίζεσθαι καὶ πῶς προβαίνειν οἱ κατὰ νόμους γινόμενοι καὶ μὴ συνοδικῶς κωλυόμενοι, καὶ ὑπεμνήσθη τούτου

[3] Leuncl. in marg. συναινούμενα. [4] Forte διὰ τῆς συνοδικῆς καὶ θείας ψ.
[5] Leuncl. in marg. διὰ κρίσεως.

ἕνεκεν ἡ βασιλεία μου ὥστε ἐπικυρωθῆναι παρ' αὐτῆς τὴν τοιαύτην κρίσιν, ὡς ἂν μὴ παρά τινος κατὰ φόβον τυχὸν ἢ δόλον ἢ τρόπον ἄλλον οὐκ ἐπαινετὸν ἀνατρέποιτο, καὶ ἦν τὸ πρᾶγμα θεῖον καὶ εὐσεβές· ἐπήκουσε τῆς τῶν αἰτουμένων αἰτήσεως, καὶ ἐπεκράτυνε βασιλικῶς τὰ τῷ θεῷ ἀρέσκοντα[6], καὶ κατὰ τοῦτο καὶ τῇ θείᾳ καὶ ἁγίᾳ συνόδῳ συνδόξαντα[7], ὡς ἂν τὰ πάλαι πεπραγμένα καλῶς ἐκ καινῆς κακῶς μὴ ἀναμοχλεύοιντο καὶ ἀκίνητα[8] μετακινοῖντο καὶ ὡς εἰπεῖν ἀνίερα γίνοιντο[9]. διορίζεται γὰρ ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου τὴν γενομένην πατριαρχικὴν καὶ συνοδικὴν κρίσιν βεβαίαν εἶναι, καὶ μὴ παρά τινος ἄχρι καὶ ψιλοῦ τοῦ λόγου τολμᾶσθαι ἀνακρίνεσθαί τε καὶ ἀνατρέπεσθαι. αὐτόχρημα γὰρ ὁ ἀντιπίπτων ταύτῃ τῇ θείᾳ καὶ συνοδικῇ κρίσει τῆς ἡμετέρας πίστεως προσανατρέπει τοὺς οἴακας καὶ ἀναθέματι καθυποβέβληται, καὶ ἀποκήρυκτος παρὰ τῆς μεγάλης ἐκκλησίας ἀποκαθίσταται, καὶ ἀντιπράττων τοῖς κανόσι καὶ ἀνατρέπων τούτους καὶ διασαλεύων ἀπάνθρωπός τε καὶ παρανομώτερος[10].

Καὶ γὰρ ἐπισφραγίζουσα ἡ βασιλεία μου τὰ κεκριμένα καλῶς καὶ οἰκονομηθέντα συνοδικῶς, καὶ τὸ παρὸν ἐξέθετο χρυσόβουλλον εἰς ἐπικύρωσίν τε καὶ στερεότητα, ὑποσημηναμένη ἐν αὐτῷ δι' ἐρυθρῶν γραμμάτων καὶ διὰ τούτων τὴν ἀλήθειαν φανωτέραν ὑπαγορεύουσα, κορωνὴν ὥσπερ δή τινα χρυσῆν τὴν ἀληθῶς σφραγίδα τούτῳ ἀπαιωρήσασα, ἐν ἔτει τῷ ͵ςφπη' τῆς παρούσης τρίτης ἰνδικτιῶνος τοῦ ἰανουαρίου μηνὸς, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

NOV. XIV.

Imp. Nicephori Botaniatae de viro uxoreve in furorem incidentibus[1]. (Inter 1078—1081.)

Non extat.

---

[6] Ita Leuncl. in marg. Textus *ἀρέσαντα*. [7] Leuncl. in textu *συνδοξάσαντα*. [8] Idem in marg. *ὡς εὐκίνητα*. [9] Id. *γίγνοιντο*. [10] Leuncl. *παρανομώτατος*. Recte.

[1] Novella *τοῦ βασιλέως κυροῦ νικηφόρου τοῦ βοτανειάτου περὶ μανέντων ὁμοζύγων*, Leonis Nov. CXI et CXII consona, laudatur a Bals. ad Photii Nom. XIII, 30 (ed. Rhalli I p. 331) et a Blast. *Γ*, 26 (ed. Bever. II p. 86). Balsamonis locum exhibuit etiam Bonefid. p. 38.

NOV. XV.

Imp. Nicephori Botaniatae aurea bulla de archiepiscopatu Madytensi[1].

Non extat.

NOV. XVI.

Imp. Nicephori Botaniatae aurea bulla de metropoli Patrensi[1].

Non extat.

NOV. XVII.

Imp. Nicephori Botaniatae aurea bulla codicillos D. Constantini confirmans[1].

Non extat.

NOV. XVIII.

Imp. Alexii Comneni de foro laicorum et clericorum invicem litigantium[1].

(A. 1081.)

Τὸ κατὰ τὸν ἰούλιον μῆνα τῆς δ′ ἰνδ. τοῦ ‚ςφπθ′ ἔτους ἀπολυθὲν χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως

---

[1] Epistola P. Nicolai (ed. Rhalli V p. 72): „*ὁ ἡρακλείας ... χρυσοβούλλῳ τεθωράκισται, οὗ δημιουργὸς ὁ μακαρίτης βασιλεὺς ὁ βοτανειάτης, διοριζομένῳ, τῇ τελευτῇ τοῦ νυνὶ ἀρχιερατεύοντος ἐν μαδύτῳ τὸ ὑπ' αὐτῷ μητροπολιτικὸν παύεσθαι δίκαιον καὶ ὑπὸ τὴν ἡρακλείαν ἐπαναστρέφειν τὴν εἰρημένην ἐκκλησίαν ὡς τὸ πρότερον*“.

[1] Laudatur in Epistola P. Nicolai modo citata.

[1] Laudatur infra Nov. XIX.

[1] Laudatur a Bals. ad Phot. Nomoc. IX, 1 ed. Rhalli I p. 165 et 171, nec non a Blast. *Δ*, 7 ed. Bev. II p. 98. Ex Bals. habet etiam Proch. auct. tit. 40. Ex eodem ediderunt Bonefid. p. 75 et Leuncl. JGR. I p. 139.

κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ, προστιθέμενον ταῦτα ῥητῶς[2]·

Εἰ δὲ μερισμὸς ἐν τοῖς διαμαχομένοις[3] *ἐστὶ, καὶ ὁ μὲν τῆς κοσμικῆς φαίνεται καταστάσεως, ὁ δὲ τῷ θείῳ κλήρῳ ἐγκατείλεκται, ὁ ἐνάγων τηνικαῦτα τῷ φόρῳ τοῦ ἐναγομένου ἐξ ἅπαντος ὑποκείσεται καὶ ἕκαστος εἰς τὸ πρόσφορον δικαστήριον ἀπελεύσεται. εἰ μήπω*[4] *πολλάκις τὶς τῶν ἀπαντώντων*[5] *τὸ βασιλικὸν δικαστήριον ἐπιζητοίη. τότε γὰρ σχολαζόντων ἁπάντων ἡ βασιλικὴ μεγαλειότης διαιτήσει τῇ δίκῃ καὶ τεμεῖ τὸ ἀμφίβολον.*

NOV. XIX.

Imp. Alexii Comneni de juramento corporali minorum et ne adversus juramentum restituantur[1]. (A. 1082.)

Ἡ γεγονυῖα νεαρὰ παρὰ τοῦ βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ περὶ ὅρκου σωματικοῦ τῶν ἀφηλίκων, καὶ τοῦ μὴ ἔχειν αὐτοὺς ἀποκατάστασιν μετὰ τὸ τελεσθῆναι παρ᾽ αὐτῶν τὸν τοιοῦτον ὅρκον.

Οὔτε σῶμα πονήρως ἐχούσης τῆς κεφαλῆς ἕξει κἄν ποτε ἀσφαλῶς, ἀλλὰ τῷ κυρωτέρῳ μέρει συμπονῆσαν τῆς λώβης αἰσθήσεται τοῦ νοσήματος, οὔθ᾽ ἡ τῆς πολιτείας ὁλότης ὑγιεινῶς ἂν σχοίη καὶ καθαρῶς μὴ τοῦ βασιλέως ὑφηγουμένου τὰ κάλλιστα, ἀλλ᾽ ἢ τὴν ἀρχὴν αὐτοῦ τῶν μὴ καλῶν πρακτέων[2] *προσκαταβάλλοντος ἢ μὴ τὰ φαῦλα καὶ μοχθηρὰ περικόπτοντος. εἰ γὰρ ἄρα φέρειν ἅπαν φιλεῖ πρὸς τὸ κρατοῦν τὸ ὑπήκοον καὶ συνεξομοιοῦσθαι τῷ ἄρχοντι, πρόδηλον πάντως τὸ συναγόμενον, ὡς τῷ τῶν κακιόνων ὑφηγητῇ ὁ πολὺς καὶ ὑπήκοος ἕψεται ἀν-*

---

[2] Inscripsi verba Balsamonis. Bonefid. aliam inscriptionem effinxit, quam recepit Leuncl. [3] Rhallis in Cod. Trapezunt. *ἐν τοῖς ἰδίοις* legi notat. [4] Rhallis: *μήπου*. [5] Sic legendum. Vulgo *ἀπάντων*.

[1] Extat in Cod. Bononiensi *B*, IV, 67; ex quo primus eam edidi in Delin. hist. JGR., p. 123. — Laudatur in Tipucito (cf. Basil. ed. Heimb. II p. IX et 748): et in Ecl. lib. I—X Basil. lib. X tit. 10 his verbis: „*καὶ περὶ μὲν τῶν ἀφηλίκων νεαρά ἐστι τοῦ κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ, διοριζομένη μὴ ὀμνύειν συναλλάγματι τοὺς ἀφήλικας.*“ [2] Forte *τοῖς μὴ καλῶς πρακτέοις.*

θρωπος. καὶ χρὴ διὰ ταῦτα τὸν βασιλέα ἢ[3] ἄρχειν πάντως ἢ ἕπεσθαι τῷ καλῷ, μὴ μέντοιγε δέ ποτε κατάρχειν κακῶν[4], ἀλλὰ μᾶλλόν καθ' ὅσον σθένος περιτέμνειν τε καὶ κωλύειν αὐτὰ, ἵνα ἐντεῦθεν πρὸς ἑαυτὸν τὴν τῶν ὑποτελῶν ῥυθμίζων προαίρεσιν ἀγαθὸς ἂν εἴη κατὰ ψυχὴν βασιλεὺς καὶ τὴν κλῆσιν φέροι[5] ἐπαληθεύουσαν ὄντως τοῖς πράγμασιν. ὅπερ δὴ καὶ ἡ εὐσεβὴς ἡμῶν βασιλεία καθ' ἑαυτὴν ἐννοοῦσα καὶ κατὰ δύναμιν ἀγαθὸν ὑπόδειγμα γίνεσθαι τοῖς ὑπ' αὐτὴν ἐπειγομένη καὶ σπεύδουσα, ἐπὶ τὴν παροῦσαν χρυσόβουλλον ἀπεῖδε γραφὴν, μερικὴν μὲν τὴν πρόφασιν ἔχουσα τῆς ἐκθέσεως, καθολικὴν δὲ τὴν εἰς τὸ μέλλον ἀπόφασιν καὶ τὴν τῶν ἐφεξῆς γενησομένων ὕστερον ὑποτύπωσιν. ἔχει δὲ τὰ τῆς ἀφορμῆς οὕτως· ὁ μακαρίτης σεβαστὸς κῦρος κωνσταντῖνος ἐκεῖνος, ὁ ἀδελφὸς τοῦ ἁγιωτάτου πατριάρχου κωνσταντινουπόλεως κυροῦ μιχαὴλ, τἄλλα μὲν ἀνεπισφαλῶς τῶν κατ' αὐτὸν περιεσκέπτετο, καὶ τὸ τοῦ φρονήματος αὐτοῦ περιδέξιον καὶ τὴν ἐν ἤθεσι καὶ γνώμαις εὐαρμοστίαν, οἷς ἔπραττεν, οἷς ἐγνωμάτευε, καὶ οἷς ἑκάστοτε τοῖς ὁμιλήσασι προσεφέρετο[6], διαφανέστερον παρεστήσατο. ἓν δέ τι τούτῳ ἀνθρωπίνως προσώχθισε· οὐδὲ γὰρ πρὸ τῆς τελευταίας τούτου ἡμέρας πρὸ[7] τοῦ καιροῦ ἐκείνου κατὰ καιρὸν ἐβουλεύσατο, οὐδὲ τὰ τῆς ἰδίας βουλῆς ἐν ἀπηρτισμένῳ ἐγγράφῳ ἐξέθετο. ἔφθη δὲ τοῦτον ἐπικαταλαβοῦσα ἡ τελευτὴ, καὶ ἡ ἐσχάτη τῶν κατ' αὐτὸν διατύπωσις ἐν σχεδαρίῳ μόνον περιελήφθη ἀνάγραπτος. ἀλλ' ὅσα μὲν περὶ τοῦ σχεδαρίου γέγονε τούτου, καὶ ὅθεν ὁρμώμενος ὁ μακαρίτης βασιλεὺς κῦρος νικηφόρος ὁ βοτανειάτης ἐδέξατο τοῦτο καὶ ἀπεδέξατο καὶ βέβαιον μένειν καὶ ἐῤῥωμένον παρεκελεύσατο, ἡ χρυσόβουλλος ἐκείνου ἐπιφαίνει γραφὴ, καὶ περιλαμβάνειν νῦν εἰς τὸ μέλλον καθέστηκε περιττόν. ἐπεὶ δὲ ὁ τὰ πρωτοτόκια φέρων τῶν παίδων τοῦ σεβαστοῦ, ὁ μέγας ἐπιφανέστατος πρωτοκουροπαλάτης κῦρος μιχαὴλ, καὶ μέγας δρουγγάριος τῆς βίγλης, ὁ περιπόθητος γαμβρὸς τῆς βασιλείας ἡμῶν, τὴν ὅλην οἰκονομίαν τῆς πατρικῆς οὐσίας ἀναδεξάμενος ἀπὸ τῆς ἀτελοῦς ἐκείνης γραφῆς τοῦ πατρὸς, οὐκ ἐπὶ μόνῃ τῇ τοῦ χρυσοβούλλου γραφῇ τοῦ βοτανειάτου τὸ ἀσφαλὲς ἔχειν καὶ ἀπραγμάτευτον ᾑρετίσατο, ἀλλ' ὡς νουνεχὴς ἀνὴρ καὶ ἐπίβολος τοὺς ὑπεραναβεβηκότας ἀδελ-

[3] Conjeceram olim μή. [4] Cod. κακῶς, quod propter sequens αὐτά mutavi. [5] Cod. φέρειν, quod olim in φέρων mutandum arbitratus eram. [6] Cod. προσφέρεται. [7] Malim περί.

φοὺς τὴν ἥβην, παρὰ μέρος λαβὼν ἕκαστον, δι' ἐγγράφων αὐτοτελῶς παρ' ἐκείνων γεγενημένων τὴν ἀνίσχυρον πρὸς νόμους γραφὴν τοῦ πατρὸς ὡς ὑγιᾶ τιμᾶσθαι πανταχόθεν ἀκριβωμένην διαθήκην πεποίηκε, καὶ ὅρκῳ τοὺς τῇ γνώμῃ ταύτῃ ἐμμείναντας ἀδελφοὺς σωματικῶς ἠσφαλίσατο· ἐπεὶ οὖν τέλος εὗρεν αὐτῷ τοιοῦτον τὸ ὑπὲρ τῆς τελευταίας βουλῆς τοῦ πατρὸς ἀγώνισμά τε καὶ σπούδασμα, καὶ οὐδὲν οὖν ἦν ἔτι λοιπὸν ἐχέγγυον ἀσφαλέστερον τῆς τοιαύτης τοῦ πράγματος παραφυλακῆς, τοῖς ἐλλογίμοις τῶν κρίσεων διαιτηταῖς ἀνακαλύπτει τὰ παρακολουθήσαντα, δημοσιεύει τὰς ἐγγράφους γνώμας τῶν ἀδελφῶν, θεατρίζει τὴν ἀπὸ τοῦ σωματικοῦ ὅρκου ἀσφάλειαν, ἐρωτᾷ εἰ αὐτάρκως ἔχει τοῦ ἀκριβοῦς ἡ ὑπὲρ τῆς πατρῴας βουλήσεως τούτῳ σπουδή, τὸ πλεῖον μέρος εὑρίσκων τῶν δικαστῶν ὁμογνωμονοῦν ἐγγράφην ἐκεῖθεν τὴν ἐπὶ τούτῳ γνώμην κομίζεται, ὑγιῶς πρὸς νομικὴν ἀκρίβειαν ἔχουσαν, καὶ πρὸς θείου φόβου συντήρησίν τε καὶ παραφυλακὴν ἐμμελῶς καὶ τελευτῶν* ἐπ' αὐτὴν ἐκείνην τὴν βασιλείαν ἡμῶν ἀναφέρει τὰ ἕκαστα, καὶ ζητεῖ καὶ παρὰ ταύτης μαθεῖν, εἰ χώρα δίδοται τοῖς ἐφήβοις αὐτοῦ ἀδελφοῖς μετὰ σωματικὸν ὅρκον καὶ τὴν ἐκεῖθεν ἀσφάλειαν δι' ἀποκαταστάσεως αὖθις ἀναπαλαίειν τὸ γεγονὸς καὶ κατὰ τῆς οὐσίας πάλιν χωρεῖν τοῦ πατρὸς αἱρουμένοις τοῦτο ποιεῖν. ὑπέκρουε γάρ τις αὐτὸν οὐκ ἀγένητος λογισμὸς, μὴ τὸ τῆς βουλῆς τῶν ἀδελφῶν ἀτελὲς, δικασταῖς ἴσως περιτυχὸν πρὸς νόμων ἔχουσιν οὐκ εὐφυῶς παραφυλακὴν ἢ καὶ ἀνεξετάστως θάλπουσι τὴν τῆς ἡλικίας ἀτέλειαν, πράγματα δοίη τοῦτο[8] εἰς ὕστερον καὶ δίκας λαγχάνειν τοῖς ἀδελφοῖς περὶ ἀνατροπῆς ἐνωμότων συνθηκῶν στασιάζουσι καὶ τὴν κακὴν ταύτην νίκην κινῆσαι φιλονεικοῦσι. καὶ ὁ μὲν ἐρωτᾷ διὰ ταῦτα καὶ τὴν ἀπὸ τῆς βασιλείας ἡμῶν ζητεῖ προσλαβέσθαι γνώμην ἐπὶ τῷ πράγματι.

α'. Ἡ δέ γε τοῦ κράτους ἡμῶν θεοσέβεια, τῆς αὐτῆς εἶναι κακίας διαγινώσκουσα αὐτουργεῖν τι γίνεσθαι τοῦ χείρονος καὶ μὴ ἀναστέλλειν τοῦτο δυνάμενον, νομικῇ τε ἠκολούθησε ἀκριβείᾳ καὶ θείους ἐσεβάσθη θεσμοὺς[9], καὶ κατὰ σωματικοῦ ὅρκου μὴ δίδοσθαί ποτε παρὰ δικαστῶν τοῖς νεωτέροις ἀποκατάστασιν, μάλα τρανῶς καὶ μεγαλοφώνως διὰ τῆς παρούσης χρυσοβούλλου γραφῆς νομοθετεῖ τε καὶ διατάττεται, καὶ τὴν τοιαύτην πρόσταξιν κρατεῖν εἰς τὸ μέλλον παρὰ δικαστηρίῳ παντὶ ἐν-

---

* Forte τελευταῖον. [8] Emendaveram olim τούτῳ. Non opus. [9] Cod. θεῖος ἐσεβάσθ. θεσμός.

δίκως τε[10] καὶ θεοσεβῶς διορίζεται. εἰ γὰρ τοῖς τὴν ἥβην ὑπεραναβαίνουσι νέοις τὴν μὲν ἐπιτροπῆς ἀσφάλειαν ὁ νόμος περιαιρεῖ, ὡς τῆς μάλα φρονούσης ἡλικίας καθεστηκόσιν ἐντὸς καὶ καθ' ἑαυτοὺς τὰ πολλὰ συνιέναι δυναμένοις ὀρθῶς καὶ πράττειν ἐνίοτε ἀνεπισφαλῶς, ὑπὸ δὲ κουράτωρας τούτους καὶ κηδεμόνας καθίστησι, καὶ δι' ἀποκαταστάσεως αὐτοῖς χαρίζεται τὴν βοήθειαν, ἐφ' οἷς ἂν ἴσως περιγραφεῖεν αὐτοί· τὴν δὲ ἀποκατάστασιν κατὰ ἐῤῥωμένου πράγματος δίδοσθαι οἴδαμεν, ἄκυρον τοῖς νόμοις διά τινα ἐπισυμβᾶσαν περίστασιν προβαλλομένου ἰσχύν· τίς ἂν εἴη θρασὺς δικαστὴς ἢ βασιλεὺς ἐπὶ τοσοῦτον ὀλίγωρος τοῦ θεοῦ, ὡς* κατὰ ἐῤῥωμένου μὲν πράγματος φύσει, διὰ δὲ ἡλικίας ἐνταῦθα περιτρεπομένου ἀτέλειαν, ἀποκατάστασιν τῷ νέῳ χαρίσεται καὶ αὐθέντης τούτῳ πρὸς ἐπιορκίαν γενήσεται, τῆς μὲν παλαιᾶς ἐκείνης καὶ σκιώδους νομοθεσίας, ἢ γαλακτοτροφουμένοις ἔτι τοῖς ἀνθρώποις πρὸς θεογνωσίαν ἐδίδοτο, τὴν ἐπὶ ματαϊσμῷ ὀνόματος τοῦ θείου παράληψιν ὑποπλατεῖ[11] ἀπαγορευούσης τῷ παραγγέλματι καὶ παιδιούσης τότε τοὺς ἀκυρωμένους τὰ ἔνορκα, τῆς δὲ ὑψηλοτέρας ταύτης καὶ θεωτέρας μηδὲ ὀμνῦναι ὅλως παρεγγυωμένης, ὡς τοῦ λόγου πάντως διὰ τὸν τρόπον ἀρκεῖν ὀφείλοντος εἰς πειθῶ; ἄντικρυς γάρ ἐστιν ἀνδρὸς ἀντινομοθετοῦντος θεῷ, τοιαύτην εἰσάγειν τὴν ἀτοπίαν τῷ πολιτεύματι, καὶ τῷ τῆς ἡλικίας ἔτι ἁπαλῷ καὶ ὀκλάζοντι, καθάπερ εἰρήκαμεν, σφραγιστῆρα τὴν τοῦ θεοῦ ὕβριν καὶ περιφρόνησιν ἐντυποῦν. ὅπερ ἵνα μὴ γένηται ἀπό γε τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, καθολικῷ καὶ τελείῳ καὶ γενικῷ παραγγέλματι διὰ τῆς παρούσης χρυσοβούλλου γραφῆς τὴν κατὰ σωματικὸν ὅρκον[12] περιαιροῦμεν ἀποκατάστασιν, καὶ πᾶσι παρεγγυώμεθα δικασταῖς, μηδ' εἰς νοῦν ποτε λαβέσθαι τὸ ἀπὸ τοῦδε ἢ βοηθῆσαι κατὰ θεοῦ τῆς ἡλικίας τῷ ἀτελεῖ, καὶ τὴν ἀποκατάστασιν δοῦναι χειραγωγεῖν εἰς ἐνωμότου τοιαύτης ἀθέτησιν συνθήκης. τοῦτο γὰρ προδήλως καὶ τὰ ἐν τῷ ἐδάφει τῶν βασιλικῶν κείμενα δύο θεσπίσματα νομοθετοῦσι θεοσεβῶς· τὸ μὲν παρὰ σωματικὸν ὅρκον μηδεμίαν παρέχον ἄδειαν τῷ νεωτέρῳ δι' ἀποκαταστάσεως αὖθις περὶ τῆς ἡλικίας ἀνακινεῖν καὶ τὴν περὶ ταύτης δίκην τιθέναι ἀνάδικον[13]· τὸ δὲ εἰσάγον τὸν βασιλέα ἐπὶ ἀφήλικος ἀνακρινόμενον ἀναφορᾷ, ὡς αὐθέντην τοῦτον γενέσθαι ἐπιορκίας οὐκ εἰδέναι[14] ὀφείλει· καὶ οὐδείς

[10] Cod. ὅτι. * Malim ὅς. [11] Cod. ὑποπλατεῖα. [12] Malim κατὰ σωματικῶν ὅρκων. [13] Videsis Basil. X, 25, 3 ex Cod. II, 42, 3. [14] Basil. X, 10, 1 ex Cod. II, 27, 1.

ἐστιν οὕτως ἐπὶ τοσοῦτον τῆς νομικῆς αὐθεντίας ἀνάσκητος, ὡς οὐκ οἶδε ταῦτα ἐν τῷ ι΄ βι. τῶν βασιλικῶν ἐν δυσὶ διαφόροις κείμενα [κεφαλαίοις][15] καὶ τὴν ἑρμηνείαν εἰσάγοντα προδήλως. καὶ πῶς ἂν ἡμεῖς ἐπίπλεον τῷ φόβῳ τοῦ θεοῦ στοιχειούμενοι καὶ τὴν θείαν χάριν τῆς θεοδότου διδασκαλίας δαψιλέστερον εἰσοικισάμενοι καὶ πλουτήσαντες, τἀναντία τούτου ἀντινομοθετήσομεν καὶ θεοῦ τοῖς βουλομένοις μυκτηρισμὸν καὶ ὕβριν ἐφήσομεν; εἰ γὰρ καὶ τῶν δικαστῶν ἔνιοι, τὴν ἐξ ὑπονοίας τοῦ Θαλελαίου[16] φράσιν περιλαμβάνοντες, κατὰ μὲν ἡλικίας φάσκουσι τὸν σωματικὸν ὅρκον κρατεῖν, κατὰ δὲ συναλλαγμάτων ἑτέρων τῷ τοιῷδε ὅρκῳ βεβαιουμένων τὴν ἀποκατάστασιν ἔχειν τὸ ἐνεργὸν, ὅτι καὶ ὁ Θαλέλαιος εἶπε τὴν τοῦ βασιλέως παραφράζων ἀντιγραφὴν, ὡς δοκεῖ ὁ βασιλεὺς τοῦτο λέγειν, ὅτι δύνασαι μὲν κατὰ τῆς ὁμολογίας σου καὶ τοῦ ὅρκου αἰτῆσαι ἀποκατάστασιν, οὐκ ἐγὼ δὲ σὲ εἰς τοῦτο προτρέπομαι· ἀλλ' οὗτοι πόῤῥω τῆς ἐννοίας[17] θέουσι τοῦ καλοῦ, τῇ τοῦ Θαλελαίου ὑπονοίᾳ πλέον ἰσχύος τῆς αὐτοφανοῦς ἑρμηνείας τῶν βασιλικῶν ῥημάτων ἀποφαινόμενοι, καὶ δόκησιν μὲν ἀληθείας ἐπίπροσθεν ἄγοντες, διὰ δὲ φαντασιοκοπίαν ἀνδρὸς — ἐν δισταγμῷ κἀκείνην εἰσαγομένην — ἀνερυθριάστως ὅρκου καὶ συνθηκῶν ἀθέτησιν παρεισάγοντες. καίτοιγε μᾶλλον ἐχρῆν ἀνθρώπους ὄντας θεοσεβεῖς, καὶ θεοῦ καὶ ἀνθρώπων εἰδότας ὅσον ἐστὶ τὸ διαφέρον, ἐν ἀμφιβόλοις (ὡς αὐτοὶ νοοῦσι) ῥήμασι καὶ νοήμασιν ἐξανάγκης πάντως θεῷ τὰ πρεσβεῖα χαρίσασθαι, καὶ μηδέν τι τῶν ὅσα ἐστὶν ὑπὸ γένεσιν τῆς πρώτης ἐκείνης ὑπεράνω θεῖναι μεγαλειότητος, ἢ μικροπρεπεῖς καὶ ὀλιγογνώμονας, καὶ τὴν ἀνθρώποις τάξιν καὶ εὐκοσμίαν γνωρίζοντας, μὴ καὶ κατὰ βασιλέως ἐφεῖναι τὸ πλέον ἔχειν τὸν ἰδιωτεύοντα δικαστήν. εἰ γὰρ καὶ μὴ ἀποφαντικὴ τέλεον τοῦ βασιλέως ἦν ἡ ἀντιγραφὴ, καὶ ἐπὶ σωματικοῦ ὅρκου ἐκφωνηθεῖσα αὐτὸν ἐκεῖνον εἰσῆγε τὸν ἀντιγράφοντα μὴ εἰδέναι, ὡς αἴτιος τούτῳ ἐπιορκίας ἔσται ποτὲ, μηδ' ὁ Ἑρμουπολίτης[18] αὐτὸν ἐπιστόμιζεν ἀνὴρ, καὶ οὗτος ὀξὺς συνιδεῖν καὶ φωράσαι τὴν ἐγκαθημένην ταῖς νομικαῖς βαθύτησιν ἔννοιαν, λέγων ὡς „ὁ ἥττων ὀμόσας σωματικὸν ὅρκον μὴ ἀποκαθίστασθαι, οὐκ ἀποκαθίσταται“· εἶχε δὲ τὰ πρεσβεῖα ἡ τοῦ Θαλελαίου παραγραφὴ[19]

[15] Cod. κειμένοις τίς. Forte κείμενα θέμασι. [16] Ad Cod. II, 27, 1. [17] In Cod. per abbreviationem scriptum est, quam nescio an recte intellexerim. [18] Intelligitur Theodori Hermopolitae summa c. 1 C. II, 27. [19] Indicatur Thalelaei adnotatio ad l. l. Caeterum Codex καὶ habet ex male intellecta abbreviatione

„ὁ βασιλεὺς δίδοσθαι μὲν τὴν ἀποκατάστασιν τοῖς ἀφήλιξι τοῦ σωματικοῦ ὅρκου οὐκ ἀνένευε, φειδοῖ δὲ τοῦ ὅρκου ταύτην αὐτὸς διδόναι οὐ συγκατένευε“· πῶς ἂν δικαστὴς ἐλάσσων, ὃ βασιλεὺς χαρίσασθαι οὐκ ἐθάῤῥησε τὸν μείζω βασιλέα καὶ δικαστὴν εὐλαβούμενος, ἀπερισκέπτως οὕτως ἀποθαῤῥήσει δωρήσασθαι, καὶ μεῖζον ἑαυτῷ περιόψει κράτος τοῦ βασιλέως, ἐφ᾽ οἷς ἄρα τῷ νέῳ τὴν κατὰ θεοῦ χαρίσασθαι τόλμην βεβούληται; καίτοιγε τὴν κατὰ τῶν δὶς κεκριμένων ἀποκατάστασιν τοῖς ἀτελέσιν οὐ δίδωσι δικαστὴς, βασιλεὺς δὲ ταύτην ἐλέῳ τῶν νέων χαρίζεται (καὶ λέγει τοῦτο διάτ. τοῦ κώδ. ἐν βι. [20] ι´ τῶν βασιλικῶν), ἐνταῦθα δὲ τὸ πλέον ἕξει τοῦ βασιλέως ὁ δικαστής; καὶ ὅπου περιφρονεῖται θεὸς καὶ τὸ ἅγιον τούτου μυκτηρίζεται ὄνομα, ἐνταῦθα τὸ μέγιστον σχοίη τοῦ βασιλέως ὁ ἰδιώτης, καὶ ὃ μὲν ἐκεῖνος δοῦναι οὐκ ἐτόλμησεν, οὗτος ἀνερυθριάστως χαρίζηται; καὶ τίς ἀνάσχοιτο τῆς ἀτοπίας τοῦ πράγματος, ἄνθρωπος ὢν καὶ λόγῳ τιμώμενος, καὶ τοῦ θεοῦ κλῆσιν ὅτι ποτὲ ἐστὶν ὅλως εἰδὼς, καὶ τίς ἡ ἐκεῖθεν ἀντίδοσις τῶν ἐνταῦθα βεβιωμένων διὰ τῆς ἡμετέρας διδασκαλίας παραλαβών; εἰ δὲ καὶ ἀντιλέγειν τὶς ἴσως ἐπιχειρῶν συντίθεται μὲν καὶ αὐτὸς, ἰδιώτην μὴ δύνασθαι δοῦναι τὴν κατὰ σωματικοῦ ὅρκου ἀποκατάστασιν, βασιλεῖ δὲ τὴν τοιαύτην ἐξουσίαν προσεῖναι, κἀκεῖθεν ἔχειν τὸν νέον τὸ ἰσχυρὸν εἰς τὴν τοῦ σωματικοῦ ὅρκου ἀθέτησιν, οὐκ οἶδα εἰ περὶ βασιλέως οὗτος λέγει ὁ ἄνθρωπος ἀλλὰ μὴ τυράννου καὶ ἀποστάτου καὶ τῆς θείας χειρὸς ἀφηνιάζοντος ἄντικρυς. εἰ γὰρ βασιλεῖς διὰ θεὸν βασιλεύουσι, κἀκεῖθεν ἡμῖν τὸ ἐξουσιαστικὸν καὶ οὐκ ἄλλοθεν, τίς ἂν εἴη πάντολμος βασιλεὺς, ὃς καὶ αὐτὸ τὸ ἐννόημα ὡς ἄντικρυς ἔργον οὐ δυσωπηθήσεται ἀποτέλεσμα; ἀλλ᾽ οὐδὲ πρὸ τῆς παρούσης ταύτης ἡμῶν χρυσοβούλλου γραφῆς οἶμαί ποτε ἢ δικαστὴν ἢ βασιλέα εἰς ἀπόνοιαν τοσαύτην ἐλθεῖν, ὡς δι᾽ ἀποκαταστάσεως ἀνατρέπειν ὅρκου δόσιν σωματικοῦ καὶ ἐνεσχηματισμένῳ ἐλέει τῆς ἡλικίας πρόδηλον εἰσάγειν ἀσεβείας ὑπεροχήν· καὶ νῦν μετὰ τὴν παροῦσαν ἡμῶν ταύτην ἀπὸ διαγνώσεως μεμεριμνημένης ἀπόφασιν οὐκ ἄν ποτε οὔτε δικαστὴς οὔτε βασιλεὺς δυσσεβέστατον κακοδοξίας ἑαυτῷ προσάψει ἔγκλημα, διὰ θάλψιν τῶν νεωτέρων τὸ θεῖον ὑβρίζεσθαι μὴ ἀπαρνούμενος ὄνομα.

Παρεγγυώμεθα γὰρ ἅπασι δικασταῖς ἰδιώταις καὶ βασι-

---

verbi παραγραφή. [20] Cod. δήτ ἐν βι. κώδ. Intelligenda videtur c. 3 C. II, 26 (Basil. X, 9, 3) aut c. 1 C. II, 46 (Basil. X, 29, 1).

λεῦσιν, καὶ τοῖς μὲν βασιλικῶς, τοῖς δὲ ἀδελφικῶς, ἐπισκήπτεσθαι[21] τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήποτε τρόπον ἀπ' ἐναντίας ἐλθεῖν τοῦ γενικῶς ἐκφωνηθέντος τοῦδε θεσπίσματος καὶ κρατεῖν μέλλοντος ἐπὶ πᾶσι τοῖς τοιουτοτρόποις φάκτοις καὶ θέμασιν, ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλλου λόγου, γεγενημένου κατὰ τὸν μάϊον μῆνα τῆς ε' ἰνδ. ἐν ἔτει τῷ ,ςφς'.

NOV. XX.

Imp. Alexii Comneni
ut poenae conventionales exigantur et fisco inferantur, et de vacantium delatione[1]. (A. 1082.)

Τὸ ἴσον τοῦ τιμίου καὶ προσκυνητοῦ βασιλικοῦ προστάγματος τοῦ φιλοχρίστου ἡμῶν βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ, τοῦ κατὰ τὴν κη' μηνὸς αὐγούστου ἰνδ. ε' προ... μεγ... πρωτασεκρέτις καὶ κριτοῦ θράκης καὶ μακεδονίας καὶ ἐξισοτυ..τοῦ τοῦ σκληροῦ[2], καταστρωθέντος δὲ καὶ εἰς τὸ σεκρέτον τοῦ βεστιαρίου κατὰ τὴν ς' μηνὸς ἰουλίου ἰνδ. ε', καὶ περιέχον[3] οὕτως·

Ἔτει ,ςφς'.

α'. Ἡ βασιλεία μου ἀκριβῶς διαγνοῦσα, ὡς πολλοὶ τῶν συναλλάγματα ποιούντων καὶ συμφωνίας παραβαίνοντες ταῦτα καὶ ἀθετοῦντες πειρῶνται ἀνατρέπειν τὰ ἐξ ἀρεσκείας αὐτῶν καὶ ἀπὸ γνώμης συμφωνηθέντα κακοθελῶς, καὶ διὰ τὴν τοιαύτην αἰτίαν αὔξονται ὡς ἐπὶ πλεῖστον τὰ δικαστήρια καὶ πληροῦνται δικῶν· τοῦτο δὲ πάντως[4] οὐκ ἄλλοθεν εἴωθε συμβαίνειν, ἀλλ' ἢ[5] τοῦ μὴ ἀπαιτεῖσθαι τὰ ἐγκείμενα πρόστιμα τοῖς συμφώνοις αὐτῶν· [κελεύει] εὐδοκεῖν πάντας εὐνομίᾳ βουλομένη[6], τὰ ὀρθῶς καὶ κατὰ νόμους συστάντα, εἴτε συναλλάγματα εἶεν

---

[21] Malim ἐπισκέπτ.

[1] Servata est in Cod. Paris. 2872, unde eam primus edidi in Delin. hist. JGR. p. 130. [2] Legerim προσπεμφθέντος τῷ πρωτασεκρέτις καὶ κριτῇ θράκης καὶ μακεδονίας καὶ ἐξισωτῇ παρὰ τοῦ σκληροῦ. [3] Cod. περιέχων. Forte περιέχει. [4] Forte πάλιν. Est enim in Cod. per notam scriptum. [5] An ἐκ? [6] Locus corruptus. Cod. συμφώνοις αὐτῶν αὐτῶν εὐδόκη. — πάντας εὐνομ.. βουλόμενοι. Mox legendum περί τινων.

εἴτε παρά τινων σύμφωνα, τὸ κῦρος ἔχειν ἐσαεὶ καὶ μὴ ἐκ μεταμέλου τινὸς ἀνατρέπεσθαι· καὶ ὡς εἴ τις ἀπό γε τοῦ νῦν τοιοῦτον τολμήσει ποιῆσαι, ὑποκεῖσθαι αὐτὸν τῇ τοῦ προστίμου ἐκτίσει. καὶ γὰρ οὐκ εὔλογον ἂν εἴη οὔτε δίκαιον, τὰ πρότερον καλῶς δόξαντα καὶ κατὰ γνώμην τῶν συναλλαξάντων συστάντα παραβαίνειν ἐκ μεταμελείας. καὶ κελεύει σοι τὴν περὶ τούτου εἴδησιν ἔχοντι, ὃν ἂν εὕρῃς ἀπὸ τῆς σήμερον πρὸς ἀνατροπὴν χωροῦντα τῶν ἤδη κατὰ νόμους συμφωνηθέντων καὶ κατὰ τὸ ἀρεστὸν καὶ θυμῆρες αὐτῷ, ἀπαιτεῖν τοῦτον τὸ πρόστιμον ἀσυμπαθῶς καὶ ἀποταμίζειν τῷ δημοσίῳ. λοιπὸν οὖν ἐπανάγνωθι τὴν παροῦσαν πρόσταξιν τῆς βασιλείας ἡμῶν ἐν τοῖς καθίσμασι τοῦ ὑπό σε θέματος, ὡς ἂν διαγνόντες ἅπαντες ὡς οὐκ ἐκφεύξουσι τὴν ἀπαίτησιν τῶν προστίμων δίκαιοι καὶ εὐθεῖς ὦσι παρὰ τῷ συναλλάγματι.

β'. Ἐπεὶ δὲ ἀνέμαθε καὶ τοῦτο ἡ βασιλεία ἡμῶν, ὡς πολλοὶ ἄπαιδες καὶ ἀδιάθετοι θνήσκουσι, μηδένα ἔχοντες κατὰ τὸ ἐξ ἀδιαθέτου δίκαιον καλούμενον εἰς τὴν κληρονομίαν αὐτῶν, ἕτεροι δὲ αὐτονόμως ἐξιδιοῦντες καὶ σφετερίζοντες τὴν μηδόλως ἀνήκουσαν τούτοις ἐκείνων ὕπαρξιν, καὶ στερεῖται ὁ δημόσιος τῶν δικαίῳ λόγῳ ἁρμοζόντων αὐτῷ· κελεύει σοι ἔχειν προσοχὴν καὶ περὶ τούτου, διαλαλήσαντι δὲ καὶ ἐν ὅλῃ τῇ περιχώρῳ τοῦ ὑπό σε θέματος, ὡς εἰ κατά[7] τι μηνυθείη ὑπό τινος ὡς τοιοῦτον, λήψεται τὴν δεκάτην μερίδα τῶν προσαγγελθέντων ὁ τὴν προσαγγελίαν ποιησάμενος. ὀφείλεις προσαγγελίας γενομένης ἀπογράφεσθαι τὴν ὕπαρξιν τοῦ τελευτήσαντος ἐν λεπτῇ ἀπογραφῇ, εἴ τι ἐν κινητοῖς καὶ ἀκινήτοις εἴη, καὶ παρατιθέναι ταύτην τῶν εὐλαβῶν ἐγχωρίων, μέχρις ἂν σὺ ἀναδιδάξῃς καὶ γράψῃς πρὸς τὸ τοῦ βεστιαρίου σεκρέτον καὶ τὴν βασιλείαν ἡμῶν ὡς ἂν τὸ δοκοῦν αὐτῇ γένηται.

Ἀπελύθη μηνὶ ἰουλ. ἰνδ. ε' ἀπὸ τῆς Θεοφυλάκτου πόλεως διὰ γράμματος τοῦ πρωτοπροέδρου κυροῦ σεργίου καὶ λογοθέτου τῶν σεκρέτων τοῦ ἐξαμι...[8] καὶ ἡ διὰ κηροῦ βασιλικὴ σφραγὶς τῷ βουλλωτηρίῳ τῆς ἁγίας δεσποίνης καὶ μητρὸς τοῦ βασιλέως.

---

[7] Legerim καί. [8] Forte ἐξαμιλιώτου vel ἐξαμιλίου.

NOV. XXI.

Imp. Alexii Comneni
decretum, ut intra XV dies trimestris spatii testes producantur[1].
(A. 1082.)

Τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ περὶ τοῦ ἐντὸς ιε΄ ἡμερῶν τοῦ τριμήνου παραγενέσθαι τὴν μαρτυρίαν. μηνὶ ἰουλίῳ ις΄ ἡμέρᾳ ς΄ ἰνδ. ε΄[2] γέγονεν ἡ παροῦσα βασιλικὴ σημείωσις ὑπαγορευθεῖσα παρὰ τοῦ σολομῶντος[3].

Πολλὰ μὲν δικαστήρια ἀνὰ μέσον ἄννης τῆς ἀνεψιᾶς τοῦ ἀποβεβιωκότος μητροπολίτου νικομηδείας βασιλείου, καὶ στεφάνου πρότερον περιόντος ἐπισκόπου καισαρείας, ὕστερον δὲ τοῦ πρωτοσπαθαρίου μιχαὴλ καὶ ταγματοφύλακος, τῷ ἐξ ἀδιαθέτου δικαίῳ κληρονόμου ἀναφανέντος τοῦ ἐπισκόπου, περὶ τρίτου λάχους τοῦ οἴκου αὐτοῦ, παρά τε τῷ πρωτοπροέδρῳ γεωργίῳ καὶ τηνικαῦτα δικαιοφύλακι (νυνὶ δὲ κοιαίστωρι), καὶ ὕστερον παρ᾽ αὐτῇ τῇ βασιλείᾳ ἡμῶν ἀνεῤῥιπίσθησαν καὶ συνεκροτήθησαν, καὶ πολλῶν λόγων εὑρήματα παρ᾽ ἀμφοτέρων ἀνεκινήθη. καὶ τῶν περὶ τὸν ἐπίσκοπον τὸν ἁρμόζοντα χρόνον τῆς ἀποδείξεως εἰς τὴν τοῦ πρατηρίου χάρτου βεβαίωσιν διὰ σημειωμάτων λαβόντων τῆς βασιλείας ἡμῶν, καὶ τῆς ὑποθέσεως ταύτης δι᾽ ἀντιγραφῆς τοῦ κράτους ἡμῶν εἰς τὸ δρουγγαρικὸν καταχθείσης δικαστήριον, ὡς ἂν παρ᾽ αὐτῷ δοκιμασθῇ ἡ τοῦ τοιούτου πρατηρίου ἐγγράφου σύστασις, οὐκ ἔσχεν εὐλύτως τὰ τῆς δίκης παρὰ τῶν τοιούτων δικαστηρίων[4]. τῶν γὰρ δικαστῶν ἄλλων εἰς ἄλλας τραπομένων ἐννοίας, καὶ τῶν μὲν τὰ ἔγγραφα ἐξ ὧν ἡ σύγκρισις γίνοιτο μὴ ἄλλως ἀγοραῖα κατονομάζεσθαι

[1] Extat in Cod. Bodlej. 173, Marc. 173 (Vratislaviensi? Laur. V, 40) et Bonon. *B*, IV, 67. Edita est a Leuncl. JGR. II p. 179. [2] Ind. V anni 1082 intelligi videtur. Ex ipsa enim Novella colligitur, hanc causam initium cepisse, dum Alexius Sebastocratoris locum obtineret, ut proinde haec nostra *σημείωσις* initio imperii ejus tribuenda sit. [3] Ita inscriptio est in Bodl. 173. Similiter in Bonon.: *Μηνὶ ἰουλίῳ ἡμέρᾳ γ΄ ἰνδ. ε΄ γέγονεν ἡ παροῦσα β. σ. παρὰ τοῦ βασ. κ. ἀ. τ. κ. ἕνεκεν τοῦ παραγ. τὴν μαρτ. ἐντὸς τῶν ιε΄ ἡμ. τριμήνου, ὑπαγ. π. τ. σολ.* [4] Leuncl. in marg.: „*τῷ τοιούτῳ δικαστηρίῳ.* Recte". Equidem malim *τῷ τοιούτῳ δικαστῇ*, ut habeat quo referatur sequens *ἐδέησεν*. Nisi forte *ἐδέησαν* pro *ἐδέησεν* scribendum sit.

κατὰ τὴν ἰουστινιάνειον νεαρὰν[5], εἰ μὴ παρὰ ταβελλίωνι τελοῖντο καὶ συνήθεις ἐπιφέροιντο κόμπλας, διατεινομένων· τῶν δὲ τὰς ὑπογραφὰς τῶν ταβελλιώνων ἀρκεῖν λεγόντων ἀγοραῖα τὰ ἔγγραφα συνιστᾶν, κἂν μὴ κεκομπλατευμένα τυγχάνοιεν· ἐδέησεν εἰσαγώγιμα τὰ τῆς ὑποθέσεως καὶ πάλιν γενέσθαι παρὰ τῇ βασιλείᾳ μου, καὶ δὴ καὶ εἰσήχθησαν, καὶ τῶν ἀνακυψασῶν ἀμφιβολιῶν ἐπηκροᾶτο τὸ κράτος ἡμῶν, τοῦ μεγάλου ἐπιφανεστάτου[6] κουροπαλάτου καὶ μεγάλου δρουγγαρίου τάς τε τῶν δικαστῶν ἀμφισβητήσεις καὶ τὰς τῶν μερῶν ἑκατέρων καὶ τῶν συνηγορούντων αὐτοῖς διευκρινοῦντος τῇ βασιλείᾳ μου. ἀλλ' ὁ τῇ ἄννῃ συνηγορεύων, τῆς κόμπλας τό γε νῦν ἔχον ἀφέμενος, ἐνστατικώτερον πρὸς τὰς συγκρίσεις ἀνθίστατο, ὡς οὐ δεκταὶ τῷ νόμῳ μηδὲ ἔχουσαι τὸ ἐνδύναμον, ὅτι πόῤῥω τοῦ νενομισμένου καιροῦ αἱ τούτων παραγωγαὶ δεδραμήκασι· τὸ δὲ ἀντίθετον μέρος καὶ κατὰ καιρὸν γενέσθαι τὴν σύγκρισιν, καὶ τοῦ νενομισμένου χρόνου ἐντὸς πάνυ διϊσχυρίζοντο. καὶ δῆλον, ὡς ἐπεγέγραπτο τῷ χάρτῃ, ἐν ᾧ αἱ τῶν ὑπογραφῶν τῶν ὑποσημηναμένων τῷ παρ' αὐτῶν προκομιζομένῳ πρατηρίῳ συγκρίσεις συνείχοντο, παρά τε τοῦ προέδρου καὶ κριτοῦ τοῦ αὐτωρειανοῦ καὶ τοῦ μαγίστρου θεοδώρου καὶ κριτοῦ τοῦ σμυρναίου ὁ καιρὸς, καθ' ὃν οὗτος προεκομίσθη αὐτοῖς. ἀλλὰ καὶ τῷ κοιαίστωρι ἐμπροθέσμως οὑτοσὶ προκεκόμισται. εὐθὺς οὖν ὁ κοιαίστωρ κατὰ τὴν τελευταίαν ἡμέραν τῆς τριμήνου προκομισθῆναι αὐτῷ τὴν λεγομένην γενέσθαι σύγκρισιν ἔλεγε πρὸς τὴν βασιλείαν μου, ἐσφραγισμένην οὖσαν ἄνωθεν παρὰ τοῦ δεξαμένου τὴν σύγκρισιν ποιήσασθαι ταβελλίωνος, καὶ τὰς ἐπιγραφὰς φέρουσαν τῶν δηλωθέντων δικαστῶν. ἐξ οὗ διεγινώσκετο τοῦτο, ὡς οὐδὲ αὐτοὶ ἂν εἰδεῖεν οἱ δικασταὶ, τίνα τὰ ἐμπεριειλημμένα τῷ χάρτῃ, ἀλλὰ μηδ' αὐτὸν δυνηθῆναι διαμηνύσασθαι πρὸς τὸ τῶν ἀδικούντων[7] μέρος, ἅτε τῆς τελευταίας ἡμέρας εἰς στενὸν τὰ περὶ τῆς διαγνώσεως τούτων συγκλεισάσης. ἐντεῦθεν οὐκ ὀλίγη λόγων ἅμιλλα ἐπεισέφρησεν. ὁ μὲν γὰρ τῇ ἄννῃ συνηγορῶν ὁ μυστογράφος ἀρτάβασδος ὁ παναγίτης τὸ ἀνίσχυρον τοῦ μὴ συνέδρων εὐποροῦντος σημειώματος ἐπεισέφερεν, εἰ καὶ ἐμφέροιντο τούτῳ τὰ παρ' ἀμφοτέρων ἀντιλεγόμενα τῶν μερῶν, κἀκ τούτου τὴν ἐπιγραφὴν τῶν μηδὲ ὅ τι γέγραπται ἐν τῷ χάρτῃ εἰδότων ἀντ' οὐδενὸς λογίζεσθαι

---

[5] Idem laudat Nov. Justiniani 44 et 49. [6] Leuncl. in marg. μεγαλεπιφ. Recte. [7] Ibid. ἀντιδικούντων. Malim tamen ἀντιδίκων. Cf. not. 11.

ἐβιάζετο, ἅτε μηδὲ σημειώματος ἐπὶ συνέδρων τινῶν ἐπὶ τῇ προκομιδῇ τούτου προβάντος. ὅτι δὲ παρὰ τοῦ προέδρου καὶ κριτοῦ τοῦ αὐτωρειανοῦ δεχθῆναι τὸν τοιοῦτον χάρτην ἐλέγετο, πρὸς τοῦτο πολλῷ πλέον δυσανασχετοῦντες οἱ περὶ τὴν ἄνναν ἐτύγχανον. πῶς γάρ, ἐβόων, ὁ παραιτηθεὶς παρ' αὐτῶν παρὰ τῷ σεβαστοκρατορικῷ δικαστηρίῳ, καὶ τοῦ πανευτυχεστάτου σεβαστοκράτορος μὴ παρὰ τοῦτο[8] δεχθῆναι διακελευσαμένου τὴν μαρτυρίαν, πάλιν κατ' ἐξουσίαν οἰκείαν καὶ παρὰ κέλευσιν θείαν ἐπελάβετο τὴν σύγκρισιν, καὶ ταύτῃ προσέγραψε τὸν καιρόν; καὶ ἄδηλον δέ φασιν, εἰ καὶ γέγραπτό τε[9], καὶ ὑπόνοια, μή ποτε μετὰ τὴν ἐπιγραφὴν αἱ συγκρίσεις παρὰ τοῦ ταβελλίωνος διεπράχθησαν, τῆς οἰκείας σφραγῖδος ὡς ἂν καὶ βούλοιτο κατεξουσιάζοντος· ἀλλ' εἰ καὶ δῶμεν ἔξω τὸ πραχθὲν ὑπονοίας τυγχάνειν οὐκ ἀγαθῆς, ἔξωρος ἡ τῆς συγκρίσεως πάντως προκομιδὴ, ἅτε κατὰ τὴν τελευταίαν ἡμέραν τῆς τριμήνου τῷ κοιαίστωρι παραχθείσης. τοῦ γὰρ νόμου διδόντος[10], ἐντὸς τοῦ νενομισμένου καιροῦ παραγενομένων μαρτυριῶν διακηρυκεύεσθαι πρὸς τὸ ἀντίθετον μέρος τοῦ παράγοντος μάρτυρας τὸν δικαστὴν, ἐλθεῖν καὶ δέξασθαι τὰς τῶν παρὰ τοῦ ἀδικοῦντος[11] αὐτῷ μέρους παραχθέντων μαρτύρων φωνάς, καὶ εἰ ιε' διαδράμοιεν ἡμέραι ἔτι τῆς προθεσμίας ἐνδαψιλευομένης τῶν παραχθέντων μαρτύρων προσεδρευόντων τῷ δικαστηρίῳ, τότε καὶ ἐκ μιᾶς μοίρας τὰς τῶν μαρτυρούντων φωνὰς ἀναλαβεῖν τὸν δικαστὴν καὶ ἀπολύειν αὐτούς· πῶς οὐκ ἔξω καιροῦ ἡ τῷ κοιαίστωρι πραχθεῖσα σύγκρισις τῶν ὑπογραφῶν; ποῦ γὰρ αἱ ιε' μετὰ τὴν τελευταίαν ἡμέραν τῆς προθεσμίας; οὐκ ἔξω ταύτης καὶ αὗται τυγχάνουσι πρὸς διακηρύκευσιν τοῦ ἀντιθέτου μέρους ἀφορισθεῖσαι. ἀλλ' οἱ περὶ τὸν ἐπίσκοπον ὑπερμαχοῦντες, ὅ τε[12] δισύπατος νικόλαος καὶ δικολόγοι ὁ αἰχμάλωτος καὶ ὁ σκαλοσκέπαστος, καὶ ἐμπρόθεσμον γενέσθαι τὴν σύστασιν τοῦ πρατηρίου διϊσχυρίζοντο, καὶ τὰς ιε' ταύτας ἡμέρας ἐπιδαψιλεύεσθαι, ἀφ' ὅτου παρὰ[13] τοῦ ταβελλίωνος ἡ σύγκρισις γέγονε· μηδὲν γὰρ ἀπεοικέναι τῆς παρὰ τοῦ δικαστοῦ τῶν μερῶν ἐρωτήσεως τὴν παρὰ τοῦ ταβελλίωνος γενομένην σύγκρισιν τῶν ὑπογραφῶν. ἀλλ' εἰς κενὸν λαλοῦντες τῇ βασιλείᾳ μου κατεφάνησαν καὶ τὸ ὅλον στομοκροτοῦντες· εἰ γὰρ

---

[8] Leuncl. in marg. *τούτου*. Recte. [9] Ibid. *γέγραπταί τι*. Malim *γέγραπται τότε*. [10] Ibid. *εἰπόντος*. Videtur intelligi Basil. VII, 17, 11 et XXI, 1 in fine. [11] Ibid. *ἀντιδικοῦντος*. Cf. not. 7. [12] Ita emendavit Leuncl. pro *ὅτι*, quod in Cod. MS. scriptum erat. [13] Ita Leuncl. pro *περί*.

οὐδὲν ἀπέοικε ταῦτα ἀλλήλων, πῶς αὐτοὶ οὐ τῷ[14] παρὰ τοῖς δικασταῖς ἐμπροθέσμως παραχθῆναι τὴν παρὰ τοῦ ταβελλίωνος γενομένην τῶν ὑπογραφῶν σύγκρισιν ὡς ἐρυμνοῦ τινὸς φρουρίου ἀντείχοντο; ἀρκοῦντος τοῦ τὴν σύγκρισιν ταύτην οὐκ ἐμπρόθεσμον καταφανῆναι παρὰ τοῦ ταβελλίωνος γενομένην. τούτου δὲ ἀποκρουσθέντες, καὶ τῆς κατὰ τὴν τελευταίαν ἡμέραν παραγωγῆς τῆς συγκρίσεως ὁλοσχερῶς περιείχοντο, καὶ τὰς ἐπὶ τῇ διαλαλιᾷ τοῦ ἀντιθέτου μέρους ἐπὶ τῇ παραδοχῇ τῶν φωνῶν τῶν παρὰ τῶν ἀντιδικούντων αὐτοῖς παραχθέντων μαρτύρων ἀφωρισμένας καὶ αὐτοῖς ἁρμόζειν διϊσχυρίζοντο. ἠδύνατο γάρ, φασιν, ὁ δικαστὴς, εἴ γε πάντως ἐβούλετο, γνωρίσαι τοῖς ἀντιθέτοις ἡμῶν τὴν παραχθεῖσαν παρ᾽ ἡμῶν σύγκρισιν· καὶ εἴ γε μὴ ἐντὸς τῶν ιε´ ἡμερῶν ἐλθεῖν ᾑρετίσαντο καὶ συμπαρόντων ἀμφοτέρων κατασκεφθῆναι ταύτην, τότε καὶ μονομερῶς αὐτὴν κατασκέψασθαι· οὐ γὰρ ἄν τις εὐλόγως τοῦτον κατῃτιάσατο καὶ ὡς ἐκνόμως πεποιηκότα κατεμωμήσατο, ἀπὸ νόμου γὰρ ἡμῖν αἱ ιε´ ἡμέραι καὶ ἔξωθεν τοῦ νενομισμένως ἀποδιδομένου ταῖς ἀποδείξεσι καιροῦ ἐπικεχορήγηνται. ἀλλ᾽ οἱ δικασταὶ μὴ νόμοις στοιχεῖν τὰς τούτων δικαιολογίας διϊσχυρίζοντο. τῶν γὰρ τῆς τριμήνου ἢ τῶν ἑτέρων νενομισμένων καιρῶν καὶ αἱ ιε´ τῆς διακηρυκεύσεως ἡμέραι τυγχάνουσι. καὶ δῆλον, ὅτιπερ ἀπράκτων τινῶν οὐσῶν ἡμερῶν, ἐν ᾧ μή τι διενεργεῖν τῶν ἀνηκόντων αὐτῷ δύναται ὁ δικαστὴς, εἴπερ ὁ πρὸς ἀποδείξεις ἀπολυθεὶς ἐντὸς μὲν τῶν δύο μηνῶν καὶ ιε´ ἡμερῶν, λόγου χάριν, οὐ παραγάγῃ τοὺς μάρτυρας, ἐν δὲ ταῖς ἄλλαις ιε´ βούλεται μὲν παραγαγεῖν, οὐ δύνηται δὲ διὰ τὴν ὁρισθεῖσαν ἀπραξίαν· ἐκκεχώρηται τούτῳ ἑτέρων ιε´ ἡμερῶν προθεσμία, ὅτι μὴ παρ᾽ αἰτίαν αὐτοῦ, ἀλλὰ παρὰ τὴν τῶν νόμων αἰτίαν ἡ κολόβωσις τῆς τριμήνου αὐτῷ γέγονε; δεῖ γάρ, φησι, φροντίσαι αὐτὸν, μὴ καταντῆσαι τὴν παραγωγὴν τῆς αὐτοῦ μαρτυρίας εἰς τὰς ἀπράκτους ἡμέρας. εἰ γὰρ ἔνθα μὴ ῥαθυμία τοσαύτη, καὶ νόμοι κολοβοῦντες τὴν προθεσμίαν, οὐκ ἀντεισήχθη χρόνος τοσοῦτος ἕτερος, ὁπόσος καὶ περιῄρηται, πῶς ἔνθα τὸ τῆς ἀμελείας πολὺ, ἕτεραι ιε´ ἡμέραι τοῖς ἀμελοῦσιν ἐπιχορηγηθήσονται; οὐδὲ γὰρ οὐδὲ ὑπὲρ τῶν ἀμελούντων αἱ ιε´ τῷ νόμῳ ἡμέραι διαγινώσκονται, ἀλλ᾽ ὑπὲρ τῶν ὥσπερ ἀπειθούντων καὶ μὴ πειθομένων παραβαλεῖν τῷ δικαστηρίῳ καὶ τὰς τῶν κατ᾽ αὐτῶν[15] παραγομένων μαρτύρων φωνὰς ὑποδέξασθαι. ἐκείνοις

---

[14] Legerim *τοῦ*. [15] Ita Leuncl. pro *αὐτοῦ*.

γὰρ πρὸς ἀναβολὴν αὗται ἀπενεμήθησαν· τοὺς γὰρ παράγοντας οὐκ ὠφελοῦσιν, εἰ μή γε δὴ καὶ συντρίβουσι. πρὸς ἐκείνων γὰρ τὸ παραχρῆμα μετὰ τὴν τῶν ἀντιθέτων ἀπείθειαν τοὺς αὐτῶν μάρτυρας ἐρωτᾶσθαι παρὰ τῷ δικαστῇ κατὰ τοὺς νόμους καὶ ἀπολύεσθαι. πρὸς ταῦτα οὐκ ἀγεννῶς ἀπαντήσειν οἱ περὶ τὸν ἐπίσκοπον δικολόγοι διεβοῶντο, κἀκ τῶν νόμων αὐτῶν παραγαγεῖν, ἃ τὰς αὐτῶν ἐνστάσεις οὐκ ἀνευλόγους τῇ βασιλείᾳ μου ἀποδείξουσι. κέκριται τοίνυν ἐπαγωνίσασθαι τούτους, ὡς ἂν ἀποδείξαιεν ἔξω τοῦ νενομισμένως ἀπονεμομένου ταῖς παραγωγαῖς τῶν μαρτυριῶν ἢ ταῖς συστάσεσι τῶν ἐγγράφων καιροῦ τὰς ιε´ ἡμέρας τὰς ἐπὶ τῇ διακηρυκεύσει τοῦ ἀντιμαχουμένου μέρους ἀφορισθείσας. καὶ εἰ μὲν τοῦτο ἐκ νόμων αὐτῶν ἀποδείξαιεν, ἔκτοτε σκοπηθῆναι παρὰ τῆς βασιλείας μου, εἴ γε καλῶς αἱ συγκρίσεις καὶ κατὰ νόμους προέβησαν καὶ ἐξ ὧν νενόμισται ἐγγράφων τὰς πίστεις ἐδέξαντο· εἰ δέ γε καὶ πρὸς ἣν ἐξητήσαντο ἀπόδειξιν ἀτονήσαιεν, τοὺς περὶ τὴν ἄνναν δικαιωθῆναι, καὶ τὰ νικητήρια νομίμως τούτους ἀποίσασθαι. εἰ γὰρ ἔξωρος ἡ τῆς συγκρίσεως καταφανείη παραγωγή, ἄλλη τὶς οὐχ ὑπολέλειπται ζήτησις, ὅσον ἐπὶ τῇ συστάσει τοῦ πρατηρίου ἐγγράφου.

Παρεκβολὴ τῆς ψήφου.

Ἐπείπερ ἄννα, ἡ τοῦ τελευτήσαντος μητροπολίτου νικομηδείας βασιλείου ἀνεψιά, τρίτον μέρος τοῦ οἴκου τοῦ θείου αὐτῆς διεκδικοῦσα, πρότερον μὲν ἀπὸ στεφάνου τοῦ τότε περιόντος ἐπισκόπου καισαρείας, ὕστερον δὲ ἀπὸ τοῦ πρωτοσπαθαρίου μιχαὴλ καὶ ταγματοφύλακος, ὃς τῷ ἐξ ἀδιαθέτου δικαίῳ κληρονόμος τοῦ ἐπισκόπου καθίστατο, δικαστικοὺς ἀγῶνας ὑπέδυ· πρῶτα μὲν παρὰ τῷ προέδρῳ γεωργίῳ καὶ κοιαίστωρι, ἔπειτα δὲ καὶ παρὰ τῷ γαληνίῳ κράτει ἡμῶν· καὶ οἱ τοῦ ἀντιθέτου μέρους αὐτῶν[16] χάρτην πρατήριον ἐμφανίζοντες, διὰ σημειώματος τῆς βασιλείας μου τὸν ἁρμόζοντα ταῖς ἀποδείξεσι χρόνον ἐδέξαντο εἰς βεβαίωσιν οὗ ἐπεφέροντο, καὶ δι᾽ ἀντιγραφῆς τοῦ κράτους ἡμῶν ἄμφω τὰ μέρη πρὸς τὸ δρουγγαρικὸν δικαστήριον παρεπέμφθησαν, ὡς ἂν ἐκεῖσε δοκιμασθείη τὰ τῆς συστάσεως, κἀκεῖθεν διὰ τὰς παρὰ τῶν δικαστῶν ἀναφυείσας ἀμφιβολίας κἀν τῷ προλαβόντι σημειώματι περιεχομένας εἰσαγώγιμα τὰ τῆς ὑποθέσεως ἐγένοντο πάλιν πρὸς τὴν βασιλείαν

[16] Legerim αὐτῆς.

μου, καὶ τότε μὲν πολλῶν λόγων παρ᾽ ἀμφοτέρων τῶν μερῶν ποταμιδὸν εἰσρεόντων καὶ τὸ δικαστήριον κατακτυπούντων, ἐπεὶ μετὰ πολλοὺς τοὺς διαύλους ὁ μὲν τῇ ἄννῃ συνηγορῶν ἔλεγεν, ὡς οὐ πρὸ δεκαπέντε ἡμερῶν τῆς τελευταίας τοῦ τριμηναίου καιροῦ καθὰ τοῖς νόμοις δοκεῖ ἡ παράστασις γέγονεν, ἀλλὰ κατὰ τὴν τελευταίαν, ὅτε πάντως ἐστένωται ὁ καιρός· οἱ δ᾽ αὐτῇ ἀντικαθιστάμενοι, ὅτι καλῶς παρήχθη ἡ σύστασις, καὶ νόμους ἔχειν τοὺς μετὰ τὸ τρίμηνον χορηγοῦντας τὰς ιε' ἡμέρας καὶ τούτους παραγαγεῖν· ὡρίσθη τοὺς νόμους προκομίσαι, καὶ ὑπαναγνῶναι εἰς ἕτερον δικαστήριον, καὶ νομίμως ἃ λέγουσιν εἰσακουσθῆναι· νυνὶ δὲ τῶν νόμων προκομισθέντων, καὶ τοὐναντίον, ἤπερ ἔλεγον οἱ προκομίσαντες, τὸ ἐντὸς τοῦ τριμήνου καὶ τὰς ιε' ἡμέρας ὑπεμφαινόντων, ἐν αἷς ἡ παράστασις τῶν μαρτύρων γίνεται, ἐκ τοῦ τὰς φερίους ἤγουν ἑορτασίμους ἡμέρας καὶ ἀπράκτους ἐντὸς τοῦ καιροῦ τῶν ἀποδείξεων λογίζεσθαι· τάδε προστάττομεν, ὡς εἴπερ οἱ τῷ τῆς ἄννης μέρει ἀντικαθιστάμενοι κατὰ νόμους ἀποδείξαιεν, ὡς ἐμπροθέσμως τὰ τῆς συστάσεως προεκόμισαν καὶ ὅτε δυνατὸν ἦν καὶ τὸ ἀντίθετον μέρος μηνυθῆναι καὶ παραγενέσθαι ἐν τῷ δικαστηρίῳ, οἱ δὲ δικασταὶ τούτου φροντίδα οὐκ ἐποιήσαντο· αὐτοὶ μὲν οἱ ταῦτα ἀποδεικνύοντες κατὰ τῶν δικαστῶν ἕξουσιν, ὡς αὐτῶν μὲν προκομισάντων, ἐκείνων δὲ τῶν ἐνδεχομένων ἀμελησάντων· οἱ δὲ δικασταὶ εἰς τὸ διαφέρον καταδικασθήσονται. εἰ δ᾽ ἴσως τοῦτο δεῖξαι οὐ δυνηθῶσιν, ὡς ἐν καιρῷ στενῷ τὰ τῆς μαρτυρίας παραγαγόντες, αὐτοὶ μὲν ὡς ἀμελήσαντες τοῦ λογομαχεῖν παυθήσονται· τὸ δὲ τῆς ἄννης μέρος δικαιωθήσεται, τῆς συστάσεως, εἴτε κατὰ καιρὸν προέβη εἴτε καὶ μή, παρὰ τοῦ μεγάλου δρουγγαρίου ἀκριβέστερον τηρηθησομένης.

NOV. XXII.

Imp. Alexii Comneni de sacris vasibus in publicum usum non convertendis[1]. (A. 1082.)

Περὶ τῶν ἱερῶν σκευῶν καὶ τοῦ μὴ ἄλλοτέ ποτε ταῦτα κοινωθῆναι.

Οἱ πονήρως τοῦ σώματος ἔχοντες καὶ θεραπείας ἰασίμου δεόμενοι, αὐτὸ μὲν τοῦτο εἰδότες ὅτι κάμνουσι καὶ τῆς νόσου

[1] Hanc in Codd. MSS. equidem non inveni; neque enim reperitur in Cod. Palat. 371, ubi eam extare suspicatus est Witte (Zeitschr. f. gesch. RW. VIII

ἐπαισθανόμενοι, μᾶλλόν εἰσιν ἰάσιμοι τοῖς θεραπευταῖς· οἱ δὲ πρὸς τὸ μέγεθος τῆς νόσου ἀναισθητοῦντες καὶ οὐδ᾽ ὅτι νοσοῦσι γινώσκοντες, ἑαυτοῖς καὶ τοῖς ἰατροῖς παρέχουσι πράγματα. αὐτὸ δὴ τοῦτο κἀν τοῖς ψυχικοῖς ἔστι κατιδεῖν ἀῤῥωστήμασι, καὶ τῶν ἁμαρτανόντων ἡμῶν οἱ μὲν εἰς βάθος κακῶν ἐμπεσόντες καταφρονοῦμεν καὶ τῷ μεγέθει τῶν ἀνομημάτων ὑπερνικώμενοι οὐδ᾽ ὅτι ἁμαρτάνομεν αἰσθανόμεθα, εἰς φύσιν πολλάκις τῆς πονηρᾶς ἕξεως μεταπιπτούσης· οἷς δέ τι θεὸς ἐπιλάμπει σωτήριον φῶς καὶ μὴ πάντη τὸ διανοητικὸν τῇ κάτω ἰλύϊ συγκέχυται, μηδὲ τῇ πλινθείᾳ ὁ νοῦς καθάπαξ δουλεύειν βιάζεται, ἔστι τούτοις καὶ ἀνανεῦσαι τοῦ πτώματος, καὶ θεοῦ πολλάκις κατὰ τὸ ἑκούσιον ὀλισθήσασιν ἐπαναδραμεῖν εἰς ἐκεῖνον ἐθελουσίῳ ἀναζητήσει τοῦ κρείττονος. ὅπερ δὴ κἀν τῇ βασιλείᾳ ἡμῶν συμβέβηκεν ἀτεχνῶς. ἐπεὶ γὰρ αἱ ποικίλαι καὶ πολυμερεῖς τῶν πραγμάτων περιστάσεις, καὶ ἡ πανταχόθεν μὲν τῶν δημοσίων προσόδων ἐκκένωσις, ἁπανταχόθεν δὲ τῶν ἐξόδων ἡ ἀναστόμωσις, τοῦ κράτους ἡμῶν συνέσχον τὴν γαληνότητα, καὶ ἅμα τῷ τῆς βασιλείου ἐπιβῆναι ἀρχῆς κατόπιν εὐθὺς αἱ περιστάσεις ἐπηκολήθησαν, κἀντεῦθεν ὑπ᾽ ἀμηχανίας, καὶ τοῦ μὴ τοῖς συμπεσοῦσιν ἔχειν ὅτι καὶ χρήσαιτο, τῶν ἱερῶν ἔγνω καὶ θείων ἅψασθαι κειμηλίων καὶ τούτοις τὸ τῆς χρείας ἐνδέον παραμυθήσασθαι· τουτὶ μὲν τὸ ἔργον ἐν πολλαῖς τῶν ἁγίων ἐκκλησιῶν διεπράξατο, καὶ πολλὰ τῶν ἀναθημάτων εἰς δημοσίας ἔστρεψε χρείας, οὐχ ὕβρει καὶ περιφρονήσει θεοῦ, οὐδ᾽ ὀλιγωρίᾳ τῶν εὐαγῶς αὐτῷ ἀνατεθέντων (ἀπείη γὰρ τοῦτο πάσης χριστιανικωτάτης ψυχῆς), ἀλλὰ καιροῦ περιστάσει, καὶ λογισμῷ ἁπτομένῳ μέσως[2] τοῦ πράγματος· ᾠήθη γὰρ ἡ καρδία τῆς βασιλείας μου, μηδέν τι ἐντεῦθεν ὀργίζεσθαι τὸν θεόν, ὅπου μὴ πονηρὰ συνείδησις προκατακρίνει τὸν πράττοντα. ἐπεὶ δὲ καὶ εἴ τί που ἐν τοῖς βασιλείοις ὑπόλοιπον ἦν, κατειργάσθη μὲν κἀκεῖνο καὶ ἀνηλώθη, ἐχώρησε δὲ εἰς μηδὲν δέον τὰ

---

p. 212). Edidit autem Leuncl. in JGR. I p. 124, et ex eo Rhallis et Potlis in Coll. can. V p. 281. — Imp. Alexius quum ob urgentes belli necessitates vasibus sacris aliisque *κειμηλίοις* ecclesiarum manus intulisset, a Leone metropolita Chalcedonensi magnopere reprehensus est. Imperator incensus Leonem deponi curavit: „*σημείωμα ἀλεξίου τοῦ κομνηνοῦ ἐπὶ τῇ καθαιρέσει τοῦ χαλκηδόνος ἐκείνου κυροῦ λέοντος*" extat in Cod. Bodl. 205 (et si recte memini, similiter in Coislin. 39 et Paris. 1321). Postea Leo in gratiam rediit: quae res arctissime cohaerere videtur cum Novella, quam hic edimus. Quum vero Novella quidem a. 1082, *σημείωμα* autem illud anno ,ϛφϟδ′ i. e. 1086 editum esse dicatur, sive hanc sive illam temporis notam emendatione indigere crediderim. [2] Forte *ἀμέσως*.

ἀπὸ τῶν ἁγίων περιελθόντα ἐκκλησιῶν, καὶ πᾶσα μὲν ἡ προτέρα βουλὴ ἐπὶ ταῖς περισχούσαις τὴν ῥωμανίαν στενοχωρίαις εἰς τοὐναντίον περιηνέχθη, πολλαχόθεν δὲ τὸ κέρας ὑψώθη τῶν ἐπανισταμένων ἡμῖν, καὶ τὸ τῆς βασιλείας ἤδη σκάφος πεσεῖν ὑποβρύχιον κινδυνεύει, εἰ μὴ ἡ παναλκὴς δύναμις τοῦ θεοῦ οἷς οἶδε κρίμασιν αὐτοῦ ἀντιλήψεται καὶ εἰς αὖραν στήσει τὴν καταιγίδα· ἔδοξε τῇ βασιλείᾳ ἡμῶν ἐπιμελέστερον ἀνιχνεύσασθαι καὶ πολυπραγμονῆσαι, τί δή ποτε ἄρα ἐστὶ τὸ ἐπὶ τοσοῦτον κινῆσαν τὴν ὀργὴν τοῦ θεοῦ καὶ τὸ ἀπότομον τοῦ θυμοῦ αὐτῷ καθ᾽ ἡμῶν παροξῦναν. ἀμέλει καὶ συνεσκέψατο πνευματικοῖς καὶ θείοις ἀνδράσι περὶ τοῦ πράγματος. καὶ ἐπεὶ ἔμαθε παρ᾽ αὐτῶν, οὐ φαῦλον εἶναι παραίτιον τοῦ θείου μηνίματος, ἅψασθαι ὅλως ἡμᾶς τῶν εὐαγῶν καὶ θείων τοῦ θεοῦ κειμηλίων, κἂν μὴ ἀπὸ πονηρᾶς τοῦτο καρδίας πέπρακταί τε καὶ τετελεσιούργηται, ὅτι μηδὲ τὰ θεῖα κοινοῦσθαι τῶν ἐνδεχομένων ὅλως ἐστὶ, μηδὲ τὰ εἰς χεῖρας παρατεθέντα θεοῦ ἐξ ἐκείνων αὖθις ἀνταφαιρεῖσθαι καὶ εἰς ἑτέρας χρείας καταβιβάζεσθαί τε καὶ στρέφεσθαι· δεῖν ἔγνω ἅμα μὲν τὴν μέλλουσαν ὁρμὴν ἀναστεῖλαι τοῦ κακοῦ, ἵνα μηκέτι τὸ ἀπὸ τοῦδε παρὰ χριστιανοῖς βασιλεῦσι πάροδον εὕρῃ ποτὲ, ἅμα δὲ καὶ τὰ προδιελθόντα καθόσον σθένος ἰάσασθαι.

α΄. Οὐκοῦν καὶ ἐξομολογουμένη ἐνώπιον θεοῦ καὶ ἀνθρώπων ἡ βασιλεία μου καὶ τὴν συγχώρησιν ἐν οἷς ἔδρασεν ἀβουλήτως ἐκ μέσης ἀνακαλουμένη ψυχῆς, παρεγγυᾶται καὶ ἐν ἐπηκόῳ θεοῦ κατατίθεται, πάντα τὰ ἀπὸ τῆς αὐτοκρατορίας αὐτῆς καὶ ἄχρι τῆς δεῦρο τῶν ἱερῶν ἐκκλησιῶν ἀφαιρεθέντα καὶ εἰς τὰς τοῦ δημοσίου χρείας στραφέντα ἀποκαταστήσεσθαι αὖθις παρὰ τοῦ κράτους αὐτῆς ταῖς ἐκκλησίαις τοῦ θεοῦ, μετὰ τὴν τῆς κοσμικῆς καταιγίδος κατάπτωσιν καὶ τὴν τῆς βασιλείας εἰς τὸ κρεῖττον ἀποκατάστασιν· ὡς γὰρ ἴδιον χρέος αὐτὰ ἀναδέχεται, καὶ ὀφειλέτης εἶναι ταῖς ἁγίαις ἐκκλησίαις οὐκ ἀπαναίνεται. εἰς δέ γε τὸν ἐσόμενον ἀπὸ τοῦδε χρόνον ἑαυτῇ τε καὶ πᾶσι τοῖς μετ᾽ αὐτὴν χριστιανοῖς βασιλεῦσι διὰ τῆς παρούσης χρυσοβούλλου γραφῆς τὸν ἀπὸ θεοῦ δεσμὸν ἐπιτίθησι, μηκέτι τολμῆσαι ἅψασθαι ἱερῶν, κἂν πᾶσα ἀνάγκη βιάζεται, μὴ χεῖρας ἀνάγνους ἐπαφεῖναι τοῖς ἱεροῖς, μὴ βεβηλῶσαι τὰ θεῖα κειμήλια διὰ τῆς εἰς δημοσίους ἐξόδους τούτων περιαγωγῆς. μέσον δὲ θεοῦ καὶ ἀνθρώπων φραγμοῦ τεθέντος, ὃν οὐ παρελεύσεται εὐσεβὴς, ἄνθρωποι μὲν τοῖς ἡμετέροις χρησόμεθα, θεὸς δὲ τὰ ἀνατεθέντα αὐτῷ ἕξει ἀκίνητα, καὶ πάντολμος χεὶρ τούτων οὐχ ἅψεται. καὶ εἴ τις, δέσποτα καὶ θεὲ, τὸ ἀπὸ τοῦδε χεῖρας τολμήσει ἐπι-

βαλεῖν τοῖς προαφιερωθεῖσιν ἢ καὶ ἐσαῦθις ἀνατεθησομένοις ἱεροῖς καὶ θείοις κειμηλίοις καὶ ἐπίπλοις καὶ σκεύεσι ταῖς ἁγίαις καὶ σεπταῖς ἐκκλησίαις σου, μὴ ἴδοι φῶς ἐν ἡμέρᾳ ἐπισκοπῆς σου, μὴ ἀνατείλοι ἥλιος ἐπ' αὐτὸν πρωϊνὸν, μὴ τύχοι μήτε ἐνταῦθα τῆς σῆς βοηθείας μήτε ἐκεῖθεν τῆς θείας σου ἀντιλήψεως, ἀλλὰ πανταχόθεν ἔσται ἀπερισκόπητός σοι καὶ ἀπεριφρούρητος. μόνον ἵλαθι νῦν, βασιλεῦ, τῇ κληρονομίᾳ σου, στῆσον τὴν καθ' ἡμῶν δικαίαν ὀργήν σου, καὶ ἡμαρτηκόσι καὶ νῦν εἰς σὲ ἐπιστρέφουσι συγγνωμόνησον, ὅτι πᾶσαι αἱ ἁμαρτίαι ἡμῶν τῇ ἀβύσσῳ παραμετρούμεναι τοῦ ἐλέους σου ὡσεὶ κοτύλη φαίνονται ὕδατος πρὸς ὅλον θαλάττης μέγεθος. οὕτως οὖν ἐξομολογοῦμαι ἐνώπιόν σου, δέσποτα, τὸ πλῆθος τῶν ἁμαρτιῶν μου, καὶ οὕτω τὴν σὴν ἐπικαλοῦμαι σωστικωτάτην ἀντίληψιν καὶ ἐκ βαθέων ψυχῆς, ἀφιστάμενος τοῦ εἰσέτι ἅψασθαί τι τῶν ἱερῶν, κἂν πᾶσά με ἀνάγκη πρὸς τοῦτο καλῇ, χρεωστεῖν δὲ καὶ τὰ προαναληφθέντα κατατιθέμενος.

Ἐπὶ τούτοις γὰρ καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐξεθέμην, ἁπάσαις ταῖς ἐκκλησίαις σου ἀσφαλὲς φυλακτήριον, ἵν' ὁ ἀπὸ τοῦδε τολμήσων τῶν ἱερῶν τινὸς κειμηλίων παράψασθαι, ὡς ἄντικρυς ἱερόσυλος παρὰ σοὶ καὶ τοῖς εὐσεβοῦσιν ἀνθρώποις λογίζηται· γεγενημένον κατὰ τὸν αὔγουστον μῆνα τῆς ε' ἰνδικτιῶνος ἐν ἔτει τῷ ,ςφς', ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

NOV. XXIII.

Imp. Alexii Comneni de metropoli Lacedaemoniae[1]. (A. 1082.)

Non extat.

---

[1] Laudatur ad Disposit. thronor. in Coll. can. ed. Rhalli et Potli V p. 482.

NOV. XXIV.
Imp. Alexii Comneni de sponsalibus[1]. (A. 1084.)

Νεαρὰ τοῦ βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ ἡ περὶ μνηστείας ἐκτεθεῖσα κατὰ τὸν ἰούνιον μῆνα τῆς ζ′ ἰνδ. τοῦ ‚ϛφϛβ′ ἔτους[2].

Ἡ μὲν παλαιὰ καὶ πρεσβυτέρα νομοθεσία πόῤῥω τὰ μνηστείας καὶ γάμου ὁρίσματα ἔθετο, καὶ μᾶλλον τούτων τὸ μέσον[3] ἤπερ τὰ μυσῶν καὶ φρυγῶν ἡ παροιμία ἐγνώρισεν. ἡ δ᾽ ἐπὶ τοῦ μακαρίτου πατριάρχου κυρίου ἰωάννου τοῦ ξιφιλίνου ἐκ συνοδικῆς διασκέψεως[4] συντελεσθεῖσα σημείωσις, ἣ καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος κύριος νικηφόρος ὁ βοτανειάτης διὰ χρυσοβούλλου γραφῆς[5] τὸ κῦρος εὑρίσκεται χαριζόμενος, τὰ διεστῶτα χωρὶς ἀλλήλων εἰς ἓν συνάπτουσα φαίνεται. κἀντεῦθεν ὅπερ ἐπὶ τῶν γάμων ὁ συνοδικὸς ἐθέσπισε τόμος[6], τοῦτο ἐπὶ τῆς μνηστείας διαῤῥήδην αὐτὴ ἀποφαίνεται, δύο ἀδελφοὺς ἐξαδέλφαις δύο πρώταις μὴ ἐφιεῖσα[7] μνηστεύεσθαι. καὶ ὁ μὲν πολὺς ἄνθρωπος ἀνεξετάστως τῷ πράγματι ἐπιβάλλων, καὶ βάπτειν ὅλως μὴ ἐξικνούμενος εἰς τὸν νοῦν τῆς συνοδικῆς δια-

---

[1] Extat in variis Codd. MSS., veluti Bodl. 205, Paris. 1351 et 1355; Laur. V, 2 et LXXX, 6; Marc. 173 et App. XI, 30; *τῶν ἰβήρων* 12. Textualiter refertur a Bals. ad Phot. Nom. XIII, 2 ed. Rhalli I p. 284. Laudatur in Ecl. lib. I—X Basil. lib. I tit. 1 („*ἦν παλαιὸς νόμος λέγων τὴν μνηστείαν διαλύεσθαι ἤτοι τὸν παρ᾽ ἡμῶν σήμερον καλούμενον ἀῤῥαβῶνα. ἀλλὰ νέος νόμος τουτέστι νεαρὰ νομοθεσία τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ ἀνήρησε τοῦτον τὸν νόμον, νομοθετήσασα τὸν ἀῤῥαβῶνα τουτέστι τὴν ἐπὶ μνηστείᾳ εὐχὴν ἄλυτον εἶναι καὶ μὴ κατὰ τὸν παλαιὸν νόμον διαλύεσθαι*“) et lib. II tit. 3 (cf. Coll. II Nov. 89 not. 1). Praeterea laudatur in Proch. aucto I, 8 passim; ab Harm. IV, 1, 12 et 7, 14; a Zonara et Bals. ad c. 98 syn. Trull. (ed. Rhalli II p. 539. 540. 542); ab eôdem Bals. ad Phot. Nomoc. XIII, 4 (ed. Rhalli I p. 301) et in Resp. 7 (ed. Rhalli IV p. 453); in Jo. Citri Resp. (ed. Rhalli V p. 419); denique a Blast. *Γ*, 15 (ed. Bev. II p. 76). — Edita est a Bonefid. p. 41, a Leuncl. post Syn. p. 59 et JGR. I p. 126. [2] Ita inscribitur in Paris. 1351 et 1355, nisi quod *ἰούλιον μῆνα* legitur. Laur. LXXX, 6: *Νεαρὰ τοῦ εὐσεβοῦς — περὶ γαμηλίων συναλλαγμάτων*. Similis ut in Paris. 1355 inscriptio est apud Bonefid. et Leuncl.; is solus (in JGR.) mensem Junium indicat: id quod praestat. Cf. enim infra c. 2: „*τοῦ εἰσιέναι μέλλοντος ἰουλίου*“. [3] Leuncl. in marg.: „*παροιμία· χωρὶς τὰ μυσῶν καὶ φρυγῶν ὁρίσματα. ὁ Ναζ.*“ [4] Al. *συνοδικῇ διασκέψει*. [5] Cf. supra Nov. XIII. [6] Al. *ἐξέθετο νόμος* [7] Al. *ἀφιεῖσα*.

γνώσεως[8], ἀσυλλογίστως ἐπλάζετο, ὅ τι ποτὲ κυρίως ἐστὶν ἡ μνηστεία καὶ ὅπως ἔχει μᾶλλον τὸ ἀσφαλὲς διακριβοῦν μὴ δυνάμενος, καί που τάχα τὸ τῆς ἰδίας ἀνεπίσκεπτον διανοίας κατὰ τῆς ἐκκλησιαστικῆς ἐπεγράφετο ἀκριβείας. ἡ δὲ τῆς ἡμετέρας βασιλείας εὐσέβεια ἐπιστατικώτερον ἐπιβαλοῦσα τῇ διασκέψει, καὶ τῇ δοκούσῃ ταύτῃ[9] ἐναντιώσει καλῶς ὡς οἷόν τε καὶ ἀσφαλῶς διαιτήσασα, ἀρίστην τὴν συμφωνίαν διὰ τῆς παρούσης θεσμοθεσίας ἐξεῦρεν[10].

α'. Ἐπεὶ γὰρ ὁ μὲν παλαιὸς νόμος τὴν μνηστείαν ἐν μόνῃ τῇ τῶν συναλλαττόντων γνωρίζει[11] βουλήσει, καὶ πλέον οὐδὲν διαθέσεως[12] καὶ τῶν ἐπὶ ταύτῃ ἀκολουθούντων συμβολαίων καὶ μνήστρων περιεργάζεται· ἡμῖν[13] δὲ θεοῦ χάριτι πρὸς κοσμιωτέραν πολλῷ καὶ ἱερωτέραν ἐπίδοσιν τὰ τοῦ βίου προελήλυθε[14] πράγματα, κἀντεῦθεν οὐχ ὁ γάμος μόνον, ἀλλὰ καὶ αὐτὴ ἡ μνηστεία ἱερὰν εὐλογίαν ἐπιτελουμένην ἔχει παρ' ἑαυτῇ, καὶ ὁ καιρὸς ὡρισμένος διὰ νεαρωτέρου[15] θεσπίσματος τοῦ σοφωτάτου βασιλέως κυρίου Λέοντος[16] ἐπὶ τῇ πρώτῃ τῶν συμβαλλόντων[17] συναρμογῇ[18] ἐξετέθη, ἤγουν ἐπὶ μὲν ἀῤῥένων ὁ πεντεκαιδέκατος τῆς ἡλικίας ἐνιαυτὸς, ἐπὶ δὲ θηλειῶν ὁ τρισκαιδέκατος, ὃν δὴ[19] χρόνον καὶ πρὸς γαμικὴν συναυλίαν τελείαν ὁ παλαιὸς νόμος ἀποχρώντως ἔχειν ἐπέσκηψε· δεῖν ἔγνω διὰ τοῦ παρόντος θεσπίσματος τὸ ἡμέτερον κράτος ἀσφαλῶς ἀποφήνασθαι, ἐκείνας εἶναι κυρίως μνηστείας καὶ ἀτεχνῶς ἰσοδυναμούσας τῷ γάμῳ κατὰ τὴν τῆς συνοδικῆς ἀκριβολογίας διάσκεψιν[20], ὅσαι καὶ τὸν χρόνον, ὃν ἡ τοῦ βασιλέως κυρίου Λέοντος θεσμοθεσία ὡρίσατο, ἀκέραιον ἔσχον παρ' ἑαυταῖς[21] καὶ τὴν ἱερὰν εὐλογίαν ἐπακολουθοῦσαν ἐγνώρισαν, καὶ κατ' ἐκείνων τὴν τοῦ συνοδικοῦ τόμου ὀφείλειν κρατεῖν παρατήρησιν. εἰ γὰρ καὶ θάτερον ἴσως τῶν συμβαλλόντων μερῶν θανάτῳ ἢ περιστάσει τύχης ἑτέρᾳ ἢ γνώμης μεταβολῇ ἀποδιαστῆναι συμβαίη καὶ πρὸς ἑτέραν βίου συγκλήρωσιν μετατάξασθαι, οὐκ ὀλίγον ἐνταῦθα τὸ ἄτοπον ἐπισύρεται, τὰς προεισοδίους τῶν γάμων εὐχὰς ἐπὶ μνηστείᾳ συντελεσθείσας ὥς τι τῶν εἰκαίων καὶ συμπεφορημένων λογίσασθαι, καὶ ἀδιαφόρως ἐκλαβέσθαι τόδε τὸ πρᾶγμα, ὥσπερ ἂν εἰ μὴ θεὸς μέσον[22] τῶν συναπτομένων προσώπων διὰ τῆς μνηστείας

---

[8] Al. ἐκκλησιαστικῆς διασκέψεως. [9] Al. ταύτης. Al. τῇ ἐναντιοφανείᾳ. [10] Al. νομοθεσίας ἐξεύρηκεν. [11] Al. ὁρίζει. [12] Al. συναινέσεως. [13] Verba Leonis ex Coll. II Nov. 89. [14] Al. περιεληλύθασι. [15] Al. νεωτέρου. [16] Cf. Coll. II Nov. 74. [17] Al. ξυμβάντων. [18] Al. προσαγωγῇ. [19] Al. δήπου. [20] Al. ἀκριβείας ἐπίσκεψιν. [21] Al. καθ' ἑαυτάς. [22] Al. μέσος

εἰσήγετο. τούτῳ γὰρ καὶ ὁ μνημονευθεὶς ἀοίδιμος βασιλεὺς εὐεπηβόλως[23] ἀκολουθήσας, τὸν τῆς ἁγίας καὶ καθολικῆς ἕκτης συνόδου κανόνα, ὃς τὴν μεμνηστευμένην ἔτι τοῦ μνηστῆρος ἐν ἀνθρώποις ὄντος πρὸς γαμικὴν ὁμιλίαν ἑτέρῳ συνέρχεσθαι διεκώλυσε[24], μοιχείαν τὸ πρᾶγμα διορισάμενος[25] σαφῶς, πρὸς τὴν ἐμφαινομένην τοῦ παλαιοῦ[26] ἐναντίωσιν νόμου καλῶς συνεβίβασεν. ὅτι[27] καὶ ἡ κατὰ τὴν ἐπὶ τοῖς μνηστῆρσι γεγενημένην εὐλογίαν διάστασις, τοῦτό ἐστι κατὰ τὴν ἐκείνου φωνὴν μνηστείας ἀληθὴς λύσις· εἰ δὲ μνηστεῖαί τινες κατὰ τὴν τοῖς πολλοῖς συνήθη ἀκολουθίαν ἤδη γεγόνασι, καὶ συμβόλαια μὲν ἐξετέθησαν, οὔπω δὲ ὁ τακτὸς ἐπέστη[28] καιρὸς, καθ' ὃν ἡ τοῖς χριστιανοῖς ὀφειλομένη εὐλογία εἴωθε γίνεσθαι, καὶ οὐδ' αἱ συνήθεις ἐπὶ τοῖς μνηστευσαμένοις εὐχαὶ διὰ τοῦ ἱερέως ἐξεφωνήθησαν, ταύτας μνηστείας μὲν ἀληθεῖς, ὅσον κατὰ τὴν ἐκκλησιαστικὴν ἀκριβολογίαν, μηδὲ εἶναι μηδὲ ὀνομάζεσθαι, μήτε μὴν τὴν συνοδικὴν σημείωσιν κατὰ τούτων ἔχειν τὸ ἐνεργὸν, ὡς ἁπλῶς δὲ ἀρεσκείας ἀνθρώπων δι' ἐπερωτήσεων κατησφαλισμένας τὸ ἐνεργὸν ἀποφέρεσθαι καὶ τὴν παλαιὰν ἔχειν νομοθεσίαν ἐπὶ τούτων τὸ πάγιον. τούτῳ γὰρ τῷ τρόπῳ καὶ ὁ πρεσβυγενὴς φυλαχθήσεται νόμος ἀκέραιος, ὃς ἐπὶ τῶν μνηστειῶν τὸ πρῴην ἐξεφωνήθη, καὶ ἡ τῆς συνόδου διάγνωσις ἀθιγὴς καθόλου καὶ ἀνεπιχείρητος συντηρηθήσεται, νοουμένη καὶ ἑρμηνευομένη κατὰ τὴν ἐνταῦθα παρατήρησιν.

β'. Καὶ ἐπεὶ ταῦτα τοῦτον ἡρμηνεύθη τὸν τρόπον, καὶ ἡ διάγνωσις καλῶς (ὡς οἷόν τε) γέγονε καὶ ἀνεπισφαλῶς, καὶ μνηστεῖαι μὲν ἀκριβεῖς τε εἶναι καὶ ἀληθεῖς ἐτυπώθησαν[29], ὅσαι μετὰ τῆς ἱερᾶς εὐλογίας κατὰ τὸν ὡρισμένον δηλονότι καιρὸν τελεσθεῖσαι γνωρίζονται, αἱ δὲ κατὰ τὴν πρεσβυτέραν νομοθεσίαν γινόμεναι ὡς ἀνθρώπων ἀρέσκειαι δι' ἐπερωτήσεων κατησφαλισμέναι τὸ ἐνεργὸν ἔχειν ἐφείθησαν[30], καὶ μόνος ὁ παλαιγενὴς ἐπὶ τούτων νόμος συνεχωρήθη[31] κρατεῖν, ὃς ὡρισμένα τὰ κεκωλυμένα ἐπὶ τὴν ἀποζυγεῖσαν μνηστὴν εἰσέρχεσθαι πρόσωπα διετάξατο· δεῖ τι καὶ νῦν προσθεῖναι τῷ παρόντι θεσπίσματι τῆς χριστιανοῖς πρεπούσης εὐκοσμίας ἐχόμενον. ἐπεὶ γὰρ οὐ

---

[23] Al. ὁ προμνημονευθεὶς ἀείμνηστος βασιλεὺς ἐπιβόλως. [24] Al. ἀπεκώλυσε. — Caeterum intelligitur c. 98 syn. Trull. [25] Legerim διορισάμενον sc. τὸν κανόνα. Al. διορισαμένης scil. τῆς συνόδου. [26] Al. παλαιγενοῦς. [27] ὅτι abundat. [28] Al. ἔπεστι. [29] Al. ἀληθεῖς τε εἶναι καὶ ὀνομάζεσθαι καὶ ἀκριβεῖς ἐτυπώθ. — Bals.: ἐπεὶ δὲ οὕτω ταῦτα, καὶ μνηστεῖαι μὲν ἀληθεῖς ἐτυπώθησαν. [30] Al. ἀφείθησαν. [31] Al. ἀφείθη.

κατὰ τὸν ἀκριβῆ καὶ προσήκοντα λόγον τὰ τῆς παλαιᾶς τε καὶ νέας νομοθεσίας ἐπράττετο, ἀλλ' ὁ μὲν πολὺς ὄχλος τῇ πρεσβυτέρᾳ[32] τῶν νόμων αὐθεντίᾳ ἑπόμενος[33] μετὰ τὸν ἑπταετῆ χρόνον τελεσιουργῶν ἀνυποστόλως τὰ τῆς[34] μνηστείας ἐτύγχανε, καὶ ἀδεῶς ἐπὶ τὰς μνηστευομένας εἰσήρχοντο ἕκαστοι[35] τῇ συνεχεῖ συνηθείᾳ καὶ τῷ ἐλευθέρῳ τῆς ὁμιλίας[36] τὸ τοῦ ἔρωτος φλεγμαῖνον προσανακαίοντες, ἡ δὲ ἱερωτέρα κατάστασις[37] τῇ νεαρωτέρᾳ[38] τοῦ βασιλέως ἀκολουθοῦσα διαταγῇ διαστολὴν μὲν μνηστείας καὶ γάμου ἐτίθετο, τὰς ἐπὶ τοῖς μνήστροις εὐχὰς πρῶτον καὶ οὕτω τὰς ἐπὶ τῷ γάμῳ τοῖς συναπτομένοις ἐπᾴδουσα[39], ταῦτα δὲ ἡνωμένως ἅμα καὶ κατὰ ταὐτὸν ἐτελεῖτο, καὶ μνηστεία καὶ γάμος ἑνὶ διαστήματι χρόνου περιεγράφετο[40] ἀκαριαίου τινὸς ἐν τῷ μεταξὺ συνεμπίπτοντος· διορθουμένη τοῦτο[41] ὡς ἀβασανίστως γινόμενον ἡ ἡμετέρα εὐσέβεια θεσπίζει διὰ τοῦ παρόντος γενικοῦ διατάγματος, τὰ μὲν κατὰ τὸν ἑπταετῆ τῶν συμβαλλόντων χρόνον καὶ εἰς τὸ ἑξῆς ἄχρι τοῦ ιδ΄ ἢ τοῦ ιβ΄ τῆς ἡλικίας ἐνιαυτοῦ γινόμενα ὡς ἐν τύπῳ μνηστείας συμβόλαια μηδὲ τάξιν ὅλως μνηστείας ἐννόμου καὶ ἀσφαλοῦς ἀποφέρεσθαι, ἀλλ' ὡς ἐπερωτήσεις μόνον ἠσφαλισμένας κρίνεσθαί τε καὶ ἐνεργεῖν κατὰ τὴν φύσιν τῶν ἄλλων συναλλαγμάτων, καὶ οὕτως αὐτὰ παρὰ πᾶσι τοῖς ὑφ' ἡμᾶς πολιτεύεσθαι· τοῦ παλαιοῦ νόμου, ὃς ἐπὶ τῶν μνηστειῶν ἐξεφωνήθη, τὸ ἐνεργὸν εἰς τὰ κεκωλυμένα ἐπὶ τὴν ἀποζευχθεῖσαν μνηστὴν εἰσέρχεσθαι ἔχειν ὀφείλοντος τὸ τέλειον[42] διὰ τὸ περιούσιον τῆς παρὰ τοῖς χριστιανοῖς πρεπούσης ἐμπολιτεύεσθαι καταστάσεως. εἰ γὰρ καὶ μὴ μνηστεία ἐστὶ κατὰ τὸ ἀκριβὲς ἐντελὴς τὸ γινόμενον, ἀλλ' ὅτι σκοπὸν μνηστείας ἔχειν δοκεῖ τὸ πραττόμενον, καὶ θεμέλιος γάμου ἐντεῦθεν προκαταβάλλεσθαι ἄρχεται, πολὺ ἂν εἴη τὸ εὔλογον, τὰ κεκωλυμένα τῷ νόμῳ πρόσωπα καὶ αὖθις ἔχειν τὸ κώλυμα, καὶ μηδένα θαῤῥεῖν νεανιεύεσθαι ἀναιδῶς, ὡς εἰς γυναῖκα λαμβάνειν ἀποτολμᾶν, ἣν ὁ παλαιὸς νόμος μνηστήν τινος γενομένην οὐκ ἐφῆκεν[43] ἑτέρῳ λυομένων τῶν μνήστρων κατὰ γάμον συνέρχεσθαι. ἱκνουμένου μέντοι τοῦ χρόνου, ὃν εἰς μνηστείαν ἅμα καὶ γάμον ἁρμόδιον εἶναι γνωρίζομεν (ἤγουν τῆς μὲν θηλείας τὸν δωδεκαετῆ ὅλον χρόνον διαδραμούσης[44], τοῦ

---

[32] Al. τῇ παλαιᾷ καὶ πρεσβ. [33] Al. τῆς πρεσβυτέρας — αὐθεντίας ἐχόμενος. [34] Al. τάς. [35] Al. ἕκαστος. [36] Al. τῇ συνεχεῖ θέᾳ καὶ τῷ ἐλευθερίῳ τῆς εἰς ὁμιλίαν συνόδου. [37] Al. μερίς. [38] Al. νεαρᾷ, al. νεωτέρᾳ. [39] Al. ἐπάγουσα. [40] Al. διαστήματι κατεπράττετο. [41] Al. τουτί. [42] Al. τέλεον. [43] Al. ἀφῆκεν. [44] Al. διατρεχούσης.

δὲ ἄῤῥενος τὸν τεσσαρεσκαιδέκατον ὑπερβαίνοντος), τηνικαῦτα τὴν μνηστείαν πρώτως μετὰ τῆς ἱερᾶς τῶν εὐχῶν ἐπῳδῆς ἐκτελεῖσθαι καὶ τῶν συνήθων ταύτῃ παρατηρήσεων, ἤγουν τοῦ ἀῤῥαβῶνος καὶ τοῦ φιλίου τοῖς μνηστῆρσι φιλήματος· καὶ οὕτω βραχέος ἢ πλείονος καιροῦ διαλείποντος, καθὼς ἂν δόξῃ τοῖς συναλλάττουσιν, ἀπαραιτήτως[45] *καὶ τὸν ἔννομον γάμον προβαίνειν, καὶ μὴ κατὰ ταὐτὸν συμπίπτειν*[46] *ἐν ἡμέρᾳ ἢ καὶ ὥρᾳ πολλάκις μιᾷ πραγμάτων διῃρημένων ἐκ πλείονος ἀποτέλεσμα. οὕτω γὰρ τῆς ἀκολουθίας προβαινούσης ἐν γάμοις ὅ τε παλαιὸς φυλαχθήσεται νόμος, ὃς κεκωλυμένων προσώπων ἀπαρίθμησιν ἐποιήσατο, μὴ ἐφιεὶς*[47] *ταῦτα εἰς τὴν ἀποζευχθεῖσαν μνηστὴν τοῦ ἐγγίζοντος προσώπου εἰσέρχεσθαι· καὶ τὸ νεαρὸν τοῦ φιλοσοφωτάτου βασιλέως διάταγμα κοσμίως ἐν ἅπασι δόξει κρατοῦν καὶ πολιτευόμενον· καὶ τὰ συμβάλλοντα πρόσωπα τῶν ἀώρων καὶ ἀπρεπῶν κωλυόμενα*[48] *συνελεύσεων, ἁγνεύουσαν ποιήσονται τὴν ἀναστροφὴν ἐν εὐθέτῳ καιρῷ μεθ᾽ ἱερᾶς ἐπικλήσεως εἰς ἄλληλα συνερχόμενα, ὁπηνίκα δέοι μνηστείαν καὶ γάμον αὐτοῖς καταρτίζεσθαι.*

γ΄. Καὶ εἴ τις παρὰ τὰ διηγορευμένα τῇ παρούσῃ τοῦ κράτους ἡμῶν διατάξει μνηστείαν τολμήσειε διαπράξασθαι, καὶ μὴ ταύτῃ τῇ γενικῶς καὶ κατὰ πάντων ἐκφωνηθείσῃ καὶ εἰς τὸ ἑξῆς ὀφειλούσῃ κρατεῖν φανείη ἑπόμενος ἀπ᾽ αὐτῆς τῆς πρώτης ἡμέρας τοῦ εἰσιέναι μέλλοντος ἰουλίου μηνὸς τῆς ἐνεστώσης ζ΄ ἐπινεμήσεως τοῦ ͵ςφςβ΄ ἔτους, καὶ ἀῤῥαβῶνας πρὸ τοῦ νενομισμένου καιροῦ καὶ τῆς ἱερᾶς εὐλογίας τολμήσειε διαπράξασθαι, ἢ καὶ εἰς θέαν ἀλλήλοις ἐφήσει τὰ συναλλάττοντα συνέρχεσθαι πρόσωπα καὶ ἀδιαφορίαν ἔχειν ἐν ἑαυτοῖς· ὁ μὲν συμβολαιογράφος ὁ τὸ ἀῤῥαβωνικὸν συμβόλαιον ἐκτιθέμενος τῆς ἰδίας στατίωνος[49] *μετακινηθήσεται, οἱ δὲ τὴν μνηστείαν πρὸ ὥρας κατεργαζόμενοι ἀνθρωπίνῳ καὶ θείῳ ἴστωσαν ἑαυτοὺς ἐνοχοποιοῦντες μηνίματι. ὁ μὲν γὰρ δημόσιος διὰ τοῦ σεκρέτου τῶν οἰκειακῶν τὸ τοῖς συμβολαίοις ἐγκείμενον ἐξ ἐπερωτήσεως πρόστιμον ἀφ᾽ ἑκάστου αὐτῶν εἰσπράξεται κατὰ τὸ ὁλόκληρον διὰ τὴν τοῦ παρόντος διατάγματος περιφρόνησιν· πιστεύομεν δὲ καὶ αὐτὸν τὸν θεὸν κατὰ τούτων διαναστήσεσθαι, ὅτι πορνείαν κατὰ προαίρεσιν ἄντικρυς ἐπὶ μέσον*[50] *τῶν νέων εἰσαγαγεῖν οὐκ ἐνάρκησαν. εἰ μὲν γὰρ ὁ παλαιὸς νόμος κατήρ-*

---

[45] Al. *ἀπαρατηρήτως.* [46] Al. *συνεμπίπτειν*, al. *συμβαίνειν.* [47] Al. *ἀφιείς.* [48] Al. *τὰ μὴ συμβ.* [49] Al. *στρατίωνος.* [50] Al. *μέσων.*

γηται καὶ μνηστείαν τελείαν οὐ δύνανται διαπράξασθαι[51], τὰ δὲ τῆς νεωτέρας νομοθεσίας εἰς ἔργον ἐξάγειν οἱ[52] συναλλάττοντες ἀπαναίνονται, τί ἄλλο ποιοῦσιν, ἢ ἀνθρώπους οὐδὲν ἀλλήλοις κατὰ νόμον προσήκοντας ἑαυτοῖς συγχωροῦσι παρὰ τὸν νόμον συμφθείρεσθαι, ἔρωτας ἀσελγεῖς ταῖς τῶν νέων ψυχαῖς διὰ τῆς ἀνιέρου κατεργαζόμενοι συναναστροφῆς;

NOV. XXV.

Imp. Alexii Comneni
de metropoli Attalensi[1]. (A. 1084.)

Non extat.

NOV. XXVI.

Imp. Alexii Comneni
de productione testium post lapsum XXX dierum[1]. (A. 1085.)

Ἡ ἐξενεχθεῖσα λύσις ἐν τάξει νεαρᾶς περὶ τῶν μαρτύρων παρὰ τοῦ βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ, ἀμφιβολίας ἐμπεσούσης παρὰ τῷ τοῦ ἱπποδρόμου δικαστῇ[2], εἰ δεῖ μετὰ τὸ παραχθῆναι ἀδοκίμους μάρτυρας καὶ αὐτῷ τῷ δικαστῇ ἀδέκτους, καὶ ἐν τῷ μεταξὺ παραδραμεῖν τὴν τριακονθήμερον, δοθῆναι καὶ ἑτέραν προθεσμίαν εἰς παραγωγὴν μαρτύρων ἢ μή;

Περὶ τοῦ τὰς ἐνυποστάτους μαρτυρίας εἶναι δεκτάς.

Οἱ θεῖοι νόμοι ἐκείνας ἡγοῦνται μαρτυρίας εἶναι νομίμους τὰς ἐνυποστάτους καὶ καθ' ὧν δύνανται τεθῆναι διαβολαὶ καὶ ἀντιπαραστάσεις, τὰς δὲ μὴ τοιαύτας ἀνυποστάτους λογίζονται·

---

[51] Al. καταπρ. [52] Al. ἐξαγαγεῖν.

[1] Laudatur ad Disposit. thronorum in Coll. can. ed. Rhalli et Potli V p. 481.

[1] Extat in Cod. Marc. 173 et Bonon. B, IV, 67. Primus edidi in Delin. hist. JGR. p. 131 ex Cod. Bon. — In Cod. Bon. ἰνδ. β' data esse dicitur, i. e. a. 1094 vel 1104: in Cod. autem Marc. 173 anno 1085 tribuitur. (Cf. Witte Zeitschr. f. gesch. RW. VIII p. 224.) Cod. Marc. sequor, quoniam argumentum hujus Novellae cum Nov. XXI de anno 1082 quodammodo cohaeret, ut controversiam, de qua tractat, paulo post illam in judicio Hippodromi incidisse probabile sit. [2] Forte δικαστηρίῳ.

τοιαῦται δὲ καὶ αἱ τοῦ ἀδοκίμου[3] μηδ᾽ αὐτῷ τῷ δικαστηρίῳ δόξασαι ἀρεσταί. τοῦ νομίμου οὖν χρόνου διεῤῥυηκότος μὴ δεδωκὼς ἑτέραν παραγωγὴν ἢ χρόνον καλῶς διεπράξω. οὐκοῦν καὶ ἡ ἡμετέρα γαληνότης τῇ τοιαύτῃ ἀρεσθεῖσα πράξει διορίζεται, μηδὲ μαρτυρίαν λογίζεσθαι τὴν τῷ δικαστηρίῳ φανεῖσαν ἀδόκιμον. ὁπηνίκα δὲ ἐντὸς τοῦ νενομισμένου χρόνου σταθηρὰ εἰσενεχθῇ μαρτυρία, διαβολῇ δὲ ἢ ἀντιπαραστάσει σαλευθῇ, οὐδὲν ἐμποδίσει τῷ οὕτως παραγαγόντι καὶ δευτέρᾳ καὶ τρίτῃ, εἰ μὴ αἱ φωναὶ ἐξελήφθησαν, χρήσασθαι μαρτυρίᾳ, ὅρκον δὲ παρέχοντι καὶ τετάρτῃ, ἐφ᾽ ἑκάστῃ τοῦ χρόνου νομίμου διδομένου. καὶ οὕτως ἔσται πραττόμενον ἐν τοῖς δικαστηρίοις εἰς τὸ ἑξῆς, τῆς παρούσης εὐσεβοῦς ἀντιγραφῆς οὐ τῷ κατὰ σὲ δικαστηρίῳ μόνον ἀλλὰ κἂν τοῖς ἄλλοις ἐγχαρασσομένης. ἴστω δὲ πᾶς παραγαγεῖν μαρτυρίαν[4] κελευόμενος, ὡς εἰ μὴ ἐντὸς τοῦ νομίμου χρόνου δεκτοὺς αὐτοὺς τῷ δικαστηρίῳ παρενέγκοι, ἑτέρας παραγωγῆς ἢ χρόνου οὐ τεύξεται. μεγίστη γὰρ ἀδικία καὶ βλάβη ἐπιγίνεται τῷ αἰτιαθέντι μέρει τῶν δοκούντων μαρτύρων, μὴ ὄντων δὲ, ὡς ὄντων λογιζομένων, καὶ ἀφορμὴ τῷ παραγαγόντι δίδοται πρὸς τὸ ἐπίτηδες διὰ ψευδῶν παραγωγῶν χρόνον τε εἰς ὑπέρθεσιν λαμβάνειν καὶ παρέλκειν καὶ συντρίβειν ταῖς προθεσμίαις τὸν ἀντικαθιστάμενον.

Τὸ δὲ μηνὶ ..... ἐπινεμήσεως η΄[5] δι᾽ ἐρυθρῶν γραμμάτων τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως.

NOV. XXVII.

Imp. Alexii Comneni

de canonico et de consuetudinibus pro ordinatione et benedictione matrimonii praestandis et de aërico et spiritualibus omnibus[1].

(A. 1086.)

Ἀλεξίου τοῦ κομνηνοῦ περὶ τοῦ κανονικοῦ καὶ τῶν διδομένων συνηθειῶν ὑπὲρ χειροτονίας καὶ ἱερολογίας

---

[3] Legerim τῶν ἀδοκίμων sc. μαρτύρων, aut ἀδόκιμοι. [4] Lege μάρτυρας.
[5] Cod. Bon. β΄. Literae β΄ et η΄ saepe in Codd. miscentur.

[1] Edidit Leuncl. JGR. I p. 123, et ex eo Rhallis et Potlis in Coll. can. V p. 280. In Codd. MSS. non reperi: nam Pal. 371 et Vind. theol. gr. 253, quos excitant Witte Zeitschr. f. gesch. RW. VIII p. 212 et Mortreuil III p. 151, nihil ejusmodi continent. — Caeterum laudatur hoc Typicum a Patr. Nicolao (Coll. can. ed. Rhalli

γάμου καὶ περὶ τοῦ ἀερικοῦ καὶ πάντων τῶν ψυχικῶν χρυσόβουλλον τυπικὸν ἐκτεθειμένον κατὰ μῆνα σεπτέμβριον τῆς θ' ἐπινεμήσεως[2].

α'. Ὁ κατὰ καιροὺς θεοφιλὴς ἑκάστης χώρας ἐπίσκοπος ἐκεῖνα λήψεται ὑπὲρ κανονικοῦ αὐτοῦ ἀπὸ τῶν ἐντοπίων αὐτοῦ τὰ ῥητῶς ἐν τῷ χρυσοβούλλῳ τυπικῷ τοῦ μακαρίτου θείου τῆς βασιλείας μου[3] διειλημμένα, ἅπαξ τοῦ ἐνιαυτοῦ· ἤγουν ἀπὸ μὲν τῆς χώρας τῆς ἐχούσης καπνοὺς λ' νόμισμα ἓν χρυσοῦν τῆς προτιμωμένης χαραγῆς τῆς βασιλείας μου, ἀργυρᾶ β', κριὸν ἕνα, κριθαρίου μόδια ς', οἴνου μέτρα ς', ἀλεύρας μόδια ἕξ, καὶ ὀρνίθια λ'· ἀπὸ δὲ τοῦ ἔχοντος κ' καπνοὺς τὸ δίμοιρον τοῦ νομίσματος καὶ τῶν β' ἀργυρῶν, ἀργυρᾶ ι'[4]· μέσαρνον ἕν, κριθαρίου μόδια δ', οἴνου μέτρα δ', ἀλεύρας μόδια δ', καὶ ὀρνίθια κ'· ἀπὸ δὲ τοῦ ἔχοντος δέκα καπνοὺς χωρίου, ἀργυρᾶ ε', ἀρνίον ἕν, κριθαρίου μόδια β', οἴνου μέτρα β', ἀλεύρου μόδια β', καὶ ὀρνίθια ι'.

β'. Καὶ ἐπὶ τῶν χειροτονιῶν δὲ τῶν ἱερέων ὁ παλαιὸς ἐνεργήσει τύπος, καθὼς τὸ αὐτὸ διέξεισι τυπικὸν χρυσόβουλλον, καὶ ὁ κατὰ χώραν ἐπίσκοπος τὰ ἑπτὰ μόνον ὁμοίως λήψεται χρυσᾶ· ἓν μέν, ὅτε ποιεῖ τοῦτον λιτὸν παπᾶν ἤτοι ἀναγνώστην· τρία δέ, ὅτε χειροτονεῖ τοῦτον διάκονον· καὶ ἕτερα τρία, ὅτε τελειοῖ τοῦτον ἱερέα.

γ'. Καὶ κατὰ τὸ τυπικὸν τοῦ μακαρίτου βασιλέως τοῦ μονομάχου[5] διορίζεται ἡ βασιλεία μου, ἵνα ὅταν τινὲς τῶν ὑπὸ τὴν ἐνορίαν τῶν κατὰ χώραν ἐπισκόπων νόμῳ γάμου νομίμοις γυναιξὶ συνάπτωνται, ἀναλαμβάνεται ὁ ἐπίσκοπος ἐξ αὐτῶν, ἀπὸ μὲν τοῦ γαμβροῦ νόμισμα ἓν χρυσοῦν, ἀπὸ δὲ τῆς νύμφης πανίον πήχεις ιβ', καθὼς ἄρα καὶ ἐκ παλαιοῦ τετύπωται.

δ'. Ἀλλὰ καὶ περὶ τοῦ ἀερικοῦ, εἰ μὲν γένηται πταῖσμα παρὰ δύο ἱερωμένων ἢ κληρικοπαροίκων, ἵνα κανονίζωνται καὶ

V p. 60), et in Tipucito (Basil. ed. Heimb. II p. XV et V p. 225 not. u), nisi is aliud Typicum ejusdem Imperatoris intellexerit. In Tipucito enim sic est: „καὶ περὶ τοῦ μὴ αὐξάνεσθαι τὰ στεγονόμια τῶν ἐργαστηρίων καὶ τῆς ἐπὶ τούτου ποινῆς· τὸ αὐτὸ ἔφη καὶ ἀλέξιος βασιλεὺς ὁ κομνηνὸς ἐν τῷ τυπικῷ αὐτοῦ.“

[2] i. e. anno 1086 vel 1101. (Annus 1116 propterea indicari non potest, quia hoc Typicum a Patr. Nicolao Grammatico, qui a. 1111 obiit, comprobatum fuit.) Equidem anno 1086 vindicaverim; clerus nimirum, simulatque novus imperator regnum occupasset, privilegiorum suorum confirmationem ab imperatore fieri sedulo curabat.

[3] i. e. Isaacii Comneni. Videsis Nov. I supra.

[4] Lege ἀργυροῦν α' ι'. Vide not. 8 ad Nov. I.

[5] Cf. Coll. III Nov. 32.

σωφρονίζωνται παρὰ τοῦ ἀρχιεπισκόπου αὐτῶν ἢ τοῦ ἐπισκόπου κατὰ τὸν ἱερὸν κανόνα, ἢ χρήματα ἀπαιτῶνται ἢ καὶ κολάζωνται. εἰ δὲ τὸ ἓν μέρος τῶν κοσμικῶν ἐστιν, ἵνα κρίνωνται παρ᾽ ἀμφοτέρων, τοῦ τε ἀρχιερέως καὶ τοῦ κατὰ χώραν πράκτωρος· καὶ εἰ μὲν τὸ πταῖσμα παρὰ τοῦ ἱερέως εὑρίσκεται, ἵνα ἀποστέλληται παρὰ τοῦ πράκτωρος εἰς τὸν ἀρχιερέα, καὶ παρ᾽ ἐκείνου ἵνα κανονίζηται καὶ σωφρονίζηται· εἰ δὲ ἐκ τοῦ κοσμικοῦ γένηται, ἵνα σωφρονίζηται καὶ ἀπαιτῆται παρὰ τοῦ κατὰ χώραν πράκτωρος. τὰ μέντοι ψυχικὰ ἅπαντα, καὶ αὐτὰ δὴ τὰ συνοικέσια, παρὰ τῶν ἀρχιεπισκόπων καὶ ἐπισκόπων ὀφείλουσι κρίνεσθαί τε καὶ ἐκβιβάζεσθαι.

NOV. XXVIII.

Imp. Alexii Comneni

aurea bulla magnae ecclesiae concessa de variis capitibus et ut episcopatus, qui archiepiscopatus vel metropoleos dignitate condecorati sint, intacti maneant[1]. (Inter 1081—1087.)

Ὅσαι δὲ ἀρχῆθεν ἐπισκοπαὶ εἰς ὕψος ἀνήχθησαν ἤδη μητροπόλεων ἢ καὶ ἐπισκοπαὶ εἰς ἀρχιεπισκοπῶν ἢ μητροπόλεων ἀξίωμα ἀνεβιβάσθησαν, ἔσονται καὶ αὗται ἐπὶ τῆς αὐτῆς ἀξίας ἑστῶσαι καὶ βάσεως, καὶ οὐδεὶς ταύτας ὑποβιβάσει, τὸ ἀμετακίνητον καὶ πάλιν ὀφειλούσας κεκτῆσθαι ὥσπερ δὴ καὶ τετύπωται καὶ γεγόνασιν· εἰ μήπου χρονικὸν ἴσως καὶ προσώποις περίγραπτον τὸ τοιοῦτον δεδώρηται φιλοτίμημα παρά τινος βασιλέως.

---

[1] Laudatur in Epistola Nicolai P. ad imp. Alexium in Coll. can. ed. Rhalli et Potli V p. 64: *εἰς μέσον προετέθη χρυσόβουλλον προσκυνητὸν τοῦ θειοτάτου κράτους σου τῇ μεγάλῃ φιλοτιμηθὲν ἐκκλησίᾳ ἐπί τισι μὲν καὶ ἄλλοις κεφαλαίοις διαφόροις, περιέχον δὲ καὶ περὶ τῆς ζητουμένης ταύτης [ὑποθέσεως] πρὸς ἔπος ταῦτα· „Ὅσαι — βασιλέως."* Ordo, quo Patriarcha hujus chrysobulli mentionem facit, demonstrat, id initio imperii et quidem ante Nov. XXIX editum esse.

NOV. XXIX.

Imp. Alexii Comneni de episcopis in altiorem thronum promotis[1]. (A. 1087.)

Ἐπεὶ δὲ οἱ ἀρχιερεῖς καὶ αὖθις τὸν τῆς ἐν χαλκηδόνι συνόδου κανόνα φέροντες τοὺς ἐκ προσελεύσεως τοῦ ὑψηλοτέρου

---

[1] Eustratio thronum oecumenicum occupante (1081—1084) controversia inter magnam Dei ecclesiam et metropolitam potissimum Ancyranum de creando episcopo Basileensi exorsa est. Controversiam diremit „σημείωμα“, ut scribit P. Nicolaus (1084—1111) ad Imp. Alexium Comnenum, „τοῦ θεοπροβλήτου κράτους σου, μεταξὺ δικάσαντος τοῦ τε ῥηθέντος θεοφιλοῦς μητροπολίτου ἀγκύρας καὶ τοῦ εὐλαβεστάτου χαρτοφύλακος καί τινων τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας ἐκ προστάξεως τοῦ πρὸ ἡμῶν τὰ τῆς ἐκκλησίας οἰακίζοντος ἐκπεμφθέντων περὶ τῆς προκειμένης ὑποθέσεως, δικαιοῦν τὴν μεγάλην ἐκκλησίαν.“ Postea tamen metropolita Ancyranus ab Imperatore petiit, ut retractaretur causa, ad quam petitionem Imperator „θείαν ἐπίλυσιν διὰ σφραγῖδος ἐκ κηροῦ καὶ φοινικῶν αὐτοχείρων γραμμάτων τὸ ἀξιόπιστον κεκτημένην“ dedit hujusmodi: „Ὁ ἁγιώτατός μου δεσπότης καὶ οἰκουμενικὸς πατριάρχης, ἅμα τῇ ἐνδημούσῃ ἱερᾷ συνόδῳ, πρὸς δὲ καὶ τοῖς συγκλητικοῖς ἄρχουσιν οὓς ἐζήτησας, ἵνα ἀκροάσηται τῆς τοιαύτης ὑποθέσεως καὶ πέρας ἐπιθήσῃ ταύτῃ νόμῳ καὶ τοῖς κανόσι συνᾷδον, μὴ κωλυόμενος ἀπὸ τοῦ προγεγονότος σημειώματος τῇ βασιλείᾳ μου· μετὰ δὲ τὸ ταύτην τὴν ὑπόθεσιν ζητηθῆναι γράψῃ καὶ τῇ βασιλείᾳ μου, καὶ παρὰ ταύτης τὸ δέον οἰκονομηθήσεται. μηνὶ αὐγούστῳ ἐπινεμήσεως ζ΄.“ Accepto hoc rescripto et causa cognita Patriarcha Nicolaus ad Imperatorem retulit: epistola ejus (edita in Leuncl. JGR. I p. 271 et in Rhalli et Potli Coll. can. V p. 62) σημείωμα illud olim ab Imperatore pronuntiatum impugnat („εἰ γὰρ καὶ τὸ σημείωμα τῆς ἐκ θεοῦ βασιλείας σου τεχνικῶς καὶ ῥητορικῶς κατεσκεύασται καὶ πιθανὸν δοκεῖ τοῖς πολλοῖς, ἀλλ' οὔπω καὶ δυνατὸν νόμους ἀνελεῖν καὶ κανόνας καὶ τὴν ἀλήθειαν κατασεῖσαι“), et nova sanctione opus esse censet. Imperator autem huic consilio non videtur obtemperasse: nam σημείωμα Imp. Alexii, quod quasi adhuc obtineat laudant Bals. ad c. 38 syn. Trull. (ed. Rhalli II p. 393) et Blast. *E*, 21 (ed. Bev. II p. 126), idem esse, si argumentum spectes, videtur atque illud, de quo P. Nicolaus retulerat. Quod si verum est, rescriptum supra editum anno 1099 ind. VII vindicandum erit, quum σημείωμα illud a Balsamone dicatur anno 1087 ind. X editum esse. — Balsamon l. l. particulam ejus σημειώματος textualiter exhibet, quam Bonefid. p. 64 et Leuncl. in JGR. I p. 130 ediderunt: eandem nos hic damus. Caeterum praefatur Balsamon: „Τέως δὲ ὀφείλεις εἰδέναι, ὅτι κατὰ τὸν μάϊον μῆνα τῆς ι΄ ἐπινεμήσεως τοῦ ͵ϛφϛε΄ ἔτους γέγονε σημείωμα παρὰ τοῦ ἀοιδίμου βασιλέως κυρίου ἀλεξίου τοῦ κομνηνοῦ, διαλαμβάνον ὡς τῆς μητροπόλεως τοῦ βασιλείου καὶ τῆς μητροπόλεως μαδύτων χηρευουσῶν καὶ μελλουσῶν ψηφισθῆναι, διανέστησαν οἱ μητροπολῖται, ὁ ἡρακλείας καὶ ὁ ἀγκύρας, καὶ εἶπον μὴ ὀφείλειν τὰς τοιαύτας ἐκκλησίας, κἂν ἐτιμήθησαν τῷ τῆς μητροπόλεως ἀξιώματι, παρὰ τοῦ μέρους τῆς μεγάλης ἐκκλησίας ψηφισθῆναι, ἀλλὰ παρ' αὐτῶν, διὰ τὸ τὴν μὲν ἐκκλησίαν τῶν μαδύτων ἐπισκοπὴν εἶναι τοῦ ἡρακλείας, τὴν δὲ ἐκκλησίαν τοῦ βασιλείου

ἀξιουμένους θρόνου παρὰ κανόνας ἔλεγον τῆς τελεωτέρας τυγχάνειν τιμῆς, καὶ ἤθελον ταῖς ἀλογίστοις ὁρμαῖς ἐπιτεθῆναι κώλυμα, καὶ ἦσαν κανονικὴν προσφέροντες ἀξίωσιν· ἡ βασιλεία μου, τὸ παρὰ τῶν θείων κανόνων δεδομένον ταύτῃ προνόμιον παρορᾶσθαι μὴ θέλουσα, καὶ τὰς ἐπὶ προκλήσει τιμῆς προσελεύσεις τῶν ἀρχιερέων ὡς μὴ κανονικὰς μηδ' ἐννόμους τὸ τῆς ἐφέσεως ἀποτέλεσμα μὴ λαμβάνειν ἐθέλουσα, εὐδοκεῖ μὴ ἄλλως ἐπισκοπὴν εἰς προβαθμιώτερον θρόνον ἀνάγεσθαι, ἀρχιεπισκοπῆς δηλονότι ἢ μητροπόλεως, εἰ μὴ ὁ κατὰ καιροὺς βασιλεὺς οἴκοθεν ὁρμηθεὶς, χάριτος ἀνθρωπίνης μὴ μεσολαβούσης οὐκ εὐπρεποῦς, βουληθείη ταύτῃ τὸ ἐπαναβεβηκὸς ἀξίωμα παρασχεῖν, ἢ τιμῇ τῆς πόλεως ἢ πίστει τῇ πρὸς τὴν εὐαγῆ ἐκκλησίαν ἢ τοῦ προεστῶτος αὐτῆς τὴν ἀρετὴν σεβασθεὶς, κἀντεῦθεν αὐθόρμητος γεγονὼς πρὸς τὸ χαρίσασθαι τὴν τιμήν. καὶ τῷ γε δι' ἀνθρωπίνην προσπάθειαν καὶ τρόπον οὐκ ἐπαινούμενον τὸ ὑπερβεβηκὸς χαριζομένῳ τῆς τάξεως τὸ ἀπὸ τῶν θείων κανόνων δέος ἐπανατείνεται· οἷς ἵνα μὴ περιπέσοι πολλάκις ὁ βασιλεὺς, ἐφίησι καὶ τοῦτο τῷ κατὰ καιροὺς ἁγιωτάτῳ πατριάρχῃ, μὴ ἄλλως καταστρωννύειν τὸ παρ' οἱουδήτινος προκομιζόμενον πιττάκιον χάριν προεδρίας τῆς οἱασοῦν ἐκκλησίας, μηδὲ τὸν προεστῶτα αὐτῆς τοῖς ἀρχιεπισκόποις ἢ τοῖς μητροπολίταις συγκαταλέγεσθαι, εἰ μὴ ὁ πατριάρχης περὶ τούτου ἀνενεγκὼν τῇ βασιλικῇ ἐξουσίᾳ καὶ τὰ περὶ τῶν θείων κανόνων ἀναδιδάξας μάθῃ, ὡς κατὰ τὸ ἐφειμένον οἴκοθεν ὁ βασιλεὺς ἐξ εὐλόγου προφάσεως τῇ ἐκκλησίᾳ τὴν τιμὴν ἐχαρίσατο. τότε γὰρ καὶ

ἐπισκοπὴν εἶναι τοῦ ἀγκύρας. χρησαμένων δὲ τῶν τοιούτων μητροπολιτῶν καὶ τῷ ιβ' κανόνι τῆς ἐν χαλκηδόνι συνόδου, διοριζομένῳ σώζεσθαι τῇ κατὰ ἀλήθειαν μητροπόλει τὰ προσόντα αὐτῇ δίκαια ἐπὶ τῇ τιμηθείσῃ ἐκκλησίᾳ, διάγνωσις γέγονε βασιλικὴ κατὰ παρουσίαν καὶ τῆς τότε συνδιαγνωμονούσης συνόδου, ἐφειμένον εἶναι τῷ βασιλεῖ προεδρίας θρόνον ταῖς ἐκκλησίαις χαρίζεσθαι καὶ τὰς ἐπισκοπὰς ἢ τὰς ἀρχιεπισκοπὰς εἰς μητροπόλεις ἀνάγειν, καὶ τὰ περὶ τῶν ψήφων αὐτῶν καὶ τῆς ἄλλης διευθετήσεως ὑποτυποῦν κατὰ τὸ αὐτῷ θελητὸν, μὴ ἐμποδιζομένῳ πρὸς τοῦτο ἐκ τοῦ κανόνος τοῦ διοριζομένου φυλάττεσθαι τῇ μητροπόλει τὰ κατὰ τῆς τιμηθείσης ἐπισκοπῆς προσόντα αὐτῇ ἀρχῆθεν δίκαια. καὶ ἀνάγνωθι τὸ τοιοῦτον σημείωμα, ἑρμηνεῦον πῶς ὀφείλει νοεῖσθαι τὸ σώζεσθαι τὰ δίκαια τῆς παλαιᾶς μητροπόλεως καὶ τὸ μὴ κατατέμνεσθαι τὴν μίαν ἐπαρχίαν εἰς δύο. ἡμεῖς γὰρ διὰ τὸ πολύστιχον εἶναι οὐ κατεστρώσαμεν αὐτὸ ἐνταῦθα ἐξ ὁλοκλήρου· τὸ αὐτὸ δὲ σημείωμα μετὰ τὴν διάγνωσιν τὴν περιέχουσαν ὀφείλειν ψηφίζεσθαι τὰς τιμηθείσας ἐκκλησίας κατὰ πρόσταξιν βασιλικὴν παρὰ τοῦ θρόνου τῆς κωνσταντινουπόλεως, καὶ μηδὲν μέτοχον ἔχειν ἐπ' αὐταῖς τοὺς πρῴην μητροπολίτας, διαλαμβάνει καὶ ταῦτα ῥητῶς.“

προςδέξεται τοῦτο, καὶ τῇ τῶν ὑπ᾽ αὐτὸν ἀρχιερέων ὁμηγύρει συγκαταλέξει τὸν εἰληχότα ἐκ βασιλέως τὴν κρείττω τιμήν.

NOV. XXX.

Imp. Alexii Comneni aurea bulla, qua Christodulo monacho insula Patmos ad monasterium ibi condendum conceditur[1]. (A. 1088.)

Καὶ πᾶσι μὲν ὑπέχειν τὰς ἀκοὰς τοῖς εὐλόγως τὰς αἰτήσεις ποιουμένοις δίκαιόν τε ὁμοῦ καὶ θεοφιλὲς καὶ τῆς θείας ἐχόμενον ἐντολῆς, τοῖς δέ γε κατ᾽ ἀρετὴν διαφέρουσι, καὶ ὅλως διὰ βίου ἀνακειμένοις θεῷ, πολλῷ μᾶλλον δὲ θειότερον καὶ κρείττονος λόγου ἐπάξιον. τὸ γὰρ συναίρεσθαι τούτοις καὶ χεῖρα ὀρέγειν βοηθείας, ἐν οἷς ἄρα καὶ δέοιντο, θεοῦ ἄντικρυς συνεργείᾳ, κατὰ τὸν μέγαν καὶ θεῖον ἀπόστολον, καὶ τῆς ἐναρέτου πολιτείας καὶ διαγωγῆς συντήρησις. διά τοι τοῦτο καὶ ἡ βασιλεία μου καὶ πᾶσι μὲν τοῖς ἄλλοις δίκαιον ἡγεῖται συμπαθέστερον ἐπικλίνεσθαι καὶ τὰς τοῦ ἐλέους ἐποχετεύειν πηγὰς δαψιλεῖς, μάλιστα δὲ τῶν ἁπάντων οἷς κατὰ μονὰς ὁ βίος ἐστὶ καὶ τῆς κοσμικῆς ἀποδιῃρημένος περιφορᾶς καὶ συγχύσεως. ἔνθεν τοι καὶ τῷ εὐλαβεστάτῳ μοναχῷ χριστοδούλῳ καὶ ἡσυχαστῇ, τῷ πρὶν ἐν τῷ ὄρει τοῦ λάτρους τὰ κατὰ θεὸν ποιουμένῳ διατριβὰς καὶ τὸν ἀσκητικὸν διανύοντι δίαυλον, ἡσυχίας τυγχάνοντι διαπύρῳ ἐραστῇ καὶ ἔργον τιθεμένῳ διηνεκὲς ἐν τοῖς τοῦ θεοῦ δικαιώμασι κατὰ μονὰς ἀδολεσχεῖν, αἴτησιν προτειναμένῳ μάλα θε-

---

[1] Hanc in ipso monasterio repertam edidit Ross Reisen auf den griech. Inseln II p. 179. Idem p. 135 haec narrat: ... es wurde mir in der Bibliothek ein verschlossenes Kästchen geöffnet, welches den gewünschten Schatz enthielt. In der That einen Schatz, denn hier sind vom Ende des eilften Jahrhunderts bis zur Einnahme von Konstantinopel zwischen vierzig und fünfzig kaiserliche Bullen im Original beisammen, wie man sie nicht leicht irgendwo gesammelt findet; und da sich fast alle auf gemachte Schenkungen oder auf die dem Kloster aufgelegten Leistungen (z. B. Unterhalt und Stellung eines Kriegsschiffes) beziehen, so bilden sie für die Kenntniss der inneren Verwaltung des byzantinischen Reichs eine Quelle, die vielleicht einzig in ihrer Art ist .... Die älteren derselben sind meistens auf Papyrus, die jüngern auf Pergament geschrieben.

ἀρεστόν τε καὶ εὔλογον, ὑπέσχε τὰς ἀκοὰς ἡ γαληνότης ἡμῶν συμπαθῶς καὶ τὴν αἴτησιν ἐξεπλήρωσεν εὐχερῶς. ἐπεὶ γὰρ ὁ θεοφιλὴς οὗτος ἀνὴρ δι' ἔρωτα ἡσυχίας καὶ πόθον βίου ἐρημικοῦ καταγώγιον ἐπεζήτει εὑρεῖν τῷ οἰκείῳ τρόπῳ καὶ βίῳ κατάλληλον, διέγνω δὲ τὴν πάτμον νῆσον, ἄλλως μὲν οὖσαν τραχεῖάν τε καὶ λυπρὰν, πίειραν δὲ καὶ πρὸς καρπῶν ἐπιτηδειοτάτην πνευματικῶν φορὰν, εἴ τις ἐν αὐτῇ καταβαλεῖν ἐθέλοι τὰ θεοφιλῆ τῶν ἀρετῶν σπέρματα, καὶ ἀρετῆς ὡς εἰπεῖν ὑπάρχουσαν ἐργαστήριον (πρώτως γὰρ διὰ τὸ καθάπερ τινὰ κλῆρον εἰληφέναι τὰς ἐν αὐτῇ τοῦ τῆς βροντῆς υἱοῦ καὶ τῷ χριστῷ διαφερόντως ἠγαπημένου διατριβὰς, ἔπειτα δὲ καὶ διὰ τὸ τῆς θέσεως τοῦ τόπου ἐρημικὸν καὶ μονώτατον, καὶ μή τινας ἔχειν τοὺς ἐκεῖ παραβάλλοντας διὰ τὸ τῆς ἠπείρου ἀπῳκῆσθαι μακρὰν), προσῆλθε τῇ βασιλείᾳ μου, ἐκλιπαρῶν μάλα περιπαθῶς συλλήπτορα ταύτην ἐφευρεῖν πρὸς τὴν τοῦ οἰκείου ἐκπλήρωσιν ἐφετοῦ, καὶ ἐξαιτούμενος ἀφορισθῆναι μὲν ἀπ' ἐντεῦθεν τῷ δημοσίῳ τὰ ἐν τῇ νήσῳ κῷ ὁθενδήποτε αὐτῷ προσκτηθέντα ὅσα καὶ οἷα εἰσὶ, ἀντιλαβεῖν δὲ τὴν εἰρημένην ἅπασαν νῆσον δῶρον ἀναφαίρετον, καὶ ἐκκοπῆναι μὲν τὰ ἐπικείμενα ταύτῃ δημόσια τέλη ὅσα καὶ οἷα εἰσὶ, ἐλευθέραν δὲ τὴν τοιαύτην νῆσον δωρηθῆναι αὐτῷ καὶ πάσης ἀπηλλαγμένην σεκρετικῆς συζητήσεως, ὡς ἂν φροντιστήριόν τι ἐν αὐτῇ ἀνεγείροι, τοὺς οἰκείους τε μαθητὰς ἐπὶ τὸ αὐτὸ συναγάγοι, καὶ οὕτως ἀπερισπάστως προσομιλοίη θεῷ καὶ τὰς ὑπὲρ τοῦ κράτους ἡμῶν θερμοτέρας ποιοῖτο εὐχάς.

α'. Ὅθεν τῆς τούτου ἐπακούσασα παρακλήσεως ἡ ἡμῶν θεοσέβεια διορίζεται διὰ τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλλου λόγου, προσαφορισθῆναι μὲν τῷ δημοσίῳ κατὰ τὴν αἴτησιν τοῦ εὐλαβεστάτου γέροντος ὅσα καὶ οἷα ἐν τῇ νήσῳ κῷ ὁθενδήποτε αὐτῷ προσεκτήθησαν, δωρεῖται δὲ αὐτῷ τὴν δηλωθεῖσαν νῆσον μετὰ πάσης αὐτῆς περιοχῆς καὶ διακρατήσεως, οὐ καιρικῶς οὐδὲ χρόνοις ἀριθμητοῖς, ἀλλ' ἐπ' ἀναφαιρέτῳ καὶ διηνεκεῖ δεσποτείᾳ καὶ κυριότητι καὶ ἄχρις ἂν ὁ παρὼν διαρκοίη αἰὼν, διορισαμένη ἐκκοπῆναί τε καὶ λογισθῆναι καὶ τὰ ταύτης ἅπαντα δημόσια τέλη καὶ βάρη, οἷα καὶ ὅσα τυγχάνουσι, τῆς προγραφῆς τοῦ λογισμοῦ γιγνομένης ἐν τοῖς σεκρετικοῖς χάρτοις διὰ κινναβάρεως χειρὶ τοῦ πρωτοπροέδρου[2] κωνσταντίνου καὶ

[2] Ross: πρωτοπαρέδρου edidit.

ἐπὶ τῶν δεήσεων τοῦ *χοιροσφάκτου* τοῦ οἰκείου ἀνθρώπου τῆς βασιλείας μου. ὡς γὰρ ἐξαίρετόν τι ἀνάθημα καὶ καλλιέρημα μέγιστον διὰ μέσου τοῦ τὴν αἴτησιν ἀνενεγκόντος μοναχοῦ τὴν τοιαύτην νῆσον ἡ βασιλεία μου ἀφιεροῖ τῷ θεῷ, καὶ ἔσται ἀπό γε τῆς σήμερον καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους ἀπεσπασμένη μὲν τῶν βασιλικῶν δικαίων, ἀπηλλαγμένη δὲ καὶ τῶν σεκρετικῶν ἀρκύων, μόνῳ δὲ ἀνατεθειμένη θεῷ καὶ τοῖς ἐν αὐτῇ μοναχοῖς, οἳ καὶ μόνοι ἐν αὐτῇ αὐλισθήσονται, μὴ συγχωροῦντές τισι τῶν λαϊκῶν λόγῳ παροικίας ἐγκατοίκους ταύτῃ γίνεσθαι, ἐμπορίας ἴσως ἢ ἄλλο τὶ ἐπιτήδευμα βίου μετερχομένους· μόνοι γὰρ ἐν κοσμικῷ σχήματι τῇ νήσῳ ἐγκατοικήσουσιν οἱ μισθαρνοῦντες τοῖς μοναχοῖς, καὶ οὗτοι ἄζυγες καὶ μήτε γυναιξὶ συνοικοῦντες, μήτε μὴν παῖδας ἔχοντες. πᾶσαν γὰρ ὁδὸν πονηρᾶς μεθόδου ἀποκλείει τῷ σατανᾷ ἡ βασιλεία ἡμῶν· καὶ διὰ τοῦτο τοῖς λείοις τε καὶ βλαπτικοῖς προσώποις, γυναιξί τε καὶ παισὶ καὶ εὐνούχοις, ἀφ' ὧν ὡς τὰ πολλὰ κατὰ τῆς ψυχῆς ἀναῤῥιπίζονται πόλεμοι, ἄβατον εἶναι τὴν νῆσον παντάπασι διορίζεται, καθὰ δηλονότι καὶ ὁ εὐλαβέστατος οὗτος ἀνὴρ τὴν βασιλείαν μου ᾐτήσατο· πάρεξ μέντοι τῶν μισθίων, ὡς εἴρηται, ὅσον[3] χρήζουσιν οἱ μοναχοὶ εἰς δουλείαν τῆς νήσου, καὶ τούτων ἄζυγα βίον ἐχόντων, καὶ ἐγγὺς τἄλλα τῆς μοναχικῆς πολιτείας τυγχανόντων, κἂν μόνῳ τῷ σχήματι διαλλάττοιεν. καθέξει οὖν τὴν τοιαύτην νῆσον αὐτός τε ὁ πολλάκις μνημονευθεὶς εὐλαβέστατος ἀνὴρ μετὰ τῶν ὑπ' αὐτὸν μοναχῶν, τῶν τε νῦν ὄντων καὶ τῶν ἐς ὕστερον ἐσομένων, καὶ σὺν τούτοις ἡ παρὰ τούτου ἀνεγερθησομένη ἐν τῇ νήσῳ *πάτμῳ* ἱερὰ μονὴ ἀτελῶς, ἀβαρῶς, κυρίως καὶ αὐθεντῶς, ἀναφαιρέτως τε καὶ αἰωνίως· καὶ καθὼς ἂν συνεργοίη τούτῳ θεὸς, κατὰ τὸ αὐτὸ[4] βουλητὸν ταῦτα διαθήσειε, κἂν εἰς εὐφορωτάτην τε καὶ εὐπρόσοδον ἐκ λυπρᾶς καὶ τραχείας τῇ οἰκείᾳ μεταγάγοι σπουδῇ, εἰς ἴδιον κέρδος τὰς ἐντεῦθεν προσόδους λογίσεται σὺν ἅμα τοῖς ὑπ' αὐτὸν μοναχοῖς, μὴ παρά τινος τὸ σύνολον λογοπραγούμενος ἢ ἀνακρινόμενος. ἀποχρῶσα μέντοι ἔσται τούτῳ ἡ ἐπὶ τῇ τοιαύτῃ νήσῳ διαιωνίζουσα δωρεὰ τῆς βασιλείας μου, καὶ οὐκ ἔξω τῶν ὁρίων ταύτης καθ' ἑτέραν νῆσον ἐπικτήσεταί τι

---

[3] Lege ὅσων. [4] Ross conj. αὐτῷ. Equidem legerim: **καὶ καθὼς ἂν συνεργῶν τούτῳ θεὸς κατὰ τὸ αὐτῷ βουλ.**

τὸ σύνολον. καὶ αὐτὰ γὰρ ὅσα ἐν τῇ νήσῳ κῴ ὅθεν δήποτε αὐτῷ προσεκτήθησαν μέχρι τοῦ νῦν, τῷ δημοσίῳ ἀπεντεῦθεν προσαφορισθήσονται, καὶ ὡς μηδέποτε τῇ κατ' αὐτὸν μονῇ προσαρμόσαντα λογισθήσονται, πάρεξ μέντοι τοῦ ὁλοκλήρου νησιδίου τῆς λειψὼ, καὶ τῶν ἐν τῇ νήσῳ λέρῳ δεσποζομένων παρ' αὐτοῦ μέχρι τοῦ νῦν· τῶν γὰρ τοιούτων δεσπόσει κατὰ τὴν τῆς προγεγονυίας παρὰ τῆς βασιλείας μου ἐπὶ τούτοις χρυσοβούλλου γραφῆς περίληψίν τε καὶ δύναμιν, καὶ καθὼς ἄχρι τῆς δεῦρο δεσπόζων τούτων ἐτύγχανε· ἕτερον δέ τι κατ' οὐδένα τρόπον ἐν οἱαδήτινι νήσῳ οὐδαμῶς ἐπικτήσεται. αὐτῶν δὲ τούτων μόνων καὶ τῆς ὅλης νήσου πάτμου ὅ τε ἱερὸς οὗτος ἀνὴρ καὶ οἱ ὑπ' αὐτὸν σύμπαντες δεσπόσουσι μοναχοὶ, οἵ τε νῦν ὄντες καὶ οἱ μετὰ ταῦτα ἐσόμενοι, ἔτι δὲ καὶ ἡ ἐν τῇ νήσῳ πάτμῳ ὡς εἴρηται ἀνεγερθησομένη μονὴ ἔσται κυριαρχοῦσα τούτων ἀπαρασπάστως τε καὶ ἀνυπεξαιρέτως, ὡς πάσης σεκρετικῆς εὑρεσιλογίας, μᾶλλον δὲ γλωσσαλγίας, ὑπερτεροῦσα, καὶ ἀδιάσειστον καὶ ἀπερίτρεπτον τὴν ἐπ' αὐτοῖς δεσποτείαν ἔχειν ὀφείλουσα εἰς αἰῶνα τὸν ἅπαντα· ἥτις καὶ αὐτοδέσποτος καὶ αὐτεξούσιος μετὰ τῆς ὅλης νήσου διαμενεῖ ἐς ἀεὶ, καθ' ἑαυτὴν ἀγομένη καὶ διευθυνομένη κατὰ τὸ μέλλον ἐπὶ ταύτῃ γενέσθαι τυπικὸν καὶ τὴν διάταξιν παρὰ τοῦ δηλωθέντος εὐλαβοῦς μοναχοῦ χριστοδούλου καὶ κτήτορος, καὶ οὔτε αὕτη, οὔτε τὰ ὑπ' αὐτὴν, ὡς ἄνωθεν εἴρηται, οὔτε ἡ νῆσος αὐτὴ ὑπὸ βασιλικὰ ἢ μητροπολιτικὰ ἢ ἐπισκοπικὰ ἢ ἐκκλησιαστικὰ ἢ ὑπό τινα ὅλως ἰδιωτικὰ ὑπαχθήσεται πρόσωπα· οὔτε μὴν ἐξόριστός τις πεμφθήσεται πώποτε ἐν αὐτοῖς, ἀλλ' ἐλευθεριάσουσι καθαρῶς ἄχρις αἰῶνος παντὸς, καὶ πλουτήσουσι διὰ τῆσδε τῆς εὐσεβοῦς χρυσοβούλλου γραφῆς τὸ αὐτοδέσποτόν τε καὶ ἐλεύθερον. ἐξκουσευθήσεται μέντοι ἥ τε ῥηθεῖσα ἅπασα νῆσος, καὶ αὐτὴ ἡ μονὴ μετὰ τῶν ὑπ' αὐτὴν πάντων, πρὸς δὲ καὶ τὸ διαληφθὲν νησίδιον μετὰ τῶν ἐν αὐτῷ πάντων, ἀπό τε μιτάτων ἀρχόντων ταγματικῶν καὶ θεματικῶν, ῥωμαϊκῶν τε παραταγῶν καὶ ἐθνικῶν· ἔτι τε ῥώσων, βαράννων, κουλπίννων, ἰγγλίνων, φράγγων, νεμίτζων, βουλγάρων, σαρακηνῶν, ἀλανῶν, ἀβασγῶν, ἀθανάτων[5] καὶ λοιπῶν ἁπάντων ῥωμαίων τε καὶ ἐθνικῶν· ἀντιμιτάτων· φραγγιτάτων· απομιτάτων· ἀπλήστων ἢ μεσαπλήστων κριτῶν, στρατηγῶν, ἀπαι-

[5] An ἀθαμάνων;

τητῶν· καὶ τῶν ὑπὲρ τῶν ἀπλήστων χορείας χρειῶν· ἐπιθέσεων μονοπροσώπων· δόσεως κανισκίων ἢ ἀντικανισκίων· σιταρκήσεως κάστρων· ἀγορᾶς μουλαρίων, μεσομουλαρίων, βορδωνίων, μεσοβορδωνίων, ἵππων, παρίππων, κηλωνίων, ὀνοκηλωνίων, ὀνοθηλείων, φορβάδων, βοῶν ἐργατικῶν καὶ ἀγελαίων, χοίρων, προβάτων, αἰγῶν, ἀγελάδων, βουβάλων, λαγωῶν, ἐλάφων, κυνῶν λαγωνικῶν ἢ ποιμενικῶν καὶ λοιπῶν τετραπόδων ζώων, χηνῶν, νηττῶν, περδίκων, ταώνων, γεράνων, κύκνων, φασιανῶν, ὀρνίθων ἀγρίων ἢ χειροήθων, περιστερῶν καὶ λοιπῶν πτηνῶν, καὶ τῶν ἐξ αὐτῶν πάντων ὠῶν· παροχῆς γεννήματος ἐξ ἀγορασίας γεγενημένης· ἐνοχῆς ἀνωτέρων ἢ ἑτέρων πρακτόρων καὶ ἀρχόντων οἰκοδομῶν· προσόδων ἀερίων, καπνίων, ἀερικοπράτων, κομοδρόμων· συνωνῆς καστροκτισίας, ὁδοστρῶν, γεφυρῶν, παροικιατῶν, ἐννόμων, φραγγομιτῶν, φραγγετῶν· σιδήρου δόσεως ἢ καρφοπετάλου καὶ μαζίου· ἐκβολῆς χρειῶν τῶν χορηγουμένων δικασταῖς ἢ πράκτορσιν ἢ ἑτέροις ἄρχουσι, δουξὶ, καπετάνοις, στρατηγοῖς, ἀπαιτηταῖς καὶ λοιποῖς πρέσβευσιν ἐθνῶν διερχομένοις, ἢ καὶ στρατιᾷ τινι· δόσεως προσκυνητῶν· ἐκβολῆς χορτασμάτων· διατροφῆς προελευσιμαίων, βεστιαριτῶν, μανδατώρων τοῦ δρόμου πρέσβεις ἀγόντων ἢ ἐξορίστους ἢ κατά τινα ἄλλην χρείαν διερχομένων, βασιλικῶν ἀνθρώπων ἐπί τινα ἀποστελλομένων δουλείαν τοῦ δημοσίου· ἐκδανεισμοῦ γεννήματος οἴνου, κρεῶν, τυροῦ καὶ ἑτέρων παντοίων εἰδῶν· ἐξοπλίσεως πλωΐμων, τοξοτῶν, ἱπποτοξοτῶν, ματζουκάτων, κουνταράτων καὶ ἑτέρων στρατιωτῶν· ἐξωνήσεως ζευγαρίων, σίτου, κριθῶν, βρώμου, ὀσπρίων παντοίων, ἐλαίου, κέγχρου, λιναρίου καὶ τοῦ τούτου σπέρματος, καννάβεως καὶ τῶν ἄλλων σπερμάτων· κηρίου ἢ μέλιτος παροχῆς· κοπῆς καὶ καταβιβάσεως οἱασδήποτε ξυλῆς, ἢ μετακομιδῆς ἑτέρου εἴδους· κτίσεως . . . . . ἀγρῶν, ζερμώνων πολεμικῶν, χαρβῶν καὶ λοιπῶν ἄλλων· πρίσεως σανίδων· φοσσάτου διατροφῆς καὶ ἀπλήστων ἐπὶ πόλεμον ἀπιόντος ἢ ὑποστρέφοντος· καθίσματος καὶ ὑποδοχῆς τῶν ἐν ὑπεροχῇ ἀρχόντων, δομεστίκων τῶν σχολῶν, δουκῶν, καπετάνων, στρατιωτῶν, κριτῶν καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς ἐποπτῶν, στρατευτῶν, ὀρθωτῶν, ἀναγραφέων, ἐξισωτῶν, δικαιοφρόνων, συνόδων, ... τοποτηρητῶν, ταξιάρχων, τουρμάρχων, μεράρχων, χαρτουλάρχων[6] τοῦ δρόμου καὶ τῶν θεμάτων, κομήτων . . . . . . δομεστίκων

---

[6] Forte χαρτουλαρίων.

τῶν θεμάτων, δρουγγαροκομήτων καὶ παραφυλάκων καὶ παντὸς ἑτέρου δουλείαν τοῦ δημοσίου μεταχειριζομένου· καὶ λοιπῆς ἁπάσης ἐπηρείας τε καὶ κακώσεως, νῦν δὲ οὔσης καὶ ἐς ὕστερον ἐπινοηθησομένης, καθὼς ἂν ὁ καιρὸς καὶ τὰ πράγματα ἐπιζητοῖεν γίνεσθαι.

Διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σεκρεταρίων γενικῶν καὶ στρατιωτικῶν λογοθέτων τῶν ἐπὶ τῆς ἡμετέρας σακέλης καὶ τοῦ βεστιαρίου, οἰκονόμου τῶν εὐαγῶν οἴκων, τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων τῶν βασιλικῶν, κουρατόρων ἰδικῶν, γηροτρόφων, ὀρφανοτρόφων, τῶν ἐπὶ τοῦ θείου ταμείου ἡμῶν, ... κουρατόρων τοῦ οἴκου, τῶν ἐλευθέρων καὶ τῶν . . . . . . οἰκιστικῶν, καὶ τῶν ὑπ' αὐτοὺς λογαριαστῶν, χαρτουλάρων, βασιλικῶν νοτάρων καὶ νοτάρων[7], τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἐπ' ἀδείας ἔχειν ἀθετεῖν μερικῶς ἢ καθ' ὁλόκληρον τὸν παρόντα χρυσόβουλλον λόγον τῆς βασιλείας μου, γεγενημένον κατὰ τὸν ἀπρίλιον μῆνα τῆς ἑνδεκάτης ἰνδικτιῶνος ἐν ἔτει τῷ ,ϛφϛϛ', ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ἀλέξιος ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ ῥωμαίων ὁ κομνηνός.

---

[7] Vulgo χαρτουλαρίων et νοταρίων scribitur.

NOV. XXXI.

Imp. Alexii Comneni de sponsalium dissolutione[1]. (A. 1092.)

Ὑπόμνησις τοῦ κουροπαλάτου καὶ μεγάλου δρουγγαρίου τῆς βίγλης ἰωάννου τοῦ θρακησίου, μετὰ τὴν περὶ μνηστείας νεαρὰν γενομένη πρὸς τὸν αὐτὸν βασιλέα κύριον ἀλέξιον περί τινος ἀμφιβολίας ἐπὶ ταύτῃ ἀναφυείσης[2].

Δέσποτά μου ἅγιε, προσώπων τινῶν[3] μνηστείας γάμων ἐπὶ παισὶν ἰδίοις συστησαμένων, εἶτα ἀπαρεσθέντων πρὸς τὰ συναλλάγματα καὶ πειρωμένων λῦσαι τὰ τῆς μνηστείας συμβόλαια, δεηθέντων τε τῆς ἁγίας βασιλείας σου καὶ τῷ δικαστηρίῳ τοῦ ἱπποδρόμου[4] παραπεμφθέντων, καὶ ἐπειγομένων τὰ ἐγκείμενα τοῖς τῶν μνηστειῶν συμβολαίοις πρόστιμα δοῦναι καὶ διαῤῥῆξαι τὰς μνηστείας· τῶν δὲ ἀπεναντίας μαχομένων[5] ἄλυτα ταῦτα δεῖν εἶναι καὶ μὴ ὡς τὸ πρότερον προστίμου δόσει διαῤῥήγνυσθαι, καὶ τὸ νεαρὸν θέσπισμα τῆς βασιλείας

[1] Extat in variis Codd. MSS., veluti Bodl. 205: Paris. 1351: Vind. suppl. 45: Marc. 173 et App. XI, 30: Laur. V, 2: Ἰβήρων 12. Edita est a Bonefid. p. 48, a Leuncl. post Syn. p. 63 et in JGR. I p. 132, denique in Coll. can. ed. Rhalli V p. 284. Laudatur a Bals. ad Phot. Nom. XIII, 2 et 4 (ed. Rhalli I p. 289. 301); in Proch. aucto I, 24; et a Blastare Γ, 15 (ed. Bev. II p. 76). [2] Ita inscriptio est in JGR. Apud Bonefid. est: Περὶ διαλύσεως μνηστείας. μηνὶ μαρτίῳ ἐπιν. ιε΄ ἔτους ͵ςχ΄. ὑπόμνημα τοῦ κουροπαλάτου καὶ μεγάλου δρουγγαρίου τῆς βίγλας κυρίου ἰωάννου τοῦ θρακησίου· ἐφ᾽ ᾧ καὶ λύσις ἐξεφωνήθη τοῦ βασιλέως κυρίου ἀλεξίου τοῦ κομνηνοῦ, τὴν προγεγονυίαν παρ᾽ αὐτοῦ νεαρὰν περὶ τοῦ γάμου ἐπικυροῦσα καὶ ἄλυτον μένειν ἐπιτάττουσα τὴν μεθ᾽ ἱερολογίας προβαίνουσαν μνηστείαν. Similiter Leuncl. post Syn.: Ὑπόμνημα — θρακησίου· ἐφ᾽ ᾧ καὶ μηνὶ μαρτίῳ ἐπιν. ιε΄ ἔτους ͵ςχ΄ λύσις — μνηστείαν. Codd. MSS. quantum ex schedis meis colligo, inscriptiones praestant plus minusve similes his, quos ex editis libris retulimus. Ita v. c. Paris. 1351: Ὑπόμνησις — θρακησίου μετὰ τὴν νεαρὰν ταύτην (praecedit enim Nov. XXIV) γενομένη πρὸς τὸν αὐτὸν βασιλέα κῦρον ἀλέξιον περί τινος ἀμφιβολίας ἐπὶ ταύτῃ ἀναφυείσης, καὶ ἡ ἐκφωνηθεῖσα ἐπ᾽ αὐτῇ λύσις παρὰ τοῦ ἀοιδίμου τοῦδε βασιλέως κατὰ μῆνα μάρτιον τῆς ιε΄ ἰνδ. ἐν ἔτει ͵ςχ΄, ἐπικυροῦσα τὴν προγ. κτλ. [3] Bonef. verba προσώπων τινῶν omittit, sed τινῶν addit infra post συστησαμένων. [4] Leuncl. in marg. ἱπποδρομίου. [5] Idem: ἀπομαχ.

σου[6] προβαλλομένων εἰς βοήθειαν τὸ περὶ μνηστείας πρό τινος καιροῦ ἐκφωνηθὲν, ὅπερ ἀπὸ τῶν παλαιῶν νόμων ἀποστὰν δέδωκε τὴν μνηστείαν μὴ ἄλλως τελεῖσθαι, εἰ μὴ ὁ ἄῤῥην τὸν τεσσαρεσκαιδέκατον χρόνον τῆς ἡλικίας ὑπερβῇ, τὸν δωδέκατον δὲ ἡ θήλεια, τῆς εἰωθυίας εὐχῆς ἐπὶ τῇ μνηστείᾳ τότε ἐπιτελεῖσθαι ὀφειλούσης μετὰ καὶ τῶν ἄλλων συνήθων παρατηρήσεων (φαμὲν δὴ τοῦ ἀῤῥαβῶνος καὶ τοῦ φιλήματος), ὥς που καὶ τῷ ἀοιδίμῳ βασιλεῖ κυρίῳ λέοντι τῷ φιλοσόφῳ νενομοθέτηται, καὶ μετὰ[7] βραχὺ διάλειμμα χρόνου ἢ καὶ ἱκανὸν ἴσως, καθὼς ἂν δόξῃ τοῖς συναλλάττουσι, προβαίνειν τὸν γάμον καὶ μὴ κατὰ τὴν αὐτὴν συμπίπτειν ἡμέραν τε καὶ[8] ὥραν· διεσχίσθη τὸ δικαστήριον εἰς διαφόρους γνώμας. τοῖς μὲν γὰρ δοκεῖ δέον εἶναι τὰ πρόστιμα δίδοσθαι καὶ λύεσθαι τὰς μνηστείας, προβαλλομένοις ὡς εἰ τοῦτο μὴ προβαίνει, τί ἂν διοίσει γάμος μνηστείας, εἴπερ καὶ τὸ τοῦ γάμου πρεσβεῖον ἔχει καὶ ἡ μνηστεία; καὶ μᾶλλον, ὅτι καὶ ὁ ἀῤῥαβὼν φύσιν ἔχει τοιαύτην (ὡς ὁ νόμος φησὶν), ἵνα εἰ μὲν ὁ δεδωκὼς μὴ πληροῖ τὰ συνδόξαντα, ἐκπίπτῃ τῶν δεδομένων, εἰ δὲ ὁ λαβὼν, ἀντιστρέφῃ ταῦτα εἰς τὸ διπλοῦν. τοῖς δὲ ἐξ ἐναντίας ἀλύτους μένειν τὰς μνηστείας νομίζεται, φάσκουσι μὴ προσήκειν τὰ μετὰ τὸν ἐντελῆ χρόνον τῶν νέων συνδόξαντα τοῖς γονεῦσι, συναινέσει καὶ αὐτῶν καὶ ἱεραῖς[9] εὐχαῖς ἐπισφραγισθέντα, δόσει προστίμου διαλύεσθαι· τοῦτο γὰρ πρέπον εἶναι τελεῖσθαι, ὁπηνίκα δεσμὸς προβῇ μόνος ἢ καὶ μνηστεία μετὰ τὸν ἑπταετῆ χρόνον ἀποτελεσθῇ κατὰ τὸν παλαιὸν τύπον, ἣν οὐδὲ μνηστείαν εἶναι ὁ τῆς βασιλείας σου νόμος ἀποφαίνεται. οὕτω δὴ καὶ τοῦ δικαστηρίου σχισθέντος, ἀναφέρω τῇ ἁγίᾳ βασιλείᾳ σου ὁ ἀνάξιος δοῦλος αὐτῆς, ἐρωτῶν ὁποτέρᾳ δεῖ τῶν γνωμῶν προστεθῆναι· φαίνεται γὰρ ἑκάτερον μέρος εὐλογοφανῆ προτεινόμενον. καὶ ἑρμηνείαν λαβεῖν ἐξαιτῶ διὰ προσκυνητῆς ἀντιγραφῆς σαφῶς καὶ καθαρῶς λυούσης τὸ ἀμφισβήτημα· νόμου γὰρ τάξιν ἐπέχειν μέλλει εἰς τὸ μετέπειτα. καὶ δεῖ πάντως εὐκρινεστάτην εἶναι καὶ καθαρὰν τὴν ἀπόφασιν, ἵνα μὴ καὶ αὖθις ἐς ὕστερον ζυγομαχῆται. καὶ περὶ μὲν τῆς πεύσεως τῇ ἁγίᾳ βασιλείᾳ σου δόξει πάντως φιλανθρωπότερον[10]· ἐγὼ δὲ τολμηρῶς ἀναφέρω καὶ περὶ τοῦ χρόνου. ὑπολαμβάνω γὰρ ὁ ἀνάξιος δοῦλός σου, ὡς οὐκ ἐστὶ δίκαιον τῷ αὐτῷ χρόνῳ

---

[6] Cf. supra Nov. XXIV. [7] Id. κατά. Bonef. autem praepositionem non habet. [8] Bonef. ἤ. [9] Leuncl. in marg. ἰσχυραῖς. [10] Id. φιλανθρωπότερα. Ita Bonef.

τὴν μνηστείαν καὶ τὸν γάμον μετρεῖσθαι, ἀλλὰ μικρόν τι γέρας κἂν τῷ χρόνῳ τὸν γάμον ἀποφέρεσθαι καὶ διαφέρειν μνηστείας, τὴν δὲ μνηστείαν ὑπόβασιν ἔχειν[11] ἐν τούτῳ· καὶ γὰρ δὴ καὶ μάλα λυσιτελήσειν οἶμαι τοῦτο[12] τῷ πολιτεύματι. οἱ γὰρ γονεῖς τῇ πρὸς τὰ ἑαυτῶν τέκνα φιλοστοργίᾳ κρατούμενοι, καὶ σπεύδοντες ὡς τάχιστα τὴν τούτων ποιῆσαι πρόνοιαν καὶ ἀμεριμνῆσαι, ὑπὸ τοῦ χρόνου δὲ κωλυόμενοι δυσφόρως καὶ βαρέως φέρουσιν· εἰσὶ δὲ οἱ καὶ ἐξ ὀλιγωρίας καὶ χρόνων καταψεύδονται, εἰς ἐπιορκίας διὰ φιλοτεκνίαν συνελαυνόμενοι. ὅπερ εἰ περιαιρεθῇ, καὶ ἐλάττωσιν ὁ τῆς μνηστείας δέξηται[13] χρόνος, ἥ τε ἐξ ὀλιγωρίας ἀθυμία τῶν γονέων ἐξιαθήσεται καὶ τὰ ἐκ ταύτης ἐπισυμβαίνειν ὑποπτευόμενα κακὰ, ψεῦδος καὶ ἐπιορκία, ἀναστολὴν τὴν προσήκουσαν δέξονται, καὶ ἡ ἁγία βασιλεία σου δόξαν καὶ μεγαλοπρέπειαν καὶ κλέος καρπώσεται ἄῤῥητον, καὶ εὐχὰς ἀδιαλείπτους καὶ ἐκτενεῖς, τὰ λυσιτελῆ τοῖς ὑπηκόοις ἀεὶ πραγματευομένη καὶ ἐπωφελῆ καὶ σωτήρια. ὡς δοῦλος ἀνάξιος τολμήσας ἀνήνεγκα.

Λύσις τοῦ βασιλέως κυρίου ἀλεξίου, ἐπικυροῦσα τὴν προγεγονυῖαν παρ᾽ αὐτοῦ νεαρὰν περὶ τοῦ γάμου, καὶ ἄλυτον μένειν ἐπιτάττουσα τὴν μεθ᾽ ἱερολογίας προβαίνουσαν μνηστείαν[14].

Εἰ μηδὲν ἄλλο ἡ βασιλεία ἢ ἔννομος ἐπιστασία ἐστὶ, νόμοι δὲ, οἱ τὴν πολιτείαν τηροῦντες ἀδιαλώβητον, πόῤῥω που ἀπωθοῦντες καὶ ἐκδιώκοντες τὰ τὸ πολίτευμα καταβλάπτοντα, ἀνεῖται δὲ καὶ τὸ νομοθετεῖν βασιλεῦσιν· ἔργον ἄρα βασιλικὸν, πρὸς τὸ κοινῇ τῇ πολιτείᾳ συμφέρον τήν τε τῶν νόμων ἔκθεσιν παρὰ τῶν κρατούντων ἀποτελεῖσθαι, καὶ τὴν τῶν λειπόντων πρὸς ὁλοκληρίας[15] ἐκπλήρωσιν καὶ διευκρίνησιν τῶν ἀσαφῶς ἐγκειμένων, οἷς τε αὐτοὶ νενομοθετήκασι καὶ οἷς προτεθεσπισμένοις ἐνέτυχον, παρὰ τούτων ἐκτίθεσθαι.

α΄. Κατὰ ταῦτα καὶ ἡ βασιλεία ἡμῶν κατὰ τὸν ἰούνιον[16]

---

[11] Bonef. ἔσχεν. [12] Id. τούτῳ. [13] Leuncl. δέξεται. [14] Ita est in JGR. Bonefid. hoc loco inscriptionem nullam habet. Leuncl. post Syn.: Ἀλεξίου τοῦ κομνηνοῦ νεαρὰ γ΄ περὶ διαλύσεως μνηστείας. In Paris. 1351: Ἡ ἐπὶ τούτῳ λύσις. [15] Leuncl. in marg. ὁλοκληρίαν. [16] Bals. ἰούλιον.

μῆνα τῆς παρελθούσης ζ' ἐπινεμήσεως τοῦ ‚ςφϛβ' ἔτους νομοθεσίαν[17] διανομοθετήσασα, καὶ τῷ νεαρῷ θεσπίσματι τοῦ φιλοσοφωτάτου κυρίου λέοντος καὶ βασιλέως ἐπιστηριζομένη[18], διοριζομένῳ ἱερὰν εὐλογίαν ἐπιτελουμένην ἔχειν παρ' ἑαυτῇ τὴν πρώτην τῶν συμβαλλόντων συναρμογὴν ἤγουν αὐτὴν τὴν μνηστείαν, καὶ καιρὸν ὡρισμένον, ὃν δήπου καὶ πρὸς γαμικὴν συζυγίαν ἀρκούντως ἔχειν ὁ παλαιὸς νόμος διατεθεσμοθέτηκε· διετυπώσατο, ἐκείνας εἶναι κυρίως μνηστείας καὶ ἀτεχνῶς ἰσοδυναμούσας γάμῳ, ὅσαι καὶ τὸν χρόνον, ὃν ἡ τοῦ βασιλέως κυρίου λέοντος θεσμοθεσία ὡρίσατο, ἀκέραιον ἔσχον παρ' ἑαυταῖς, καὶ τὴν ἱερὰν εὐλογίαν ἐπακολουθοῦσαν ἐγνώρισαν, καὶ ἐπὶ τούτων τῶν μνηστειῶν τὴν ἐπὶ τῶν γάμων τοῦ συνοδικοῦ τόμου κρατεῖν παρατήρησιν· καθὰ καὶ ἡ ἐπὶ τοῦ μακαρίτου πατριάρχου κυρίου ἰωάννου τοῦ ξιφιλίνου ἐκ συνοδικῆς διασκέψεως ἐκτεθεῖσα σημείωσις ἀπεφήνατο, ᾗ καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος κύριος νικηφόρος ὁ βοτανειάτης τὸ κῦρος εὑρίσκεται χαρισάμενος. διαῤῥήδην γὰρ αὕτη καὶ ἐπὶ τῆς μνηστείας ἀποφαίνεται, δύο ἀδελφοὺς ἐξαδέλφας δύο πρώτας μὴ κατὰ συναρμογὴν μνηστείας ἐπάγεσθαι, μήτε μὴν τὰ ἐν τῷ συνοδικῷ τόμῳ ἐπὶ τῶν γάμων κεκωλυμένα πρόσωπα ἐπὶ ταῖς τοιαύταις μνηστείαις πρὸς ἄλληλα συναλλάττειν συγκεχωρῆσθαι. μᾶλλον μὲν οὖν καὶ τῶν τοιουτοτρόπως συστησαμένων τὴν μνηστείαν προσώπων, θανάτῳ τυχὸν ἑνὸς τῶν μερῶν τῆς μνηστείας διαλυθείσης, τὸ περιλιμπανόμενον πρόσωπον μνηστείαν ἄλλην κωλυθήσεται συστῆσαι πρὸς ἐκεῖνο τὸ πρόσωπον, πρὸς ὅ, εἰ καὶ κοινωνία γάμου προεβεβήκει αὐτῷ ἐπὶ τῷ τετελευτηκότι προσώπῳ, συμβαλεῖν οὐκ ἠδύνατο. καὶ κατὰ τὰ ἐν ταύτῃ παρὰ τῆς βασιλείας μου περὶ τούτων διατυπωθέντα πολιτεύεσθαι τοὺς ὑπὸ τὴν ἡμετέραν ὀρθόδοξον καὶ χριστιανικὴν πολιτείαν διετυπώσατο, μηδ' ὅλως τε μνηστείαν ἀποτελεῖσθαί ποτε, ἢ τὸ τῆς μνηστείας ὄνομα κυρίως ἀποκεκληρῶσθαι τῷ πραττομένῳ, εἰ μὴ καὶ τὴν ἱερὰν εὐλογίαν ἐπιτελουμένην ἔχει παρ' ἑαυτῇ καὶ τὸν ὡρισμένον τῇ γαμικῇ συζυγίᾳ καιρόν· τὰς γὰρ ἄλλως γινομένας οὐ μνηστείας κυρίως, ἀλλά γε ἀρεσκείας ἀνθρώπων δι' ἐπερωτήσεως κατησφαλισμένας λογίζεσθαι τὸ ὑπήκοον, καὶ ὡς τοιαῦτα τὸ ἐνεργὸν ἀποφέρεσθαι καὶ τὴν παλαιὰν νομοθεσίαν ἔχειν ἐπὶ τούτοις τὸ πάγιον. καὶ ταῦτα μὲν τῇ βασιλείᾳ μου πεφροντισμένως τῷ τότε διαθεσμοθετηθέντα.

---

[17] Supra Nov. XXIV. [18] Leuncl. in marg. ἐπισκηριπτωμένου.

β'. Ἐπεὶ δὲ μή τι περὶ τῆς τοιαύτης μνηστείας, εἴτε προστίμων ἔσται δόσεσιν ἀναλυομένη εἴτε καὶ εἰς τὸ ἀναλλοίωτόν τε καὶ ἀμετάτρεπτον (ἅτε θεοῦ κρατύνοντος) περιΐσταται, διωρίσατό τε καὶ διετύπωσε· νῦν εὐλόγου τῆς σῆς ὑπομνήσεως ἀναφανείσης αὐτῇ[19], τὰ ἐνδέοντα τῇ δηλωθείσῃ νεαρᾷ νομοθεσίᾳ τὸ ἡμέτερον κράτος προστίθησι, καὶ διορίζεται τὰς τοιαύτας μνηστείας, αἳ κυρίως μνηστεῖαι τυγχάνουσιν, ἀμετακινήτους τε διαμένειν καὶ ἀδιαπτώτους καὶ τὸ ὅλον ἀλύτους, ἅτε θεοῦ μέσον[20] τῶν συναπτομένων εἰσαγομένου καὶ τὴν πρώτην προσεμπεδοῦντός τε καὶ κρατύνοντος τοῦ βίου συναρμογὴν διὰ τῶν ἱεροτελουμένων εὐχῶν. καὶ οὐδέποτε αὗται ταῖς τῶν προστίμων ἀναλυθήσονται δόσεσιν· οὐδὲ γὰρ οὐδὲ[21] ταῦτα ἀπό γε τοῦ νῦν ἐν τοῖς μέσον τῶν συναλλαττόντων γινομένοις συμβολαίοις ἐγγραφήσονται. ὅτε μὲν γὰρ προστίμοις μόνοις ἐνεκρατύνοντο, ταῦτά τε ἐνεγράφοντο καὶ τῇ δόσει τούτων ἐξησθένουν καὶ διελύοντο· νῦν δὲ, ὁπότε καὶ θεὸς ὁ συνάπτων τὰ διεστῶτα ταύτας κρατύνει καὶ ἐμπεδοῖ, ἄλυτοι[22] πάντως διαμενοῦσιν, εἰ μήγε τελείου γάμου δοίημεν[23] τὴν αὐτῶν λύσιν τελουμένην λογίζεσθαι· ὡς τελείου γὰρ γάμου λύσιν διαπραττόμενοι οἱ τοιαύτην λῦσαι μνηστείαν ἐπιχειρήσαντες δόξουσιν. οὕτως οὖν εὐλόγως καὶ τὰ κεκωλυμένα συγγενικὰ πρόσωπα πρὸς τὴν μνηστὴν ἢ καὶ τὰς τῆς μνηστῆς ἀδελφὰς γαμικὴν ἀποτελεῖν συζυγίαν, ἢ καὶ μνηστείας, τὰς πρώτας τῶν συμβαλλόντων συναρμογὰς, πρὸς τὰ τοιαῦτα ἀναχαιτισθήσονται συναλλάγματα. ὁ μέντοι γάμος κατὰ τὸν νενομισμένον καιρὸν τοῖς τε παλαιοῖς καὶ νεαρωτέροις νόμοις καὶ τῇ παρ' ἡμῶν ἐκτεθείσῃ νεαρᾷ νομοθεσίᾳ συντηρηθήσεται μετὰ τῶν συνήθων τούτῳ[24] παρατηρήσεων, καὶ οὐκ ἐξέσται τινὶ τῶν ὑπὸ τὴν πολιτείαν ἁπάντων παρὰ τὰ διηγορευμένα τῇ παρούσῃ τοῦ κράτους ἡμῶν διατάξει τὶ διαπράττεσθαι· εἰ μή γε βασιλεὺς (οἷα πολλὰ πολλάκις[25] συμβαίνει) κατ' οἰκονομίαν τινὰ τήν τε μνηστείαν καὶ τὴν ἐξ ἱερολογίας συνάρμοσιν τοῖς μνηστευομένοις[26] ἔνδον τῶν διορισθέντων ἐπιψηφιεῖται ἐτῶν· ἔξεστι γὰρ τοῖς ἐκ θεοῦ τὴν οἰκονομίαν τῶν κοσμικῶν ἐγκεχειρισμένοις πραγμάτων ὑπερτέρως ἢ κατὰ νόμους οἰκονομεῖν, κατ' αὐτὸν φᾶναι τὸν φιλοσοφώτατον βασιλέα[27] καὶ

19 Bonef. corrupte: Ἐπεὶ δὲ μή τι περὶ τῆς εὐλογίας τῆς σῆς ὑπομνήσεως ἀνεφωνήθη αὐτῇ. 20 Leuncl. in marg. μέσον. 21 Iteratum οὐδὲ Bonef. non habet. 22 Leuncl. in marg. οὐκ ἄλυτοι. 23 Bonef. δῶμεν. 24 Id. τούτων. 25 Deest apud Bonef. 26 Leuncl. in marg. et Bonef. μεμνηστευμένοις. 27 Cf. Coll. II Nov. 104.

τὰς παλαιοτέρας νομοθεσίας. ἐξέσται τοίνυν τοῦτο[28] τοῖς βασιλεῦσι πρὸς τὸ ἔλαττον συνάγειν καὶ συστέλλειν κατ᾽ οἰκονομίαν, ὅτε καὶ βούλοιντο, καὶ τήν τε μνηστείαν ἑκατέραν (ἤγουν τήν τε κατὰ τὸν παλαιὸν νόμον μὴ ἐλάττονα[29] τῶν ἑπτὰ ἐτῶν ἐκτελεῖσθαι τετυπωμένην, ἥτις καὶ ἀτελὴς μνηστεία λέγεται καὶ[30] λελόγισται, τήν τε μετὰ ἱεροτελεστίας κατὰ τὴν τοῦ φιλοσοφωτάτου βασιλέως κυρίου Λέοντος νομοθεσίαν συνισταμένην καὶ ἐντελῆ μνηστείαν τυγχάνουσαν, ἅτε καὶ τὸν χρόνον σύνδρομον[31] ἔχουσαν) καὶ τὴν ἐξ ἱερολογίας συνάρμοσιν τοῖς μνηστευσαμένοις[32] ἤγουν τὸν τέλειον γάμον ἔνδον τῶν νενομισμένων αὐτοῖς καιρῶν περιγράφειν προτεθεσπισμένῃ[33] καὶ ταύτῃ τῇ νομοθεσίᾳ παρὰ τοῦ φιλοσοφωτάτου βασιλέως προτυγχανούσῃ· τὸ γὰρ τήν τε μνηστείαν καὶ τὴν ἐξ ἱερολογίας συνάρμοσιν τοῖς μνηστευομένοις[34] ἔνδον τῶν διορισθέντων ἐτῶν παρὰ τοῦ βασιλέως ἐπιψηφίζεσθαι ἐκείνῳ νενομοθέτηται. εἰ δ᾽ οὐκ ἐστὶ μνηστεία τελεία, ἥτις μὴ ταῖς ἐπὶ τοῖς μνήστροις εὐχαῖς τὴν βεβαίωσιν ἀπενέγκοιτο[35] μηδὲ τὸν νενομισμένον τοῖς γάμοις καιρὸν συνεπόμενον κέκτηται, ὁ τοῖς μνηστευομένοις τὴν ἐξ ἱερολογίας τῆς ἐπὶ τῷ γάμῳ τελουμένης συνάρμοσιν ἐπιψηφιζόμενος, τοῖς τελείοις ταύτην καὶ μὴ τελείοις ἐπιψηφίζεται[36] πάντως μνήστορσι. καὶ ταῦτα μὲν τοῖς βασιλεῦσι κατ᾽ οἰκονομίαν ἐκτελεσθήσεταί τινα· οὐ μέντοι γε καὶ τὴν φυσικὴν τούτοις συνέλευσιν ἐπαφήσουσιν, ἀλλά γε ταύτης ἐξωθήσονται τούς τε διὰ τῆς μνηστείας ἱεροτελεσθησομένους καὶ τοὺς τὴν[37] διὰ τῆς θείας ἐπῳδῆς τῶν ἐπὶ τῷ γάμῳ τελουμένων εὐχῶν συνάρμοσιν δεχομένους, ἐντὸς τῶν τῇ δηλωθείσῃ μνηστείᾳ καὶ τῷ γάμῳ ἀπονενεμημένων καιρῶν κατά τε τοὺς παλαιοὺς νόμους, κατά τε τὰς νεαρὰς τοῦ φιλοσοφωτάτου βασιλέως νομοθεσίας. τότε γὰρ ἡ φυσικὴ τούτοις ἄνετος συνέλευσις ἐαθήσεται, ὁπότε καὶ ἀρχῆθεν νενόμισται, ἤγουν τοῦ μὲν ἄῤῥενος ὑπὲρ τοὺς δεκατέσσαρας διατρέχοντος χρόνους, τῆς δὲ θηλείας τὸν δωδέκατον ὑπερβάσης ἐνιαυτόν. ἕως δ᾽ ἂν ἢ ἀμφότεροι ἢ θάτερος τῆς νενομισμένης τῶν χρόνων κατόπιν τρέχῃ[38] ποσότητος, οὐκ ἐνδοθήσεται τούτοις τὸ περὶ τὴν φυσικὴν συνέλευσιν ἄνετον, τῶν

---

[28] Leuncl. in marg. et Bonef. *ταῦτα*. [29] Leuncl. *ἐλάττονι*. [30] Verba *λέγ. καὶ* desunt apud Bonef. [31] Bonef. *τῷ γάμῳ σύνδρομον*. [32] Leuncl. *μνηστευομένοις*. [33] Haec aut a verbo *περιγράφειν* reguntur, aut legendum *προτεθεσπισμένης καὶ ταύτης τῆς νομοθεσίας — προτυγχανούσης*. [34] Bonef. *μεμνηστευμένοις*. [35] Leuncl. in marg. *ἀπενέγκατο*. [36] Bonef. *ἐπιψηφίζεσθαι*. [37] Id. articulum non habet. [38] Leuncl. *τρέχει*.

γονέων ἀπαιτουμένων περὶ τὴν τούτων[39] φυλακὴν μὴ ἀμελῶς καὶ ῥαθύμως διακεῖσθαι, ὡς ἂν μὴ παρὰ τὸν καθήκοντα καὶ ἀρχῆθεν ἀφορισθέντα τῇ φυσικῇ συνελεύσει καιρὸν οὗτοι πρὸς ἀλλήλους συνέλθοιεν. εἰ γὰρ παρὰ τὴν τούτων ῥαθυμίαν τοῦτο διαπραχθήσεται, ὅ τε διαπραξάμενος καὶ οἱ τούτου γονεῖς ὑποπεσοῦνται τοῖς ἐκ νόμων ἐπικειμένοις[40] ἐπιτιμίοις τοῖς παρθένον[41] ἐντὸς τῶν νενομισμένων καιρῶν τοῖς γάμοις διαφθείρουσιν. ἀλλὰ κἂν ὅ ποτε[42] βασιλεὺς κατ᾽ οἰκονομίαν τινὰ τόν τε τῶν μνηστειῶν καὶ τῶν γάμων ὑποτέμῃ χρόνον, καὶ συμβῇ πρὸ τῆς εὐλογίας τῶν γάμων καὶ πρὸ[43] τῶν στεφάνων μετὰ τὴν ἐξ ἱερῶν εὐχῶν τελεσθεῖσαν μνηστείαν θανάτῳ τοὺς μνηστευθέντας[44] διατμηθῆναι, τὸ περιλιμπανόμενον πρόσωπον κωλυθήσεται συναλλάξαι γάμον πρὸς ἃ συναλλάττειν κεκώλυται παρὰ τῆς προῤῥηθείσης συνοδικῆς διασκέψεως. οὐκ ἔσται γὰρ τοῖς περιλιμπανομένοις ἐπ᾽ ἀδείας πρὸς τὰ τοιαῦτα εἰσέρχεσθαι πρόσωπα, ὅτι μὴ ὁ χρόνος τῆς τελείας μνηστείας εὑρίσκεται σύνδρομος. τὰ γὰρ κατ᾽ οἰκονομίαν ἐκτελεσθέντα βασιλικὴν αὐτὸ τοῦτο[45] τὴν οἰκονομίαν ἀντὶ τοῦ χρόνου φέρουσιν ἐπαρήγουσαν. ἐκ γὰρ νόμων τοῖς βασιλεῦσιν, ὡς[46] πολλάκις εἴρηται, τὸ νομοθετεῖν καὶ οἰκονομεῖν συγκεχώρηται. εἰ γὰρ καὶ ἐν ἀτελεῖ τῷ χρόνῳ ἥ τε μνηστεία καὶ ὁ γάμος γενήσονται, ἀλλά γε πρὸς τὰ τοιαῦτα συναλλάττειν κωλυθήσονται πρόσωπα, πρὸς ἃ συναλλάττειν τούτους καὶ ὁ τέλειος γάμος καὶ ἡ τελεία ἱεροτελουμένη μνηστεία οὐ συγχωρεῖ, καὶ ταῦτα[47] κρατήσουσι καὶ ἐπὶ τούτοις ὡς[48] τελείοις λογιζομένοις καὶ τελείοις γινομένοις, ἅπερ καὶ ἐπὶ τοῖς ἄνευ βασιλικῆς οἰκονομίας γινομένοις τελείοις γάμοις κρατεῖ.

Τῆς γοῦν[49] προεκφωνηθείσης κατὰ τὸν ἰούνιον μῆνα τῆς ζ´ ἐπινεμήσεως τοῦ ͵ϛφϟβ´ ἔτους διατάξεως κατὰ πάντα τὰ ἐν αὐτῇ τυπωθέντα ἰσχυούσης ἀπαραθραύστως (οὐ γάρ κατά τι παρὰ τῆς νῦν νομοθεσίας διαλελώβηται, ἀλλὰ μᾶλλον ἀναπληροῦται καὶ ἐπὶ τὴν ὁλοκληρίαν προσεπανάγεται), καὶ ἅπερ νῦν διὰ τῆς παρούσης καὶ εἰς τὸ διηνεκὲς ὀφειλούσης ἰσχύειν νομοθεσίας ἡ ἡμετέρα διετύπωσε γαληνότης, πᾶσι παντοίως κατάδηλα σπεῦσον γενέσθαι, μεγαλεπιφανέστατε

---

[39] Bonef. τούτου. [40] Ita Leuncl. in marg. In textu ἀποκ. Bonef. ὑποκ. [41] Leuncl. addit [οὐκ]. [42] Leuncl. in marg. κἂν ποτε. Bonef. κἂν ὁπότε. [43] Praepositio deest apud Bonef. [44] Bonef. μνηστεύοντας. [45] Forte αὐτῷ τούτῳ. [46] Bonef. καί. [47] Leuncl. in marg. ταὐτά. Non male. [48] Leuncl. τοῖς ὡς. [49] Bonef. οὖν.

κουροπαλάτα καὶ μεγάλε δρουγγάριε τῆς βίγλης, ὥστε μηδένα ἀγνοεῖν τῶν ὑπὸ τὴν πολιτείαν τὴν ἡμετέραν τὰ ὑπὲρ λυσιτελείας αὐτῶν παρ' ἡμῶν διαθεσμοθετηθέντα τε καὶ νομοθετηθέντα. ἅπαν γὰρ τὸ χριστιανικώτατον πλήρωμα τῆς παρούσης νομοθεσίας ἐπαπολαύειν βουλόμεθα, ὡς ἂν μή τις τῶν ἁπάντων ἄγνοιάν ποτε προβάληται[50] τοῦ τοιούτου θεσμοθετήματος· διαβοηθῆναι ὀφείλοντος παρὰ σοῦ εἴς τε πάντα τὰ δικαστήρια καὶ εἰς πάσας τὰς ὑπὸ τὸ ἡμέτερον κράτος ἐπαρχίας καὶ τοὺς τῶν ἐν αὐταῖς ἁπασῶν ἐκκλησιῶν προεδρεύοντας, καὶ τηρουμένου[51] παρὰ παντὸς τοῦ χριστιανικοῦ πολιτεύματος· γεγενημένου κατὰ τὸν μάρτιον μῆνα τῆς παρούσης ιε' ἐπινεμήσεως τοῦ ͵ςχ' ἔτους. πλὴν εἰ καὶ ἄλυτοι πάντως αἱ μετὰ ἱεροτελεστίας τελούμεναι μνηστεῖαι διαμένειν ὀφείλουσιν, οὐ πάντως καὶ τῶν γάμων ἐπέκεινα ἄλυτοι διατηρηθήσονται· ἀλλ' αἷς αἰτίαις οὗτοι τὴν διάλυσιν ἐπιδέχονται, ταῖς αὐταῖς καὶ αὗται διαλυθήσονται. τό[52]· μηνὶ μαρτίῳ ἐπινεμήσεως ιε', δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

NOV. XXXII.

Imp. Alexii Comneni aurea bulla Venetis concessa[1]. (A. 1092.)

---

[50] Id. προβαλεῖται. [51] Id. τηρουμένους. [52] Leuncl. et Bonef. τῷ. Verba τῆς βασ. καὶ θ. χ. in solo JGR. accedunt.

[1] Cf. Tafel et Thomas Urkunden z. ält. Handels- u. Staatsgesch. d. Rep. Venedig to. I (Wien 1856) p. 43 sqq. Versio latina ejus chrysobulli inserta est Nov. LIV infra; alia Nov. LXXXVII infra, qua usus est Lebret Gesch. d. Rep. Venedig to. I p. 275.

NOV. XXXIII.

Imp. Alexii Comneni
de his qui ad orientales ecclesias nominati sunt[1].
(A. 1094.)

Ἀνάγνωθι καὶ τὴν κατὰ τὸν νοέμβριον μῆνα τῆς β' ἰνδ.[2] ἀπολυθεῖσαν πρόσταξιν τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ, καὶ διοριζομένην τοὺς ψηφισθέντας εἰς ἀνατολικὰς ἐκκλησίας ἔχειν καὶ αὖθις τὰ προσόντα αὐτοῖς ἡγουμενεῖα καὶ ἀδελφάτα καὶ ὀφφίκια, ἥτις ἔχει κατὰ ῥῆμα οὕτως·

Ἀνέμαθεν ἡ βασιλεία μου, ἁγιώτατε δέσποτά μου καὶ οἰκουμενικὲ πατριάρχα, ὅτι τῶν ἐν ταῖς τοῦ θεοῦ ἐκκλησίαις ψήφων προβαινουσῶν τινες τῶν εἰς τὰς ψήφους ἐπιλεγέντων, ἡγεμονεύοντες ἐν μοναστηρίοις καὶ οἰκονομοῦντες ἢ καὶ ἑτέρας τινὰς ὑπηρεσίας διενεργοῦντες καὶ ἁπλῶς τυγχάνοντες μοναχοὶ, ἕτεροι δὲ ἔν τε τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν ἑτέραις ἀπό τε ὀφφικίων καὶ ἑτέρων τινῶν λειτουργιῶν τὰ ζωαρκῆ κεκτημένοι, δυσχερῶς ἔχουσι τὸν τῆς ἱερωσύνης[3] ζυγὸν ὑπελθεῖν καὶ ταῖς ἐκκλησίαις ἐπιστατῆσαι αἷς ἐπεκηρύχθησαν· δεδιότες μήποτε τῶν τοιούτων ἐκκλησιῶν ἐν τοῖς τῆς ἀνατολῆς μέρεσι διακειμένων ἐπιλείψειε τούτοις τὰ ἀναγκαῖα, ἅτε τῶν μὲν ἐν αἷς ἐπεψηφίσθησαν ἐκκλησιῶν πάντῃ τυγχανουσῶν ἀπόρων καὶ ἀπροσβάτων αὐτοῖς παντελῶς, στερουμένων δὲ καὶ αὐτῶν διὰ τὸ τὴν ἐπιστασίαν τούτων ὑπεισελθεῖν τῶν προσουσῶν αὐτοῖς ἡγουμενειῶν καὶ οἰκονομιῶν καὶ ἑτέρων λειτουργιῶν, καὶ[4] τῶν ἁπλοϊκῶς λεγομένων ἀδελφάτων ἢ καὶ ὀφφικίων καὶ ἑτέρων τινῶν ὑπηρεσιῶν.

α'. Διορίζεται τοίνυν ἡ βασιλεία μου οἰκονομικῷ τινι λόγῳ διευθετοῦσα τὰ κατ' αὐτοὺς, μή τινα τούτων διὰ[5] ταῦτα δυσ-

---

[1] Praestat Bals. ad c. 37 syn. Trull. (ed. Rhalli II p. 390). Unde ediderunt Bonef. p. 62 et Leuncl. JGR. I. p. 453. — Excitatur ab eodem Bals. in Tr. de privil. patriarch. ed. Rhalli IV p. 555, et a Blast. *E*, 20 ed. Bevereg. II p. 125.
[2] Nempe anno 1094, quo tempore is fuit rerum orientalium status, qui Alexio hujus Novellae edendae occasionem daret. [3] Leuncl. *ἀρχιερωσύνης*. [4] Id. *ἢ καί*.
[5] Al. *μετά*.

χεραίνειν τῷ ζυγῷ τῆς ἀρχιερωσύνης ὑποδραμεῖν. πάντες γὰρ οὗτοι καταπολαύσουσι καὶ πάλιν τῶν προσουσῶν αὐτοῖς ἡγουμενειῶν τε καὶ οἰκονομιῶν, τῶν ἑτέρων τε ὑπηρεσιῶν καὶ λειτουργιῶν καὶ ὀφφικίων καὶ τῶν προσόντων αὐτοῖς ἀδελφάτων, καὶ τὸν τῆς διδασκαλίας ὑπεισερχόμενοι λόγον καὶ τὴν τελειοποιὸν τάξιν ἀναδεξάμενοι καὶ τῶν ἀπ᾽ ἐκείνων προσόδων κατεξουσιάσουσι, μέχρις ἂν ἄνεσιν λάβοιεν, καὶ ἀπὸ τῆς νῦν δυσκληρίας κατασταῖεν πρὸς εὐκληρίαν, τῶν[6] ψηφισθεισῶν αὐτοῖς ἐκκλησιῶν ὡς εἴρηται ἀβάτων οὐσῶν τούτοις ὡς ὑπὸ τῶν ἐχθίστων κατεχομένων ἐχθρῶν. πλὴν τὰ ἐνταῦθα διωρισμένα παρὰ τῆς βασιλείας μου οὐκ ἐπὶ τῶν ἀρχοντικίων κρατήσει καὶ τῶν βαθμῶν τῶν ἱερέων τε καὶ διακόνων καὶ τῶν λοιπῶν τοῦ κλήρου τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας.

Κατάστρωσον οὖν τὸ παρὸν πιττάκιον ἐν τοῖς κώδιξι τοῦ χαρτοφυλακίου τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας.

NOV. XXXIV.

Imp. Alexii Comneni rescripta ad rationales, et Rationarium antiquum et novum[1]. (A. 1094.)[2]

A.

Ἀρχὴ σὺν θεῷ τῆς παλαιᾶς λογαρικῆς τοῦ αὐγούστου καίσαρος.

α. Ἰστέον, ὅτι ιβ' μιλλιαρήσια ἢ ιβ' ἀργυρᾶ τῷ νομίσματι λογαριάζονται εἰς τὸ σέκρετον τοῦ γενικοῦ· τὸ γὰρ μιλλιαρήσιον ἀντὶ ἀργυροῦ λογίζεται, τὸ δὲ ἀργυρὸν ἀντὶ μιλλιαρησίου.

---

[6] Al. τὴν τῶν.

[1] Extant in Cod. Paris. gr. 1670, unde edita sunt a Montefalconio in: Analecta .. eruerunt .. Monachi Benedictini To. I Paris. 1688. 4. p. 316—392. Cf. Mortreuil III p. 108 sqq. Ego computationes, quas Codex praestat, brevitatis causa in tabulas redactas edidi. [2] Nimirum Rationarium novum post mortem Alexii Comneni confectum est, rescripta autem Alexii, quae continet, ind. II anno 1094 ab imperatore in urbem missa, quum ob bellum adversus Serbios et Cumanos ab urbe abesset.

β'. *Τὰ ἐπερωτήματα τῆς λογαρικῆς τοῦ γενικοῦ.*

Τὸ [τοῦ νομίσματος]		μιλλιαρήσια	φόλλεις
μη''[3]	=	—	ς'
κδ''	=	—	ιβ'
κδ'', μη''[4]	=	—	ιη'
η''	=	—	λς'
η'', μη''	=	—	μβ'
ιβ''	=	α'	—
ς''	=	β'	—
δ''	=	γ'	—
γ''	=	δ'	—
γ'', ιβ''	=	ε'	—
ï[5]	=	ς'	—
ï, ιβ''	=	ζ'	—
ï, ς'' ἤτοι β''	=	η'	—
ï, δ''	=	ϑ'	—
ï, γ''	=	ι'	—
ï, γ'', ιβ''	=	ια'	—
ï, γ'', ς''	=	ιβ'	—

καὶ ὁμοῦ χάραγμα νόμισμα α', συμψηφιζόμενον κατὰ τὸ σέκρετον τοῦ γενικοῦ οὕτως.

γ'. *Ἐστὶ δὲ καὶ ἡ ἀπαίτησις τοῦ δικεράτου[6] κατὰ τὸν τύπον τοῦ σεκρέτου οὕτως·*

Εἰς τὸ τοῦ νομίσματος	ἀπαιτεῖ δικέρατον φόλλεις	ὁμοῦ σὺν δικεράτῳ		ἤτοι	μιλλιαρήσια	φόλλεις
		νομίσματος	φόλλεις			
μη''	α'	—	ζ	=	—	—
κδ''	α'	—	ιγ'	=	—	—
κδ'', μη''	β'	—	κ'	=	—	—
ιβ''	β'	—	κς'	=	α'	β'
ιβ'', μη''	γ'	—	λγ'	=	α'	ϑ'
η''	γ'	—	λϑ'	=	α'	ιε'
η'', μη''	δ'	—	μς'	=	α'	κβ'
ς''	δ'	—	νβ'	=	β'	δ'
δ''	ς'	δ'', μη''	—	=	γ'	ς'
γ''	η'	γ'', μη''	β	=	δ'	η'
γ'', ιβ''	ι'	γ'', ιβ'', μη''	δ'	=	ε'	ι'
ï	ιβ'	ï, κδ''	—	=	ς'	ιβ'
ï, μη''	ιγ'	ï, κδ'', μη''	α'	=	ς'	ιϑ'
ï, κδ''	ιγ'	ï, ιβ''	α'	=	ζ'	α'
ï, κδ'', μη''	ιδ'	ï, ιβ'', μη''	β'	=	ζ'	η'
ï, ιβ''	ιδ'	ï, η''	β'	=	ζ'	ιδ'
ï, η''	ιε'	ï, ς''	γ'	=	η'	γ'
ï, η'', μη''	ις'	ï, ς'', μη''	δ'	=	η'	ι'

[3] Acutus duplicatus partem indicat: itaque lege: *τεσσαρακοστὸν ὄγδοον* sc. *μέρος*. Et sic deinceps. [4] Hoc est $1/24 + 1/48$. [5] Haec nota *ἥμισυ* significat. [6] *Δικέρατον*, quod duo ceratia exiguntur in unumquodque nomisma.

δ'. *Ἕως ὧδε ὀφείλεις ἀπαιτεῖν δικέρατον καὶ μόνον· ἀπὸ δὲ τοῦ ἥμισυ ἕκτου ἤτοι τοῦ διμοίρου τοῦ ἑνὸς χαράγματος νομίσματος ὀφείλεις ἀπαιτεῖν καὶ ἑξάφολλον διὰ χαράγματος· λογαριάζειν δὲ ιβ' μιλλιαρήσια τῷ νομίσματι ἤτοι τὸ μιλλιαρήσιον ἔχειν φόλλεις κδ' κατὰ τὴν παλαιὰν παράδοσιν τοῦ* αὐγούστου καίσαρος, *ἀντιστρέφειν δὲ τὰς στροφὰς*[7] *ἐξ ὁλοκλήρου κατὰ τὸ ἀνῆκον τῷ δημοσίῳ. χρὴ δὲ γινώσκειν, ὅτι τὸ ἑξάφολλον προσθήκη ἐγεγόνει* λέοντος τοῦ ἰσαύρου[8].

Εἰς τὸ νόμισμα	ἀπαιτεῖ δικέρατον		ἑξάφολλον		ὁμοῦ σὺν δικεράτῳ καὶ ἑξαφόλλῳ		ἤτοι	μιλλιαρήσια	φόλλεις		χαράγματος νόμισμα	ἀντιστροφή	
	νόμισμα	φόλλεις	φόλλεις	ἤτοι νομίσματος	νόμισμα	φόλλεις						νομίσματος	φόλλεις
ϊ, ϛ'' ἤτοι δίμοιρον	—	ιϛ'	ϛ'	—	ϊ, ϛ', κδ'', μη''	δ'	=	η'	κβ'	=	α'	δ''	β'
ϊ, ϛ'', μη''	—	ιζ'	ϛ'	—	ϊ, δ''	ε'	=	θ'	ε'	=	α'	ϛ'', κδ'', μη''	α'
ϊ, ϛ'', κδ''	—	ιζ'	ϛ'	—	ϊ, δ'', μη''	ε'	=	θ'	ια'	=	α'	ϛ'', κδ''	α'
ϊ, ϛ'', κδ'', μη''	—	ιη'	ϛ'	—	ϊ, δ'', κδ'', μη''	—	=	θ'	ιη'	=	α'	ϛ'', μη''	—
ϊ, δ''	—	ιη'	ϛ'	—	ϊ, γ''	—	=	ι'	—	=	α'	ϛ''	—
ϊ, δ'', μη''	—	ιθ'	ϛ'	—	ϊ, γ'', μη''	α'	=	ι'	ζ'	=	α'	η''	ε'
ϊ, δ'', κδ''	—	ιθ'	ϛ'	—	ϊ, γ'', κδ''	α'	=	ι'	ιγ'	=	α'	ιβ'', μη'	ε'
ϊ, δ'', κδ'', μη''	—	κ'	ϛ'	—	ϊ, γ'', κδ'', μη''	β'	=	ι'	κ'	=	α'	ιβ''	δ'
ϊ, γ''	—	κ'	ϛ'	—	ϊ, γ'', ιβ''	β'	=	ια'	β'	=	α'	κδ'', μη''	δ'
ϊ, γ'', μη''	—	κα'	ϛ'	—	ϊ, γ'', ιβ'', μη''	γ'	=	ια'	θ'	=	α'	κδ''	γ'
ϊ, γ'', κδ''	—	κα'	ϛ'	—	ϊ, γ'', η''	γ'	=	ια'	ιε'	=	α'	—	θ'
ϊ, γ'', κδ'', μη''	—	κβ'	ϛ'	—	ϊ, γ'', η'', μη''	δ'	=	ια'	κβ'	=	α'	—	β''
ϊ, γ'', ιβ''	—	κβ'	ϛ'	—	α'	δ'	=	—	—	=	—	—	—
ϊ, γ'', η''	—	κγ'	ϛ'	—	α'	ιζ'	=	—	—	=	—	—	—

[7] *Ἀντιστροφῆς* ratio haec est. Tributa *διὰ χαράγματος νομίσματος* praestanda erant. Quorum summa sicubi infra *χάραγμα νόμισμα* computaretur, tamen integrum solvendum erat, restituebatur autem quod nimium hoc modo esset solutum vulgaribus numis. [8] Cf. Coll. I Nov. 26 not. 1.

Εἰς τὸ νόμισμα	ἀπαίτει δικέρατον		ἑξάφολλον		ὁμοῦ σὺν δικεράτῳ καὶ ἑξαφόλλῳ		ἤτοι	μιλλιαρήσια	φόλλεις		χαράγματος νόμισμα	ἀντιστροφὴ	
	νόμισμα	φόλλεις	φόλλεις	ἤτοι νομίσματος	νόμισμα	φόλλεις						νομίσματος	φόλλεις
ï, γ'', η'', μη''	—	κδ'	ς'	μη''	α', ιβ''	—	=	—	—	=	—	—	—
α' [9]	ιβ''	—	—	μη''	α', ιβ'', μη''	—	=	—	—	=	—	—	—
α', ιβ''	ιβ''	β'	ς'	μη''	α', ς'', μη''	β'	=	—	—	=	—	—	—
α', ς''	ιβ''	δ'	—	μη''	α', δ'', μη''	δ'	=	—	—	=	—	—	—
α', δ''	ιβ'' μη''	—	—	μη''	α', γ'', κδ''	—	=	—	—	=	—	—	—
α', γ''	ιβ'' μη''	β'	—	μη''	α', γ'', η''	β'	=	—	—	=	—	—	—
α', γ'', ιβ''	ιβ'' μη''	δ'	—	μη''	α', ï, κδ''	δ'	=	—	—	=	—	—	—
α', ï	η''	—	—	κδ''	α', ï, ς''	—	=	—	—	=	β'	γ''	—
α', ï, μη''	η''	α'	—	κδ''	α', ï, ς'', μη''	α'	=	—	—	=	β'	δ'', κδ''	ε'
α', ï, κδ''	η''	α'	—	κδ''	α', ï, ς'', κδ''	α'	=	—	—	=	β'	δ'', μη''	ε'
α', ï, κδ'', μη''	η''	β'	—	κδ''	α', ï, ς'', κδ'', μη''	β'	=	—	—	=	β'	δ''	δ'
α', ï, ιβ''	η''	β'	—	κδ''	α', ï, δ''	β'	=	—	—	=	β'	ς'', κδ'', μη''	δ'
α', ï, η''	η''	γ'	—	κδ''	α', ï, δ'', κδ''	γ'	=	—	—	=	β'	ς'', μη''	γ'
α', ï, η'', μη''	η''	δ'	—	κδ''	α', ï, δ'', κδ'', μη''	δ'	=	—	—	=	β'	ς''	β'
α', ï, ς''	η''	δ'	—	κδ''	α', ï, γ''	δ'	=	—	—	=	β'	η'', μη''	β'
α', ï, δ''	η'' μη''	—	—	κδ''	α', ï, γ'', ιβ'', μη''	—	=	—	—	=	β'	κδ'', μη''	—
α', ï, γ''	η'' μη''	β'	—	κδ''	β'	η'	=	—	—	=	—	—	—
α', ï, γ'', ιβ''	η'' μη''	δ'	—	κδ''	β', ιβ'', μη''	δ'	=	—	—	=	—	—	—

[9] In Codice haec nota subjicitur: *Καὶ ταῦτα μὲν εἰσὶ τὰ λογισθέντα καὶ ἐγνωσμένα τῷ δημοσίῳ καὶ εἰσκομιζόμενα ἐν τῷ βασιλικῷ κοιτῶνι. ἐκτὸς δὲ τούτων εἴωθεν ἀπαιτεῖν ὁ πράκτωρ καὶ ὑπὲρ τῆς ἑαυτοῦ ὠφελείας ἐφ' ἑκάστῳ νομίσματι συνήθειαν νομίσματος δωδέκατον ἤτοι μιλλιαρήσιον α' ἤγουν φόλλεις κδ'· καὶ λόγῳ ποδοκοπίου τοῦ ἕλκοντος ἀνθρώπου αὐτοῦ τὸν τελεστὴν πρὸς τὸ δοῦναι τὸ ἀνῆκον τῷ δημοσίῳ, ἐλατικὸν φόλλεις ιβ' ἤτοι νομίσματος κδ''. καὶ τὸ μὲν χάραγμα ἤτοι τὸ α' νόμισμα μετὰ τοῦ δικερατοεξαφόλλου ἐστὶ τοῦ δημοσίου· αἱ δὲ λς' φόλλεις εἰσὶ τοῦ πράκτορος.* Cf. infra c. 5 initio.

Εἰς τὰ νομίσματα	ἀπαίτει δικέρατον νόμισμα	ἐξάφολλον νόμισμα	ὁμοῦ σὺν δικεράτῳ καὶ ἐξαφόλλῳ νομίσματα
β′	ς″	κδ″	β′, ς″, κδ″
γ′	δ″	κδ″, μη″	γ′, δ″, κδ″, μη″
δ′	γ″	ιβ″	δ′, γ″, ιβ″
ε′	γ″, ιβ″	ιβ″, μη″	ε′, ϊ, μη″
ς′	ϊ	η″	ς′, ϊ, η″
ζ′	ϊ, ιβ″	η″, μη″	ζ′, ϊ, ς″, κδ″, μη″
η′	ϊ, ς″	ς″	η′, ϊ, γ″
θ′	ϊ, δ″	ς″, μη″	θ′, ϊ, γ″, ιβ″, μη″
ι′	ϊ, γ″	ς″, κδ″	ια′, κδ″
ια′	ϊ, γ″, ιβ″	ς″, κδ″, μη″	ιβ′, η″, μη″
ιβ′	α′	δ″	ιγ′, δ″
ιγ′	α′, ιβ″	δ″, μη″	ιδ′, γ″, μη″
ιδ′	α′, ς″	δ″, κδ″	ιε′, γ″, η″
ιε′	α′, δ″	δ″, κδ″, μη″	ις′, ϊ, κδ″, μη″
ις′	α′, γ″	γ″,	ιζ′, ϊ, ς″
ιζ′	α′, γ″, ιβ″	γ″, μη″	ιη′, ϊ, δ″, μη″
ιη′	α′, ϊ	γ″, κδ″	ιθ′, ϊ, γ″, κδ″
ιθ′	α′, ϊ, ιβ″	γ″, κδ″, μη″	κ′, ϊ, γ″, η″, μη″
κ′	α′, ϊ, ς″	γ″, ιβ″	κβ′, ιβ″
κα′	α′, ϊ, δ″	γ″, ιβ″, μη″	κγ′, ς″, μη″
κβ′	α′, ϊ, γ″	γ″, η″	κδ′, δ″, κδ″
κγ′	α′, ϊ, γ″, ιβ″	γ″, η″, μη″	κε′, γ″, κδ″, μη″
κδ′	β′	ϊ	κς′, ϊ
κε′	β′, ιβ″	ϊ, μη″	κζ′, ϊ, ιβ″, μη″
κς′	β′, ς″	ϊ, κδ″	κη′, ϊ, ς″, κδ″
κζ′	β′, δ″	ϊ, κδ″, μη″	κθ′, ϊ, δ″, κδ″, μη″
κη′	β′, γ″	ϊ, ιβ″	λ′, ϊ, γ″, ιβ″
κθ′	β′, γ″, ιβ″	ϊ, ιβ″, μη″	λβ′, μη″
λ′	β′, ϊ	ϊ, η″	λγ′, η″
λα′	β′, ϊ, ιβ″	ϊ, η″, μη″	λδ′, ς″, κδ″, μη″
λβ′	β′, ϊ, ς″	ϊ, ς″	λε′, γ″
λγ′	β′, ϊ, δ″	ϊ, ς″, μη″	λς′, γ″, ιβ″, μη″
λδ′	β′, ϊ, γ″	ϊ, ς″, κδ″	λζ′, ϊ, κδ″
λε′	β′, ϊ, γ″, ιβ″	ϊ, ς″, κδ″, μη″	λη′, ϊ, η″, μη″
λς′	γ′	ϊ, δ″	λθ′, ϊ, δ″
λζ′	γ′, ιβ″	ϊ, δ″, μη″	μ′, ϊ, γ″, μη″
λη′	γ′, ς″	ϊ, δ″, κδ″	μα′, ϊ, γ″, η″
λθ′	γ′, δ″	ϊ, δ″, κδ″, μη″	μγ′, κδ″, μη″
μ′	γ′, γ″	ϊ, γ″	μδ′, ς″
μα′	γ′, γ″, ιβ″	ϊ, γ″, μη″	με′, δ″, μη″
μβ′	γ′, ϊ	ϊ, γ″, κδ″	μς′, γ″, κδ″
μγ′	γ′, ϊ, ιβ″	ϊ, γ″, κδ″, μη″	μζ′, γ″, η″, μη″
μδ′	γ′, ϊ, ς″	ϊ, γ″, ιβ″	μη′, ϊ, ιβ″
με′	γ′, ϊ, δ″	ϊ, γ″, ιβ″, μη″	μθ′, ϊ, ς″, μη″
μς′	γ′, ϊ, γ″	ϊ, γ″, η″	ν′, ϊ, δ″, κδ″
μζ′	γ′, ϊ, γ″, ιβ″	ϊ, γ″, η″, μη″	να′, ϊ, γ″, κδ″, μη″
μη′	δ′	α′	νγ′
μθ′	δ′, ιβ″	α′ μη″	νδ′, ιβ″, μη″
ν′	δ′, ς″	α′, κδ″	νε′, ς″, κδ″
να′	δ′, δ″	α′, κδ″, μη″	νς′, δ″, κδ″, μη″
νβ′	δ′, γ″	α′, ιβ″	νζ′, γ″, ιβ″
νγ′	δ′, γ″, ιβ″	α′, ιβ″, μη″	νη′, ϊ, μη″
νδ′	δ′, ϊ	α′, η″	νθ′, ϊ, η″
νε′	δ′, ϊ, ιβ″	α′, η″, μη″	ξ′, ϊ, ς″, κδ″, μη″

Εἰς τὰ νομίσματα	ἀπαιτεῖ δικέρατον νόμισμα	ἑξάφολλον νόμισμα	ὁμοῦ σὺν δικεράτῳ καὶ ἑξαφόλλῳ νομίσματα
νϛ′	δ′, ï, ϛ″	α′, ϛ″	ξα′, ï, γ″
νζ′	δ′, ï, δ″	α′, ϛ″, μη″	ξβ′, ï, γ″, ιβ″, μη″
νη′	δ′, ï, γ″	α′, ϛ″, κδ″	ξδ′, κδ″
νθ′	δ′, ï, γ″, ιβ″	α′, ϛ″, κδ″, μη″	ξε′, η″, μη″
ξ′	ε′	α′, δ″	ξϛ′, δ″
ξα′	ε′, ιβ″	α′, δ″, μη″	ξζ′, γ″, μη″
ξβ′	ε′, ϛ″	α′, δ″, κδ″	ξη′, γ″, μη″
ξγ′	ε′, δ″	α′, δ″, κδ″, μη″	ξθ′, ï, κδ″, μη″
ξδ′	ε′, γ″	α′, γ″	ο′, ï, ϛ″
ξε′	ε′, γ″, ιβ″	α′, γ″, μη″	οα′, ï, δ″, μη″
ξϛ′	ε′, ï	α′, γ″, κδ″	οβ′, ï, γ″, κδ″
ξζ′	ε′, ï, ιβ″	α′, γ″, κδ″, μη″	ογ′, ï, γ″, η″, μη″
ξη′	ε′, ï, ϛ″	α′, γ″, ιβ″	οε′, ιβ″
ξθ′	ε′, ï, δ″	α′, γ″, ιβ″, μη″	οϛ′, ϛ″, μη″
ο′	ε′, ï, γ″	α′, γ″, η″	οζ′, δ″, κδ″
οα′	ε′, ï, γ″, ιβ″	α′, γ″, η″, μη″	οη′, γ″, κδ″, μη″
οβ′	ϛ′	α′, ï	οθ′, ï
ογ′	ϛ′, ιβ″	α′, ï, μη″	π′, ï, ιβ″, μη″
οδ′	ϛ′, ϛ″	α′, ï, κδ″	πα′, ï, ϛ″, κδ″
οε′	ϛ′, δ″	α′, ï, κδ″, μη″	πβ′, ï, δ″, κδ″, μη″
οϛ′	ϛ′, γ″	α′, ï, ιβ″	πγ′, ï, γ″, ιβ″
οζ′	ϛ′, γ″, ιβ″	α′, ï, ιβ″, μη″	πε′, μη″
οη′	ϛ′, ï	α′, ï, η″	πϛ′, η″
οθ′	ϛ′, ï, ιβ″	α′, ï, η″, μη″	πζ′, ϛ″, κδ″, μη″
π′	ϛ′, ï, ϛ″	α′, ï, ϛ″	πη′, γ″
πα′	ϛ′, ï, δ″	α′, ï, ϛ″, μη″	πθ′, γ″, ιβ″, μη″
πβ′	ϛ′, ï, γ″	α′, ï, ϛ″, κδ″	ϟ′, ï, κδ″
πγ′	ϛ′, ï, γ″, ιβ″	α′, ï, ϛ″, κδ″, μη″	ϟα′, ï, η″, μη″
πδ′	ζ′	α′, ï, δ″	ϟβ′, ï, δ″
πε′	ζ′, ιβ″	α′, ï, δ″, μη″	ϟγ′, ï, γ″, μη″
πϛ′	ζ′, ϛ″	α′, ï, δ″, κδ″	ϟδ′, ï, γ″, η″
πζ′	ζ′, δ″	α′, ï, δ″, κδ″, μη″	ϟϛ′, κδ″, μη″
πη′	ζ′, γ″	α′, ï, γ″	ϟζ′, ϛ″
πθ′	ζ′, γ″, ιβ″	α′, ï, γ″, μη″	ϟη′, δ″, μη″
ϟ′	ζ′, ï	α′, ï, γ″, κδ″	ϟθ′, γ″, κδ″
ϟα′	ζ′, ï, ιβ″	α′, ï, γ″, κδ″, μη″	ρ′, γ″, η″, μη″
ϟβ′	ζ′, ï, ϛ″	α′, ï, γ″, ιβ″	ρα′, ï, ιβ″
ϟγ′	ζ′, ï, δ″	α′, ï, γ″, ιβ″, μη″	ρβ′, ï, ϛ″, μη″
ϟδ′	ζ′, ï, γ″	α′, ï, γ″, η″	ργ′, ï, δ″, κδ″
ϟε′	ζ′, ï, γ″, ιβ″	α′, ï, γ″, η″, μη″	ρδ′, ï, γ″, κδ″, μη″
ϟϛ′	η′	β′	ρϛ′
ϟζ′	η′, ιβ″	β′, μη″	ρζ′, ιβ″, μη″
ϟη′	η′, ϛ″	β′, κδ″	ρη′, ϛ″, κδ″
ϟθ′	η′, δ″	β′, κδ″, μη″	ρθ′, δ″, κδ″, μη″
ρ′	η′, γ″	β′, ιβ″	ρι′, γ″, ιβ″
σ′	ιϛ′, ï, ϛ″	δ′, ϛ″	σκ′, ï, γ″
τ′	κε′	ϛ′, δ″	τλα′, δ″
υ′	λγ′, γ″	η′, γ″	υμα′, ï, ϛ″
φ′	μα′, ï, ϛ″	ι′, γ″, ιβ″	φνβ′, ιβ″
χ′	ν′	ιβ′, ï	χξβ′, ï
ψ′	νη′, γ″	ιδ′, ï, ιβ″	ψοβ′, ï, γ″, ιβ″
ω′	ξϛ′, ï, ϛ″	ιϛ′, ï, ϛ″	ωπγ′, γ″
ϡ′	οε′	ιη′, ï, δ″	ϡϟγ′, ï, δ″
͵α	πγ′, γ″	κ′, ï, γ″	͵αρδ′, ϛ″

Εἰς τὰ νομίσματα	ἀπαίτει δικέρατον νόμισμα	ἑξάφολλον νόμισμα	ὁμοῦ σὺν δικεράτῳ καὶ ἑξαφόλλῳ νομίσματα
,β	ϱξϛ', ï, ϛ''	μα', ï, ϛ''	,βση', γ''
,γ	σν'	ξβ', ï	,γτιβ', ï
,δ	τλγ', γ''	πγ', γ''	,δυιϛ', ï, ϛ''
,ε	υιϛ', ï, ϛ''	ϱδ', ϛ''	,εφκ', ï, γ''
,ϛ	φ'	ϱκε'	,ϛχκε'
,ζ	φπγ', γ''	ϱμε', ï, γ''	,ζψκϑ', ϛ''
,η	χξϛ', ï, ϛ''	ϱξϛ', ï, ϛ''	,ηωλγ', γ''
,ϑ	ψν'	ϱπζ', ï	,ϑϡλζ', ï
α̈	ωλγ', γ''	ση', γ''	α̈,αμα', ï, ϛ''.

ε'. Καὶ ταῦτα μὲν εἰσὶ τὰ λόγῳ τοῦ δημοσίου ποτὲ ἀπαιτούμενα καὶ εἰσκομιζόμενα. ἐκτὸς δὲ τούτων εἴωθεν ἀπαιτεῖν ὁ πράκτωρ καὶ ὑπὲρ ὠφελείας αὐτοῦ ἐφ' ἑκάστῳ νομίσματι συνήθειαν μιλλιαρήσιον α', ὅ ἐστι τὸ δωδέκατον τοῦ νομίσματος, καὶ λόγῳ ποδοκοπίου τοῦ ἕλκοντος ἀνθρώπου αὐτοῦ τὸν τελεστὴν πρὸς τὸ δοῦναι τὸ ἀνῆκον τῷ δημοσίῳ ἐλατικὸν φόλλεις ιβ' ἤτοι νομίσματος κδ''. καὶ τὰ μὲν δικερατοεξάφολλα ὡς τοῦ δημοσίου ὄντα ἐτίθεντο καὶ εἰς τὸ παρ' αὐτοῦ διδόμενον κατάστιχον πρὸς τὸ σέκρετον τοῦ γενικοῦ· ἡ δὲ συνήθεια καὶ τὸ ἐλατικὸν εἰσεκομίζοντο μὲν καὶ ταῦτα εἰς τὸν δημόσιον καὶ εἰς τὸ σέκρετον τοῦ γενικοῦ, ἐδίδοντο δὲ ἐκ τούτων αἱ ἐκθέσεις τῶν σεκρετικῶν κατὰ τὴν ἔκθεσιν ἑκάστης τῶν διοικήσεων, ὡς ὑπὲρ ὠφελείας τοῦ διοικητοῦ καὶ τῶν ἀνθρώπων αὐτοῦ ὡς εἴρηται ἀπαιτουμένων. ἐτίθεντο δὲ εἰς τὸ κατάστιχον αὐτοῦ, οὐκ εἰς τὴν ἀπόδειξιν τοῦ τελοῦντος τὴν γενομένην αὐτῷ παρὰ τοῦ διοικητοῦ. ὕστερον δὲ διὰ τὸ ἀφορισθῆναι καὶ ταῦτα εἰς τὸν δημόσιον τίθενται παρ' αὐτοῦ λεπτομερῶς, καὶ γράφει ἐν τῇ ἀποδείξει τοῦ τελοῦντος χωρίου οὕτως· ὁμοῦ σῶμα[10] νομίσματα ϱ', δικέρατον μιλλιαρήσια ϱ' ἤγουν νομίσματα η' γ'', ἑξάφολλον μιλλιαρήσια κε' ἤγουν νομίσματα β' ιβ'', συνήθειαν νομίσματα γ' καὶ ἐλατικὸν νόμισμα α', — ὁμοῦ σὺν δικερατοεξαφόλλῳ, τῇ συνηθείᾳ καὶ τῷ ἐλατικῷ νομίσματα ϱιδ' γ'' ιβ''.

ϛ'. Περὶ τῶν συνηθειῶν καὶ ἐλατικῶν.

Εἰς τὰ νομίσματα	ὀφείλεις ἀπαιτεῖν: συνήθειαν νόμισμα	ὀφείλεις ἀπαιτεῖν: καὶ ἐλατικὸν νόμισμα	
α'	ιβ'' ἤγουν μιλλ.	κδ'' ἤγουν φόλλεις ιβ'	
β'	ϛ'' [α'	κδ''	
γ'	δ''	κδ''	
γ'	γ''	κδ''	
ε'	γ'', ιβ''	κδ''	
ϛ'	α'	ï	καὶ μέχρι καὶ αὐτῶν τῶν ι' νομισμάτων
ι', ï	β'	α'	„ „ „ „ „ λ' „
λ', ï	γ'	α'	„ „ „ „ „ ϱ' „
ϱ', ï	ϛ'	α'	„ „ „ „ „ σ' „
σ', ï	ϑ'	α'	καὶ ἵσταται·

πλεῖον γὰρ τῶν ι' νομισμάτων ἡ συνήθεια σὺν τῷ ἐλατικῷ οὐκ ἀναβιβάζεται οὐδὲ ἀπαιτεῖται, ὅσα ἂν εἰσὶ τὰ τοῦ δημοσίου νομίσματα ἐπέκεινα τῶν σ' πρὸς τῷ ἑνί.

[10] i. e. summa.

ζ.

Εἰς τὰ νομίσματα	ἀπαίτει δικέρατον, νόμισμα	ἑξάφολλον, νόμισμα	συνήθειαν, νόμισμα	ἐλατικὸν, νόμισμα	ὁμοῦ σὺν δικερατοεξαφόλλῳ τῇ συνηθείᾳ καὶ τῷ ἐλατικῷ νομίσματα
α'	ιβ''	μη''	ιβ''	κδ''	α', ϛ'', κδ'', μη''
β'	ϛ''	κδ''	ϛ''	κδ''	β', γ'', ιβ''
γ'	δ''	κδ'', μη''	δ''	κδ''	γ', ϊ, ιβ'', μη''
δ'	γ''	ιβ''	γ''	κδ''	δ', ϊ, δ'', κδ''
ε'	γ'', ιβ''	ιβ'', μη''	γ'',ιβ''	κδ''	ε', ϊ, γ'', η'', μη''
ϛ'	ϊ	η''	α'	ϊ	η', η''
ζ'	ϊ, ιβ''	η'', μη''	α'	ϊ	ϑ', ϛ'', κδ'', μη''
η'	ϊ, ϛ''	ϛ''	α'	ϊ	ι', γ''
ϑ'	ϊ, δ''	ϛ'', μη''	α'	ϊ	ια', γ'', ιβ'', μη''
ι'	ϊ, γ''	ϛ'', κδ''	α'	ϊ	ιβ', ϊ, κδ''
ι', ϊ	ϊ, γ'', κδ''	ϛ'', κδ'', μη''	β'	α'	ιδ', ϊ, ιβ'', μη''
ιε'	α', δ''	δ'', κδ'', μη''	β'	α'	ιϑ', ϊ, κδ'', μη''
κ'	α', ϊ, ϛ''	γ'', ιβ''	β'	α'	κε', ιβ''
κε'	β', ιβ''	ϊ, μη''	β'	α'	λ', ϊ, ιβ'', μη''
λ'	β', ϊ	ϊ, η''	β'	α'	λϛ', η''
λ', ϊ	β', ϊ, κδ''	ϊ, η'', μη''	γ'	α'	λζ', [ϊ][11], ϛ'', μη''
λε'	β', ϊ, γ'', ιβ''	ϊ, ϛ'', κδ'', μη''	γ'	α'	μβ', ϊ, η'', μη''
μ'	γ', γ''	ϊ, γ''	γ'	α'	μη', ϛ''
με'	γ', ϊ, δ''	ϊ, γ'', ιβ'', μη''	γ'	α'	νγ', ϊ, ϛ'', μη''
ν'	δ', ϛ''	α', κδ''	γ'	α'	νϑ', ϛ'', κδ''
νε'	δ', ϊ, ιβ''	α', η'', μη''	γ'	α'	ξδ', ϊ, ϛ'', κδ'', μη''
ξ'	ε'	α', δ''	γ'	α'	ο', δ''
ξε'	ε', γ'', ιβ''	α', γ'', μη''	γ'	α'	οε', ϊ, δ'', μη''
ο'	ε', ϊ, γ''	α', γ'', η''	γ'	α'	πα', δ'', κδ''
οε'	ϛ', δ''	α', ϊ, κδ'', μη''	γ'	α'	πϛ', ϊ, δ'', κδ'', μη''
π'	ϛ', ϊ, ϛ''	α', ϊ, ϛ''	γ'	α'	ϟβ', γ''
πε'	ζ', ιβ''	α', ϊ, δ'', μη''	γ'	α'	ϟζ', ϊ, γ'', μη''
ϟ'	ζ', ϊ	α', ϊ, γ'', κδ''	γ'	α'	ργ', γ'', κδ''
ϟε'	ζ, ϊ, γ'', ιβ''	α', ϊ, γ'', η'', μη''	γ'	α'	ρη', ϊ, γ'', κδ'', μη''
ρ'	η', γ''	β', ιβ''	γ'	α'	ριδ', γ'', ιβ''
ρ', ϊ	η', γ'', κδ''	β', ιβ'', μη''	ϛ'	α'	ριζ', ϊ, γ'', η'', μη''.

Καὶ εἰς τὰ ἐπέκεινα δὲ ψηφία τοῦ δημοσίου τὰ μέχρι τῶν διακοσίων νομισμάτων καὶ αὐτῶν ἡ αὐτὴ ποσότης τῆς συνηθείας καὶ τοῦ ἐλατικοῦ εἰσπράττεται· ἔκτοτε δὲ αὐξανομένης τῆς τῶν νομισμάτων ἀπαιτήσεως, αὔξεται καὶ ἡ συνήθεια σὺν τῷ ἐλατικῷ περιϊσταμένη εἰς νομίσματα ί, καὶ οὕτως ἵσταται· πλεῖον γὰρ τῶν ί νομισμάτων οὐκ ἀναβιβάζεται ἡ συνήθεια σὺν τῷ ἐλατικῷ οὐδὲ ἀπαιτεῖται, ὅσα ἂν εἰσὶ τὰ τοῦ δημοσίου ἐπέκεινα τῶν διακοσίων πρὸς τῷ ἑνί. ἐφ' ἑκάστῳ μέντοι νομίσματι ἀπαιτεῖται δικέρατον μιλλιαρήσιον α', ὅ ἐστι ιβ'' τοῦ νομίσματος, — ἑξάφολλον φόλλεις ϛ', ὅ ἐστι νομίσματος μη'', — συνήθεια μιλλιαρήσιον α', ὅ ἐστι ιβ'' τοῦ νομίσματος, — καὶ ἐλατικὸν φόλλεις ιβ', ὅ ἐστι νομίσματος κδ''. τὰ δὲ μιλλιαρήσια ὀφείλεις λογαριάζειν δώδεκα τῷ νομίσματι ἐν πάσῃ δημοσίᾳ ἀπαιτήσει.

Τέλος σὺν θεῷ τῆς παλαιᾶς λογαρικῆς τοῦ αὐγούστου καίσαρος.

---

[11] Supplevit Montfaucon. Recte.

B.

Καὶ ἀρχὴ τῆς νέας τῆς νῦν ἀπαιτουμένης διὰ προστάξεως τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ.

302/303

I. Τὰ ἶσα τῶν ὑπομνήσεων τῶν γεγονότων γενικῶν τοῦ τε τζιρίθνου[12] κυροῦ ἰωάννου καὶ τοῦ σπανοπώλου κυροῦ γεωργίου[13], ἔτι δὲ καὶ τῶν ἐπὶ ταύταις ἐξενεχθεισῶν προσκυνητῶν βασιλικῶν λύσεων καὶ παρεκβληθεισῶν ἀπὸ τῆς ἐναποκειμένης ἐν τῷ θολωτῷ ὠάτῳ[14] τοῦ μεγάλου παλατίου ἀρχαίας σεκρετικῆς θέσεως τοῦ ῥηθέντος σπανοπώλου, τῶν καὶ περιεχουσῶν οὕτως·

α΄. Μηνὶ μαρτίῳ ς΄ ἡμέρᾳ ἑβδόμῃ ἰνδικτιῶνος β΄ κατεστρώθη ὑπομνηστικὸν ἰωάννου γεγονότος γενικοῦ τζιρίθνου περιέχον οὕτως·

Δέσποτά μου ἅγιε. αἱ ἀπαιτήσεις τῶν ἔξω διοικήσεων θρᾴκης καὶ μακεδονίας ἀπῃτοῦντο καθ' ἕκαστον ἐνιαυτὸν καὶ εἰσεκομίζοντο, καθὼς τύπος ἀρχαῖος παρηκολούθησε. κατὰ δὲ τὴν γ΄ ἰνδ. τοῦ καματηροῦ δημητρίου συμφωνήσαντος εἰσκομίσαι τὸ ἀκρόστιχον τῶν τοιούτων διοικήσεων εἰς τὸ διπλάσιον καὶ μὴ εἰσκομίσαντος, ἐσχιδεύθη[15] τὸ ὀσπήτιον αὐτοῦ ἐγγύς που τοῦ ἱπποδρόμου διακείμενον. εἶτα κατὰ τὴν ιδ΄ ἰνδ. ἀνετέθησαν τῷ προέδρῳ νικηφόρῳ τῷ ἀρταβάσδῳ, ὃς καὶ τὴν ἀπαίτησιν ἀνύσας τῆς αὐτῆς ἰνδικτιῶνος, καὶ τὴν ιε΄ ἰνδ. ἐπιζητήσας ἀνατεθῆναι αὐτῷ, ἀνωμολόγησεν ἐν τῇ ὑπομνήσει αὐτοῦ, ὅτι τὴν ἀπαίτησιν τῶν τοιούτων διοικήσεων ἐνεργῶν εὗρε συνήθως ἀπαιτούμενον ἔν τισι μὲν τῶν χωρίων ἀντὶ μιλλιαρησίου ἑνὸς νόμισμα ἕν, ἐν ἑτέροις δὲ χωρίοις ἀντὶ μιλλιαρησίων β΄ τραχὺ νόμισμα ἕν, ἐν ἄλλοις ἀντὶ μιλλιαρησίων γ΄ νόμισμα α΄, καὶ ἐν ἑτέροις ἀντὶ μιλλιαρησίων δ΄ νόμισμα ἕν, πάντα δὲ τὰ πρόσωπα καὶ τὰ μοναστήρια καί τινα τῶν χωρίων ἀντὶ μιλλιαρησίων ιβ΄ τραχὺ νόμισμα ἕν· καὶ ἀκολούθως καὶ αὐτὸς τοῖς πρὸ αὐτοῦ ἀπαιτηταῖς τὴν τῆς ιδ΄ ἰνδικτιῶνος πεποίηκεν εἴσπραξιν. καὶ ἠρώτησε τηνικαῦτα, ὅπως ἡ τῆς ιε΄ ἰνδ. ὀφείλει παρ' αὐτοῦ προβῆναι ἀπαίτησις. καὶ λύσις ἐδόθη τῆς βασιλείας σου δια-

---

[12] Infra subscribit: ὁ τζιρίθων. [13] Ibid. ὁ γεώργιος ὁ ἀπιμπιθιούμ.
[14] Est triclinium magni Palatii, de quo Cangius in descript. S. Sophiae. [15] i. e. direpta est, sub hasta venit.

κελευομένη ἀπὸ πάντων τῶν τε χωριτῶν καὶ τῶν προσώπων ἀντὶ ἀργυροῦ ἑνὸς ἤτοι μιλλιαρησίου ἑνὸς νόμισμα ἓν εἰσπράττεσθαι διά τε τοῦ δικερατοεξαφόλλου, συνηθείας τε καὶ ἐλατικοῦ· ἐπὶ δὲ τῇ ἀπαιτήσει τῶν νομισμάτων τὸ τραχὺ παλαιὸν ἓν ἀπαιτεῖσθαι νόμισμα μετὰ τῶν παρακολουθημάτων αὐτοῦ. ὡς δὲ οἱ μέλλοντες οὕτως ἀπαιτεῖσθαι βαρεῖαν ἐλογίζοντο τὴν ἀπαίτησιν, ὑπόμνησις ἑτέρα παρὰ τοῦ ἀρταβάσδου ἐγένετο, αὐτὰ ταῦτα τὰ ἀνωτέρω γραφόμενα ἐξιοῦσα ῥητῶς, καὶ λύσις τῆς βασιλείας σου ἀπελύθη ῥητῶς ἔχουσα οὕτως·

„Λύσις. Ὅπερ καὶ πρότερον προσέταξεν ἡ βασιλεία μου, τὸ διὰ χαλκῶν νουμίων[16] ἀπαιτεῖσθαι τὰ λεπτὰ ψηφία τῶν τελουμένων δημοσίων, καὶ πάλιν οὕτως ἰδοὺ διορίζεται ἀπαιτεῖσθαι· τὸ μὲν χάραγμα διὰ νομισμάτων, τὰ δὲ λεπτὰ ψηφία ὡς εἴρηται διὰ νουμίων· πλὴν ἐπὶ τῶν δ΄ μιλλιαρησίων τῷ νομίσματι. καὶ οὕτως ὀφείλεις εἰσκομίσαι τῷ δημοσίῳ τὰ νουμία, καθὼς ὡρίσθης ἀπαιτῆσαι αὐτά. γενέσθω δὲ ἡ ἀπαίτησις ὁμοίως ἐπὶ πᾶσι προσώποις τε καὶ χωρίταις. καταστρωθήτω οὖν ἡ παροῦσα λύσις τῆς βασιλείας μου καὶ ἐν τοῖς σεκρετικοῖς χαρτίοις εἰς εἴδησιν.“

Ταύτης οὖν τῷ σεκρέτῳ προκομισθείσης ἠμφιβάλλετο τὰ περὶ τῆς λύσεως παρὰ τοῖς συνδούλοις μου τοῖς σεκρετικοῖς. οἱ μὲν γὰρ τούτων ἔλεγον διεξιέναι τὴν πρόσταξιν τὸ ἀναλύειν τὰ λεπτὰ ψηφία ἐπὶ τῶν ιβ΄ μιλλιαρησίων τῷ νομίσματι, ἤγουν ἔνθα κεῖται νομίσματος ἥμισυ, ψηφίζεσθαι τοῦτο μιλλιαρήσια ς΄, καθὼς ἀπὸ παλαιοῦ διωρίζετο, καὶ αὖθις τὸ τρίτον εἰς μιλλιαρήσια δ΄ καὶ καθεξῆς οὕτως ὡς πρὸς ιβ΄ μιλλιαρήσια τῷ νομίσματι, καὶ οὕτως ψηφιζομένων καὶ εἰς ποσότητά τινα τῶν λεπτῶν ψηφίων περιϊσταμένων, εἰσπράττεσθαι ἀντὶ μιλλιαρησίων δ΄ νόμισμα ἓν μετὰ τῶν παρακολουθημάτων αὐτοῦ. οἱ δὲ τῶν σεκρετικῶν ἔλεγον, ὡς τοῦτο διωρίζετο ἡ βασιλικὴ πρόσταξις, τὸ τὰ λεπτὰ ψηφία ἐπὶ τῶν δ΄ μιλλιαρησίων τῷ νομίσματι ψηφίζεσθαι, καὶ ἔνθα κεῖται νομίσματος ἥμισυ λογίζεσθαι τοῦτο ἀντὶ μιλλιαρησίων β΄ ὡς ἐπὶ τῶν δ΄ μιλλιαρησίων τῷ νομίσματι, ἔνθα δὲ κεῖται νομίσματος τέταρτον ἐκεῖσε εἰσπράττεσθαι μιλλιαρήσιον α΄. τοιαύτης οὖν οὔσης τῆς ἀμφιβολίας, καὶ λύσιν μὴ δεξάμενοι ἄχρι τῆς σήμερον διὰ τὴν τῆς βασιλείας σου ἀποδημίαν, προέβη ἡ τῶν β΄ ἐγχρονιῶν ἀπαίτησις τῆς τε ιε΄ ἰνδ. καὶ α΄ ἰνδ. ὡς τὸ συμφέρον τοῦ δημοσίου

---

[16] An φόλλεις intelligendae?

καὶ ὠφέλιμον τῷ σεκρέτῳ κατενοήθη, ἤτοι τὸ λογίζεσθαι το ἀναγραφόμενον νομίσματος ἥμισυ ἀντὶ μιλλιαρησίων ς' καὶ ἀπαιτεῖν ὑπὲρ τούτων τραχὺ νόμισμα ἓν ἥμισυ μετὰ τῶν παρακολουθημάτων αὐτοῦ. ἐπεὶ δὲ ἡ βασιλεία σου ἐνεδήμησε καὶ ἡ τῆς ἰνδ. β' τῶν διοικήσεων ἐπέστη ἀπαίτησις, ἀναφέρω τὰ περὶ τούτων, ὡς ἂν παρὰ τοῦ θείου κράτους σου τὰ τῆς προσκυνητῆς λύσεως ἑρμηνευθῶσι καθαρώτερον ῥήματα.

Λύσις.

Ἡ προγεγονυῖα λύσις τῆς βασιλείας μου σαφής ἐστι πάντη καὶ ἀναμφίβολος. τοῦτο γὰρ προσέταξεν ἡ βασιλεία μου, τὸ μὲν χάραγμα νόμισμα διὰ τραχέων ἄσπρων νομισμάτων ἀπαιτεῖσθαι, τὰ δὲ λεπτὰ ψηφία διὰ νουμίων χαλκῶν· καταλογίζεσθαι δὲ τὰ νουμία ἐπὶ τῶν δ' μιλλιαρησίων τῷ νομίσματι, ὥστε τὸν χρεωστοῦντα ἥμισυ νομίσματος διδόναι μιλλιαρήσια β' νουμίων χαλκῶν, καὶ ὑπὲρ τοῦ τριμοίρου τελεῖσθαι μιλλιαρήσιον α' φόλλεις η', ὑπὲρ τοῦ τετάρτου μιλλιαρήσιον α', ὑπὲρ τοῦ ἕκτου φόλλεις ις', ὑπὲρ τοῦ ὀγδόου φόλλεις ιβ', ὑπὲρ τοῦ δωδεκάτου φόλλεις η', ὑπὲρ τοῦ κδ'' φόλλεις δ', ὑπὲρ τοῦ μη'' φόλλεις β'. ὡς δεδήλωται οὖν σαφὴς καὶ ἀναντίῤῥητός ἐστιν ἡ λύσις τῆς βασιλείας μου. τὴν δὲ ἀσάφειαν οὐδὲν ἄλλο ἐνταῦθα παρήγαγεν, εἰ μὴ ἡ τῶν διοικητῶν αἰσχροκερδία. οὐ λέγει γὰρ ἡ βασιλεία μου τῶν σεκρετικῶν· οἱ γὰρ σεκρετικοὶ γνωρίσαντες ἴσως, ὅτι οὐ κατὰ τὴν πρόσταξιν τῆς βασιλείας μου γίνεται ἡ ἀπαίτησις, καὶ σκοπὸν ἔχοντες λογαριάσαι τοὺς διοικητὰς καθὼς ἀπήτησαν ὑπομιμνήσκουσι περὶ τούτου. ἀλλ' ἡ βασιλεία μου τοῦτο προστάσσει, ἵνα οἱ μὲν διοικηταὶ λογαριασθῶσι καθὼς ἀπήτησαν τὸ τῶν διοικήσεων ἀκρόστιχον, καὶ ἀπαιτηθῶσι τὸ ἐπέκεινα τῆς προστάξεως τῆς βασιλείας μου ἀπαιτηθὲν παρ' αὐτῶν διὰ τὴν ἀσάφειαν ταύτης ἣν λέγουσι· τοῦ λοιποῦ δὲ ἡ ἀπαίτησις κατὰ τὴν δηλωθεῖσαν πρόσταξιν τῆς βασιλείας μου γίνηται καὶ λογαριάζηται καὶ μηδὲν πλέον ἀπαιτοῦσιν οἱ διοικηταί. οὐδὲ γὰρ ἄδειαν δίδωσιν ἡ βασιλεία μου τοῖς ἀπαιτηταῖς ἐπέκεινα τῶν ῥητῶς προσταττομένων αὐτοῖς ἀπαιτεῖν τι. καὶ ὤφειλον μᾶλλον οἱ τὴν τοιαύτην ὑπεραπαίτησιν ποιήσαντες διοικηταὶ καὶ ποινὴν τὴν προσήκουσαν ὑπὲρ ταύτης ἐκτίσαι· συμπαθέστερον δὲ ἡ βασιλεία μου εἰς αὐτοὺς διατιθεμένη διορίζεται λογαριασθῆναι μόνον αὐτοὺς καὶ ἀπαιτηθῆναι ὅσον ἀπήτησαν, καθὼς δηλονότι ὡμολόγησαν νοεῖν τὴν λύσιν τῆς βασιλείας μου ἐκείνην· ἀπὸ τοῦ νῦν δὲ γίνεσθαι

τὴν ἀπαίτησιν κατὰ τὸν ἀληθῆ σκοπὸν τῆς τοιαύτης προστάξεως ὡς καὶ ἀνωτέρω καθαρῶς ἐδηλώθη καὶ κατὰ μέρος. καταστρωθήτω οὖν εἰς εἴδησιν ἡ παροῦσα λύσις τῆς βασιλείας μου. τὸ· μηνὶ φεβρουαρίῳ ἰνδ. β', διὰ γραμμάτων ἐρυθρῶν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, καὶ ἡ διὰ κηροῦ συνήθης σφραγίς. εἶχε καὶ τὸ· κατεστρώθη τοῦ λογοθέτου καὶ τοῦ μεγάλου λογαριαστοῦ.

β'. Ἐν τῇ αὐτῇ θέσει εὕρηται καὶ ἑτέρα γραφὴ ἔχουσα οὕτως·

Μηνὶ αὐγούστῳ ιδ' ἡμέρᾳ ζ' ἰνδ. β' κατεστρώθη ὑπομνηστικὸν τοῦ γενικοῦ λογοθέτου κυροῦ γεωργίου τοῦ σπανοπώλου περιέχον οὕτως·

Δέσποτά μου ἅγιε. τῆς ἀπαιτήσεως τῶν κατὰ τὴν δύσιν δημοσιακῶν τελεσμάτων κατὰ τὴν παρελθοῦσαν ιε' ἰνδ. καὶ τὴν μετ' αὐτὴν α' ἐπὶ ζημίᾳ τῶν ὑπηκόων τῆς ἁγίας βασιλείας σου προβάσης, οἷα τῶν διοικητῶν τὸ ταύτης παρερμηνευσάντων πρόσταγμα, καὶ τὸ μὲν χάραγμα διὰ νομισμάτων ἀπαιτούντων, τὰ δὲ λεπτὰ ψηφία ἐπὶ τῶν ιβ' μιλλιαρησίων τῷ νομίσματι συμποσούντων, καὶ ἀντὶ τούτων γ' νομίσματα εἰσπραττομένων ἤγουν ἀντὶ μιλλιαρησίων δ' νόμισμα ἕν, ὑπεμνήσθη πρὸ μικροῦ τὸ θεῖον κράτος σου, καὶ διὰ σεβαστῆς προσέταξε λύσεως, τὸ μὲν χάραγμα διὰ τραχέων ἄσπρων νομισμάτων ἀπαιτεῖσθαι, τὰ δὲ λεπτὰ ψηφία διὰ νουμίων χαλκῶν, καταλογίζεσθαι δὲ τὰ νουμία ἐπὶ τῶν δ' μιλλιαρησίων τῷ νομίσματι, ὥστε τὸν χρεωστοῦντα ϊ νομίσματος διδόναι μιλλιαρήσια β' νουμίων χαλκῶν, καὶ ὑπὲρ τοῦ γ'' μιλλιαρήσιον α', φόλλεις η', ὑπὲρ τοῦ δ'' μιλλιαρήσιον α', ὑπὲρ τοῦ ς'' φόλλεις ις', ὑπὲρ τοῦ η'' φόλλεις ιβ', ὑπὲρ τοῦ ιβ'' φόλλεις η', ὑπὲρ τοῦ κδ'' φόλλεις δ', καὶ ὑπὲρ τοῦ μη'' φόλλεις β'. οὕτω τῆς προσκυνητῆς ταύτης ἐχούσης λύσεως, τινὲς διὰ πόλεως εἰωθότων τελεῖν τὰ ἀνήκοντα τοῖς κτήμασιν αὐτῶν δημόσια μέλλοντες παρασχεῖν τὰ μὲν διὰ χαράγματος τέλη διὰ νομισμάτων καὶ ζητοῦνται καὶ παρέχουσιν, ὡσαύτως καὶ τὰ λεπτὰ ψηφία διὰ νουμίων, κατὰ τὸ τῆς βασιλείας σου πρόσταγμα, καὶ λόγος ἀμφιβολίας περὶ τούτων οὐδὲ εἷς· ἐπὶ δέ γε τοῖς δικερατοεξαφόλλοις παρεισάγουσιν ἀμφιβολίαν τινά. τοῦ γὰρ τραχέως νομίσματος ἔχοντος ἐξ ἀρχῆς δικερατοεξάφολλον φόλλεις λ', διενίστανται οἱ ὀφείλοντες τελέσαι καὶ ἐπὶ τοῖς διὰ χαράγματος ἀπαιτουμένοις νομίσμασι καὶ ἐπὶ τοῖς εἰς ποσότητα νομισμάτων κορυφουμένοις νουμίοις, τῶν δ' δηλονότι μιλλιαρησίων ἀντὶ νομίσματος ἑνὸς ὡς ἡ πρόσταξις

ἔχει καταλογιζομένων, μὴ τὸ ἐπακολουθοῦν ἐξ ἀρχῆς τῷ νομίσματι δικερατοεξάφολλον ἤτοι φόλλεις λ΄ παρασχεῖν, ἀλλὰ μόνας φόλλεις ι΄, τὸ τρίτον δηλονότι τῶν λ΄. ἐγὼ δὲ ὁ ἀνάξιος δοῦλός σου οὐκ ἐλαχίστην ἐκ τούτου τῷ δημοσίῳ ζημίαν προσγινομένην κατανοῶν καὶ ἄλλως δὲ τὰς σεκρετικὰς εἰς τὸ μέλλον συζητήσεις προορώμενος, ζητῶ προσταχθῆναί μοι ῥητῶς, ὅσην δικερατοεξαφόλλων ποσότητα καὶ ἐπὶ τοῖς χαράγμασι καὶ ἐπὶ τοῖς εἰς ποσότητα νομισμάτων καταλογιζομένοις νουμίοις ὀφείλω ζητεῖν.

Λύσις.

Καὶ ἐπὶ τοῖς διὰ χαράγματος ἀπαιτουμένοις νομίσμασι καὶ ἐπὶ τοῖς νουμίοις τῶν δ΄ δηλονότι μιλλιαρησίων ἀντὶ τοῦ ἑνὸς νομίσματος, ὡς αὐτός τε ὑπέμνησας καὶ ἡ πρὸ μικροῦ ἀπολυθεῖσα πρόσταξις περιέχει, τὸ ἥμισυ νῦν τοῦ πρώην ἀπαιτουμένου δικερατοεξαφόλλου ἀπαιτεῖσθαι ἡ βασιλεία μου διορίζεται φόλλεις ιε΄ καὶ μόνας καὶ μηδὲν πλέον ἐφ᾽ ἑκάστῳ νομίσματι, εἴτε διὰ χαράγματος εἴτε διὰ νουμίων ὡς εἴρηται ἀπαιτουμένας.

γ΄. Ὑπόμνησις.

Ἀλλὰ καὶ ἐπὶ τῇ ἀπαιτήσει τῶν συνηθειῶν καὶ ἐλατικῶν ὁρισθῆναί μοι τῷ ἀναξίῳ δούλῳ σου ζητῶ, εἴτε διὰ νομισμάτων ὀφείλω καὶ ταῦτα ζητεῖν εἴτε διὰ νουμίων. ἄχρι γὰρ τῶν ζ΄ νομισμάτων ἀπαιτεῖται χάριν συνηθείας καὶ ἐλατικοῦ ὑπὲρ ἑκάστου νομίσματος μιλλιαρήσιον α΄ φόλλεις ιβ΄, αὐξομένης δὲ τῆς περὶ τῶν νομισμάτων ἀπαιτήσεως, αὔξεται καὶ ἡ συνήθεια σὺν τῷ ἐλατικῷ, καὶ ἕως μὲν νομίσματα ι΄ εἰσπράττεται χάριν συνηθείας καὶ ἐλατικοῦ νόμισμα α΄, ϊ· εἰς πλέον δὲ ποσὸν τῆς τῶν δημοσίων ἀπαιτήσεως παρεκτεινομένης καὶ ἄχρι νομισμάτων κ΄ περιϊσταμένης ζητεῖται συνήθεια καὶ ἐλατικὸν νομίσματα γ΄. ἐπεὶ οὖν ἐκ νουμίων ἐξ ἀρχῆς ἐν τοῖς λεπτομερεστέροις τῶν νομισμάτων τέλεσιν ἡ τῶν συνηθειῶν καὶ ἐλατικῶν ἀπαίτησις συνίσταται, ἐγὼ μὲν καὶ ἀντὶ τοῦ α΄ καὶ ϊ νομίσματος καὶ ἀντὶ τῶν γ΄ νομισμάτων καὶ τῶν ἐπέκεινα τούτων ὑπέρ τε συνηθείας καὶ ἐλατικοῦ διδομένων νουμία ζητῶ λαμβάνειν ἤγουν ἀντὶ νομίσματος α΄ μιλλιαρήσια δ΄. τοῖς δ΄ οὕτως αὐτὰ ζητουμένοις ἐπαχθὲς τοῦτο δοκεῖ· τὰ μὲν νουμία διὰ νουμίων παρέχειν ἐνισταμένοις καθ᾽ ὅμοιον τοῖς δημοσιακοῖς τούτων τελέσμασι, τὰ δὲ νομίσματα διὰ νομισμάτων. ἡ δὲ κραταιὰ βασιλεία σου τὸ δοκοῦν αὐτῇ καὶ περὶ τούτου προσταξάτω μοι.

Λύσις.

Καὶ τὴν τῶν συνηθειῶν καὶ ἐλατικῶν εἴσπραξιν διὰ νουμίων ἡ βασιλεία μου προβαίνειν διορίζεται καὶ μόνας ιη' φόλλεις εἰσπράττεσθαι ἐφ' ἑκάστῳ νομίσματι εἴτε διὰ δ' μιλλιαρησίων ὡς ἄνωθεν διείληπται, κἂν εἰς πολὺ ποσὸν τὸ παρ' ἑκάστου τελούμενον δημόσιον κορυφοῦται κἂν εἰς ἔλαττον. δὸς οὖν εἴδησιν ἔγγραπτον τῶν τοιούτων οἰκονομιῶν τῷ ἐνεργοῦντι τὰς δυτικὰς διοικήσεις, ἵνα κατ' αὐτὴν ἀπαιτήσῃ τό τε δικερατοεξάφολλον καὶ τὰ τῶν συνηθειῶν καὶ τοῦ ἐλατικοῦ, ὡς καὶ τοιουτοτρόπως ὀφείλει λογοριασθῆναι ἐφ' οἷς ἀπὸ μαρτίου μηνὸς τῆς παρούσης β' ἰνδ. ἡ κακῶς ἐκληφθεῖσα τοῖς διοικηταῖς περὶ τῶν δ' μιλλιαρησίων προτέρα λύσις τῆς βασιλείας μου διὰ τῆς μεταγενεστέρας αὐτῆς προστάξεως ἐσχόλασε. τὸ δὲ· μηνὶ ἰουνίῳ ἰνδ. [β'], δι' ἐρυθρῶν γραμμάτων τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου, καὶ ἡ διὰ κηροῦ συνήθης σφραγίς. εἶχε καὶ τὸ· κατεστρώθη τοῦ λογοθέτου καὶ τοῦ μεγάλου λογαριαστοῦ.

Αἱ ὑπογραφαὶ τῶν σεκρετικῶν.

Ὁ ἀνάξιος δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως καὶ γενικὸς μιχαὴλ ὁ κουτρίκος.

Ὁ λογαριαστὴς τοῦ σεκρέτου τοῦ γενικοῦ βασίλειος ὁ τζιρίθων.

Ὁ τοῦ αὐτοῦ σεκρέτου βασιλικὸς νοτάριος γεώργιος ὁ ἀπιμπιθιούμ.

Ὁ τοῦ αὐτοῦ σεκρέτου τοῦ γενικοῦ βασιλικὸς νοτάριος κωνσταντῖνος ὁ ῥωθωνᾶς.

Ἰωάννης βασιλικὸς νοτάριος τοῦ σεκρέτου τοῦ γενικοῦ ὁ σερβλίας.

Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τοῦ γενικοῦ νικόλαος ὁ τρίφυλλος.

Ὁ κριτὴς τοῦ βήλου καὶ ἐπὶ τοῦ ἱπποδρόμου ἰωάννης ὁ μανουηλίτης τὸ παρὸν ἶσον τῇ ἐμφανισθείσῃ μοι πεπιστωμένῃ σεκρετικῇ παρεκβολῇ ἰσάζον εὑρὼν ὑπέγραψα.

II. Κατὰ γοῦν τὰς περιλήψεις καὶ δυνάμεις τῶν ἀναγεγραμμένων θείων καὶ προσκυνητῶν βασιλικῶν προστάξεων ὀφείλεις ποιεῖν τὴν ἀπαίτησιν ἑκάστου ψηφίου οὕτως·

Εἰς νομίσματα	ἀπαίτει δημόσιον: χαράγματος τραχὺ νόμισμα	μιλλιαρήσια	φόλλεις	ἤτοι: νόμισμα	ἤτοι: φόλλεις	καὶ ὑπὲρ τῶν παρακολουθημάτων (δικερατοεξαφόλλου, συνηθείας καὶ ἐλατικοῦ) φόλλεις	ὁμοῦ (σὺν δικερατοεξαφόλλῳ, τῇ συνηθείᾳ καὶ τῷ ἐλατικῷ): χαράγματος νομίσματα	ὁμοῦ: φόλλεις
μη''	—	—	β'	—	—	ï, ϛ'', μη''	—	β', ï, ϛ'', μη''
κδ''	—	—	δ'	—	—	α', δ'', η''	—	ε', δ'', η'' ἤτοι ε', γ'', [κδ''
κδ'', μη''	—	—	ϛ'	—	—	β', ιϛ''	—	η', ιϛ''
ιβ''	—	—	η'	—	—	β', ï, δ''	—	ι', ï, δ''
ιβ'', μη''	—	—	ι'	—	—	γ', γ'', ιβ'', μη''	—	ιγ', γ'', ιβ'', μη''
η''	—	—	ιβ'	—	—	δ', η''	—	ιϛ', η''
η'', μη''	—		ιδ'	—	—	δ', ï, δ'', κδ'', μη''	—	ιη'', ï, δ'', κδ'', μη''
ϛ''	—	—	ιϛ'	—	—	ε', ï	—	κα', ï
δ''	—	α'	—	—	κδ'	η', δ''	—	λβ', δ''
γ''	—	α'	η'	—	λβ'	ια'	—	μγ'
γ'', ιβ''	—	α'	ιϛ'	—	μ'	ιγ', ï, δ''	—	νγ', ï, δ''
γ', η''	—	α'	κ'	—	μδ'	ιε', η''	—	νϑ', η''
γ', η'', μη''	—	α'	κβ'	—	μϛ'	ιε', ï, δ'', κδ'', μη''	—	ξα', ï, δ'', κδ'', μη''
ï	—	β'	—	—	μη'	ιϛ', ï	—	ξδ', ï
ï, μη''	—	β'	β'	—	ν'	ιζ', ϛ'', μη''	—	ξζ', ϛ'', μη''
ï, κδ'',	—	β'	δ'	—	νβ'	ιζ', ï, δ'', η''	—	ξϑ', ï, δ'', η''
ï, κδ'', μη''	—	β'	ϛ'	—	νδ'	ιη', ï, κδ'', μη''	—	οβ', ï, κδ'', μη''
ï, ιβ''	—	β'	η'	—	νϛ'	ιϑ', δ''	—	οε', δ''
ï, ιβ'', μη''	—	β'	ι'	—	νη'	ιϑ', ï, γ'', ιβ'', μη''	—	οζ', ï, γ'', ιβ'', μη''
ï, η''	—	β'	ιβ'	—	ξ'	κ', ï, η''	—	π', ï, η''
ï, η'', μη''	—	β'	ιδ'	—	ξβ'	κα', δ'', κδ'', μη''	—	πγ', δ'', κδ'', μη''
ï, ϛ''	—	β'	ιϛ'	—	ξδ'	κβ'	—	πϛ'
ï, δ''	—	γ'	—	—	οβ'	κδ', ï, δ''	—	ϟϛ', ï, δ''
ï, γ''	—	γ'	η'	—	π'	κζ', ï	—	ρζ', ï
ï, γ'', ιβ''	—	γ'	ιϛ'	—	πη'	λ', δ''	—	ριη', δ''
ï, γ'', ιβ'', μη''	—	γ'	ιη'	—	ϟ'	λ', ï, γ'', ιβ'', μη''	—	ρκ', ï, γ'', ιβ'', μη''
ï, γ'', η''	—	γ'	κ'	—	ϟβ'	λα', ï, η''	—	ρκγ', ï, η''
ï, γ'', η'', μη''	—	γ'	κβ'	—	ϟδ'	λβ', δ'', κδ'', μη''	—	ρκϛ', δ'', κδ'', μη''
α'	α'	—	—	—	—	λγ'	α'	λγ'
α', ιβ''	α'	—	η'	—	—	λε', ï, δ''	α'	μγ', ï, δ''
α', ϛ''	α'	—	ιϛ'	—	—	λη', ï	α'	νδ', ï
α', δ''	α'	α'	—	—	—	μα', δ''	α'	ξε', δ''
α', γ''	α'	α'	η'	α'	λβ'	μδ'	α'	οϛ'
α', γ'', ιβ''	α'	α'	ιϛ'	α'	μ'	μϛ', ï, δ''	α'	πϛ', ï, δ''
α', γ'', η''	α'	α'	κ'	α'	μδ'	μη', η''	α'	ϟβ', η''
α', γ'', η'', μη''	α'	α'	κβ'	α'	μϛ'	μη', ï, δ'', κδ'', μη''	α'	ϟδ', ï, δ'', κδ'', μη''
α', ï	α'	β'	—	—	—	μϑ', ï	α'	ϟζ', ï
α', ï, ιβ''	α'	β'	η'	—	—	νβ', δ''	α'	ρη', δ''
α', ï, ϛ''	α'	β'	ιϛ'	—	—	νε'	α'	ριϑ'
α', ï, δ''	α'	γ'	—	—	—	νζ', ï, δ''	α'	ρκϑ', ï, δ''
α', ï, γ''	α'	γ'	η'	—	—	ξ', ï	α'	ρμ', ï
α', ï, γ'', ιβ''	α'	γ'	ιϛ'	—	—	ξγ', δ''	α'	ρνα', δ''
α', ï, γ'', η''	α'	γ'	κ'	—	—	ξδ', ï, η''	α'	ρνϛ', ï, η''
α', ï, γ'', η'', μη''	α'	γ'	κβ'	—	—	ξε', δ'', κδ'', μη''	α'	ρνϑ', δ'', κδ'', μη''
β'	β'	—	—	—	—	ξϛ'	β'	ξϛ'
β', ï	β'	β'	—	—	—	πβ', ï	β'	ρλ', ï
β', ï, δ''	β'	γ'	—	—	—	ϟ', ï, δ''	β'	ρξβ', ï, δ''
γ'	γ'	—	—	—	—	ϟϑ'	γ'	ϟϑ'

Καὶ κατὰ τὴν μέθοδον ταύτην ὀφείλεις καὶ εἰς τὰ ἐπέκεινα ψηφία τοῦ δημοσίου ἀπαιτεῖν, τὰ μὲν διὰ χαράγματος τέλη διὰ χαράγματος ἤτοι διὰ τραχέων ἄσπρων νομισμάτων· εἰσπράττεσθαι δὲ καὶ ἐφ' ἑκάστῳ νομίσματι τοῦ χαράγματος χάριν τῶν παρακολουθημάτων αὐτοῦ ὑπὲρ μὲν τοῦ δικερατοεξαφόλλου φόλλεις ιε', ὑπὲρ δὲ συνηθείας καὶ ἐλατικοῦ φόλλεις ιη', ἤτοι φόλλεις λγ'. τὰ δὲ λεπτὰ ψηφία ὀφείλεις ἀπαιτεῖν διὰ νουμίων χαλκῶν, εἶθ' οὕτως καταλογίζεσθαι τὰ νουμία ἐπὶ τῶν δ' μιλλιαρησίων τῷ νομίσματι, καὶ εἰσπράττεσθαι καὶ ὑπὲρ αὐτῶν ὁμοίως ἐφ' ἑκάστῳ νομίσματι χάριν τῶν παρακολουθημάτων φόλλεις λγ' κατὰ τὴν θείαν καὶ βασιλικὴν πρόσταξιν.

III. *Χάριν δὲ πλείονος καταλήψεως τῶν λεγομένων ῥητέον καὶ ταῦτα·*

α'. Εἰσὶ τὰ τελούμενα ἐτησίως παρὰ τῆς σεβασμίας μονῆς τῆς δεῖνος ταῦτα·

Νόμισμα α', ï, γ'', ιβ''
„ β', ï, δ''[17]
„ δ', ï, δ'', κδ''
Καὶ γ'', η''.

Ὁμοῦ τὰ τελούμενα διὰ μὲν χαράγματος νομίσματα ζ' ἤτοι τραχέα ζ', καὶ ὑπὲρ τῶν παρακολουθημάτων αὐτῶν, ὡς ἀπαιτουμένων ἐφ' ἑκάστῳ νομίσματι φόλλεων λγ', φόλλεις σλα'. διὰ δὲ λεπτῶν μιλλιαρησίων μιλλιαρήσια ια' δίμοιρον, ἤτοι φόλλεις σπ', καὶ ὑπὲρ τῶν παρακολουθημάτων αὐτῶν, ὡς καταλογιζομένων τῶν μιλλιαρησίων ἐπὶ τῶν δ' τῷ νομίσματι, καὶ ποσουμένων εἰς νομίσματα β', ï, γ'' καὶ ιβ'', φόλλεις ϛϛ', δ''. ὁμοῦ διὰ χαράγματος νομίσματα ζ' καὶ διὰ λεπτῶν φόλλεις χζ', δ'', γινόμεναι ἐπὶ τῶν ιϛ' τῷ ἑνὶ τραχέῳ[18] *νομίσματι, ὡς ἡ ἡμέρα ἔχει, νομίσματα τραχέα λη' παρὰ μιᾶς φόλλεως τὸ ï καὶ δ'', ἤτοι τὰ ὅλα τραχέα νομίσματα με'.*

β'. Εἰσὶ καὶ τὰ τελούμενα ἐτησίως παρὰ τοῦ δεῖνος ταῦτα, ἤγουν
διὰ μὲν χαράγματος νόμ. α', διὰ δὲ λεπτῶν μιλλ. θ'
ἤτοι ὑπὲρ ἐγχρονιῶν δύο (ἤγουν ιβ' καὶ ιγ' ἰνδ.)
χαράγματος νομίσματα β', καὶ μιλλ. ιη'.

ὑπὲρ τῶν β' νομ. τοῦ χαράγματος . . . . *τραχέα β'*
καὶ ὑπὲρ τῶν παρακολουθημάτων αὐτῶν . . . *φόλλεις ξϛ'*
ἤτοι ἐφ' ἑκάστῳ νομίσματι φόλλεις λγ'·
καὶ ὑπὲρ τῶν ιη' μιλλ. . . . . *φόλλεις υλβ'*
καὶ χάριν τῶν παρακολουθημάτων αὐτῶν (ὡς καταλογιζομένων τῶν ιη' μιλλ. ἐπὶ τῶν δ' τῷ νομίσματι, καὶ ποσουμένων εἰς νομ. δ', ï, καὶ ἀπαιτουμένων ἐφ' ἑκάστῳ νομ. φόλλεων λγ') *φόλλεις ρμη', ï*
ὁμοῦ τὰ ὑπὲρ τῶν δύο ἐγχρονιῶν τελεσθῆναι ὀφείλοντα διὰ μὲν χαράγματος νομ. β', διὰ δὲ λεπτῶν . . . . *φόλλεις χμϛ', ï*
γινόμεναι ἐπὶ τῶν ιβ' τῷ ἑνὶ τραχεῖ νομίσματι, καθὼς ἡ ἡμέρα ἔχει, ... *τραχέα νδ'*
ἤτοι τὰ ὅλα νομίσματα τραχέα νϛ'.

[17] Montfaucon: *δωδέκατον*, licet in versione recte „quarta" legat. [18] *τραχεῖ?*

NOV. XXXV.

Imp. Alexii Comneni

ut si servi in libertatem proclamantes testes produxerint, contraria testium productio dominis non concedatur sed exceptio tantum, et ut servorum quoque conjugiis sacrae benedictiones impertiantur[1].

(A. 1095.)

A.

Περὶ τοῦ μὴ κρατεῖν ἀντιπαραστατικὴν μαρτυρίαν περὶ τῶν εἰς ἐλευθερίαν ἀναφωνούντων δούλων, καὶ περὶ τοῦ ἱερολογίας καὶ ἐπὶ τῶν δούλων γίνεσθαι καὶ μὴ ἐν τούτοις ἐλευθερίας τυγχάνειν αὐτούς[2].

Δύο ταῦτα ἐπὶ τὰς ἀκοὰς τῆς βασιλείας μου ἦλθεν, ἁγιώτατε δέσποτα, ὥς τινες τῶν προσερχομένων τῷ ἁγίῳ μεγάλῳ

---

[1] Theodulus archiepiscopus Thessalonicensis ad Imp. Alexium retulerat de controversia, quae circa probationes in liberalibus causis admittendas incidisset, et de quaestione, an servorum quoque conjugiis benedictio sacerdotalis impertienda esset. Ad haec Imperator, quae de his rebus statuere decreverat, primum *γενικῷ διατάγματι* ad oecumenicum Patriarcham directo, deinde vero etiam rescripto ad Theodulum misso publicari curavit. Utrumque *διάταγμα* etiamnum extat. Prius illud, quo potissimum de servilium nuptiarum benedictione late disseritur, reperitur in Cod. Marc. 173 et App. XI, 30, apud Bals. ad syn. Trull. c. 85 (ed. Rhalli II p. 500) et in Proch. aucto tit. 34, atque editum est a Bonefid. p. 67, Leuncl. post Syn. p. 70 et JGR. I p. 145; idemque laudatur a Bals. ad syn. Carthag. c. 82 (ed. Rhalli III p. 508), in Resp. Petri Chartoph. et Nicetae Mityl. (ed. Rhalli V p. 371 et 443 sq.). — Alterum hactenus ineditum in Cod. Bonon. *B*, IV, 67 servatum est: id imprimis materiam de *ἀντιπαραστάσει μαρτύρων* dominis adversus servos in libertatem proclamantes non concedenda tractat, quoad servorum conjugia vero ad *διάταγμα* Patriarchae missum ablegat. — Quo anno haec *διατάγματα* edita sint, quodammodo dubium est. Petri Chartophylacis responsa Codd. MSS. anno ,*ςχ'* i. e. 1092 tribuunt, ut proinde *διάταγμα* ad Patriarcham directum, quod a Petro laudatur, ante hunc annum editum esse videatur: alterum vero rescriptum ad Theodulum archiepiscopum secundum Cod. Bononiensem ind. III anno 1095 datum est. Mihi vero non videtur probabile quatuor pluriumve annorum tempus inter hoc et illud intercedere. Igitur aut Petri responsa anno 1092 recentiora sunt, aut ind. III, qua rescriptum ab Imp. Alexio ad Theodulum datum erat, non anni 1095, sed anni 1085 intelligenda erat. Malui tamen interim Codicis Bonon. auctoritatem sequi.

[2] Ita inscribitur in JGR. Post Syn. sic est: *Ἀλεξίου τοῦ κομνηνοῦ νεαρὰ ε' πρὸς τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην. περὶ τοῦ μὴ κρατεῖν κτλ.* Balsamon (quem sequuntur Proch. auctum et Bonefid.): „*νεαρὰν τοῦ βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ τὴν ἐξενεχθεῖσαν χάριν τοῦ μὴ δέχεσθαι ἀντιπαραστάσεις μαρτύρων ὅταν παράγωνται μάρτυρες παρὰ τοῦ ἐλευθεροβοῶντος, καὶ χάριν τοῦ μὴ γίνεσθαι ἐλευθέρους τοὺς ἱερολογουμένους δούλους*“.

τε καὶ θείῳ ναῷ τῆς τοῦ θεοῦ λόγου σοφίας[3], εἰς ἐλευθερίαν ἀναφωνοῦντες καὶ πρόφασιν τῆς ἐλευθερίας τὸ γένος ποιούμενοι (φασὶ γὰρ ἐξ ἐλευθέρων γεγενῆσθαι γονέων, βουλγάρων τυχὸν ἢ τινων τοιούτων, οὕς εἰς δουλείαν ἡ καθ' ἡμᾶς[4] παρέλαβε πολιτεία) εἰς ἀπόδειξιν τῶν λεγομένων ἀφίενται, κἀπειδὴ[5] παραστήσωνται μάρτυρας ἀδιαβλήτους, εἰς ἀντιπαραστατικὴν μαρτυρίαν οἱ κύριοι τούτων χωροῦσι, καὶ οὕτως τῶν ἐγκαλούντων[6] διὰ τέλους παραμένειν τοῖς δικαστηρίοις ἀδυνατούντων ἡ δουλικὴ τύχη πάλιν τούτοις ἐπιφορτίζεται· καὶ ὅτι γαμικαὶ δούλων ὁμιλίαι τε καὶ συναρμογαὶ παρὰ τῷ καθ' ἡμᾶς γίνονται πολιτεύματι, οὐ μέντοι γε καὶ ἱερολογία ταύταις ἀκολουθεῖ[7], τῶν κυρίων αὐτῶν εὐλαβουμένων μεθ' ἱερολογίας ἀλλήλοις συνάπτειν τοὺς δούλους, ἵνα μὴ πρὸς ἐλευθερίαν ἐντεῦθεν συνελασθῶσι[8].

α'. Τῆς γοῦν[9] προσηκούσης ἄμφω τυχεῖν διορθώσεως ἔγνωκε δεῖν, καὶ διὰ τοῦτο τὸ παρὸν διάταγμα συντετηρημένως ἐξέθετο, δι' οὗ[10] διορίζεται, κατὰ τῶν εἰς ἐλευθερίαν ἀναφωνούντων δούλων ἀντιπαραστατικὴν μαρτυρίαν μὴ κρατεῖν, μηδὲ χώραν ὅλως ἔχειν αὐτὴν παρ' οἱῳδήτινι πολιτικῷ ἢ ἐκκλησιαστικῷ δικαστηρίῳ, ἀλλὰ τοῖς ἐγκαλοῦσι[11] μόνοις[12] τὰς ἀποδείξεις ἐπάγεσθαι· καὶ εἴπου μαρτυριῶν εὐπορήσαιεν οὗτοι νόμοις δεκτῶν καὶ μὴ περιτρεπομένων διαβολαῖς, τῷ τῶν μαρτύρων ὅρκῳ τὴν δίκην λύεσθαι, ἀλλὰ μὴ καὶ ἀντιπαραστάσεις τοῖς κυρίοις αὐτῶν ἐγχωρεῖσθαι[13], ἵνα μὴ τὸ πολὺ τῶν ἀντιθέτων[14] ἄνισον βλάβης αἴτιον τοῖς ἐλαχιστοτέροις γενήσεται· ἀλλ' ὥσπερ ἐπὶ τῶν ὁμοτελῶν[15] ἡ τοῦ μακαριστοῦ βασιλέως κυρίου βασιλείου νομοθεσία[16] τοῖς δυνατοῖς κατὰ τῶν πενήτων ἀντιπαραστάσεις οὐκ ἐξεχώρησεν, οὕτω κἀνταῦθα τοῖς κυρίοις κατὰ τῶν δούλων ἀπεσβεσμένον ἔσται τὸ τῆς ἀντιπαραστάσεως ἰσχυρὸν, καὶ μόνη κρατήσει παρὰ τούτοις ἡ κατὰ τῶν μαρτύρων διαβολή· τῆς ἀντιπαραστάσεως πάντως μὴ ἀποκλειομένης τοῖς ἐγκαλουμένοις δούλοις, ὅταν τοὺς μάρτυρας κατὰ τῶν ἐν νομῇ ἐλευθερίας ὄντων οἱ πρὸς δουλείαν ἕλκοντες τούτους παράγωσι.

---

[3] Sc. ejus, qui Thessalonicae erat. Cf. Tafel de Thessalonica p. 107 sqq. [4] Leuncl. οὐ παρέλ. ex conjectura, uti videtur. Non opus. [5] Al. κἀπειδάν. [6] Al. ἀνακαλούντων. [7] Al. τούτοις ἐπακολουθεῖ. [8] Al. συνέλθωσι, al. ἀπολυθῶσι. [9] Al. καὶ τῆς. [10] Al. addunt καί. [11] Al. ἀνακαλοῦσι. [12] Al. μόνας. Leuncl. addit [κατὰ νόμους]. [13] Al. ἐκχωρεῖσθαι. [14] Al. τῶν ἀντιτιθεμένων μερῶν. [15] Al. χωριτῶν. [16] Cf. Coll. III Nov. XXIX c. 1.

τοῖς γὰρ ἐλαχιστοτέροις καὶ ἀσθενοῦσιν[17] ἡ παροῦσα διάταξις χαρίζεται τὴν ῥοπὴν, ἀλλ᾽ οὐχ ὑπὲρ τῶν δυνατῶν καὶ μᾶλλον ἰσχυροτέρων ἐκτέθειται.

β΄. Προστίθησι δὲ καὶ τὰς ἱερολογίας μὴ μόνον παρὰ τοῖς ἐλευθέροις, ἀλλὰ καὶ παρὰ τοῖς δούλοις κρατεῖν· καὶ γάμον μὴ ἄλλως ἔννομόν τε καὶ τῆς χριστιανικῆς καταστάσεως ἄξιον εἶναί τε καὶ νομίζεσθαι, εἰ μὴ καὶ ἱερολογία τοὺς συναπτομένους συνδεῖ. ἄτοπον γὰρ ἂν εἴη, μιᾶς ἐν πᾶσι τῆς χριστιανικῆς κρατούσης πίστεως, καὶ βαπτίσματος ὁμολογουμένου ἑνὸς, δι᾽ οὗ προσήγμεθα τῷ κυρίῳ, καὶ τῆς αὐτῆς σωτηρίας ἐλπιζομένης πᾶσιν ἡμῖν τοῖς πιστεύουσιν, ὑποτρέχειν ἐνίους ὑπόνοιαν, ὡς τοῖς δούλοις ἧττον μέτεστι τοῦ καλοῦ· καὶ τοὺς μὲν ἐλευθέρους κατὰ γάμον ἀλλήλοις συνάπτεσθαι θείᾳ συνδουμένους εὐχῇ πρότερον, τοὺς δούλους δὲ τοῦ τοιούτου διαπίπτειν καλοῦ καὶ μὴ παραλαμβάνειν θεὸν ἐπ᾽ εὐλογίᾳ τῆς συνελεύσεως· ἢ δεδιέναι, ὡς εἰ παραλαμβάνοιτο, ἀδικηθείη ἂν περὶ τὴν δεσποτείαν ὁ τούτων κύριος τῆς ἐπ᾽ αὐτοῖς στερισκόμενος δεσποτείας. οὕτω γὰρ, εἰ τοῦτο κρατοίη, δεδιέναι χρὴ καὶ τὸ ἅγιον βάπτισμα, μὴ δοῦλοι ξενωθεῖεν τῶν δεσποτειῶν[18]· ἀλλὰ καὶ αὐτὴν τὴν τῶν ἀχράντων μυστηρίων μετάληψιν, μὴ καὶ διὰ ταύτης ἐκείνων ἀλλοτριωθεῖεν· κἀντεῦθεν ἐκ τῶν δούλων οἰχήσεται τὸ μέγα καὶ σεβάσμιον τῆς θείας πίστεως ὄνομα, καὶ οὐ δοῦλοι μόνον ἀνθρώπων, ἀλλὰ καὶ τοῦ ἀνθρωποκτόνου γενήσονται ἄνθρωποι· συγκινδυνεύουσι δὲ καὶ οἱ κύριοι τούτων, φόβῳ τοῦ μὴ διαπεσεῖν ὑπηρεσίας ἀνθρώπων τῆς τοῦ θεοῦ δουλείας[19] ἀποξενοῦν ἑαυτοὺς ἀνεχόμενοι. ἀλλ᾽ οὔτε τοῦτο λόγον ἔχει[20] δίκαιον, καὶ τὴν ἱερολογίαν ἐξ ἀνάγκης καὶ ἐπὶ τῶν δούλων κρατεῖν εὔλογον καὶ χριστιανικῆς ἐπάξιον καταστάσεως. ἀλλὰ[21] γὰρ ἐν ἀνθρώποις εἶδεν ἡ τύχη δεσποτείαν καὶ δουλείαν[22] διάφορα, καὶ ἅπερ ἡ καθ᾽ ἡμᾶς πολιτεία παρέλαβε, ταῦτα καὶ ἐπὶ τούτων χρεὼν κρατεῖν· εἷς δὲ κύριος πάντων, μία πίστις, ἓν βάπτισμα, καὶ δούλου καὶ δεσπότου[23] ὅσαγε κατὰ πίστιν διαφορὰν[24] οὐ γινώσκομεν, ὅτι καὶ πάντες ἐπίσης δοῦλοί ἐσμεν τῷ ἐκ δουλείας λυτρωσαμένῳ[25] ἡμᾶς τῷ ἐξ αὐτοῦ κενωθέντι[26] θείῳ καὶ ζωοποιῷ αἵματι.

---

[17] Al. ἀσθενέσιν. [18] Al. τῶν δεσποτῶν. [19] Al. δόξης. [20] Al. λογισμὸν ἔχει τινὰ δίκ. [21] Al. ἄλλα. [22] Al. δεσπότου καὶ δούλου sive δεσποτῶν καὶ δούλων, al. δεσποτείας καὶ δουλείας. [23] Al. δουλείας καὶ δεσποτείας. [24] Al. διάφορα, al. διαφέροντα. [25] Al. τῷ — λυτρώσαντι, al. τοῦ — λυτρωσαμένου. [26] In aliis deest.

Καὶ ἐπεὶ ταῦτα καλῶς οὕτως[27] καὶ λυσιτελῶς διατέτακται, δεῖ τὴν μεγάλην ἁγιωσύνην σου δῆλα ταῦτα θέσθαι ἁπανταχοῦ τῶν ἁγίων ἐκκλησιῶν, ὡς ἂν οἱ ἐν αὐταῖς προεστῶτες οὕτω τε τὰ περὶ τῶν ἐλευθεριῶν δοκιμάζωσιν, ἀντιπαραστατικὴν μαρτυρίαν κατὰ τῶν δούλων τοῖς δεσπόταις μὴ συγχωροῦντες· καὶ πᾶσι θῶνται καταφανὲς ἐν ταῖς ὑπ' αὐτοὺς ἐνορίαις, ὡς οἱ μὴ μεθ' ἱερολογίας[28] ἀλλήλοις συνάπτοντες τοὺς δούλους οὐχὶ θεοφιλῆ γάμον συνιστῶσιν ἐν αὐτοῖς, ἀλλ' ἐκπορνεύουσαν μῖξιν κρατύνουσιν· οὓς γὰρ μὴ συνάπτει θεὸς δι' ἱερολογίας παραλαμβανόμενος, οὗτοι πάντως εἰς ἁμαρτίαν ἀλλήλοις συνέρχονται. καὶ εἴ που προσαγγελθείη τοῦτο παρ' οἱουδήτινος οὕτως τὸ ἀπὸ τοῦδε γινόμενον, ἴστωσαν οἱ δεσπόται, ὡς οὐ μόνον θείῳ μηνίματι[29] καταστήσονται ἔνοχοι, ἀλλὰ καὶ τῶν δούλων ἀλλοτριωθήσονται εἰς ἐλευθερίαν ἁρπαζομένων. ἐξὸν γὰρ αὐτοῖς κατὰ νόμον θεοῦ συνάπτειν ἀλλήλοις τοὺς δούλους καὶ τὴν ἐπ' αὐτοῖς δεσποτείαν ἔχειν ἀλώβητον[30], εἰ μὴ τοῦτο ποιοῖεν, ἑαυτοῖς δικαίως πάντως τὴν τῆς δεσποτείας ἐπάγουσιν[31] ἔκπτωσιν. τὸ δὲ παρὸν διάταγμα οὐ μόνον ὀφείλει ἐν ταῖς ἁπανταχοῦ τῶν ἐκκλησιῶν διαγγελθῆναι, ἀλλὰ κἂν τοῖς πολιτικοῖς δικαστηρίοις καταστρωθῆναι· γενέσθαι δὲ διαδόσιμον καὶ εἰς τοὺς τῶν ἐπαρχιωτικῶν προεστῶτας ἀρχῶν, ὡς ἂν εἴδησιν ἔχωσιν ἅπαντες τῶν καλῶς παρὰ τῆς βασιλείας μου ὁρισθέντων. ἐπειδὴ δὲ καὶ γάμοι ἔφθασαν ἤδη γενέσθαι ἐπὶ προσώποις δουλικὴν ἔχουσι[32] τύχην, καὶ οἱ γάμοι κατὰ τὴν ἕως τοῦ νῦν κρατοῦσαν παράλογον συνήθειαν προβεβήκασι, δεῖ καὶ ἐπὶ τούτων[33] τὴν ἱερολογίαν γενέσθαι, ἵνα διὰ ταύτης, κἂν ὀψὲ γένηται, τὸ σεβάσμιον ἔχωσι, τῶν ἀνωτέρω εἰρημένων παρατηρήσεων καὶ ἐπὶ τῶν τοιούτων γάμων κρατεῖν ὀφειλουσῶν.

B.

Νεαρὰ τοῦ βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ ἐκφωνηθεῖσα κατὰ τὸν μάρτιον μῆνα τῆς γ' ἰνδ. τοῦ ,ϛχγ' ἔτους ἐξ ὑπομνήσεως θεοδούλου τοῦ ἀρχιεπισκόπου θεσσαλονίκης, περὶ τοῦ μὴ δίδοσθαι ἀντιπαράστασιν μαρτύρων παρὰ τῶν κυρίων τῶν δούλων τῶν ἀναφωνούντων εἰς ἐλευθερίαν ἀλλὰ μόνην διαβολὴν, καὶ περὶ

---

[27] Al. τούτοις. [28] Al. ἱερουργίας. [29] Al. μηνύματι. [30] Al. ἀδιαλώβ. [31] Al. τοῦ δεσπότου ἐπανάγουσιν. [32] Al. προσώπων — ἐχόντων. [33] Al. τούτοις.

τοῦ ἀνάγκην εἶναι τοῖς δεσπόταις τῶν δούλων ἱερολογεῖν αὐτοὺς καὶ μὴ ἀνέχεσθαι πορνεύειν τούτους πρὸς ἀλλήλους εἰ μὴ βούλονται στερεῖσθαι τῆς ἐπ᾽ αὐτοῖς δεσποτείας καὶ ἐλευθεροῦσθαι τοὺς δούλους, φέρουσα τὸν μῆνα ὑποσεσημασμένον διὰ γραμμάτων τοῦ βασιλέως.

α'. Ἀνηνέχθη τῇ βασιλείᾳ μου παρά σου, ἱερώτατε, ὡς ἀμφιβολία τὶς ἀνακύπτει παρὰ τῇ ἐκκλησίᾳ σου ἐκ προσελεύσεώς τινων εἰς ἐλευθερίαν ἀναφωνούντων. λέγουσι γὰρ ἀπο πατέρων γεγενῆσθαι βουλγάρων, λιμοῦ δὲ πρὸ χρόνων κατασχόντος εὐώνως αὐτοὺς ὑπὸ τῶν γονέων διαπεπρᾶσθαι. κἀντεῦθεν οἱ τούτων κύριοι μὴ συνομολογοῦντες εἶναι τούτους βουλγάρους τὰς ἀποδείξεις ἐκείνοις ἐπιφορτίζουσι. καὶ οἱ μὲν τὸ γένος ἀποδεικνύουσι διὰ παραστάσεως μαρτύρων, οἱ δὲ τούτους εἰς δουλείαν κατέχοντες ἀντιπαραστάσεις κατὰ τῶν μαρτύρων λαμβάνουσιν, ἐθέλοντες ἀτονεῖν τοὺς προσερχομένους τῇ ἐκκλησίᾳ, καὶ πρὸς δευτέραν χωροῦσι[34] μαρτυρίαν, κἀκ τούτου ἐπὶ δουλείαν αὖθις οἱ ἐγκαλοῦντες καθέλκονται. καὶ ἐζήτησας οἰκονομήν τινα δικαίαν παρὰ τῆς βασιλείας μου γενέσθαι, ὡς ἐντεῦθεν τῶν προσερχομένων τῇ ἐκκλησίᾳ ἀσθενούντων τοῖς κυρίοις αὐτῶν ἀντιμάχεσθαι διὰ τὸ ἐκ τῆς ἀντιπαραστατικῆς μαρτυρίας ἐμποδίζεσθαι. καὶ σὺ μὲν ἀνήνεγκας ταῦτα. ἡ δὲ βασιλεία μου τὰ τῆς ὑποθέσεως δοκιμάσασα διορίζεται, πάντας τοὺς προσερχομένους σοὶ καὶ εἰς ἐλευθερίαν ἀναφωνοῦντας παραδέχεσθαι, καὶ δικάζειν μετὰ τῶν κυρίων αὐτῶν καὶ τὰς ἀποδείξεις τοῖς ἐγκαλοῦσιν ἐπιφορτίζεσθαι· καὶ εἴγε οὗτοι μαρτύρων εὐπορήσαιεν τοῖς νόμοις δεκτῶν καὶ μὴ διαβολῇ περιτρεπομένων, τῷ ὅρκῳ τῶν μαρτύρων ἀπαυχενίζεσθαι τοῦ ζυγοῦ τῆς δουλείας τοὺς ἐγκαλοῦντας, καὶ μὴ ἀντιπαραστάσεις τοῖς κυρίοις αὐτῶν κατὰ τῶν μαρτύρων ἐκχωρεῖσθαι. πολλὰ γὰρ ἂν ἐκ τοῦ ῥάστου ἀδικηθεῖεν οἱ τῇ ἐκκλησίᾳ προσερχόμενοι καὶ πρὸς ἐλευθερίαν ἀναβοῶντες, τῶν κυρίων αὐτῶν δυνατῶς ἐχόντων πλείονας μάρτυρας ἐφευρίσκειν καὶ εἰς δουλείαν καθέλκειν αὐτούς. ἀλλ᾽ εἴπερ ἔχοιεν λέγειν κατὰ τῶν μαρτύρων οἱ τῶν ἐγκαλούντων δεσπόται, χωρείτωσαν καὶ τούτους διαβαλλέτωσαν εἴγε δύνανται, κἀντεῦθεν νικάτωσαν· ἀδιαβλήτων δὲ τῶν μαρτύρων εὑρισκομένων, ἡ νικῶσα πάντως τοῖς ἐγκαλοῦσι δοθήσεται μετὰ τὸν ὅρκον τῶν μαρτύρων, καὶ ἐλεύθεροι οὗτοι ἔσον-

---

[34] Cod. Bonon. videbatur habere *ποιοῦσι*.

ταί τε καὶ κληθήσονται. τὴν γὰρ ἀντιπαραστατικὴν μαρτυρίαν τέλεον ἡ βασιλεία μου ἐνταῦθα περιαιρεῖ. εἰ γὰρ τοῖς δυνατοῖς κατὰ τῶν πενήτων ἀντιπαραστατικὴ οὐ δίδοται μαρτυρία καὶ τοῦτο κρατεῖ ἐπὶ χωριτῶν, πολλῷ μᾶλλον εἰκὸς τοῦτο κἀνταῦθα κρατεῖν, ὅσῳ καὶ πλέον τὸ πρὸς ὑπόπτωσιν τῶν δούλων πρὸς τοὺς δεσπότας εὑρίσκεται. καὶ τοῦτο εἰδώς, ἱερώτατε, οὕτως ποιεῖ τὰς ἀποφάσεις ἐπὶ τῶν προσερχομένων σοὶ καὶ πρὸς ἐλευθερίαν ἀναβοώντων, τῷ παρόντι ἀκολουθῶν ὁρισμῷ τάξιν ἔχοντι νομικοῦ διατάγματος. ἀλλὰ καὶ εἴδησιν τούτου ταῖς ὑπό σε εὐαγεστάταις παράσχε ἐκκλησίαις, ὡς ἂν καὶ οἱ ἐν αὐταῖς προεστῶτες ἀρχιερεῖς οὕτως τὰς περὶ τῶν εἰς ἐλευθερίαν ἀναβοώντων δίκας τὸ ἀπὸ τοῦδε λύωσιν. εἰ δέ τινες πολλάκις εἰς δουλείαν[35] τινὰς ἕλκουσιν ἐν νομῇ καθεστῶτας ἐλευθερίας, καὶ οἱ ἐγκαλοῦντες εὐποροῦσι μαρτύρων, ἡ ἀντιπαραστατικὴ μαρτυρία τοῖς εἰς δουλείαν ἑλκομένοις οὐκ ἀποκλεισθήσεται, ἀλλ᾽ ἀκεραία τούτοις συντηρηθήσεται. ὑπὲρ γὰρ τῶν ἀσθενεστέρων καὶ ταπεινοτέρων τὴν τύχην ἡ ἀντιπαράστασις ἐξεκλείσθη, ἀλλ᾽ οὐχὶ τοὐναντίον ὑπὲρ τῶν κυρίων αὐτῶν ἐξετέθη. καὶ δεῖ γινώσκειν, ἔνθα μέν τις ἀπὸ δουλείας εἰς ἐλευθερίαν ἀναβοᾷ, ἡ ἀντιπαράστασις τῷ κυρίῳ τούτου οὐ συγχωρηθήσεται· ὅτε δέ τις ἐξ ἐλευθερίας εἰς δουλείαν ἕλκεται καὶ τὴν ἐπίβασιν τῆς ἐναγωγῆς διὰ μαρτύρων κρατύνει ὁ ἐγκαλῶν, τηνικαῦτα μετὰ τῆς τῶν μαρτύρων διαβολῆς καὶ ἡ ἀντιπαράστασις ἐκχωρηθήσεται.

β΄. Προσέθου τῇ ὑπομνήσει σου καὶ τόδε, ὥς τινες τοὺς ἰδίους δούλους ἀλλήλοις κατὰ γάμον συνάπτοντες οὐ μεθ᾽ ἱερολογίας τοῦτο ποιοῦσι, ἵνα μὴ τῆς ἐπ᾽ αὐτοῖς διαπέσωσι δεσποτείας ὡς τῆς ἱερολογίας τάχα τοῖς ἐλευθέροις προσηκούσης· καὶ ἐζήτησας κἀνταῦθα ὁρισμόν τινα τοῦ ἡμετέρου δέξασθαι κράτους. καὶ ἴσθι, ὡς ἡ τοιαύτη τῶν ἀνθρώπων ὑπόνοια πολλῷ τῷ μέσῳ τοῦ καλοῦ καὶ καθήκοντος ἀποτρέχει, καὶ ὅλως κρατεῖν παρὰ χριστιανοῖς τὴν τοιαύτην πρᾶξιν οὐ χρή. εἰ γὰρ δούλων καὶ δεσποτῶν διαφορὰν οὐκ οἶδε τὸ ἅγιον βάπτισμα, εἰ τῶν αὐτῶν ἀχράντων μεταλαμβάνουσι μυστηρίων κἂν ταῖς τύχαις μερίζωνται, εἰ μίαν πίστιν παραλαμβάνουσι κἂν τῆς τύχης[36] φέρωσι τὴν ἐξαλλαγήν, τίς ὅλως ἐπὶ τῆς κατὰ γάμον συναρμογῆς δεδίεται τὴν μεθ᾽ ἱερολογίας συνέλευσιν, καὶ ὑπονοεῖ[37] τῆς ἐπὶ τοῖς δούλοις δεσποτείας ἀπαλλοτρίωσιν ἔσεσθαι

---

[35] Id. δουλείας. [36] Id. τὴν τύχην. [37] Id. δεδιέναι — ὑπονοεῖν.

θεοῦ ἐπ' εὐλογίᾳ τῶν συναπτομένων παραλαμβανομένου; ἀλλ' οὔτε τοῦτο δεκτὸν ἢ παρὰ χριστιανοῖς ὅλως εὔλογον. καὶ διὰ τοῦτο ἡ βασιλεία μου ζήλῳ κινηθεῖσα θείῳ διάταγμα ἐξέθετο γενικὸν καὶ ἐπὶ τὴν μεγάλην τοῦτο ἐκκλησίαν κατέπεμψεν, ὡς ἂν τὸ ἀπὸ τοῦδε καὶ παρὰ δούλοις ἡ ἱερολογία κρατῇ, καὶ ὁ μὲν γάμος ἔχῃ ἐντεῦθεν τὸ σεμνόν τε καὶ τίμιον, οἱ δὲ δοῦλοι τοῖς δεσπόταις δουλεύουσι ὡς καὶ πρότερον, μηδὲν ἐκ τῆς ἱερολογίας περὶ τὴν ὑπηρεσίαν ἐμποδιζόμενοι. εἰ δέ τινες μη τοῦτο παραφυλάξαιεν, ἐκπίπτωσι τότε τῆς ἐπ' αὐτοῖς δεσποτείας, τῶν δούλων εἰς ἐλευθερίαν ἁρπαζομένων. καὶ τοῦτο εἰδὼς διαλαλιὰν ἔκθου εἰς πάσας τὰς ὑπό σε ἐνορίας, ὡς ἂν μεθ' ἱερολογίας πάντες τοὺς δούλους ἀλλήλοις συνάπτωσι καὶ μὴ γάμον τολμῶσι ποιεῖν ἀνίερον. ἐπεὶ δὲ καὶ γάμοι ἤδη ἔφθασαν γενέσθαι ἐπὶ προσώποις δουλικὴν ἕλκουσι τύχην καὶ οἱ γάμοι κατὰ τὴν ἕως τοῦ νῦν κρατοῦσαν παράλογον συνήθειαν προβεβήκασι, δεῖ καὶ ἐπὶ τούτοις τὴν ἱερολογίαν γενέσθαι, ἵνα διὰ ταύτης, κἂν ὀψὲ γένηται, τὸ σεβάσμιον ἔχωσι, τῶν ἀνωτέρω εἰρημένων παρατηρήσεων καὶ ἐπὶ τῶν τοιούτων γάμων κρατεῖν ὀφειλουσῶν.

Ἀπελύθη μηνὶ μαρτίῳ ἰνδ. γ' ἀπὸ τῆς Θεοφυλάκτου πόλεως. ἡ δὲ ἐπιγραφὴ βασιλικὴ εἰς τὸν ἱερώτατον ἀρχιεπίσκοπον τῆς μητροπόλεως Θεσσαλονίκης.

NOV. XXXVI.

Imp. Alexii Comneni aurea bulla Pisanis concessa[1]. (A. 1112.)

NOV. XXXVII.

Imp. Alexii Comneni de jure patriarchae circa monasteria[1]. (A. 1082 vel 1097 vel 1112.)

Ἐπεὶ δὲ χάριν τῶν προσενέξεων καὶ ἑτέρων ἐκκλησιαστικῶν δικαίων ἀπελύθη πρόσταξις τοῦ ἀοιδίμου βασι-

---

[1] Verbotenus inserta reperitur aureae bullae Isaacii Angeli (Nov. XCI infra).

[1] Hanc praestat Bals. (?) ad c. 19 syn. septimae (ed. Rhalli II p. 634): inde ediderunt Bonefid. p. 71, Leuncl. in JGR. I p. 140.

λέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ, ἐπὶ ὑπομνήσει τινων ἐκκλησιαστικῶν διακόνων ἀναδεξαμένων τῷ τότε τὴν φροντίδα τῶν πατριαρχικῶν μοναστηρίων ἀπὸ [2] τῆς πατριαρχικῆς μεγαλειότητος, μηνολόγημα φέρουσα τὸν δεκέμβριον μῆνα τῆς ε' ἰνδ., ὀφείλεις εἰδέναι καὶ ταύτην, τάδε κατὰ ῥῆμα [3] διαλαμβάνουσαν·

Τὴν ἐπιτήρησιν καὶ διόρθωσιν τῶν ψυχικῶν σφαλμάτων ἀναμφίβολον ἔχειν τὸν κατὰ τὴν ἡμέραν ἁγιώτατον πατριάρχην ἐπὶ τοῖς ἐλευθέροις μοναστηρίοις καὶ ἐπὶ τοῖς ἐπιδοθεῖσι καὶ ἐπὶ τοῖς δωρηθεῖσι καὶ ἐπὶ τοῖς κατ' ἐφορείαν ἢ οἰκονομίαν δοθεῖσι· δίκαιον γὰρ κέκτηται εἰσέρχεσθαι καὶ ἀναψηλαφᾶν τὰ ψυχικὰ σφάλματα καὶ εἰς τὰ κοσμικὰ καὶ εἰς τὰ τοῦ δημοσίου μοναστήρια, καὶ ἁπλῶς εἰπεῖν εἰς τὰ ὑπὸ τὴν ἐνορίαν αὐτοῦ πάντα, κἄν τε πατριαρχικὰ ὦσι κἄν τε βασιλικὰ καὶ αὐτοδέσποτα. καὶ εἰς μὲν τὰ οἰκεῖα, ἃ οὐκ ἐξέδοντο οἱ πρῴην πατριάρχαι εἰς ἐπιδόσεις, ἀκωλύτως ὅταν βούληται εἰσελεύσεται, εἴτε αὐτὸς δι' ἑαυτοῦ εἴτε διὰ προτροπῆς αὐτοῦ ὃν ἂν οὗτος 'πὸ τῶν ἐκκλησιαστικῶν ἐπιλέξηται καὶ διακρίνῃ εἶναι ἄξιον τοῦ ἐρευνᾶν ταῦτα. εἰς δὲ τὰ ἐλεύθερα καὶ αὐτεξούσια μοναστήρια, ὅταν τὶς προσέλθῃ καὶ εἴπῃ τῷ ἁγιωτάτῳ μου δεσπότῃ καὶ πατριάρχῃ γινόμενον σφάλμα εἰς μοναστήριον, ἢ καὶ ἄλλως ἀπὸ φήμης τινῶν ἢ καὶ ἑνὸς ἀκούσῃ, τότε εἰσελεύσεται ὡς εἴρηται καὶ ἐρευνήσει τὰ ψυχικὰ σφάλματα, κἂν μὴ ὁ εἰπὼν βούληται ὑπεισελθεῖν ἀγῶνα ἀποδείξεως. ὁ γὰρ χριστιανὸς ἄνθρωπος χρέος ἔχει, ὅταν τὶ ἀκούσῃ γενόμενον ἐναντίον, λέγειν τοῦτο τῷ κοινῷ πνευματικῷ πατρὶ καὶ ἀρχιερεῖ· ἴσως δὲ οὐ μὴ βούλεται ὑπεισελθεῖν τὸν ἀγῶνα τοῦτον· καὶ τὸ καταλιμπάνεσθαι διὰ τὴν τοιαύτην αἰτίαν τὰ ψυχικὰ σφάλματα ἀνεπιτήρητα καὶ ἀδιόρθωτα, ἐστὶ τοῦτο πάντη ἄτοπον, μηδενὸς ἐγγράφου οἱουδήτινος βασιλικοῦ ἢ πατριαρχικοῦ κωλύοντος εἰς τοῦτο. πλὴν τὰ μοναστήρια ὀφείλουσι διατηρεῖσθαι ἀκαινοτόμητα ἐν ταῖς ἐρεύναις τῶν ἀποστελλομένων, μηδεμιᾶς ἐντεῦθεν διδομένης δαπάνης· τότε γὰρ καὶ ἡ διόρθωσις τῶν ψυχικῶν σφαλμάτων εὐκόλως σὺν θεῷ γενήσεται. ἐπὶ δέ γε τοῖς κατ' ἐπίδοσιν δοθεῖσι μοναστηρίοις καὶ κατ' ἐφορείαν ἢ οἰκονομίαν ἢ παντελῆ [4] ἐλευθερίαν [5] οὐ μόνον τὰ ἄλλα

---

[2] Leuncl. δικαίῳ τῆς πατρ. [3] Imo sequentia πρόσταξιν illam in brevius contractam praestant; rectius itaque Balsamon dixisset: οὕτω δυνάμεως ἔχουσαν. [4] Al. παντελῶς. [5] Leuncl. in marg. ἐλευθέροις.

ψυχικὰ σφάλματα ἐπιζητήσει, ἀλλὰ καὶ εἰ κατελύθησαν ἢ καταλύονται μερικῶς ἢ καθόλου παρὰ τῶν λαβόντων ταῦτα. καὶ εἰ εὑρήσει τινὰς μειώσεις ἐν αὐτοῖς γινομένας, καταναγκάσει τοὺς ταῦτα κατέχοντας ἀποκαθιστᾶν ταῦτα, καθὼς παρέλαβον καὶ κατὰ τὴν εὐπορίαν τοῦ μοναστηρίου· πλὴν ἐπ' ἐκείνοις τοῖς ἐνδεῶς ἔχουσι πρὸς τὴν κατάστασιν, καθ' ἣν ταῦτα παρέλαβον. τὰ δέ γε βελτιωθέντα καὶ ἐπαυξηθέντα καλῶς ἔχοντα οὐκ ἐλαττωθήσονται, ἀλλὰ μενοῦσιν ὡς ἔχουσιν. οἱ δὲ κατ' ἐφορείαν καιρικὴν καὶ ἑτέραν οἰκονομίαν ἐκδοθέντα κατέχοντες καὶ καταλυμηνάμενοι ταῦτα, εἰ μὴ βούλονται ἀποκαθιστᾶν ταῦτα εἰς ὃ παρέλαβον σχῆμα, ἵνα ἀφαιρῶνται, μὴ ὠφελούμενοι ἀφ' ὧν ἔχουσιν ἐγγράφων, προθεσμίας διδομένης αὐτοῖς ἁρμοζούσης· μεταξὺ δὲ τῆς προθεσμίας, ὀφειλούσης[6] ἐπιτηρεῖσθαι, φροντίσουσιν ἔργοις αὐτοῖς περὶ τῆς εἰς τὸ ἀρχαῖον αὐτῶν καταστάσεως, ὡς δεδήλωται· τότε γὰρ καὶ ἡ προθεσμία φυλαχθήσεται. αἱ δὲ ἀποταγαὶ, ἐπεὶ παρὰ κανόνας δίδονται καὶ λαμβάνονται, σχολάσουσι παντελῶς ἀπὸ τοῦ νῦν. καὶ ὁ εὑρισκόμενος λαμβάνων ἢ καὶ διδοὺς, εἰ μέν ἐστιν ἡγούμενος, ἵνα ἐκδιώκηται ἀπὸ τῆς ἡγουμενείας· εἰ δὲ χαριστικάριος, ἐκδιωχθήσεται ἀπὸ τῆς μονῆς. αἱ δὲ ἀπὸ τῶν προσερχομένων εἰς ἀπόκαρσιν γινόμεναι ἑκουσίως κατὰ γνώμην τῶν προσφερόντων προσενέξεις, προσδεχθήσονται καὶ ἀπογραφήσονται ἐν τῷ βρεβίῳ τῆς μονῆς, εἰδήσεως διδομένης περὶ τῶν προσφερομένων καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ, κἂν οἱ τὰ μοναστήρια ἔχοντες ὑπομνήματα κέκτηνται περὶ τοῦ λαμβάνειν ἀποταγὰς καὶ προσενέξεις καὶ ἀποκερδαίνειν ταύτας· τοῦτο γὰρ ἀπὸ τοῦ νῦν ὀφείλει σχολάσαι καὶ γίνεσθαι καθὼς ἄνωθεν εἴρηται. ἀλλὰ καὶ αἱ σωζόμεναι προσενέξεις οὐκ ὀφείλουσιν ἐκποιηθῆναι τῇ ἀφορμῇ τῶν ὑπομνημάτων. ἡ μέντοι φροντὶς οὐ μόνον τῶν ψυχῶν τῶν μοναχῶν, ἀλλὰ καὶ αὐτῶν τῶν κοσμικῶν, τῷ ἁγιωτάτῳ πατριάρχῃ ἐπίκειται· καὶ ὅταν θεάσηταί τινα τῶν κοσμικῶν διψῶντα τὴν οἰκείαν σωτηρίαν, πῶς ἐνδέχεται ἵνα κωλύηται τοῦ τάσσειν ἐν τῇ μονῇ ἐπὶ ψυχικῇ σωτηρίᾳ τοῦ προσερχομένου; ἕξει γὰρ ἀκώλυτον ὁ ἁγιώτατος πατριάρχης τὸ τάσσειν[7], ἤπερ οἱ χαριστικάριοι, κἂν ὑπομνήματα ἔχωσι. πλὴν εἰ κελεύει ὁ ἁγιώτατός μου δεσπότης λαμβάνειν χρείαν ἀδελφάτου τινὰ κοσμικὸν ὄντα ἢ καὶ μοναχὸν ἀπὸ ἑτέρου μοναστηρίου διαφέροντος αὐτῷ, ἵνα μὴ δίδωσι κοσμικῷ ἢ μοναχῷ ἐξωμονίτατον, ὡς ἂν μὴ ἐπιβαρύνηται

---

[6] Al. ὀφείλουσιν ἐπιτ. εἰ φροντ. [7] Leuncl. addit [μᾶλλον].

ἡ μονὴ ἀπὸ τοῦ ἀδελφάτου· εἰ γὰρ ἐπιβαρύνηται, λείψει πάντως καὶ τὸ ἐσωμονίτατον[8], καὶ γίνεται ἀντὶ μισθοῦ κρίμα. εἰ δ' ἴσως προσέρχεταί τις τῶν λαϊκῶν ἀδύνατος πάντη καὶ πένης τῷ ἁγιωτάτῳ μου δεσπότῃ, ἢ καὶ ἀπὸ τῶν ἀρχιερέων τῶν ἀπολεσάντων τοὺς θρόνους αὐτῶν καὶ δεομένων, καὶ θελήσει τυποῦν αὐτὸν λαμβάνειν χρείαν ἀπό τινος τῶν εὐπορωτέρων μοναστηρίων, ποιήσει τοῦτο καλῶς μὴ ὑπὲρ τὴν δύναμιν τῆς μονῆς τοῦ ἀριθμοῦ τῶν τασσομένων ὄντος. προτιμότεροι γὰρ ὀφείλουσιν εἶναι οἱ ἐσωμονίται τῶν ἄλλων ἁπάντων εἰς τὸ λαμβάνειν τὰς χρείας αὐτῶν.

NOV. XXXVIII.

Imp. Alexii Comneni,

ut ei qui a sententia ad tribunal imperatoris provocat, XXX dierum spatium concedatur[1]. (A. 1084 vel 1099 vel 1114.)

Τοῦ κουροπαλάτου νικήτα[2] καὶ μεγάλου δρουγγαρίου τῆς βίγλης τοῦ σκληροῦ ὑπομνήσαντος κατεπέμφθη ἡ παροῦσα λύσις παρὰ τοῦ θεοστέπτου καὶ ἁγίου ἡμῶν βασιλέως κυρίου ἀλεξίου τοῦ κομνηνοῦ.

Ἀγαθόν σοι ζῆλον προσμαρτυρεῖ ἡ ὑπόμνησίς σου, καὶ τὸ ἐπὶ τὰς τῶν κρινομένων κακίας ἀναστέλλεσθαι δίκαιον, ἵνα μὴ οἱ ἀντικρινόμενοι τούτοις ἀπὸ τῆς ἐκείνων κακοτροπίας συντρίβωνται. διὸ διορίζεται ἡ βασιλεία μου, τῷ κατὰ τῆς ἀποφάσεως ἐκκαλουμένῳ εἰς τὸ κράτος αὐτῆς λ' ἡμερῶν δίδοσθαι προθεσμίαν, καὶ ἐντὸς τούτων ἀντιεπιφωνήσεις[3] ἐγγράφους γί-

---

[8] Al. *τοῖς ἐσωμονίταις.*

[1] Extat in Cod. Paris. 1263, 1358 et 1359; Laur. LXXX, 6; Vind. jurid. gr. 3; Marc. 173; Helmstadiensi; Palat. 371. Edita est in Leuncl. JGR. II p. 185. Laudatur in Ecloga lib. I - X Basil. lib. IX tit. 1: *„γέγονε δὲ καὶ νεαρὰ τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ θεσπίζουσα, ὅτι εἴ τις διὰ τὸ ἀναρτῆσαι τὸν ἐκβιβασμὸν ἐντὸς ι' ἡμερῶν μετὰ τὴν ἀπόφασιν ἐπιζητήσει ἔκκλητον, εἶτα ἐφησυχάσει ὡς ἀνύσας ὅπερ ἠβούλετο, μὴ καταλιμπάνεσθαι τοῦτον ἀνενόχλητον, ἀλλὰ διὰ τρεῖς κτλ."* [2] Laur. LXXX, 6: *Νικολάου.* — In Vind. 3 inscriptio est: *περὶ τῶν ἐκκαλουμένων κατὰ ἀποφάσεως δικαστικῆς.* In Paris. 1263, 1358 et 1359: *περὶ τῆς ἐκκλήτου νεαρὰ λύσις τοῦ [μακαριωτάτου] κομνηνοῦ κυροῦ ἀλεξίου.* [3] Malim *ἀνεπιφ.*

νεσθαι τρεῖς διὰ ἀποστολῆς κόμητος παρὰ τοῦ ἐπὶ τῶν δεήσεων πεμπομένου· καὶ εἴπερ ἐντὸς τῆς τοιαύτης προθεσμίας βουληθείη[4] εἰς τὸ τῆς βασιλείας μου παραστῆναι βῆμα, καὶ ἀντικριθῆναι τῷ παρὰ σοῦ δικαιωθέντι ὁ ἐκκαλεσάμενος, τηνικαῦτα διάγνωσίν σοι τῆς κακοτροπίας τοῦ ἐκκαλεσαμένου παρὰ τοῦ ἐπὶ τῶν δεήσεων δίδοσθαι, ὡς ἂν ἔκτοτε ἀκωλύτως τὸ πρᾶγμα μετάγει[5] πρὸς τὸν δικαιωθέντα, τῆς ἀμφιβολίας δι᾽ ὅλης τῆς διετίας ὀφειλούσης ζητεῖσθαι καὶ λύεσθαι. ἡ αὐτὴ δὲ παρατήρησις κρατήσει καὶ ἐπὶ τῶν λοιπῶν δικαστῶν, ὧν ἡ διάγνωσις κατ᾽ ἔκκλητον εἰς τὸ τῆς βασιλείας μου βῆμα μέλλει εἰσάγεσθαι. εἰ δὲ δικαστὴς δικαστοῦ ἑτέρου ἀναζητεῖν ἐπιτραπείη ἀπόφασιν διὰ λύσεως, κἀνταῦθα ὁ δεύτερος τῆς ὑποθέσεως διαιτητὴς τὰς ἐπιφωνήσεις ποιήσεται ἐντὸς τοῦ ὁρισθέντος καιροῦ, καὶ τούτων διακενῆς παρερχομένων, διάγνωσις τῆς τοῦ ἐκκαλεσαμένου περιεργείας τῷ προτέρῳ δοθήσεται δικαστῇ δι᾽ αὐτοῦ, καὶ παρ᾽ ἐκείνῳ ἡ μετένεξις τοῦ πράγματος ἐφ᾽ ᾧ ἡ δίκη γενήσεται· τῆς ἐπὶ τῇ ἐκκλήτῳ διετίας μενούσης ἀπαρεγχειρήτου. τὸ δὲ παρὸν ὑπομνηστικόν σου καὶ εἰς τὰ λοιπὰ πάντα καταπεμφθήσεται δικαστήρια, ὡς ἂν εἴδησις πᾶσι γένηται τοῖς δικασταῖς τῶν παρὰ τῆς βασιλείας μου ὁρισθέντων. τῷ δὲ μηνὶ ἰανουαρίῳ ἰνδικτιῶνος ζ′ διὰ γραμμάτων τοῦ βασιλέως ἐρυθρῶν, καὶ ἡ διὰ κηροῦ σφραγίς.

NOV. XXXIX.

Imp. Alexii Comneni ne minores XXV annis officia vel dignitates accipiant[1]. (A. 1092 vel 1107.)

Χάριν τῶν λαμβανόντων ὀφφίκια ἢ ἀξιώματα ἀτελῶν κατέστρωται εἰς τὸ δημοσιακὸν σέκρετον πρόσταγμα τοῦ ἀοιδίμου βασιλέως κυρίου ἀλεξίου τοῦ κομνηνοῦ· γίνωσκε καὶ τοῦτο ἔχον οὕτω κατὰ ῥῆμα·

Πολλοὶ προσαγγείλαντες ὠφέλειαν τοῦ δημοσίου τινὰ ἢ αἰτούμενοι κατὰ φιλοτιμίαν λαβεῖν ἢ ἀνταλλάξαι ἢ πωλῆσαι

---

4 Lege *μὴ βουληθείη*, coll. infra *διακενῆς*. 5 Leuncl. in marg. *μετάγοις*. Recte.

1 Exhibet Bals. ad Phot. I, 28 ed. Rhalli I p. 67, unde ediderunt Bonef. p. 39, Leuncl. post Syn. p. 59 et JGR. II p. 185.

ἀξίωμα οἱονδήποτε ἢ ὀφφίκιον, μεταβιβάζουσι ταῦτα εἰς παῖδας μικρούς. ἵνα οὖν μὴ τοῦτο γίνηται μηδὲ δοκῶσι φενακίζειν ἢ ἀπατᾶν οἱ τοιοῦτοι, διορίζεται ἡ βασιλεία μου, ἵνα ὃς ἂν λάβῃ ἀξίωμα ἢ ὀφφίκιον, εἴτε διὰ προσαγγελίαν εἴτε δι' εὔνοιάν τινα εἴτε κατὰ ἐναλλαγὴν εἴτε δωρεὰν καὶ φιλοτιμίαν τῆς βασιλείας μου ἢ ψυχικὸν αὐτῆς, μὴ δέχεσθαι[2] πρόσωπον τιμώμενον[3] ἔλαττον τῶν εἴκοσι χρόνων· ἀλλὰ πάντες οἱ διὰ τὰς αὐτὰς αἰτίας ἢ ἀξίωμα ἢ ὀφφίκιον λαμβάνοντες ἔστωσαν μείζους τῶν κ' χρόνων. ὅτε δὲ ἡ βασιλεία μου οὐ διὰ τοιαύτην αἰτίαν ἀλλὰ ἀμέσως τιμήσῃ τινὰ ἢ δωρήσηται ὀφφίκιόν τινι, κἂν ἐλάττων ᾖ τῶν κ' χρόνων ὁ τιμώμενος, καταστρωννυέσθω οὕτως[4] ἀναμφιβόλως. καταστρωθήτω οὖν τὸ παρὸν πιττάκιον ἐν τοῖς τῶν ὑφ' ἡμᾶς σεκρέτων χαρτίοις εἰς δήλωσιν τῆς προστάξεως[5] καὶ οἰκονομίας τῆς βασιλείας μου, ὡς ἂν οὕτως ἐνεργῆται ἀπὸ τοῦ νῦν καὶ ἐπὶ τὰ ἔμπροσθεν. ὀφείλει δὲ προσκεῖσθαι[6] εἰς τὸ πιττάκιον τοῦ ἀμέσως τιμωμένου τὸ „καταστρωθήτω μὴ κωλυόμενον[7] ἀπὸ τῆς γεγονυίας προστάξεως παρὰ τῆς βασιλείας μου περὶ τῶν τιμωμένων ἐλαττόνων τῶν κ' ἐτῶν". καὶ ἔστω γνώρισμα τοῦτο τῶν ἀμέσως ὡς εἴρηται τιμωμένων ὡς ἐν εἰδήσει τούτου γενομένης[8] τῆς βασιλείας μου. τό[9]· μηνὶ ἰανουαρίῳ ἰνδ. ιε'[10] διὰ τοῦ βασιλέως.

NOV. XL.

Imp. Alexii Comneni de nuptiis amitae et neptis cum patruo et nepote[1]. (A. 1092 vel 1107.)

Πρόσταγμα γάρ ἐστι τοῦ ἀοιδίμου βασιλέως κυρίου ἀλεξίου τοῦ κομνηνοῦ ἐξενεχθὲν ἐπὶ ὑπομνήσει τοῦ πρωτο-

---

[2] Forte δέχηται. [3] Al. τὸ τιμώμενον. Quod si probaveris, superius pro ὃς ἂν (vel ὅστις, ut habent alii) legendum erit ὃ ἄν. [4] Leuncl. conj. οὗτος. [5] Alii (hic et paulo post): προτάσεως. [6] Al. προκεῖσθαι. [7] Al. κωλυομένου. [8] Al. γενομένου, al. γινομένης. [9] Al. τῷ. [10] Al. ἐπινεμήσεως ε'.

[1] Refertur a Bals. ad Phot. XIII, 2 ed. Rhalli I p. 283, unde ediderunt Bonef. p. 40 et Leuncl. JGR. I p. 138. — Idem πρόσταγμα laudatur in adnotatione synodali sub Patr. Nicolao a. 1092 vel 1107 facta (Coll. can. ed. Rhallis et Potlis V p. 58. 59), ibique dicitur ab imperatore promulgatum esse propter matrimonium Proedri Bardae Xeri. Denique allegatur a Balsam. Medit. in Coll. can. cit. IV p. 559, ibique haec πρόσταξις dicitur esse ἐξενεχθεῖσα ἐπὶ ὑπομνήσει βάρδα

προέδρου ἐκείνου καὶ ἑταιριάρχου βάρδα τοῦ ξηροῦ κατὰ μῆνα μάρτιον ἰνδ. ιε' καὶ καταπεμφθὲν εἰς τὸν τότε ἁγιώτατον πατριάρχην κύριον νικόλαον καὶ τὴν ἱερὰν καὶ θείαν σύνοδον, διοριζόμενον ἀκωλύτως συνάπτεσθαι[2] θείαν καὶ ἀνεψιὰν μετὰ θείου καὶ ἀνεψιοῦ, κἂν ἕκτου βαθμοῦ συγγένειαν ἐξ ἀγχιστείας ἔχωσι. καὶ ἀνάγνωθι τὸ τοιοῦτον πρόσταγμα καταστρωθὲν εἰς σημείωμα συνοδικὸν, εὑρισκόμενον εἰς τὸν κώδικα[3] τοῦ διαληφθέντος πατριάρχου κυρίου νικολάου.

NOV. XLI.
Imp. Alexii Comneni de electionibus et clericis[1]. (A. 1107.)

Νεαρὰ νομοθεσία τοῦ βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ διατυποῦσα τὰ περὶ τῶν ψήφων, καὶ ὁποίους δεῖ εἶναι τοὺς ἁπανταχοῦ ἀρχιερεῖς[2], πρὸς δὲ καὶ τοὺς ἱερεῖς, ἐν ταῖς ἐπαρχίαις καὶ ταῖς μητροπόλεσι καὶ ταῖς ἐπισκοπαῖς.

Ἁγιώτατέ μου δέσποτα καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος· εἰ καὶ ἀφρονέστερός εἰμι πάντων, ἀλλά γε ἐπὶ τῇ ὑποθέσει τῆς ἐκκλησίας μὴ ὡς ἄφρονά με λογίσησθε. ἥψατο γὰρ τῆς καρδίας μου ὁ τῆς ἐκκλησίας ἤδη ὑφορώμενος κίνδυνος. ἰδοὺ γὰρ κινδυνεύουσιν αἱ ψυχαὶ τῶν ὀρθοδόξων καὶ μᾶλλον τῶν ἁπλουστέρων. ἐπεὶ κεφαλή ἐστι τῶν ὀρθοδόξων ὁ ἱερατικὸς σύλλογος· καὶ καλῶς μὲν ἔχοντος αὐτοῦ ὅλον τὸ σῶμα καὶ πάντα τὰ μέλη αὐτοῦ πρὸς ἀξίαν ἄγονται· τούτου δὲ πάλιν νοσήσαντος καὶ τὸ σῶμα πᾶν πρὸς παντελῆ ὄλεθρον ἀφορᾷ. ἰδοὺ τοίνυν κιν-

---

τινὸς λεγομένου ξηροῦ καὶ ἐπιγνωσθεῖσα τοῖς δημοσιακοῖς καὶ ἐκκλησιαστικοῖς ἀρχείοις καὶ κώδιξι. [2] Al. συνάγεσθαι. [3] Al. τὰ κωδίκια.

[1] Extat in Cod. Paris. gr. 1371 et Marc. 49. Inde edidit Cotelerius in Monum. eccl. graecae to. II p. 178, et ex Cotelerio Mansi Coll. concil. XXXI p. 25, nec non Rhallis et Potlis in Coll. can. V p. 291. — Particula ejus allegatur a Bals. ad syn. Trull. c. 19 ed. Rhalli II p. 348; quam ediderunt Bonef. p. 61 et Leuncl. JGR. I p. 143. [2] In schedis meis ex Cod. Paris. scriptum invenio: τοὺς πανταχοῦ ἱερεῖς. In Cod. Marciano Morellio teste „annotatio" (?) est: τὸ θεῖον καὶ προσκυνητὸν ἔδικτον τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν βασιλέως κυρίου ἀλεξίου τοῦ κομνηνοῦ, τὸ κατὰ τὸν ἰούνιον μῆνα τῆς ιε' ἰνδ. τοῦ ͵ςχιε' ἔτους ἀπολυθὲν εἰς τὴν ἱερὰν καὶ ἁγίαν σύνοδον.

δυνεύει ὁ χριστιανισμὸς τῆς ἐκκλησιαστικῆς καταστάσεως ἐπὶ τὸ ἔλαττον καθεκάστην ὑποχωρούσης, καὶ θεὸς παροργίζεται, χαίρει δὲ παμπόνηρος καὶ μισόκαλος δαίμων ὁ τοῖς ἀγαθοῖς ἀεὶ βασκαίνων. αἴτιον δὲ τῆς τοιαύτης ἀτοπίας οὐδὲν ἄλλο ἐστὶν ἢ χρονία ῥαθυμία καὶ ἀμέλεια ἐκ μακροῦ μὲν ἀρξαμένη, προϊοῦσα δὲ μέχρι καὶ νῦν. αὕτη γὰρ παρεσκεύασε τὸ κακὸν τοῦτο ἤδη καὶ ὡς νόμον εἶναί τινα, καὶ πράττεται οὐχ ὡς κακὸν ἀλλ' ὡς ἀγαθὸν καὶ σωτήριον, εἰ καὶ ὀλέθριον πάντη ἐστίν. ὀλέθριον οὐχὶ σώμασιν οὔτε εἰς χρηματικὴν ζημίαν ἀφορῶν, ἀλλὰ ψυχικὴν καὶ εἰς ἀπώλειαν χριστιανῶν καταντῶν. ποίαν οὖν ἀπολογίαν ποιήσομεν ἐν ἡμέρᾳ κρίσεως τῷ δημιουργῷ καὶ πλάστῃ θεῷ οἵ τε βασιλεῖς καὶ ἀρχιερεῖς, εἴπερ χριστιανοὺς ἀνθρώπους παραλαβόντες παραδιδόαμεν τούτους τῷ σατανᾷ διὰ θελήματα πάντως ἀνθρώπινα, πρόσκαιρον ἔχοντα, καὶ οὐδὲ πρόσκαιρον ἀλλ' ἐπὶ βραχύτατον πάνυ χρόνον διαρκοῦσαν, τὴν θεραπείαν τῶν τε τὰς ψήφους καὶ τὰς χειροτονίας ποιούντων καὶ τῶν προχειριζομένων παρ' αὐτῶν οὐ μόνον εἰς τὴν ἀρχιερωσύνην ἀλλὰ καὶ εἰς τὸν ἄλλον τῆς ἱερωσύνης κατάλογον; οὐχ ἕξομεν πάντως ἀπολογίαν τινὰ, εἰ μὴ διεγερθῶμεν πάντες καὶ διόρθωσιν τοῦ κακοῦ ποιησόμεθα, ἀνακαινίζοντες τὸ καταφρονηθὲν καλὸν, τὸ ἀσυγκρίτως μεῖζον πάντων τῶν καλῶν, τὸ οἰκειοῦν ἡμᾶς δηλονότι τῷ θεῷ, τὸ διὰ χρονίας ἤδη ἀμαυρούμενον ἀμελείας. θεοῦ γὰρ χάριτι πάντες χριστιανοί ἐσμεν οἵ τε βασιλεῖς, οἱ ἀρχιερεῖς, ὁ ἱερατικὸς ἅπας σύλλογος καὶ ὁ λαός· ἔτι συνεχόμενοι καὶ συνδεόμενοι ἐν τῇ πίστει διὰ τῶν μακαρίων ἐκείνων ἀρχιερέων καὶ διδασκάλων καὶ τῶν λοιπῶν θεοφόρων πατέρων καὶ τῆς τε σῆς ἁγιότητος καί τινων ἐκ τῆς νῦν ἀρχιερατικῆς ὁμηγύρεως τῷ λόγῳ καὶ ἀρετῇ τοὺς ἄλλους ὑπερβαλλόντων. λοιπὸν οὖν δεῖ ἡμᾶς ὡς χριστιανοὺς θεοῦ χάριτι τὴν ἀναζήτησιν τοῦ καλοῦ ποιῆσαι. τὸ γὰρ ἐμποδίζον οὐκ ἐστίν. ὡς εἰ μὴ οὕτω γένηται καὶ τὸ πρᾶγμα διόρθωσιν δέξηται, συμφέρει καὶ ἡμῖν πάντως τὸ δεθῆναι περὶ τὸν τράχηλον ἑκάστου μύλον ὀνικὸν καὶ ῥιφῆναι εἰς τὴν θάλασσαν. ἁρμόσοι δὲ ἂν ἐφ' ἡμῖν καὶ τὸ· καλὸν ἦν εἰ οὐκ ἐγεννήθημεν. καὶ θρήνου γενήσεται ἄξιον τοῦτο, καὶ θρήνου οὐ πηγαῖς δακρύων ἀλλὰ κρουνοῖς αἱμάτων συμπληρουμένου περὶ τούτου καὶ μόνον οὗ τὸν θρῆνον ποιήσασθαι· ὥσπερ οἱ ἐν σκάφεσιν ὄντες καὶ ἐν μέσῳ πελάγους χειμαζόμενοι καὶ πηδάλια μὴ ἔχοντες καὶ ἄλλως φυγεῖν τὸν ἐπηρτημένον κίνδυνον μὴ δυνάμενοι πρὸς μόνον τὸν θεὸν ἀφορῶντες ἐλεεινῶς καὶ παρὰ τούτου τὴν ἑαυτῶν ἐξαιτούμενοι σω-

τηρίαν. εἰ τοῦτο οὕτως ἐπιγνωσόμεθα, πάντως ὁ φιλάνθρωπος θεὸς τὴν ὁδηγίαν πρὸς τὴν διόρθωσιν τοῦ κακοῦ παρέξει τοῖς τε ἀρχιερεῦσι καὶ πᾶσι τοῖς ἕως τοῦ νῦν ἴσως ἀγνοήσασι τὸ καλόν· ὡς ἂν τὸ πρὸ χρόνων τινῶν ἐξ ἀμελείας ἀμαυρωθὲν ἀγαθὸν ἀνακαινισθῇ νῦν ἄνευ ὑπερθέσεώς τινος· ὅπως θεραπευθῇ ὁ θεὸς διορθουμένης τῆς ἐκκλησιαστικῆς καὶ χριστιανικῆς καταστάσεως κατὰ τὰς παραδόσεις τῶν θείων καὶ κορυφαίων ἀποστόλων καὶ τῶν μετ᾽ αὐτοὺς ἁγίων καὶ θεοφόρων πατέρων, ἣν ἡ χρονία ἡμῶν ῥᾳθυμία διέφθειρε. καὶ οὐδὲν θαυμαστὸν εἰ καὶ τὸ ἀγαθὸν τοῦτο καὶ σωτήριον ἔργον, ὅπερ αὐτοὶ οἱ μαθηταὶ τοῦ κυρίου τῇ τῶν πιστῶν ἐκκλησίᾳ παρέδωκαν καὶ μετ᾽ ἐκείνους οἱ λοιποὶ ἅγιοι πατέρες, ὁ χρόνος διέφθειρεν. ἄνθρωποι γὰρ φθαρτοὶ ὄντες καὶ τοῖς ὑλικοῖς πράγμασι καθ᾽ ἑκάστην ἐνασχολούμενοι, πρὸς ταῦτα καὶ κρημνιζόμεθα. θολοῦσι γὰρ τὰ αἰσθητὰ ταῖτα καὶ ἡ περὶ αὐτὰ σχέσις τοὺς λογισμοὺς τῶν ἀνθρώπων, καὶ σπανίως εὑρίσκεται ὁ τοῖς θείοις ἀεὶ ἐνασχολούμενος πράγμασι καὶ ταῦτα μόνα ζητῶν καὶ τὸν ἔσω ἄνθρωπον καθ᾽ ἑκάστην ἀναψηλαφῶν καὶ ἀνακαθαίρων. καὶ διὰ τοῦτο καὶ τὸ κάλλιστον τοῦτο ἔργον καὶ θεῖον, ὃ τὴν εὐσέβειαν ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐκ θεοῦ παρέχει, τελείως κατεφρονήθη καὶ καθ᾽ ἑκάστην ἐλάττωσιν δέχεται, ὡς μικροῦ δεῖν καὶ εἰς παντελῆ φθορὰν καταντῆσαι καὶ ὡς οὐδὲν λογισθῆναι. οὐκ ἐστὶ γὰρ ἀναζήτησις τοῦ ὀρθοδόξου κηρύγματος, οὐκ ἐστὶν ἔφεσις τῆς καταλήψεως τούτου, ἀλλ᾽ ὡς ἐν σκότει πάντες σχεδὸν διαπορευόμεθα. κινδυνεύομεν πάντες ὁμοῦ οἵ τε τοῦ ἀρχιερατικοῦ καταλόγου, τοῦ μοναχικοῦ καὶ τοῦ λαϊκοῦ, καὶ εἰς χάος ἐζοφωμένον καὶ ἀχανὲς κατακρημνιζόμεθα. ἡ δὲ τοῦ ἀληθινοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν πρὸς τὸν αὐτοῦ πατέρα παράκλησις περὶ τῶν ἀποστόλων ἀλλὰ καὶ περὶ πάντων τῶν πιστευόντων εἰς ἐκεῖνον διὰ τοῦ λόγου αὐτῶν ἀπρακτεῖ. πῶς γὰρ πιστεύουσι διὰ τοῦ λόγου τῶν ἀποστόλων εἰς ἐκεῖνον αἱ τῶν ἀνθρώπων ψυχαὶ ἀδίδακτοι καὶ ἀμύητοι τοῦ τῆς εὐσεβείας μυστηρίου καταλιμπανόμεναι; ὡς γὰρ τὸ κρυβὲν ἐν εὐαγγελίοις τάλαντον, οὕτω σχεδὸν τὸ ὀρθόδοξον δόγμα κρύπτεται νῦν καὶ κρυπτόμενον οὐκ ἀναζητεῖται, ἀλλὰ τὸ μεῖζον τοῦτο τῶν ἄλλων ἁπάντων ἀσυγκρίτως δεύτερον παρὰ πᾶσι σχεδὸν λογίζεται. καὶ γὰρ ἐάν τις ἀτιμότερόν τι καὶ ἔσχατον ὧν ἔχει ἀπολέσῃ, πολλὴν τὴν ἀναζήτησιν ποιεῖται καὶ τὴν ἔρευναν καὶ φίλους συγκαλεῖ πρὸς βοήθειαν, ἵνα τὸ ἀπολλόμενον εὕρῃ, καὶ εὑρὼν αὐτὸ χαίρει. τοῦτο δὲ τὸ μέγιστον χρῆμα, τὸ τῆς εὐσεβείας

δηλονότι μυστήριον ὃ αὐτὸς ὁ ἀληθινὸς χριστὸς καὶ θεὸς ἡμῶν τοῖς ἰδίοις παρέδωκε μαθηταῖς, λέγων αὐτοῖς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη καὶ τὰ ἑξῆς, ἀπολλόμενον τί οὐκ ἀναζητοῦμεν μετὰ σπουδῆς ὑπερβαλλούσης καὶ ζεούσης καρδίας; αὐτοῦ γὰρ τοῦ ἀληθινοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν ὑστερούμεθα, εἰ τοῦ τῆς εὐσεβείας μυστηρίου καταφρονήσομεν· καὶ οὐχὶ πάντες ὁμοῦ σπουδῇ μεγίστῃ τὴν ἀναζήτησιν αὐτοῦ ποιησόμεθα, δάκρυα χέοντες ἐξ ὀδυνηρᾶς καρδίας καὶ τὸν θεὸν ἐξαιτούμενοι, ἵνα ἐκεῖνος πάλιν φανερωθῇ τοῖς νοητοῖς ἡμῶν ὀφθαλμοῖς; ἅμα γὰρ τῷ θελῆσαι ἡμᾶς γενήσεται τοῦτο. οὕτως ἐστὶ φιλάνθρωπος καὶ ἐλεήμων καὶ τὴν σωτηρίαν ἡμῶν διψῶν, ὥστε οὐ μακρὰν ἡμῶν ἐστὶν ἀλλ' ἐγγύς. πάρεστι γὰρ καὶ ἀναζητεῖ ἡμᾶς, καθὼς αὐτὸς εἶπεν, ὅτι ἡ βασιλεία τῶν οὐρανῶν καὶ ἐντὸς ὑμῶν ἐστιν, ἐὰν καὶ ἡμεῖς βουλώμεθα.

α'. Πῶς δὲ γενήσεται ἡ διόρθωσις τῆς ἐκκλησιαστικῆς καταστάσεως; οἱ ἔμβαθμοι κληρικοὶ τῆς μεγάλης ἐκκλησίας εἰσὶν εὐαρίθμητοι, οἵτινες καὶ ῥόγας λαμβάνουσιν. οἱ δὲ περισσοὶ, ἀπογεγραμμένοι μὲν ὑπάρχουσι καὶ δουλεύουσι τῇ ἐκκλησίᾳ, οὐ λαμβάνουσι δέ τι, ἀλλ' ἐλπίδι καὶ μόνῃ τρέφονται προκοπῆς. καὶ εἰ καὶ πάντες ἄξιοι πάσης ἱερωσύνης ἐμαρτυρήθησαν, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ τινὲς τῶν τε ἐμβάθμων καὶ τῶν περισσῶν ἴσως τοιοῦτοι οὐκ εἰσίν. ἀλλὰ τὸν μὲν ἐνάρετον βίον ἴσως ἵνα ἔχωσιν ὡς ὀφειλόμενον πᾶσι τοῖς χριστιανοῖς φυλάττειν τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ μᾶλλον τοῖς ἱερωμένοις, ἀλλά γε ὁ διδασκαλικὸς λόγος οὐκ ἐστὶ παρὰ τοῖς πολλοῖς· καὶ ἴσως τοῦτο καὶ ἐπί τισι τῶν ἱερωμένων εὑρεθήσεται. οἱ μὲν οὖν ἔχοντες καὶ τὸν ἐπαινετὸν βίον καὶ τὸν διδασκαλικὸν λόγον, ἔμβαθμοί τε ὁμοίως καὶ περισσοὶ, ἐπεὶ καὶ οὗτοι κἀκεῖνοι τὴν ἐκκλησιαστικὴν ὑπηρεσίαν πληροῦσι, καὶ προκοπτέτωσαν εἴς τε τὴν ἀρχιερωσύνην καὶ τὰ ἀρχοντίκια καθὼς εἰρήσεται ἀκωλύτως. οἱ δέ γε λοιποὶ ἀγωνιζέσθωσαν μετ' ἐπιμελείας ὅτι πολλῆς, ἵνα καὶ τὸν βίον ἐπὶ τὸ κρεῖττον ῥυθμίζωσι καὶ τὸν διδασκαλικὸν λόγον καρπίζωνται. τότε δὲ τῆς ἐν τῇ ἐκκλησιαστικῇ τάξει προκοπῆς τυγχανέτωσαν ἕκαστος τούτων, ὅτε ἄξιον κατ' ἀμφότερα ἑαυτὸν ἀπεργάσεται. εἰ γὰρ καὶ ἐμαρτυρήθη ἄξιος πάσης ἱερωσύνης καὶ διὰ τοῦτο τῇ ἐκκλησίᾳ προσιερώθη, ἀλλὰ τῷ μὲν ψευδῶς μαρτυρήσαντι μέμψις προστριβήσεται, ἡ δὲ τοιαύτη μαρτυρία τῷ μὴ ἔχοντι τὸν διδασκαλικὸν λόγον σὺν τῷ ἀνεπιλήπτῳ οὐ βοηθήσει ὅσον τέως εἰς τὴν ἐπὶ τοὺς μείζονας βαθμοὺς πρόοδον. οὔτε γὰρ τὸν διδασκαλίας δεόμενον ὠφε-

λήσει πάντως ἡ μαρτυρία τοῦ προσμαρτυρήσαντος τὴν τοῦ διδακτικοῦ δύναμιν τῷ ταύτης ἀμετόχῳ, οὔτε τῷ μαρτυρηθέντι ἀρκέσει πρὸς τὸ ἀναδέξασθαι βαθμὸν διδασκαλικόν. τί οὖν οἰκονομήσει ἐπὶ τούτοις ἡ ἱερὰ καὶ ἁγία σύνοδος; τοὺς μὴ καλῶς μαρτυρηθέντας ἐξώσει οὗ ἔτυχεν ἕκαστος βαθμοῦ; ἀλλὰ τοῦτο λύπην ἐντίθησι ταῖς ψυχαῖς τῶν ἤδη ἀφιερωθέντων τῇ ἁγιωτάτῃ τοῦ θεοῦ ἐκκλησίᾳ. ἀποδεξάσθω οὖν ἡ ἱερὰ καὶ ἁγία σύνοδος καὶ πρὸ πάντων ἡ ἁγιωσύνη σου τοῦ ἁγιωτάτου μου δεσπότου καὶ κοινοῦ πατρὸς καὶ διδασκάλου τῆς οἰκουμένης τὸ πρόθυμον τῶν ἤδη καθιερωθέντων καὶ τὸ θέλειν αὐτοὺς ὁλοψύχως ὑπηρετεῖν τῇ ἁγίᾳ ἐκκλησίᾳ, καὶ τὸ ἐλλεῖπον τούτοις ἀναπληρωθήτω παρὰ τῆς σῆς ἁγιότητος σπουδὴν ὑπερβάλλουσαν ἐνδεικνυμένης. ἡ δὲ σπουδὴ ἔστω τοιαύτη καλῶς ἐχούσης τῆς ἁγιωσύνης σου ὡς τὸ καλὸν κρεῖττον πάντων βουλομένης.

β΄. Πρὸ μὲν παντὸς ἄλλου ἀδνούμιον κοινὸν γενέσθω τῶν ὅλων τῶν τε ἤδη κατηρτισμένων ἀξίων κατ' ἄμφω, λόγον τε δηλονότι καὶ βίον, καὶ τῶν ἴσως κατά τι τούτων λειπομένων. τὸ δὲ τοιοῦτον ἀδνούμιον μὴ ἁπλῶς καὶ ὡς ἔτυχε γένηται, ἀλλὰ μετὰ ἐρεύνης μεγίστης, ἐρεύνης προηγουμένως τοῦ ἐν ἑκάστῳ διδασκαλικοῦ λόγου καὶ τοῦ χρηστοῦ ἤθους. καὶ τὸν μὲν ἔχοντα καὶ ἦθος χρηστὸν καὶ λόγον διδασκαλικὸν σημειωθήτω ἡ ἁγιωσύνη σου ὡς ἐξῃρημένον τῶν ἄλλων. τούτῳ γὰρ τῷ τρόπῳ καὶ ὁ μήπω καταρτισθεὶς καταρτισθήσεται ζήλῳ τοῦ ἤδη σημειωθέντος καὶ τῶν ἄλλων προκριθέντος. ἐπεὶ δὲ ἤδη ἄνωθεν εἴπομεν δεῖν ἀποδεκτέαν λογισθῆναι τὴν προθυμίαν τῶν μὴ τοιούτων, ὅτι προθύμως ἔχουσι προσκαρτερεῖν τῇ δουλείᾳ τῆς ἐκκλησίας, παραγγελθήτωσαν οἱ τοιοῦτοι ὡς ἂν τοῦ λοιποῦ ἐπιμελῶνται καὶ λόγου καὶ ἀρετῆς, καὶ οὕτως ἐν γνώσει γινόμενοι τοῦ συνοίσοντος διὰ τῆς σῆς χρηστῆς ὁμιλίας καὶ ἐπιφωνητικῆς παραγγελίας τὸ πρόθυμον αὐτῶν ἅπαν κατακενώσουσιν εἰς τὸ μαθεῖν ἀκριβῶς καὶ τὰ θεῖα διδάγματα ἕκαστον καὶ πρὸς τὸ χρηστότερον τὸν βίον ἑαυτῶν καταστήσασθαι καὶ ἄξιον ἑαυτὸν ἀπαρτίσαι πάσης ἱερωσύνης καὶ οὕτως ἀποδεῖξαι τὴν ὑπὲρ αὐτοῦ μαρτυρίαν ἔργοις αὐτοῖς βεβαίαν. καὶ μὴ ἅπαξ ἡ ἐπιφωνητικὴ αὕτη ὁμιλία τε καὶ παραγγελία γένηται, ἀλλὰ καὶ πολλάκις γινέσθω· καὶ ἀπαιτείσθω ἕκαστος παρὰ τῆς σῆς ἁγιότητος τί μετὰ τὰς ἐπιφωνητικὰς παραγγελίας ἐκαρπώσατο. καὶ ὁ καρπὸν εὐθαλέστερον τῶν ἄλλων προσενεγκὼν ἀπόδεκτος παρὰ τῆς σῆς ἁγιότητος λογιζέσθω καὶ ἐγκρινέσθω καὶ μείζονος παρὰ τοὺς ἄλλους τιμῆς ἀξιούσθω, ὅτι ἠπείθησεν οὗτος τῷ κυριακῷ παρ-

αγγέλματι. αὐτὸς γὰρ εἶπεν ὁ κύριος· αἰτεῖτε [καὶ δοθήσεται ὑμῖν· ζητεῖτε] καὶ εὑρήσετε· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται. καὶ ὁ τοιοῦτος ἐπεὶ ἐζήτησεν εὗρεν, ᾔτησε καὶ ἔλαβεν, ἔκρουσε καὶ ἠνοίγη αὐτῷ. τὸν οὖν ἐκ θεοῦ λαβόντα τοιαύτην τιμὴν διὰ τῆς οἰκείας σπουδῆς δεῖ καὶ τὴν ἁγιωσύνην σου τῆς προσηκούσης τιμῆς ἀξιοῦν καὶ τῇ βασιλείᾳ μου γνωρίσαι μᾶλλον αὐτόν, ἵνα καὶ αὕτη πρὸς αὐτὸν τὴν προσήκουσαν κατὰ τὸ δυνατὸν τιμὴν ἐπιδείξηται. καὶ ὁ τοιοῦτος γνώριμος γενήσεται πάσῃ τῇ ἐκκλησίᾳ εἰς ὠφέλειαν οὐχ ἑαυτοῦ μόνον ἀλλὰ καὶ ἄλλων πολλῶν. μεταδίδοται γὰρ τὸ ἀγαθὸν, ποῖον πρᾶξις καὶ λόγος, ὧν χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον. εἰ δέ τις, ὅπερ οὐ δοκεῖ τῇ βασιλείᾳ μου, τοσοῦτον γέγονε ῥᾴθυμος, ὥστε μηδὲ μετὰ παραγγελίαν μηδὲ μετὰ χρόνον καρπώσασθαί τι καλὸν, μενέτω καὶ αὐτὸς αἰτιώμενος, καὶ μᾶλλον αὖθις μετὰ χρόνον τινὰ ἐπιφωνηθήτω, ὡς εἰ καὶ ἔτι τῇ αὐτοῦ ῥᾳθυμίᾳ ἐμμείνοι, καὶ τοῦ ἱερατικοῦ καταλόγου παντελῶς ἐκπεσεῖται. τοῦτο δὲ οὐ περὶ τῶν ἐσχάτως γεγηρακότων καὶ τὰς αἰσθήσεις ἤδη ἀσθενησάντων λέγει ἡ βασιλεία μου. τοὺς τοιούτους γὰρ ὁ χρόνος ἀξιοῖ συγγνώμης ὅσον ἐπὶ τῷ μὴ ἐκπεσεῖν τοῦ οἰκείου βαθμοῦ διὰ τὸ μὴ ἀπαρτισθῆναι κατὰ τὸν διδασκαλικὸν λόγον. ὅμως μέντοι καὶ αὐτοὶ βελτίους γενήσονται εἰ δυνατῶς ἔχουσι γνῶναι· τέως γοῦν οὐκ ἐκδιωχθήσονται τῶν οἰκείων βαθμῶν. οἱ δὲ δυνάμενοι καὶ μὴ ἐπιμελόμενοι ἑαυτοὺς ἐκδιώξουσι μετὰ τὸν προσήκοντα χρόνον εἰ ἀδιόρθωτοι μείνωσι, καὶ ἔκτοτε ἑαυτοὺς αἰτιάσθωσαν, καὶ μήτε τὴν βασιλείαν μου μήτε τὴν σὴν ἁγιότητα μήτε τὴν ἱερὰν καὶ ἁγίαν σύνοδον. καιρὸς γὰρ ὑφαπλούσθω αὐτοῖς ὁ προσήκων, καὶ πρόφασιν εἰ βούλοιντο βελτιωθῆναι οὐκ ἔχουσιν.

γ΄. Καὶ ταῦτα μὲν περὶ τοῦ νῦν ὄντος πληρώματος τῆς ἐκκλησίας. ἡ δὲ ἐκ τῶν ἔξωθεν εἰς τὸν κλῆρον εἰσαγωγὴ ἀπό γε τοῦ νῦν σχολασάτω, ἕως ἂν ὁ κλῆρος εἰς τὸν ὡρισμένον ἀριθμὸν περιστῇ· εἰσὶ δὲ ὀφφίκια ἕτερα ἐκκλησιαστικήν τινα ὑπουργίαν ἔχοντα, καὶ εἰ κελεύει ἡ ἁγιωσύνη [σου], τασσέσθωσαν εἰς αὐτὰ οἱ παρά τινων προσαγόμενοι, καὶ εἰ βούλονται ἱερωθῆναι, ἀγωνιζέσθωσαν πεῖράν τε λαμβάνειν τῶν θείων διδαγμάτων πάντων, ὡς οἱ θεῖοι κανόνες διαγορεύουσι, καὶ βίου ἐπιμελεῖσθαι χρηστοῦ καὶ ἀνεπιλήπτου. καὶ ὅταν τὶς τούτων ἄξιος σὺν θεῷ γένηται πάσης ἱερωσύνης, τότε καὶ μαρτυρείσθω καὶ εἰσαγέσθω εἰς τὸν κλῆρον τῆς ἐκκλησίας καὶ τῆς

προκοπῆς ἀξιούσθω κατὰ τάξιν. πλὴν εἰ καὶ σχολάσαι τὴν ἔξωθεν εἰς τὸν κλῆρον εἰσαγωγὴν ἄχρις ἂν εἰς τὸν ὡρισμένον περιστῇ ἀριθμὸν ἡ βασιλεία μου προετρέψατο ἀνωτέρω, ἀλλ᾽ εἴ τις ἐγνωσμένος καὶ μεμαρτυρημένος ἀνὴρ ἐπί τε τῇ κατὰ λόγον καὶ ἀρετῇ δοκιμότητι βούλεται καθιερωθῆναι, ἢ καὶ σπουδάζων τὶς περὶ τὸ καλὸν καὶ ἀμφοτέρων τῶν εἰρημένων λόγου καὶ βίου ἐναρέτου ἐπιμελόμενος, τοὺς τοιούτους οὐκ ἀπαγορεύει καὶ παραδέχεσθαι καὶ καθιεροῦσθαι τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ. τί οὖν βούλεται ἡ ὑμετέρα ἁγιότης καὶ περὶ τῶν λειπόντων ἐμβάθμων κληρικῶν καὶ περὶ τῆς εἰς τοὺς τόπους ἐκείνων προκοπῆς τῶν περισσῶν; ἐστὶ γάρ τις καθ᾽ ὑπόθεσιν ἔσχατος μὲν τῷ βαθμῷ, ἄξιος δὲ πάσης ἱερωσύνης κατά τε λόγον καὶ βίον· ἔλειψεν ἔμβαθμός τις τοῦ ἱερατικοῦ καταλόγου· τίς ἀντ᾽ ἐκείνου ταχθήσεται; ὁ μήπω ἄξιος πάσης ἱερωσύνης γενόμενος, τὸν δὲ πρῶτον ἔχων βαθμὸν, ἢ ὁ ἔσχατος τῷ βαθμῷ, ἄξιος δὲ τῷ λόγῳ καὶ τῇ πράξει, εἰς τὸν τοῦ λείψαντος ἐμβάθμου τόπον ταχθήσεται; ὁ ἀπὸ τοῦ βαθμοῦ βοηθούμενος ὑστερεῖται τῆς ῥόγας, ἧς ὁ βαθμὸς αὐτὸν ἀξιοῖ, καὶ λυπηθήσεται. πῶς οὖν παραφυλάξομεν καὶ τούτων τὸ ἄλυπον, καὶ τοῦ ἀξίου μὴ καταφρονήσομεν; ἀμφότερα γὰρ ἀναγκαῖα, καὶ τὸν κοπιάσαντα μὴ στερηθῆναι τῆς ῥόγας αὐτοῦ καὶ τὸν ἄξιον μὴ παροραθῆναι· ἀτιμάζεται γὰρ τὸ καλὸν, καὶ γίνεται τὰ ἀτιμώτερα τιμιώτερα, κἀντεῦθεν καταφρονεῖται τὸ καλόν. ἡ μὲν οὖν εἰς τὴν ῥόγαν προκοπὴ γενέσθω κατὰ τὸν ἑκάστου βαθμόν. οἱ δὲ ἀξιόλογοι κατά τε λόγον καὶ πρᾶξιν εἰσαγέσθωσαν εἰς τὴν τῆς διδασκαλίας διακονίαν καὶ διὰ τῶν διδασκάλων[3] προβαινέσθωσαν εἰς τὰ ἀρχοντίκια. ἀφορισθήτω δὲ τοῖς διδασκάλοις καὶ τὸ προσῆκον σιτηρέσιον. ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ, καθὼς γέγραπται. ἐργάτης δὲ μὴ τυγχάνων μισθοῦ τοῦ προσήκοντος δοκεῖ ἀδικεῖσθαι, καὶ δοκῶν ἀδικεῖσθαι παθαίνηται ἴσως τὸν λογισμὸν ὡς ἄνθρωπος, κἀντεῦθεν καὶ περὶ τὴν γνῶσιν ῥαθυμότερος γίνεται, καὶ ἐμποδιζόμενος πῶς μετ᾽ ἐπιμελείας τὴν διδασκαλίαν ποιήσεται; μὴ μετ᾽ ἐπιμελείας δὲ τὴν διδασκαλίαν ποιούμενος πῶς μεταδώσει τῆς ἐκ ταύτης ὠφελείας τῷ λαῷ; καὶ λοιπὸν ἀπομένει ἡ διδασκαλία τοῦ ὀρθοῦ δόγματος καὶ τοῦ χρηστοῦ ἤθους ἀμετάδοτος ταῖς τῶν ἀνθρώπων ψυχαῖς. καὶ τὸ ἐκ τούτου κακὸν ὑμεῖς οἱ ἀρχιερεῖς κρειττόνως γινώσκετε. τυποῖ δὲ τοῖς διδασκάλοις καὶ ἡ βασιλεία μου ὡς ὑπὲρ πάντων

---

[3] Bals. *τῶν διδασκαλικίων.* Non male.

τὸν ἀγῶνα ὑποδυομένοις σιτηρέσιον ἤγουν ἑκάστῳ αὐτῶν ἀνὰ νομισμάτων [λίτρας τρεῖς καὶ ἀνὰ σίτου μοδίους πεντήκοντα][4] *εἰς περισσοτέραν παρηγορίαν αὐτῶν, ὥστε καλῶς μεταδιδόναι τούτους τῷ λαῷ τοῦ ὀρθοδόξου δόγματος καὶ τῆς χρηστῆς πολιτείας. καὶ ὅσοι μὲν τῶν τοιούτων διδασκάλων ἔχοντες δηλονότι βίον ἐνάρετον καὶ τὴν τοῦ διδασκαλικοῦ λόγου δύναμιν προθυμοῦνται γενέσθαι ἱερεῖς, γενέσθωσαν. καὶ ἐχέτωσαν μὲν οὗτοι τιμὴν ἔν τε ταῖς εἰσόδοις καὶ ἐν ταῖς καθέδραις· ἔμβαθμοι μὲν ὄντες κατὰ τοὺς οἰκείους βαθμούς, περισσοὶ δὲ εὐθὺς μετὰ τοὺς ἐμβάθμους, τῶν ἄλλων δηλονότι περισσῶν προτιμώμενοι ὡς ἐκπροσωποῦντες τῷ μεγάλῳ ἀρχιερεῖ*[5]. *ἀκούομεν γὰρ τὸν πληροῦντα τὸν τόπον τούτου μεγίστην ἀεὶ ἔχειν τιμήν, καὶ οὐδεὶς πρὸς τοῦτο δυνήσεται ἀντειπεῖν. ἐπιβλεπέτωσαν δὲ καὶ τὰς γειτονίας μὴ μόνον διδάσκοντες τὸν λαὸν καὶ ὑποτιθέντες ἅπασι τὸ καλόν, ἀλλὰ καὶ τοὺς ἴσως διαβεβλημένου βίου εὑρισκομένους ἀναστέλλοντες, ποτὲ μὲν διὰ συμβουλῆς ὡς τὴν τοῦ λόγου δύναμιν ἔχοντες, ποτὲ δὲ δι᾽ ἀναφορᾶς αὐτῶν εἰς τὸν ἁγιώτατον πατριάρχην, ἐκείνου δὲ εἰς τὴν βασιλείαν μου ἢ καὶ τοὺς τὰς ἐν τῇ μεγαλοπόλει διοικοῦντας ἀρχάς, ὅτε καὶ χειρὸς δηλονότι καὶ ἐξουσίας τὸ πρᾶγμα δεῖται πολιτικῆς. δεῖ δὲ αὐτοὺς ἐπισκεπτομένους τὸν λαὸν καὶ ἵνα πάντες γνωρίμους ἔχωσι τοὺς πνευματικοὺς πατέρας αὐτῶν, ἵνα μὴ ἀντὶ ποιμένων λύκοι εὑρεθῶσί τινες τοὺς λογισμοὺς τῶν ἀνθρώπων ἀναδεχόμενοι. οἱ δὲ αὐτοὶ διδάσκαλοι οὐ μόνον ὡς τὸ ἀξιόπιστον ἔχοντες τοῖς λαϊκοῖς τὴν ὠφέλειαν παρέξουσιν, ἀλλὰ καὶ τοῖς μοναχοῖς. δεῖται γὰρ καὶ τῶν κατ᾽ αὐτοὺς ἔνια διορθώσεως. μηδεὶς δὲ τῶν οὕτως ἀξίων διδασκάλων ἀπρόθυμος ἔσται εἰς τὸ γενέσθαι ἱερεὺς καὶ οὕτως μεταδιδόναι τῷ λαῷ τοῦ διδασκαλικοῦ λόγου κατὰ προτροπὴν τοῦ μεγίστου ἀρχιερέως, ἀλλὰ μᾶλλον προθυμείσθω εἰς τοῦτο ὡς κατὰ ἀκολουθίαν τῆς ἐκκλησιαστικῆς εὐταξίας γινόμενον. εἰ γὰρ καὶ κατὰ τὸ ἀνθρώπινον ἔδοξε νῦν ἔχειν ὑπόπτωσίν τινα ἡ ἱερωσύνη, πλὴν οὐχ οὕτως ἔχει καὶ ἡ ἀλήθεια· τῇ δὲ παραλόγῳ συνηθείᾳ πάντως ἀκολου-*

---

[4] Quae uncis inclusa sunt, ex Bals. Cotelerius supplevit. Sed *ἀνὰ νομισμάτων λίτρας τρεῖς* non recte dicitur: *νομισμάτων* certe delendum est. [5] Cotelerius hic verba a Balsamone relata inseri vult, scilicet haec: *ἔστω καὶ αὕτη τοῖς διδασκάλοις, δι᾽ ἃς τὴν ἀναχώρησιν ἐποιήσαντο, αὖθις ἐν ταῖς οἰκείαις ἐκκλησίαις ἀπονενεμημένη τιμή, τὸ εὐθὺς μετὰ τοὺς ἄρχοντας ἵστασθαι τῷ ἁγιωτάτῃ πατριάρχῃ παρισταμένους ὡς ἐκπροσωποῦντας αὐτῷ.*

θῶν τις κρίνει τὴν τιμὴν ἀτιμίαν. τίς γὰρ τῶν εὖ φρονούντων οὐκ ἐπιγινώσκει τὸν ὑψηλότερον βαθμὸν τοῦ ἱερατικοῦ καταλόγου; ὅτι ὥσπερ ὁ ἀρχιερεὺς μείζων ἐστὶ τοῦ ἱερέως, οὕτω καὶ ὁ ἱερεὺς τοῦ διακόνου. κἂν πρωτοδιάκονός τις εἴη, πρῶτος μὲν τῶν διακόνων ἐστὶν, ἔσχατος δὲ τοῦ ἐσχάτου τῶν ἱερέων. ὁ μὲν γὰρ ἱερεὺς συνεδριάζει τῷ ἀρχιερεῖ, ὁ δὲ παρέστηκε καὶ ὑπηρετεῖ. λοιπὸν προθύμως καὶ ἄξιος διάκονος εἰς τὸ πρεσβυτερεῖον εἰσελεύσεται. ἀπονέμει δὲ τοῖς τοιούτοις διδασκάλοις τοῖς γενομένοις ἱερεῦσιν ἡ βασιλεία μου καὶ μεῖζον τὸ σιτηρέσιον ἤγουν ἑκάστῳ νομισμάτων . . . οἱ δὲ μὴ προθυμούμενοι ἔτι τὸ τῆς ἱερωσύνης ὑψηλὸν ἀξίωμα δέξασθαι καὶ ἐν διακόνοις ὄντες ἀναδεχέσθωσαν τὴν τῆς διδασκαλίας διακονίαν, ἱκανοὶ δηλονότι κατά τε λόγον ὄντες καὶ ἀρετήν. λήψονται δὲ οὗτοι τὴν ἀνωτέρω εἰρημένην παραμυθίαν τοῦ κόπου αὐτῶν ἐν ταῖς στάσεσι καὶ ἐν ταῖς εἰσόδοις τοὺς οἰκείους βαθμοὺς καὶ τόπους ἔχοντες. οἱ ὀφείλοντες δὲ προχειρίζεσθαι διδάσκαλοι κατ' ἐπιλογὴν ὀφείλουσι προχειρίζεσθαι, ἵνα καὶ τὸν διδασκαλικὸν λόγον ἀκέραιον καὶ τὸν βίον ἔχωσιν ἀνεπίληπτον. εἰ γὰρ ὁ ἄξιος παροϱᾶται καὶ ὁ ἀνάξιος προβιβάζεται, κρίμα προξενεῖ τοῦτο τῷ προκρίναντι μὲν τὸν ἀνάξιον, παρορῶντι δὲ τὸν ἄξιον, καὶ ζημίαν ψυχικὴν ἀφόρητον οἷς ὁ μὴ ἄξιος διδάσκαλος ἐφίσταται. διδάσκαλον γὰρ ἡ βασιλεία μου τὸν ἄξιον ὡς ἄνωθεν εἴρηται ὀνομάζει τε καὶ τυποῖ τὸν κρείττονα δηλονότι τῶν ἄλλων οὐ μὴν τὸν μὴ τοιοῦτον. ἵνα δὲ εἴη εὐπορία τῶν ἀξίων, καὶ ἀπὸ τῶν λαϊκῶν καὶ ἀπὸ τῶν μοναχῶν ἐὰν εὑρεθῇ τις ἔχων καὶ τὸν διδασκαλικὸν λόγον καὶ τὸν ἀνεπίληπτον βίον ὥστε μὴ κωλύεσθαι εἰς ἱερωσύνην, καλείσθω καὶ προχειριζέσθω, ὅτε ἀξιολογώτερος δηλονότι ἐστὶ τῶν τῆς ἐκκλησίας. τῷ γε μὴν μοναχῷ οὐδὲν οὔτε περὶ καθέδρας οὔτε περὶ στάσεως ἢ εἰσόδου διοίσει. εἴποι δὲ ἄν τις ἴσως περὶ τῶν κεκληρωμένων ἤδη μήπω δὲ κατηρτισμένων κατά τε λόγον καὶ πρᾶξιν, ὡς παρὰ τοὺς θείους κανόνας ἡ ἐκκλησία τούτους ἔτι νῦν παραδέχεται. ἀλλὰ σκοπησάτω ὅτι τὸ ἐκ μακρῶν χρόνων γινόμενον κἀντεῦθεν ὡς ἔθος κρατῆσαν εἰ καὶ παράλογον, ὡς ἀπ' ἐναντίας τοῖς θείοις κανόσι γινόμενον, εἰσδέξεται τὴν διόρθωσιν δι' οἰκονομίας ἀρίστης τὸ ἄλυπον πᾶσι περιποιουμένης, οὐκ ἄρα τοῦ εἰκότος ἀπᾴδουσα δόξειεν ἂν ἡ οἰκονομία. οὐ γὰρ τὸ παράλογον δεχόμεθα οὔτε μὴν τοῦτο προτρεπόμεθα γίνεσθαι, ἀλλὰ μᾶλλον τὸ μὴ καλῶς γινόμενον ἐπιτρέπει διορθωθῆναι ἡ βασιλεία μου. ἐθέλει γὰρ εἰ καὶ μὴ ἐν τοῖς ἄλλοις καλοῖς ἀλλ' ἐν τούτῳ γοῦν τῷ ἀναγ-

καιοτάτῳ ὡς εἰς τὴν εὐσέβειαν ἀφορῶντι σύμβουλος καὶ συνεργὸς ὑμῖν γενέσθαι εἰς ἐκπλήρωσιν τοῦ ἀγαθοῦ.

δ΄. Ἐπὶ τούτοις ἀναγνωσθήτω καὶ τὸ τοῦ νομοκανόνος βιβλίον ἅπαν ἐνώπιον τῆς ἱερᾶς καὶ ἁγίας συνόδου. καὶ ἀπὸ τῶν παραθεωρουμένων νῦν θείων κανόνων οἱ μὲν πρὸς εὐσέβειαν ὁρῶντες καί τι συστατικὸν τοῦ ὀρθοῦ δόγματος παραδιδόντες ἡμῖν παντὶ τρόπῳ ἀνανεωθέντες τηρείσθωσαν· οἱ δὲ λοιποὶ παρεκβληθέντες δοθήτωσαν καὶ τῇ βασιλείᾳ μου, ἵνα κοινῇ τῇ ὑμετέρᾳ ἁγιότητι περὶ τούτων συνδιασκεψαμένη τὸ δέον οἰκονομήσῃ. πρὸς τοῖς ἄλλοις δὲ καὶ τὸν περὶ τῶν μοναχῶν τῶν ἐν ταῖς ῥύμαις καὶ ταῖς τριόδοις περινοστούντων ἀνακαινισθέντα δεῖ συντηρεῖσθαι.

Ταῦτα οὐκ εἰκῇ καὶ μάτην ἡ βασιλεία μου ἔγραψεν, οὐδὲ ὥστε μένειν ἐν λόγοις καὶ γράμμασιν, ἀλλὰ πρὸς ἔργον τέλειον. ἔργον δὲ τέλειόν ἐστιν, ὅταν τὸ παραλόγως γινόμενον διόρθωσιν δέξηται. δοκεῖ δὲ τῇ βασιλείᾳ μου, μᾶλλον δὲ εἰ καὶ τολμηρὸς ὁ λόγος κατάληψιν ἔχει αὕτη τελείαν, ὅτι θεὸς διανέστη ἐπὶ ταύτῃ τῇ ὑποθέσει καὶ γενέσθαι τὴν διόρθωσιν ηὐδόκησε τοῦ κακοῦ, καὶ τοσοῦτον ἑαυτὸν δι' ἡμᾶς καὶ νῦν ἐταπείνωσεν, ὥστε καὶ παρακαλεῖν ἡμᾶς ὑπὲρ τῆς ἰδίας ποίμνης, δι' ἣν καὶ ἐνηνθρώπησε καὶ σαρκὶ ἔπαθε καὶ τὸ ἴδιον αἷμα ἐξέχεε καὶ θάνατον ὑπέστη τὸν ἐπονείδιστον, καὶ μὴ διανισταμένοις πρὸς τὸ καλὸν, ἀλλὰ τῇ αὐτῶν ῥᾳθυμίᾳ ἐμμένουσι, καὶ τὰ φρικωδέστατα ἀπειλεῖν. οὐκοῦν οὐδὲ ἡ βασιλεία μου ἀνέξεται ὅλως ἔτι παρεκτανθῆναι τὴν διόρθωσιν τῆς ἐκκλησιαστικῆς καταστάσεως, ἀλλὰ τοῖς ἐμποδίζουσι τοῦ λοιποῦ πρὸς τὸ ταύτην κατορθωθῆναι κανονικὴ εὐθύνη ἐπενεχθήσεται. καὶ μηδεὶς ὑπολάβῃ κατὰ πάθος λέγειν τὴν βασιλείαν μου ταῦτα. οὐκ ἔχει γὰρ θεοῦ χάριτι πρός τινα ἔχθραν, οὐδένα μισεῖ, οὐδένα κατακρίνει, ἀλλὰ πρὸς τοῦτο μόνον παθαίνεται τὸ γινόμενον καὶ οὐκ ἀνέχεται ὁρᾶν τὴν ἐκκλησιαστικὴν καὶ χριστιανικὴν κατάστασιν καταλυομένην. μακάριος δὲ εἶ, ἁγιώτατέ μου δέσποτα, καὶ ἔτι μακαριώτερος ἀναδειχθήσῃ, εἰ μετὰ τῶν ἄλλων ὧν κατώρθωσας καὶ ταῦτα ἃ ἀνωτέρω γέγραφα ἀποτελέσεις. καὶ ὑμεῖς, θεοφιλέστατοι ἀρχιερεῖς, ὁμοίως μακάριοί ἐστε, εἰ κἀνταῦθα τῷ ἁγιωτάτῃ πατριάρχῃ καὶ ἀρχιποίμενι ὑμῶν ὡς εἰκὸς συνεργήσετε τὸ ὑμέτερον ἀνεπισφαλῶς ἐν ταῖς ψήφοις πληροῦντες, καὶ πάντα ταῦτα καὶ ἐν ταῖς ὑμετέραις ἐπαρχίαις κατωρθώσετε. οὐ γὰρ ἐν τῇ μεγαλοπόλει μόνον ἀλλὰ καὶ ἐν πάσαις ταῖς ὑπὸ τὴν τῶν ῥωμαίων ἐπικράτειαν χώραις βούλεται ἡ βασιλεία μου ταῦτα

κρατεῖν τε καὶ ἐνεργεῖν, καὶ νόμον κοινὸν καὶ θέσπισμα τὴν παροῦσαν γραφὴν ἐκτίθεται, οὐ καινόν τι ἐπὶ τοῖς ἐκκλησιαστικοῖς καὶ ἱεροῖς παρεισάγουσα πράγμασιν, ἀλλὰ τὰ τοῖς θείοις ἀποστόλοις καὶ τοῖς ἱεροῖς πατράσιν ὁρισθέντα τε καὶ κανονισθέντα, ἀμελείᾳ δὲ παραθεωρηθέντα καὶ ἤδη σχεδὸν τελείως ἀγνοηθέντα ἀνανεοῦσά τε καὶ κρατύνουσα. καὶ ἴστω πᾶς τοῦ λοιποῦ, ὡς ὅστις ἂν ἔτι ἐναντίον τὶ τούτοις ἐν τῇ ὑπ' αὐτὸν ἐνορίᾳ ἐν ψήφῳ ἢ χειροτονίᾳ ἢ ἑτέρᾳ σφραγῖδι ἐκκλησιαστικοῦ βαθμοῦ οἱουδήτινος διαπράξηται, ἀσυμπαθῶς τῇ ἐκ τῶν θείων κανόνων εὐθύνῃ ὑποπεσεῖται. δεῖ δὲ καὶ ἀξιολόγους ἱερεῖς ἐγκαθιδρυνθῆναι ταῖς τῶν χωρίων καθολικαῖς ἐκκλησίαις, ὡς ἂν αὐτοὶ πάλιν οἱ ἱερεῖς φωτίζωσι τὸν λαὸν καὶ τοῦ ὀρθοδόξου κηρύγματος πᾶσι μεταδιδόασιν. ἴσως δὲ οὐκ εὐπορήσετε τοιούτων ἀνθρώπων ἐξ ἀρχῆς. ἀλλ' ἐπιμεληθέντες καθ' ὑπερβολὴν τάχιον καταστήσετε ἀνθρώπους ἀξίους τοῦ μεταδιδόναι καὶ ἑτέροις τοῦ ἀγαθοῦ καὶ διαφωτίζειν τὸ ὀρθόδοξον κήρυγμα. σκοπητέον γὰρ δι' ἣν αἰτίαν οἱ ἀπόστολοι τὴν οἰκουμένην περιέτρεχον· δι' οὐδὲν ἕτερον πάντως ἢ διὰ τὸ μεταδιδόναι τοῦ ὀρθοῦ κηρύγματος παντὶ τῷ λαῷ. δεῖ τοίνυν καὶ τοὺς ἀρχιερεῖς τὴν ἐκείνων τιμὴν διαδεξαμένους ἕκαστον ἐν τῇ ὑπ' αὐτὸν ἐνορίᾳ ὁμοίως ποιεῖν. ἐπεὶ οὐδὲ πρὸς ὕβριν τοῦτό ἐστι τοῦ ἀρχιερέως, ἀλλὰ μᾶλλον καὶ εἰς μεγίστην τιμὴν, ὅταν καὶ εἰς κατάλυμα πένητος εἰσέλθῃ καὶ τὰ κατ' αὐτὸν ἐρευνήσῃ καὶ πρὸς θεοσέβειαν αὐτὸν ἀναγάγῃ. μιμητὴς γὰρ γίνεται ὁ τοιοῦτος ἀρχιερεὺς τῶν μαθητῶν τοῦ χριστοῦ καὶ αὐτοῦ τοῦ χριστοῦ, καὶ ἐν τούτοις μᾶλλον πληροῖ τὰ τοῦ ἀρχιερατικοῦ ἀξιώματος. ἀλλὰ καὶ τὸ κανονικὸν διὰ τοῦτο ἀφωρίσθη τοῖς ἀρχιερεῦσιν, ἵνα διερχόμενος ἕκαστος καὶ διδάσκων ἐξ αὐτοῦ διατρέφηται. γνωριζέτω οὖν πᾶς ἀρχιερεὺς, ὅτι πρὸς κόπον ἀπεδύσατο τὸ τοιοῦτον πνευματικὸν καὶ ὀφείλει τοῦτο ἐκπληροῦν, καθὼς καὶ οἱ μακαριστοὶ ἐκεῖνοι πατέρες καὶ αὐτοὶ οἱ θεῖοι ἀπόστολοι διὰ βίου ἐποίουν. εἰ γὰρ σκοπήσετε καλῶς οἱ ἀρχιερεῖς καὶ ἐννοήσετε, ὅτι διὰ παράβασιν μιᾶς ἐντολῆς ἣν παρέβησαν οἱ πρωτόπλαστοι παρεδόθημεν ἅμα ἐκείνοις τῷ θανάτῳ καὶ τῇ φθορᾷ, καὶ εἰ μὴ διὰ τῆς ἐνσάρκου οἰκονομίας τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ τῆς ἀπολυτρώσεως τῶν ἁμαρτιῶν ἡμῶν καὶ τῆς ἀναστάσεως ἐτύχομεν, πάντες ὁμοῦ ἀπολλόμεθα, καὶ ὅτι διὰ τοῦτο ἐδέησεν αὐτὸν τὸν κύριον εὐδοκίᾳ τοῦ πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου πνεύματος ἐνανθρωπῆσαι καὶ σάρκα φορέσαι καὶ σαρκὶ παθεῖν καὶ ἀποθανεῖν, ἵνα ἐξέληται ἡμᾶς τῆς φθο-

ρᾶς ἣν κατεκρίθημεν. εἰ ταῦτα οὖν ἐπιγνῶτε καὶ εἰς οἷον κακὸν συνελαύνεται ὁ ἀρχιερεὺς μὴ διαδιδοὺς τὸ ὀρθόδοξον κήρυγμα τῇ ὑπ' αὐτὸν ποίμνῃ, οὐδέποτε κόπον ἡγήσεταί τις ὑμῶν τὸ αὐτὸς δι' ἑαυτοῦ διέρχεσθαι πᾶσαν τὴν ὑπ' αὐτὸν ἐνορίαν συνεχέστερον καὶ διδάσκειν τὴν πρὸς τὸν θεὸν καθαρὰν πίστιν καὶ τὸν σεμνὸν βίον, ἀλλ' ὁ κόπος οὗτος μᾶλλον ἀνάπαυσις αὐτῷ λογισθήσεται, ὡς καὶ ἀνάπαυσιν τῇ ἑαυτοῦ ψυχῇ καὶ τοῦ οἰκείου λαοῦ προξενῶν· τὸ γὰρ ὀφειλόμενον πληροῖ. ἐπειδὴ καὶ λόγους διδόναι μέλλει πάντως ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως ὑπὲρ τοῦ ὑπ' αὐτὸν λογικοῦ ποιμνίου. τί δὲ ὁ ἴσως μὴ βουληθεὶς ἐπιμελήσεσθαι ἀρχιερεὺς τῆς τοιαύτης ὑποθέσεως διανοήσεται, ἢ ποίαν πρόφασιν ἕξει εἰς τὸ ἀναβολῇ δοῦναι τὸ πρᾶγμα καὶ ὑπερθέσει; ἑτέραν πάλιν ἐνανθρώπησιν τοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ προσδοκήσει γενέσθαι; τοῦτο οὐδὲ ἐπὶ λογισμὸν ἀνθρώπου ἀναβήσεται, ἀλλ' ἐλεύσεται πάντως ὁ ἀληθινὸς χριστὸς καὶ θεὸς ἡμῶν ἀποδώσων ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. λοιπὸν οὐ δεῖται ἀναβολῆς οὐδὲ ὑπερθέσεως ἡ παροῦσα ὑπόθεσις.

NOV. XLII.

Imp. Alexii Comneni de chartophylace et de electionibus[1].

Πρόσταγμα τοῦ ἀοιδίμου βασιλέως κυρίου ἀλεξίου τοῦ κομνηνοῦ, τάδε κατὰ ῥῆμα διαλαμβάνον·

Ἡ βασιλεία μου τῆς ἐκκλησιαστικῆς εὐκοσμίας φροντίζουσα, καὶ τὸ εὔτακτον καὶ ἐν παντὶ μὲν ζητοῦσα τῷ πολιτεύματι, ἐπὶ πλέον δὲ τοῖς θείοις τοῦτο ἐμπολιτεύεσθαι διὰ σπουδῆς τιθεμένη, τὰ ἀρχῆθεν ἀπονενεμημένα προνόμια ἑκάστῳ τῶν ἐκκλησιαστικῶν βαθμῶν, καὶ τὴν ἄχρι καὶ δεῦρο ἐπικρατήσασαν ἐν τούτοις κατάστασιν κατὰ τὸ ἀναλλοίωτον καὶ εἰς τὸ ἑξῆς εἶναι καὶ διαμένειν βούλεταί τε καὶ εὐδοκεῖ, ἁγιώτατε δέσποτα, ὡς καὶ παραδεχθεῖσαν διὰ τοσούτων ἐτῶν καὶ τῷ μακρῷ χρόνῳ ἐμπολιτευσαμένην, καὶ ταῖς ἀπ' ἄλλου εἰς ἄλλον κατὰ τὸ ἀν-

---

[1] Textualiter exhibetur a Bals. ad c. 18 syn. Nic. I (ed. Rhalli II p. 156) et pars ejus in Medit. de Chartophyl. (ed. Rhalli IV p. 537): est etiam in Cod. Marc. App. XI, 30. — Ex Bals. ediderunt Bonefid. p. 58, Leuncl. post Syn. p. 68 et in JGR. I p. 143.

εξάλλακτον[2] ἕως τοῦ νῦν μεταβάσεσιν ἐπικυρωθεῖσαν[3] καὶ βεβαιωθεῖσαν καλῶς.

α΄. Ἐπεὶ δὲ νῦν ἡ βασιλεία μου μάθοι, ὥς τινες τῶν ἀρχιερέων ἀντιφιλοτιμούμενοι πειρῶνται τὸ τοῦ χαρτοφύλακος ὑποβιβάσαι προνόμιον, καὶ κανόνας εἰς μέσον προφέροντες διὰ τούτων[4] φιλονεικοῦσι, μὴ προκαθῆσθαι αὐτὸν τῶν ἀρχιερέων, ὁπηνίκα δέοι τούτους συνέρχεσθαι κατά τινα χρείαν καὶ συνεδριάζειν κατὰ ταὐτὸν πρὸ τῆς εἰς τὴν ἁγιωσύνην σου εἰσελεύσεως, οὐκ ἀνασχετὸν τῇ βασιλείᾳ μου ἔδοξε, πρᾶγμα διὰ τοσούτου χρόνου βασανισθὲν καὶ τοῖς πρὶν πατριάρχαις καὶ τοῖς ἄλλοις ἀρχιερεῦσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς τοῖς νῦν οὐκ ἐπ᾽ εὐλόγῳ ἐρίζουσι[5] πράγματι διὰ τῆς πολυημέρου δεχθὲν σιωπῆς, κατὰ τὸ παρέλκον ἀθετηθῆναι καὶ ὥς τι τῶν ἠμελημένων παρασυρῆναι. τοίνυν καὶ διορίζεται πρᾶγμά τι εὔλογον καὶ πάνυ δίκαιον τοῦτο. εἰ μὲν γὰρ αἱροῖντο καὶ πάλιν οἱ ἀρχιερεῖς μὴ κινεῖν τὰ ἀκίνητα, μηδὲ τὰ τοῖς πρὶν δεδογμένα πατράσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς διὰ τῆς μακρᾶς συνδόξαντα σιωπῆς καὶ τῆς ἕως τοῦ νῦν ἀνοχῆς ἐκ παλιμβολίας ὥσπερ ἀναπαλαίειν, εὖ ἂν ἔχοι, καὶ χάρις, ὅτι τὸ μάχιμον καταθέμενοι[6] τὸ εἰρηναῖον[7] προτετιμήκασιν. εἰ δὲ καὶ ἔτι τούτων τινὲς τῶν τοῦ κανόνος ῥημάτων ἀντιποιούμενοι (τῆς γὰρ ἐννοίας πόῤῥω ἀποδιεστήκασι) πειρῶνται τὸ οἰκεῖον συστῆσαι θέλημα, καὶ ἐπὶ τὸ ἄτακτον οὐ καλῶς τὴν τάξιν μεταβιβάζουσιν, ἐᾷ μὲν νῦν[8] ἡ βασιλεία μου τὴν τοῦ κανόνος ἑρμηνεῦσαι καὶ σαφηνίσαι ὑφὴν, ῥᾴστην οὖσαν καταληφθῆναι καὶ διαγνωσθῆναι καλῶς τοῖς βάπτουσιν εἰς ἀκρίβειαν καὶ κανονικῆς ἐννοίας θιγγάνουσιν, αὐτὸ δὲ τοῦτο τοῖς ἀρχιερεῦσιν ἐπιτιμᾷ, τί δήποτε τὸν κανόνα εἰδότες καὶ τὰ ῥήματα τούτου ἐξακριβούμενοι τὴν ἑαυτῶν συνείδησιν ἀνευλόγως ἐπάτησαν[9], καὶ τοῦ κανόνος παραῤῥιπτομένου[10] ἠνείχοντο καὶ τὴν ὑφεδρίαν[11] ἐπὶ τῶν πρὶν χαρτοφυλάκων ἠσπάζοντο; καὶ μισθὸν τούτοις τῆς τῶν ἱερῶν κανόνων περιφρονήσεως τὴν ἐπὶ τὰς λαχούσας αὐτοὺς ἐκκλησίας ἀπέλασιν δίδωσι, κανόνι στοιχοῦσα κἀνταῦθα ἐκκλησιαστικῷ, καὶ τοῖς περιφρονηταῖς τῶν κανόνων ἐκείνους αὐτοὺς τοὺς ἱεροὺς κανόνας εἰς ἄμυναν ἀντεξάγουσα. οὐδὲ γὰρ ἂν ἔχοιεν λέγειν οἱ τῶν δυτικῶν προεστῶτες ἀρχιερεῖς, ἐπὶ χρόνον μακρὸν τῶν ἐμπιστευθέντων αὐ-

---

[2] Al. ἀνεξάλειπτον. [3] Al. ἐπικριθεῖσαν. [4] Al. τοῦτο. [5] Al. ὁρίζουσι. [6] Al. κατατιθέμ. [7] Al. ἠρεμαῖον. [8] Alii νῦν omittunt, alii post βασιλεία μου ponunt. [9] Al. ἠπάτησαν. [10] Al. παραῤῥιπτουμ. [11] Al. ὑφεδρείαν.

τοῖς μὴ φροντίσαντες[12] ποιμνίων μηδ' ὡς ἐχρῆν ἐν τούτοις ἐπιστατήσαντες, ὡς ἡ τὴν ἕω κατατρέχουσα τῶν ἐχθρῶν λύσσα[13] προσέστη καὶ[14] τούτοις, καὶ τὴν ἐπισκοπὴν ἐντεῦθεν τῶν λογικῶν προβάτων περιηρέθησαν. καὶ τὸ μὲν οὕτως οἰκονομηθὲν παρὰ τῆς βασιλείας[15] μου τὴν κρίσιν αὐτοῖς τοῦ ἀποτελέσματος περιλέλοιπεν.

β'. Ἐπεὶ δὲ καὶ τοῦτο εἰς ἀκοὰς ἀνηνέχθη αὐτῆς[16], ὡς τινες τῶν τῆς ἐκκλησίας λογάδων ἐν ταῖς γινομέναις ψήφοις καταλιμπάνονται, προτιμῶνται δὲ τούτων ἔνιοι ὑποβεβηκότες ἴσως καὶ χρόνῳ καὶ καταστάσει βίου τῇ κρείττονι καὶ μηδὲ πολλὰ περὶ τῆς ἐκκλησίας πονήσαντες, οὔκουν ἔδοξεν οὐδὲ τοῦτο τὸ πρᾶγμα τῆς ἱερᾶς συνόδου τῶν ἀρχιερέων ἐπάξιον. ὅθεν καὶ ἐπισκήπτει πᾶσι φιλοθέως ὁμοῦ καὶ βασιλικῶς, μὴ παίζειν ἐν τοῖς οὐ παικτοῖς, μηδὲ πάθει περὶ τὰ θεῖα χαρίζεσθαι, (οὗ γὰρ ψυχὴ τὸ κινδυνευόμενον, τίνος φροντιστέον ἑτέρου;) ἐκείνους δὲ προτιθέναι τῶν ἄλλων, καὶ τὴν ἐν ταῖς ψήφοις ἐπιτιμίαν χαρίζεσθαι, οὓς μετὰ τοῦ λόγου καὶ βίος κοσμεῖ ἀνεπίληπτος, ἢ τοῦ λόγου σκάζοντος ἴσως ὁ[17] μακρὸς χρόνος καὶ τὸ περὶ τὴν ἐκκλησίαν πολύπονον ἐπαναπληροῦσι τὸ ἐλλιπές. οὕτω γὰρ ἂν ταῖς ψήφοις καλῶς διαιτήσουσι[18], καὶ ἐπὶ κρίματι τῆς ἑαυτῶν ψυχῆς οὐκ ἂν ἁλοῖεν ψηφοφοροῦντες τῷ θεῷ.

NOV. XLIII.

Imp. Alexii Comneni de fide isotyporum[1].

Πλὴν σημείωσαι ἀπολλυμένων τῶν αὐθεντικῶν καὶ μηδ' ἐν τῇ θέσει εὑρισκομένων, ὅτι δύο ἰσότυπα ἤτοι σχεδάρια ἰσάζοντα δι' ὅλου δεχόμεθα ἀπὸ προστάξεως τοῦ βασιλέως κυροῦ ἀλεξίου [τοῦ] κομνηνοῦ.

---

[12] Al. φροντίζοντες. [13] Videtur indicari status reipublicae qualis sub initium imperii Alexii fuit: ut proinde eodem circiter tempore, quo Nov. XXXIII, haec nostra Novella edita esse videatur. [14] Al. προσέστηκε. [15] Al. τῇ βασιλείᾳ. [16] Al. αὐτῇ. [17] Al. οἷς ὁ. [18] Al. διαιτήσωσι.

[1] Laudatur in scholio Basil. ed. Heimb. II p. 482.

NOV. XLIV.

Imp. Alexii Comneni de minore infra ultrave decimam partem laeso[1].

Ὁ δὲ ἀλέξιος βασιλεὺς ὁ κομνηνὸς νεαρὰν ἐξέθετο διαλαμβάνουσαν, μέχρι τῆς δεκάτης μερίδος περιγραφομένου τοῦ νέου τὸ μὲν συνάλλαγμα συνίστασθαι καὶ ἰσχύειν, τὸν δὲ νέον ἔχειν κατὰ τοῦ κουράτωρος ἀγωγήν. εἰ δὲ ὑπὲρ τὴν δεκάτην ἐστὶν ἡ περιγραφή, καθ' οὗ βούλεται κινεῖν μὴ ὑφιστάμενον πρόκριμα ἐκ τῆς ἐπιλογῆς.

NOV. XLV.

Imp. Alexii Comneni de juramento post testium productionem delato[1].

Καὶ ὁ βασιλεὺς ἀλέξιος ὁ κομνηνὸς νεαρὰν ἐξέθετο φάσκουσαν, εἰ ἐπὶ ἀγράφου συναλλάγματος παραχθῶσι μάρτυρες καὶ οὐ χωρήσῃ πρὸς διαβολὴν ἢ ἀντιπαράστασιν ὁ ἀντικρινόμενος, ἀλλ' ἕληται τὸν τοῦ παραγαγόντος ὅρκον, ἵνα ἔχῃ ἄδειαν καὶ ἐπιλογήν· εἰ δέ γε πρὸς διαβολὴν ἢ ἀντιπαράστασιν χωρήσῃ, ἵνα μὴ ἔχῃ ἐπιλογὴν, ἀλλ' ἵνα ἐπόμνυνται οἱ μάρτυρες καὶ μόνον.

NOV. XLVI.

Imp. Alexii Comneni de contumacibus[1].

Non extat.

---

[1] Laudatur in Tipucito, cf. Basil. ed. Heimb. II p. IX et 748.

[1] Laudatur in Tipucito, cf. Basil. ed. Heimb. II p. IX et IV p. 353.

[1] Novellam ab Alexio editam esse de condemnandis his, qui tribus τριακονθημέροις edictis citati judicio se non sistunt, indicat Nov. Manuelis LXVI c. 1. — Caeterum in Cod. Bodlej. 205 extat Σημείωμα .... ἀλεξίου τοῦ κομνηνοῦ ἐπὶ τῇ ὑποθέσει τοῦ νικαίας κυροῦ εὐστρατίου de anno ‚ςχκε' i. e. 1117, quod laudasse hoc loco sufficiat.

NOV. XLVII.

Imp. Alexii Comneni de episcopatu Soteriupoleos[1].

Non extat.

NOV. XLVIII.

Imp. Joannis Comneni aurea bulla pro Venetis[1]. (A. 1126.)

NOV. XLIX.

Imp. Joannis Comneni, ne exactor quicquam ab ecclesia episcopo suo orbata exigat[1]. (A. 1124 vel 1139.)

Ἰωάννου τοῦ κομνηνοῦ χρυσόβουλλον[2], *διοριζόμενον μηδέν τι ἀπαιτεῖν τὸν πράκτορα ἀπὸ ἐκκλησίας χηρευούσης τοῦ ἐπισκόπου αὐτῆς.*

Καὶ τί δὲ ἄλλο τῇ βασιλείᾳ μου προυργιαίτερον ἢ περισπουδαστότερον, ἢ τὸ τὰς ἐκκλησίας ἀνωτέρας διατηρεῖσθαι πάσης ἐπηρείας τε καὶ κακώσεως, καὶ μηδὲ τὴν οἱανοῦν βλάβην ἢ ζημίαν ὑφίστασθαι; διὰ ταῦτα οὐδὲ τὸ νῦν εἰς ἀκοὰς τῆς ἡμῶν ἐλθὸν γαληνότητος ἀδιόρθωτον ἀπολειφθῆναι ἠθέλησεν. ἀνηγγέλθη γὰρ ἡμῖν, ὥς τινες τῶν κατὰ χώρας ἀρχόντων ἅμα τῷ ἀποβιῶναι τοὺς ἀρχιερεῖς ἀφαιροῦνται πάντα τὰ εὑρισκόμενα ἐν τῷ ἐπισκοπείῳ, εἴτε εἴδη εἰσί τινα καὶ πράγματα ἢ

---

[1] Laudatur ad Disposit. thronor. in Coll. can. ed. Rhalli et Potli V p. 493 not. 4.

[1] Cf. Tafel et Thomas Urk. z. ält. Handels- u. Staatsgesch. d. Rep. Venedig. To. I (Wien 1856) p. 95. Versio latina ejus chrysobulli inserta est Nov. LIV infra; alia paulum diversa Nov. LXXXVII infra, ex qua nonnulla protulit Lebret Gesch. d. Rep. Venedig I p. 309.

[1] Mortreuil III p. 168 hanc Nov. in MS. Scorialensi II, X, 14 extare notavit. Edidit Leuncl. JGR. I p. 147, ex quo nuper Rhallis et Potlis in Coll. can. V p. 305 repetierunt. [2] Infra *νεαρὸν θέσπισμα* vocatur, et *τῇ διὰ κηροῦ συνήθει σφραγῖδι* signatum fuisse dicitur.

πολλάκις χρήματα εὕρεθεῖεν, ἕρμαίῳ ἐντετυχηκέναι οἰόμενοι τῇ τελευτῇ τοῦ ἀρχιερέως, τῇ δὲ ἀληθείᾳ τῶν μὴ ἐφειμένων αὐτοῖς κατατολμῶντες καὶ ἐξιδιούμενοι τὰ ἀλλότρια· τινὲς δὲ διὰ τῶν ἐξυπηρετούντων αὐτοῖς τὰ τῶν ἐκκλησιῶν ἀφαιρούμενοι ἐξάντεις ἑαυτοὺς τῷ δοκεῖν καθιστῶσι τοῦ ἀτόπου τούτου ἐγχειρήματος.

α΄. Ἀναστέλλουσα γοῦν τὴν τοιαύτην παράλογον πρᾶξιν ἡ βασιλεία μου καὶ τὸ τοιοῦτον τῆς πλεονεξίας εἶδος ἀναχαιτίζουσα, διορίζεται διὰ τοῦ παρόντος νεαροῦ θεσπίσματος, μηδένα τοῦ λοιποῦ τῶν ἀρχόντων ἑκάστης ἐπαρχίας μετὰ τελευτὴν τοῦ ἐπαρχεώτου μητροπολίτου ἢ ἀρχιεπισκόπου ἢ ἐπισκόπου ἀναλαμβάνεσθαι ἀπὸ τῶν ὄντων ἐν τῇ μητροπόλει ἢ ἐν τῇ ἀρχιεπισκοπῇ ἢ ἐν τοῖς ὑπ᾽ αὐτὰς προαστείοις ἢ χωρίοις ἢ ἀγριδίοις ἢ μοναστηρίοις ἢ νομίσματα ἢ εἴδη τινὰ ἢ πράγματα ἢ ζῶα ἢ ἕτερά τινα διαφέροντα αὐτοῖς, ἀλλὰ μηδὲ ὅλως ἐκεῖσε εἰσέρχεσθαι μήτε αὐτοὺς μήτε τοὺς ἐξυπηρετοῦντας αὐτοῖς. αὐτοὶ μὲν γὰρ οἱ τῶν χωρῶν ἄρχοντες οἱ ἀπερχόμενοι ἢ ἀποστέλλοντές τινας, καὶ ἀναλαμβανόμενοι ἢ ἀπὸ τοῦ ἐπισκοπείου ἢ ἀπὸ τῶν προαστείων καὶ μοναστηρίων εἴδη τινὰ ἢ πράγματα ἢ νομίσματα ἢ ζῶα καταθήσουσι πρὸς τὴν ἐκκλησίαν, ᾗ ὑπόκειται ἡ τοῦτο παθοῦσα ἐπισκοπὴ ἢ ἀρχιεπισκοπὴ ἢ μητρόπολις, νομισμάτων λίτρας ιβ΄, ὀφειλούσας ἀποδίδοσθαι ἀπροφασίστως πρὸς τὴν ζημιωθεῖσαν ἐκκλησίαν, πρὸς τῷ καὶ τὴν ἐκ τῆς βασιλείας ἡμῶν ἐπισπάσασθαι ἀγανάκτησιν. εἰ δέ τις τῶν ἐξυπηρετούντων αὐτοῖς τοιοῦτόν τι διαπράξεται, κἂν ἀξιωματικὸς εἴη, πρῶτον μὲν ὡς παραβάτης τοῦ ἡμετέρου προστάγματος διὰ δαρμοῦ σωφρονισθήσεται καὶ κουρᾶς, ἔπειτα δὲ καὶ λόγῳ ποινῆς ἀπαιτηθήσεται λίτρας νομισμάτων ἕξ[3]. εἰ δὲ καὶ τῶν ἐκ τῆς τοιαύτης ἐπισκοπῆς κληρικῶν τις ὡς ὑφελόμενός τινα τῶν τῆς ἐκκλησίας πραγμάτων φωραθείη (τολμᾶσθαι γὰρ δὴ καὶ τοιαῦτα πολλὰ παρὰ τῶν κληρικῶν ἡ βασιλεία μου ἀνεδιδάχθη), διορίζεται καὶ τούτους μετὰ ἀκριβῆ ἔλεγχον καὶ τῆς ἀληθείας κατάληψιν τοῦ οἰκείου ἐκπίπτειν βαθμοῦ, ὡς τὰ τῷ θεῷ ἀνατεθειμένα ἀφαιρουμένους καὶ ἱεροσύλους ἄντικρυς λογιζομένους. οὐκ ἐξέσται τοίνυν ἀπὸ τοῦ παρόντος οὔτε κριταῖς οὔτε ἀναγραφεῦσιν οὔτε πράκτορσιν οὔτε δουξὶν οὔτε στρατηγοῖς οὔτε προνοηταῖς οὔτε ἄλλοις τισὶ δημοσιακὰς δουλείας ἐγκεχειρισμένοις, μετὰ τελευτὴν τῶν ἀρχιερέων παραβάλλειν ὅλως τοῖς ἐπισκοπείοις ἢ τοῖς

[3] Haec corrupta sunt. Forte *νομισμάτων* delendum est.

διαφέρουσιν αὐτοῖς ἀκινήτοις ἢ μοναστηρίοις καὶ ἀφαιρεῖσθαί τι τὸ σύνολον ἐξ αὐτῶν, οὔτε μὴν προφάσει δημοσιακῶν τελεσμάτων εἰσέρχεσθαι εἰς τὰ τῆς ἐκκλησίας δίκαια καὶ ἀφαιρεῖσθαι ἃ βούλονται. ἀλλὰ καὶ εἴ τι παρὰ τῆς ἀρχιεπισκοπῆς χρεωστεῖται τῷ δημοσίῳ, μετακλήτους γίνεσθαι τοὺς κληρικοὺς, καὶ εἰ πρόδηλον καὶ ἀναμφίβολον τὸ παρὰ τοῦ δημοσίου ἐπιζητούμενον ἀπὸ τοῦ μέρους τῆς ἐκκλησίας φανείη, τοὺς κληρικοὺς τοῦτο ἀπὸ τῶν τῆς ἐκκλησίας προσόδων διδόναι πρὸς τὸν δημόσιον· μὴ μέντοι ἐπ' ἀδείας ἔχειν τὸν πράκτορα διὰ τὴν τοιαύτην αἰτίαν περιπολεύειν εἰς τὰ προάστεια, καὶ ἀφαιρεῖσθαι ἃ βούλονται[4]. ὁ δὲ προχειρισθησόμενος ἀρχιερεὺς τῶν τῆς ἐκκλησίας ἀντιλήψεται δικαίων.

Εἶχε τὸ· μηνὶ ἀπριλλίῳ ἐπινεμήσεως β', δι' ἐρυθρῶν γραμμάτων τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως [τοῦ] πορφυρογεννήτου κυρίου Ἰωάννου τοῦ κομνηνοῦ, καὶ ἡ διὰ κηροῦ συνήθης σφραγίς.

NOV. L.

Imp. Joannis Comneni de collatione[1]. (Inter 1118—1143.)

Νεαρὰ βασιλέως κυροῦ Ἰωάννου τοῦ μεγάλου κομνηνοῦ.

Ἐπειδήπερ ὁ περὶ συνεισφορᾶς νόμος αὐτῇ τῇ τῶν πραγμάτων πείρᾳ εὕρηται οὐκ ἐπὶ τῷ συμφέροντι τῆς ἡμετέρας πολιτείας εἰσενηνεγμένος, ἀλλὰ φανερῶς εἰς βλάβην εἰσήχθη καὶ ἀνατροπὴν πολλῶν καὶ μεγάλων οἰκιῶν, καὶ πολλοὶ προσελθόντες ἐδεήθησαν τὴν βασιλείαν μου, ἵνα γένηταί τις διόρθωσις εἰς τοῦτο, πανταχοῦ τὸ συμφέρον ἡμεῖς τῆς πολιτείας ζητοῦντες καὶ τὸ ὠφέλιμον τοῦ βίου δέον ἐκρίναμεν ποιῆσαί τινα εἰς τοῦτο διόρθωσιν, καὶ μάλιστα ἐπειδὴ πολλοὺς χρόνους ἀργὸς ἦν ἐνταῦθα ὁ τοιοῦτος νόμος, ὕστερον δὲ ὀλίγοις ἔτεσιν ἐπὶ κέρδει ἰδίῳ τινὲς αὖθις εἰς τὴν ἡμετέραν αὐτὸν εἰσήγαγον πολιτείαν.

Θεσπίζομεν τοίνυν ἀπὸ τὴν σήμερον ἀργὸν αὖθις εἶναι τὸν περὶ συνεισφορᾶς νόμον καὶ ἄπρακτον παντελῶς ἐπὶ τῶν θη-

---

[4] Aut *βούλεται* legendum, aut paulo ante *τοὺς πράκτορας*.

[1] Ex Cod. Paris. 1368 primus edidi in Delin. hist. JGR. p. 133. Constantinopolitano an Trapezuntino Imperatori tribuenda sit, dubitari potest.

λειῶν· ἀλλ' ἐάν τις ἀποθάνῃ ἔχων θυγατέρα μίαν ἢ πλείους ἀνδράσι συνεζευγμένας, καὶ ἔλαβον αὗται τὴν προῖκα παρὰ τοῦ ἰδίου πατρὸς ἢ συνεφωνήθησαν, εἰ μὲν διάθηται, τὰ τῆς διαθήκης κρατείτω, εἰ δὲ μὴ διάθηται, ἐκείνας μὲν ἀρκεῖσθαι εἰς ἣν ἔλαβον προῖκα ἢ συνεφωνήθησαν, τὸν δὲ πατέρα κληρονομεῖν τοὺς λοιποὺς παῖδας εἴτε ἄῤῥενες ὦσιν εἴτε θήλειαι ὑπὸ τὴν τοῦ πατρὸς ἐξουσίαν. ἔτι ἐὰν ὦσιν αὐτεξούσιοι ἄῤῥενες καὶ ἔχουσι καὶ μέρος τί ποτε ἀπὸ τοῦ βίου τοῦ πατρικοῦ, ἀποθάνῃ δὲ ὁ πατὴρ ἀδιάθετος ἐπὶ παισὶν ὑπεξουσίοις, τούτοις συνεισφέρειν οὐ κωλύομεν. μόνας γὰρ τὰς θυγατέρας τὰς ἄνδρας ἐχούσας ἐμποδίζομεν συνεισφέρειν διὰ τοῦ παρόντος νόμου, τοὺς δὲ ἄῤῥενας παῖδας οὐ κωλύομεν. γινωσκέτω γοῦν πᾶς ἄνθρωπος, ὅτι θυγάτηρ ἐξώπροικος οὐκέτι κληρονομήσει τὸν ἴδιον πατέρα ἀδιάθετον τελευτῶντα, εἰ μήπου μὴ ἔχει ἄλλον υἱὸν ἢ θυγατέρα ὑπεξουσίαν. τότε γὰρ συγχωροῦμεν τὴν θυγατέρα τὸν ἴδιον πατέρα κληρονομεῖν. τὴν γὰρ συνεισφορὰν ἀναιροῦμεν, οὐ μὴν δὲ τὴν κληρονομίαν ἀνατρέπομεν.

NOV. LI.

Imp. Joannis Comneni de dote adulterae[1].

Νεαρὰ βασιλέως κυροῦ Ἰωάννου τοῦ μεγάλου κομνηνοῦ.

Ἐμάθομεν δὲ καὶ ἄλλο τὶ παρανομώτατον ἐξ ἔθους εἰς τὰς ἡμετέρας ἐπαρχίας πολιτευόμενον. εἰ γάρ τινος γυναῖκα[2] εὑρίσκετο μοιχευθεῖσα, τὴν προῖκα αὐτῆς πᾶσαν ἐλάμβανον οἱ τὴν χώραν ἐκείνην διενεργοῦντες εἰς τιμωρίαν λόγῳ τοῦ δημοσίου. τοῦτο γοῦν τὸ παρανομώτατον ἔθος ἀνατρέποντες ὁρίζομεν, ἐν πάσαις ἡμῶν ταῖς ἐπαρχίαις τὴν προῖκα τῆς μοιχευομένης γυναικὸς κερδαίνειν τοὺς παῖδας, εἴπερ ἔχει ἐκ τοῦ ὑβρισμένου γάμου· εἰ δὲ εἰσὶ παῖδες ἐκ προτέρου γάμου, τότε τὴν προῖκα ἐξ ἴσου μερίζεσθαι τῶν τε παίδων ἕκαστον κελεύομεν καὶ τὸν ὑβρισμένον ἄνδρα λόγῳ δεσποτείας, καὶ ἔστω αὐτῷ τοῦτο ὥσπερ παραμύθιον τῆς ὕβρεως. εἰ δὲ μὴ εἶεν παῖδες μήτε ἐκ προτέρου γάμου μήτε ἐκ τοῦ ὑβρισμένου, τότε τὸν ἄν-

---

[1] Ex Cod. Paris. 1368 primus edidi l. l. p. 134. Videtur autem esse pars praecedentis Novellae. Cf. ibi not. 1. [2] Lingua vulgari pro *γυνή*.

δρα κελεύομεν μόνον κερδαίνειν τὴν προῖκα τῆς μοιχαλίδος. εἰ δέ τινας καὶ ἄλλας τιμωρίας κατὰ τῶν τοιούτων γυναικῶν οἱ νόμοι διακελεύονται, καὶ ταῦτα κρατεῖν πανταχοῦ κελεύομεν, τὸν δὲ μοιχὸν τιμωρεῖσθαι κατὰ τοὺς κειμένους νόμους.

NOV. LII.

Imp. Manuelis Comneni aurea bulla de immunitate clericorum[1]. (A. 1144[2].)

Ὁ ἀείμνηστος ἐν βασιλεῦσι κύριος μανουὴλ ὁ κομνηνὸς[3] διὰ χρυσοβούλλου[4], ἀπολυθέντος κατὰ τὸν φεβρουάριον μῆνα τῆς ζ´ ἰνδ. τοῦ ‚ϛχ´[5] ἔτους, ἐφιλοτιμήσατο πᾶσι τοῖς ὁπουδήποτε τῶν χωρῶν τῆς ῥωμανίας προσκαθημένοις ἱερεῦσι καὶ δημοσιακοῖς τελεσταῖς οὖσι μὴ μόνον ἐξκουσσείαν πάσης δημοσιακῆς ἐπηρείας, ἀλλὰ καὶ ἀτέλειαν τοῦ ζευγολογίου. μετὰ δέ τινα καιρὸν ἀπεχαρίσατο τούτοις μετὰ δοχῆς ἀτέλειαν. τὴν δὲ τοιαύτην φιλοτιμίαν τῆς ἐξκουσείας τῶν δημοσιακῶν ἐπηρειῶν ἀπεχαρίσατο καὶ τοῖς ἐν πᾶσι προσωπικοῖς ἐκκλησιαστικοῖς καὶ μοναστηριακοῖς κτήμασι προσκαθημένοις ἱερεῦσι· πλὴν τῶν μὲν δημοσιακῶν ἱερέων τὴν ποσότητα δι᾽ ἀπογραφῆς ἐστενοχώρησε διὰ τὴν δοχὴν τῶν συμπαθηθέντων τελεσμάτων αὐτῶν ὥστε εἰς τὸ ἑξῆς μὴ αὐξάνεσθαι ταῦτα, τοὺς δὲ λοιποὺς προσωπικοὺς ἱερεῖς οὐκ ηὐδόκησεν ἀπογραφῆναι πάντως διὰ τὸ μηδὲ ὀφείλειν γίνεσθαι χάριν τούτων δοχὴν οἱανδήτινα[6].

---

[1] Locus, quem edimus, habetur apud Bals. ad syn. Nic. II c. 4 ed. Rhalli II p. 570. Ipsi Balsamoni an recentiori scholiastae debeatur, dubitare est. [2] Infra ind. VII anno VIMDC (i. e. 1092) edita esse dicitur. Atqui anno 1092 Manuel non regnavit, et regnante Manuele ind. VII incidit in annum 1144, 1159 et 1174; emendatione igitur opus est. Jam si reputes, secundum Balsamonem scholiastamve nostrum hanc auream bullam post aliquod tempus subsequutam esse suppletoriam aliam, deinde post varios annos controversiam de his sub Patriarcha Luca (1156—1169) incidisse (cf. not 6), sicut de anno 1174 cogitari non potest, ita anno 1144 potius quam 1159 hoc *χρυσόβουλλον* vindicaveris. [3] Al. *ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεύς*. [4] Addunt alii *προσκυνητοῦ*, alii *προστάγματος*. [5] Lege *‚ϛχνβ´*. Cf. not. 2. [6] Loco laudato adduntur haec: *Ἐπεὶ δὲ μετά τινας χρόνους, ἱερέων τινῶν δημοσιακῶν ὑπερβαινόντων τὴν ποσότητα τῶν ὡς εἴρηται γεγονυιῶν ἀπογραφῶν ἑλκομένων εἰς ἀπόδοσιν πλωΐμων καὶ λοιπῶν δημοσιακῶν ἐπηρειῶν, ὑπεμνήσθη ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς παρὰ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ λουκᾶ, καὶ συνεζητήθη κατὰ πρόσταξιν βασιλικὴν, εἰ βοηθοῦνται καὶ οἱ τοιοῦτοι δημοσιακοὶ ἱερεῖς ἀπὸ τοῦ ῥηθέντος*

NOV. LIII.

Imp. Manuelis Comneni aurea bulla de instrumentis monasteriorum[1]. (A. 1146.)

[Χρυσόβουλλον] τὸ . . . . κατὰ τὸν ἰούλιον μῆνα τῆς θ'[2] ἰνδ. τοῦ ,ςχνδ' ἔτους γεγονὸς, καὶ διοριζόμενον, μὴ βλάπτεσθαι τὰ μοναστήρια ἐκ τοῦ ἴσως χωλεύειν κατά τι τὰ προσόντα τούτοις δικαιώματα.

NOV. LIV.

Imp. Manuelis Comneni aurea bulla Venetis concessa[1]. (A. 1148.)

Et aliquis firmioribus quidem urbium munimen volens apponere secundas turres excogitavit, et custodibus custodes et muris muros apposuit, et adversariorum assultibus opposuit fortitudinem; verum etiam auri cumulum gravem propter hoc deponere non renuit, et firmitatem[2] perfectioni tempus terere longius, aliaque plura ad urbis augmentum firmitatemque atque circumtuitionem[3]. Nos vero, et Imperialem cum Deo circumcincti principatum, et potestatem et virtutem habentes pecuniarumque thesauros, ubi videtur et opus evocat, largius nonne donabimus amicis et servis et fidelibus

---

χρυσοβούλλου εἰς τὸ ἐξκουσεύεσθαι τέως ἀπὸ τῶν δημοσιακῶν ἐπηρειῶν. διεγνώσθη συνοδικῶς, ἔχειν τοὺς τοιούτους ἱερεῖς τέως τὴν ἐξκουσείαν ἀπὸ τῶν ἐπηρειῶν. εἶπε γὰρ ἡ ἁγία σύνοδος, ὅτι καὶ ἀπὸ τοῦ προοιμίου, ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ ἐξκουσεύεσθαι πάντας τοὺς προσωπικοὺς ἱερεῖς μηδὲ ἀπογραφομένους, παρίσταται ἐναργῶς τὴν βασιλικὴν εὐεργεσίαν πρὸς πάντας ὑφαπλωθῆναι τοὺς ἱερεῖς. ἄδικον δ' ἔφασαν καὶ τῆς βασιλικῆς εὐεργεσίας ἀλλότριον, τούτους μὲν τῷ δημοσίῳ μηδὲν συνεισφέροντας ἐξκουσεύεσθαι διὰ τὴν τιμὴν τῆς ἱερωσύνης, ἐκείνους δὲ τελεστὰς ὄντας τοῦ δημοσίου ἐπηρεάζεσθαι καὶ τὴν ἐκ τῆς ἱερωσύνης μὴ ἔχειν περίθαλψιν, ἀλλὰ κατὰ τοὺς λαϊκοὺς εὐθύνεσθαι. καὶ ἀνάγνωθι τὸ κατὰ τὸν ἰούλιον μῆνα τῆς α' ἰνδ. τοῦ ,ςχ[ος'] ἔτους γεγονὸς χάριν τούτου συνοδικὸν σημείωμα.

[1] Laudatur a Bals. ad syn. Nic. II c. 12 ed. Rhalli II p. 598, unde edidit Bonef. p. 96. Nov. LVI mox idem auxilium ecclesiis largitur. Vide etiam infra not. 2 ad Nov. LXII. [2] Rhallis α'.

[1] Hanc nuper latine ex Libro albo et Libris pactorum integram ediderunt Tafel et Thomas Urk. z. ält. Handels- u. Staatsgesch. d. Rep. Venedig. To. I (Wien 1856) p. 113—124. — Eadem inserta est Nov. LXXXVII infra. [2] Lege: *firmitatis*. [3] Adde: *largiri*.

et gratis, sermoneque sermonem affirmabimus, et manum dabimus ministrare stylo ad hujus firmitatem, et vallum vallo superponemus, ut olim possessum eis munimen supermuniamus atque firmemus? Et ubi hoc Imperialis mentis et voluntatis, non igitur eis ostia obserabimus, nec auditus occludemus, sed illariusque hos respiciemus et peticionem explebimus. Quid michi sermonis vult prolixitas? Veneticis[4] factus est quidem et ab Imperatoribus[5], memorabili avo Imperii mei, chrisobylus sermo, donans eis diversa dona; subsecutus vero fuerat rursus hunc et alter ab Imperatoribus, ter beato dilectissimo domino et patre Imperii michi, eadem donans et apponens, quod tunc petiverunt in redifficationem amboque[6] certe ad Imperium eorum servitutis atque fidelitatis et ad Romaniam convente[7] ab eis servare pure dilectionis et affectus. Necessarium ergo, ambosque eis ut habebant ipsis dictionibus presente Imperii nostri sermone nunc renovare, que velut urbem intersitam summitatibus presentis videlicet chrisobuli sermone omnino colligemus et circummuniamus. Habet[8] vero chrysobylus sermo memorabilis Imperatoris domini, domini et patris Imperi michi[9], sic:

Solet multociens antiquior fides atque benivolentia posteriorem malivolentiam contegere ac delere, victis dominis et amicis memoria prioris subjectorum et amicorum bonitatis; velut nunc quoque in Venetias contigit. Reminiscens enim Imperium meum antique eorum benivolentie et fidei, quam erga semper memorabilem Imperatorem et dilectissimum patrem ejus[10] ostenderunt, obicientes se periculis toto animo pro Romania, et cum strenuitate indubitanter certantes contra inimicos qui tunc exercitum eduxerant contra eam, que paulo ante ab eis male gesta sunt, non reputavit, et conversionem eorum accepit, et nutum eis ostendit ilarem, et accedentes in ulnas suas suscepit, et consequenter quidem indulgentia[11] hos dignos habuit, ut nequaquam jam lesioni cujusvis subicerentur quantumlibet super quibus Imperium meum et Romaniam offenderunt (ex demoniaca sicut videtur violentia), sed perpetuo indulgentiam haberent Imperii mei, que per presens chrysobullion donata est sicut promittentibus rursusque toto animo pro Romania pugnare et omni sub Imperio meo Christianico ordine, simul autem et propria quedam servitia per scriptum et jusjurandum convenientes[12] servire

---

[4] Lib. albus: *Venetia.* [5] Hic et paulo inferius *Imperatore* legerim. [6] Lege: *amborum.* [7] Junge cum verbo *dilectionis.* [8] Lib. albus: *Ut.* [9] i. e. Joannis Comneni. [10] Scil. Imperii mei. Intelligitur Alexius Comnenus. [11] Lib. albus: *indulgentiam.* [12] Scribendum erat: *convenientibus.*

Imperio meo et Romanie, velut facta ab apocrisiariis eorum symphonia latius de his tractat. Quoniam vero quesiverunt ante factum sibi chrysobullion beati domini et patris Imperii mei recorrigi rursus et dari sibi, velut qui jam exciderint ex ipso propter culpas que contingerant, exaudivit omnes Imperium meum, et inmutate jussit hoc tamen scribi ponique hic, habens sic:

„Et quid unquam sit eorum, que sunt commutatio[13] *pure*
„amicitie ac fidei? Quid vero amicis et ministris, periculis se
„obicere pro amicis et dominis elligentibus, reddet quis equi[14]
„ponderis, et maxime quando spontanee pro his in contamina[15]
„in hiis que contra hostes sunt preliis hi venerint? Nostre qui-
„dem studium voluntatis magnam hanc rem ponens, nichil ad
„dignam invenit remunerationem. Reddit vero, quanta dat tem-
„poris[16]*, et que amicis et ministris sunt placentia. Sunt autem,*
„que retribuuntur fidei et pure servitutis premia, nostra quidem
„studiosa voluntate et spontaneo animo minora ac pauciora, non
„ignobilia vero quedam, nec amicis et servis indigna. Sed quid
„michi proemium vult? Ea, que fidelium Veneticorum sunt, nul-
„lus omnium ignoravit; et quo[17] *modo venerunt constructis multi-*
„feris navibus ad Epidamnum, quod Dyrrachium vocamus nos; et
„quomodo viros navi pugnantes innumeros in auxilium nobis pre-
„sentaverunt; quomodoque[18] *proprio stollo scelesti stolum*[19] *vi*
„superarunt[20]*, perdentes cum ipsis viris; et quod nunc quoque*
„nobis auxiliantes perseverant; et alia, que a thalattocopis i. e.
„in mari laborantibus viris acta sunt, et que correcta nouerunt
„omnes, etsi nos non dicamus? Unde et in remuneratione hujus-
„modi ipsorum servitiorum bene voluit Imperium meum per pre-
„sens chrisobullion sermonem accipere eos annue in tempore roge
„sollempnium librar.[21] XX.*, et ut distribuantur hec in proprias*
„ecclesias secundum ipsorum velle. Honoravit autem et nobilem
„Ducem eorum venerabilissima protosebasti dignitate cum roga
„etiam sua plenissima. Non in persona vero ipsius determinavit
„honorem; sed indesinentem esse atque perpetuum et per succes-
„siones usque[22] *secundum diem*[23] *fuerint Ducibus transmitti defi-*

---

[13] Hoc verbum transponendum est, sic: Et quid unquam sit commutatio (ἀμοιβή) eorum, quae etc. [14] Lib. albus: *equis.* [15] An: *certamina* vel *conamina?* [16] An: *tempus?* [17] Lib. albus: *que.* [18] Idem: *quodque.* [19] Idem: *stolii.* [20] Idem: *superare.* [21] Malim: *libras.* [22] Sic Lib. albus. Lib. pactor. *ut qui sec.* Editores *iis qui.* Recte. [23] Editores: *deinceps* emendant. Non opus. Graece: *κατὰ τὴν ἡμέραν.*

„*nitivis in urbe. Honoravit et Patriarcham eorum hypertimon,* „*i. e. superhonorabilem, cum roga librarum viginti. Et hunc vero* „*honorem per successionem in eos, qui deinceps fuerint, Patriar-* „*chas transmisit, ut hic quoque sit indesinens atque perpetuus, et* „*non tantum persona*[24] *ejus. Constituit vero Imperium meum et* „*sanctissimam ecclesiam sancti apostoli et evangeliste Marci, qui* „*est in Venetia, ab uno quoque in magna civitate et omni Roma-* „*nia tenentium ergasteria Amalphynorum*[25] *omnium, qui sunt sub* „*potestate ejus quidem patricatus*[26], *accipere per unum quemque* „*annum numismata tria. Ad hoc donat eis et ergasteria que sunt* „*in embolo Peramatis cum solariis suis, que habent introitum et* „*exitum in totum*[27], *quod procedit ab Ebraica usque ad Viglan,* „*queque habitantur et que non habitantur, et in quibus Venetici* „*permanent et Greci sicut ergasteriis; et maritimas III scalas, que* „*in predicto spacio terminantur. Donat autem et sancto Akin-* „*dino mankipium i. e. pistrinum*[28], *quod est in ipsius ecclesie la-* „*tere, quod pertinet ad domum Petrii, et habet pensionem Byz-* „*zantinorum* XX. *Similiter dat et ecclesiam sancti apostoli An-* „*dree, que est in Dyrrachio cum ibidem existentibus Imperialibus* „*pensionalibus preter in is repositam aphesin, que debet dari ad* „*chelandia*[29]. *Concessit autem eis et negociari in omnes partes* „*Romanie species universas, videlicet circa magnam Laodiciam*[30], „*Antiochiam et Manmistam, Adatiam, Tarson, Attalian, Strovilom,* „*Chion, Theologon, Phocian, Dyrrachion, Aulonem, Coryphus, Bon-* „*dicam, Methonem, Coronem, Nauplion, Corinthion, Tebas, Athenas,* „*Eurippon, Demetrida, Thessalonicam, Chyrisopolin, Peritheorion,* „*Abydon, Redeston, Adrianopolin, Apron, Erracliam, Selibriam, et* „*per ipsam Megalopolin, et simpliciter in omnes partes sub po-* „*testate nostre pie mansuetudinis, non prebentibus omnino pro* „*qualibet propria negotiacione quidlibet commercii gratia vel cujus-* „*vis alius conditionis, que demosio infertur, pacti quasi xiloca-* „*lami, limenatici, porteatici, caniskii, exifeileos*[31], *archontichii et* „*aliorum tributorum causa eorum, que debent negociari. In om-* „*nibus enim negociationis locis data est licentia eis ab Imperio* „*meo, superiores esse debere et ipsa requisitione. Excident vero*

---

[24] Lege: *personae.* [25] Editores notant: i. e. Amalphitanorum. [26] Iidem notant: i. e. patriciatus. [27] Legerim: *embolum.* [28] Lib. albus: *pristinum.* [29] Navium species. [30] De his nominibus curiosi conferant doctissimos Tafelii adnotationes l. l. p. 118 sq. [31] Lege: exafoleos, τοῦ ἑξαφόλλεως.

„et ab ipso eparcho parathalassite[32]*, eleoparocho dominico*[33]*, com-„merkiariis, chartalariis, hipologis et omnibus, qui hujusmodi sunt, „nullo eorum, qui per loca sunt principium vel aliorum servitium „communis tractantium, contempnere quid eorum que hic diffinita „sunt presumente. Omnium enim, quas quis dicat, specierum ac „rerum concessa est hiis negociatio, et omnium emptionem in po-„testate habebunt facere, superiores existentes universa datione. „Hec ita cum dispensaverit Imperii michi pietas sancta, atque dif-„finit, nullum resistere eis sicut rectis et veris dulis ejus et con-„tra inimicos adjutoribus et usque ad finem seculi tales se esse „promittentibus, nec quemquam omnino contraria sentire hiis ta-„libus, nec actiones aliquis adversus omnes exercere propter tra-„dicta eis ergasteria et scalas istic. Qualiscumque enim*[34] *juris „hec existunt, sive ecclesiastici sive privati sive publici, sive sancte „domus sint, hec nullatenus continget, que nunc sunt fidelium duli*[35] *„Imperii michi Veneticorum et in posterum futurorum; quum mul-„tam benivolentiam et rectum animum erga Romaniam et erga Im-„perium meum ostenderunt, et toto animo hec servare promittunt „in perpetuum, et pugnare pro Romeorum statu et Christianis pro „parte*[36] *volunt et protestantur. Et contra tales viros quis contra-„dicet, vel contra eos juditium movebit aliquando? Unde nec se-„cretum Petrii vel Mireleu, nec etiam privatus quisque, sed nec „monasterium vel templum sanctum, quibus videlicet donata er-„gasteria pertinent atque scale, contra hos movebunt. Erunt au-„tem silentes et in dispensatione ac donatione Imperii mei manen-„tes vere. Nam si voluntaria non donamus dignis accipere, ceu „qui viriliter egerunt et viriliter agere student atque studebunt, „quibus aliis donabimus aliquando? Ergo et donabuntur dona-„torum sibi immobilium sine ablatione et sine turbatione in dein-„ceps omnia et perpetua tempora secundum continentiam debiti ex-„poni sibi practici traditionis eorum a protoanthypato Georgio „et notario Imperii mei tu Machitariu, quod et firmum erit et sta-„bile ac inviolabile in omnibus, que continebuntur in eo; debens „et hoc in illis subastipulari secretis, in quibus et presens sub-„astipulatum est chrysobylion Imperii nostri, in noticiam eorum, „que donata sunt rectis dulis Imperii mei Veneticis, et ad deor-*

---

[32] De *παραθαλασσίτῃ* cf. *Πεῖρα* LI, 29. [33] Editores *tu geniku* (*τοῦ γενικοῦ*) scribendum censent. Vide infra Nov. LXXXVII. [34] Lib. albus: *qualicumque eram.* [35] Lege: *dulorum.* [36] Ex Nov. LXXXVII infra legendum erit: *prompte.*

„tacionem temperatorum[37] *hos molestare eorum causa. Erunt „igitur, que hic diffinita sunt, semota firmaque incorrupta et a „nullo contempta. Si vero quis contempserit forsitan quid eorum, „que in hoc chrysobollio disposita sunt, inremissibiliter exigetur „a secreto ton oichiacon aurum libras X., et quantitatem ejus, „quod ablatum fuerit ex eis, persolvet in quadruplum, quia firmo „ac securo existente presente pio chrysobollio, facto circa Maium „mensem, quinte Indictionis, in anno sex millesimo ducentesimo*[38], *„in quo et nostrum pium et a deo promotum subsignavit Imperium.“*

Hujusmodi ergo chrysobollion confirmans Imperium meum, bene vult et item habere effectum, sicut expositum est a principio quando eis donatum est, ita ut et solempnorum phalatimia[39] *proveniat et deinceps imminute, et honores dignitatum habeant nobilissimus Dux et sacerrimus Patriarcha eorum, accipiant tantum*[40] *et rogas, verum etiam possessionem et fruitionem donatorum et traditorum sibi ergasteriorum et scalarum habeant sine ablatione. Similiter et habeant ipsi sine prohibitione et negociari sine commercio et datione qualicumque altera in omnibus dinumeratis in prefacto chrysobollio civitatibus et regionibus, que sub potestate Imperii nostri sunt. Verum etiam ut ab ergasteriis Amalphitorum, que per chrisobollion constituta sunt sanctissime ecclesie apostoli et evangeliste Marci, qui est in Venetia, dentur ad eam sine minutione. Quum vero ante annos non paucos contigit eos, qui vendebant Veneticis in Romaicis regionibus negociationes aliquas, commercium de ipsis exigi, et optinuit hic mos annis multis ut*[41] *dictum est, rogaverunt autem et de hoc Imperium meum fieri*[42] *dilectissimi duli et amici ejus Venetici, quatenus corrigeretur hujusmodi quoque capitulum, et donaretur sibi et ab his potestas et libertas, complevit et hanc peticionem Imperium meum, et definit per presens chrysobolion, nullum eorum qui sub potestate Imperii nostri, Grecis negociantibus cum Veneticis in omnibus regionibus Romanie, vel quando vendit ad eos vel quando emit ab aliquo*[43] *eorum, dare*[44] *pro commercio quidlibet, vel pro altera quamvis*

---

[37] Editores *templatorum* vel *templantium* legi volunt. [38] Editores notant: „annus ex prave intellectis numeris graecis corruptus est: uti indictionis quintae docet additamentum, est annus mundi 6590 = 1082 p. Chr. isque prorsus convenit.“ Meo judicio ex Nov. LXXXVII infra legendum est: *quinte decime Indictionis — sexcentesimo,* ut ad annum p. Chr. 1092 referatur. [39] Lege: *philotimia.* [40] Malim: *autem.* [41] Ita pro *et* reposui. [42] Lege *fidelissimi* pro *fieri dil.* [43] Codd. *aliqua.* [44] Lib. albus: *dein,* Lib. pactorum: *dentur.*

exactione; sed ut excusentur et ipsi, sicut et hii, qui cum commerciis negociantur. Verum tamen debent et Venetici ea, que per factam scripto conventionem a legatis eorum promissa sunt jurejurando Imperio meo, firma servare incorrupta. In quo erunt eorum, que per presens chrysobollion donata sunt ipsis jura, donantes sine ablatione in evum omne, ut firmum et securum inesse presens chrysobolion, factum per Augustum mensem quarte Indictionis sexmillesimi DCXXXIIII[45] *anni, in quo et nostrum pium et a deo promotum subsignavit Imperium.*

Et hec quidem, que a laudabili Imperatore et avo Imperii mei et a ter beato Imperatore domino et patre Imperii mei donata fidelissimis Imperio nostro Veneticis per chrysobollion illorum; quod utique chrysobollion nostrum quoque pium Imperium firmat per presentem chrysobollion sermonem, diffinitque efficatiam auferre, sicut habebant hoc et usque ad migrationem ad dominum in[46] Imperatoribus laudabilis et ter beati domini et patris Imperii mei, velut etiam Veneticis consueta sibi sacramenta sacra habentibus, servare ad Imperium meum et Romaniam fidem et servitium ipsis opibus puram, veram, rectam.

Quia vero, sicut relatum est Imperio meo a presentibus in Megalopoli missis Veneticorum, consecuti quidem sunt Venetici preceptum Imperatoris laudabilis domini et patris Imperii mei, — licenciam his donans improhibite etiam per insulas Cypron et Creten negociari et sine consortio eos ubi terrarum[47] Imperii mei pro hiis, que ad hujusmodi insulas negociande sunt ab eis, omnimodis speciebus, — non contigit autem, que in hujusmodi precepto conprehenduntur, effectum recipere, ac propter hoc usque nunc per hujusmodi preceptum donata sibi filotimia, i. e. donatione privantur vel carent Venetici: petiverunt vero Imperium meum filotimiam quidem hanc, que in predicto precepto fertur laudabilis Imperatoris domini et patris Imperii mei, in opus vero Veneticis non provenit, ab Imperio meo precipi efficatiam ab hoc nunc auferre; Imperium mei propter eam, quam ad ipsum et Romaniam monstrant, verum etiam dehinc monstrare promittunt, fidem atque servitium, hujusmodi ipsorum peticione suscepta vult ac definit, eos et per insulas, Cyprum videlicet Cretenque, negociari, nec ab aliquo quidlibet exigi horum

---

[45] Codd. CCXXXIV, sed sexcentesimum numerum habet Nov. LXXXVII infra.
[46] Lib. albus *in* non habet. Editores *Imperatoris* emendant: male. Cf. enim Nov. LXXXVII infra. [47] Lege: *sine commercio ubique terrarum.*

causa, sed a komerkieutiis eos conservari ubique terrarum Imperii mei secundum superius tractatas distinctiones. Et ut habeant hii securitatem in his, que per presentem chrysobolion sermonem difinita sunt, presens expositus est chrysobullius sermo, factus per mensem Octubrem, Indictionis undecime, anni sexies millesimi sexcentesimi quinquagesimi sexti, in quo et nostrum pium et a deo promotum subsignavit Imperium.

NOV. LV.

Imp. Manuelis Comneni de juramento Judaeorum[1]. (A. 1148.)

Ὑπόμνησίς τινος ἀπὸ ἰουδαίων χριστιανοῦ γενομένου, περιέχουσα ὁποῖος ἐστὶν ὁ ὅρκος τῶν ἰουδαίων.

Τολμῶν ὁ ἀνάξιος καὶ πανευτελὴς δοῦλος τῆς κρατίστης καὶ ἁγίας σου βασιλείας δέομαι, δέσποτά μου ἅγιε. ἐξ ἰουδαίων ἐγενόμην ὁ δοῦλός σου ἀπὸ τοῦ δουλικοῦ σου κάστρου ἀτταλείας. φιλανθρωπίᾳ δὲ θεοῦ, τοῦ μὴ ἐλθόντος καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, εἰς ἐπίγνωσιν ἦλθον τῶν ἐμῶν ἁμαρτιῶν, καὶ βάπτισμα ἅγιον διὰ μετανοίας ἐδεξάμην. εἶτα δι᾽ εὐτυχίαν τοῦ ἐνθέου κράτους σου[2] ἐβάπτισα καὶ ἕτερα τρία ἀδέλφιά μου· καὶ ὑπεμνήσθη παρ᾽ ἡμῶν ὁ τρισμακάριστος καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεύς, ὁ πατὴρ τῆς θεοστεφοῦς καὶ ἁγίας βασιλείας σου[3], ὡς ἂν δωρήσηται ἡμῖν τὸ ἰουδαϊκὸν ἐκεῖνο τῶν ἡμετέρων γονέων οἴκημα καὶ τὰ ἐν αὐτῷ ἀποκείμενα ὀλιγοστὰ πράγματα, κατασχεθέντα παρὰ τῶν ἰουδαίων· καὶ διὰ τῆς ἀντιλήψεως τῆς ἁγίας βασιλείας αὐτοῦ εἰσηκούσθη ἡ ὑπόμνησις ἡμῶν, καὶ ἐγένετο ἡμῖν τιμία

---

[1] Relatio et rescriptum imperatoris ad eam, quod hic editur, habetur in Cod. Paris. 1355 aliisque. Videatur Mortreuil III p. 147. Primus edidit Leuncl. JGR. I p. 118, indeque repetitum est in Coll. can. ed. Rhalli et Potli V p. 271. Ii Constantinum Monomachum auctorem faciunt: Mortreuil vero illud ab Alexio Comneno ind. XI i. e. anno 1088 vel 1103 editum esse existimat, quia Basilius Pecules judex Veli et Hippodromi, qui *τῇ παρεκβολῇ ἀπὸ τοῦ ἐπαρχικοῦ βιβλίου* subscripsit, anno 1147 occurrit. (Cf. Coll. can. cit. V p. 307. Idem Basilius Pecules postea Curopolatae et Quaestoris dignitate condecoratus fuit: JGR. I p. 292.) Ego vero hoc ipso commoveor, ut Manueli imperatori annoque 1148 ind. XI hoc rescriptum tribuam, quum etiam quae initio relationis de patre imperatoris traduntur, de Manuelis patre recte habeant, de Alexii non item. [2] i. e. postquam Manuel a. 1120 natus esset. [3] i. e. Joannes Comnenus.

καὶ προσκυνητὴ λύσις πρὸς τὸν πράκτορα, παραδοθῆναι ἡμῖν τὸ τοιοῦτον οἴκημα. κατὰ ταύτην οὖν τὴν πρόσταξιν γέγονεν οὕτως· καὶ τῇ ἀντιλήψει τῆς ἁγίας βασιλείας σου γέγονε τὸ τοιοῦτον οἴκημα παρ' ἡμῶν τῶν δούλων ναὸς ἅγιος οὕτω καλούμενος ἡ ἁγία ἀνάστασις, καὶ μοναχούς τινας ἐν αὐτῷ κατετάξαμεν, ἐπὶ τῷ ὑπερεύχεσθαι τῆς ἁγίας σου βασιλείας καὶ πάντων τῶν χριστιανῶν. ἐξεκαλέσαμεν δὲ τὸν πράκτορα καὶ περὶ τῶν ἡμετέρων πραγμάτων, ὡς ἂν ἀποδοθῶσιν ἡμῖν· καὶ ἔξαρνοι ἐγένοντο οἱ ἰουδαῖοι. προσέταξεν οὖν ὁ πράκτωρ ἡμῖν, λυθῆναι τὴν ὑπόθεσιν ἡμῶν διὰ συκοφαντικοῦ καὶ τελείου· καὶ ἐγὼ μὲν ὡς χριστιανὸς ἵνα πληρώσω τὸν συκοφαντικὸν, αὐτοὶ δὲ τὸν τέλειον, πλὴν οὐχ ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ἂν ἐγὼ δώσω αὐτοῖς ἐγγράφως. ἐστὶ δὲ οὕτως· ἐν πρώτοις, ἵνα ζώσηται τὴν βάτον, καὶ καβαλλικεύσῃ τὸν ἀσκὸν, καὶ ἐμβῇ εἰς τὴν θάλασσαν, καὶ πτύσῃ τὴν περιτομὴν αὐτοῦ τρίτον, λέγων οὕτως· „μὰ τὸν βαρασῆ, βαραᾶ, ἀδωναῒ, ἐλωῒ, τὸν δια- „περάσαντα τὴν ἐρυθρὰν θάλασσαν τὸν ἰσραὴλ ἀβρόχως, καὶ „ποτίσαντα αὐτοὺς ὕδωρ ἐκ πέτρας, καὶ δόντα αὐτοῖς μάννα „φαγεῖν καὶ ὀρτυγομετρίαν, εἰ καὶ αὐτοὶ ἀχάριστοι ἐγένοντο „[οὐ][4] παραιτησάμενοι τὰ τοῦ χοίρου κρέα; μὰ τὸν νόμον, ὃν „δέδωκεν ἀδωναῒ, καὶ τὸν ἐμπτυσμὸν τοῦ σώματος τῆς περι- „τομῆς, καὶ τὴν βάτον, ἣν τῇ ἐμαυτοῦ ὀσφύϊ περιζώννυμαι· „οὐκ ἐπὶ ψεύδους ὀμνύω τὸ ὄνομα κυρίου σαβαώθ· εἰ δὲ ἐπὶ „ψεύδους ὀμνύω, ἐπικατάρατα τὰ ἔκγονα τῆς κοιλίας μου, ψη- „λαφήσω ὡς ὁ τυφλὸς τοῖχον, καὶ ὡς μὴ ὑπάρχων ἔχων ὀφθαλ- „μοὺς πεσοῦμαι σὺν τούτοις πᾶσιν, ἀνοιξάτω ἡ γῆ τὸ στόμα „αὐτῆς, καὶ καταπιέτω με, ὡς δαθὰν καὶ ἀβειρών“. καὶ οὗτοι τὸν ὅρκον τοῦτον ἀσμένως ἐδέξαντο. εἶτα μετὰ τὸ ὀμόσαι ἐμὲ τὸν συκοφαντικὸν, οὐκ ἠθέλησαν πληρῶσαι τὸν τέλειον· ἀλλὰ δώροις τὸν πράκτορα μετελθόντες ἐξέφυγον τὸν ὅρκον. διὰ γοῦν τοῦτο δέομαι καὶ παρακαλῶ τὸ ἔνθεον κράτος σου, γενέσθαι μοι τιμίαν καὶ προσκυνητὴν λύσιν πρὸς τὸν κατὰ τὴν ἡμέραν πράκτορα, διοριζομένην, ἢ τὸν τοιοῦτον ὅρκον ὀμόσαι καὶ μὴ βουλομένους τοὺς ἰουδαίους, ἢ ἀναμφιβόλως ἀποδοῦναι ἡμῖν τὰ εὐλόγως παρ' ἡμῶν ἐπιζητούμενα πράγματα. καὶ εἰ τοῦτο γένοιτο, δέσποτά μου ἅγιε, οὐ παύσομαι παρ' ὅλην μου τὴν ζωὴν τῆς ἁγίας σου βασιλείας ὑπερεύχεσθαι· ἧς ὡς δοῦλος ἀνάξιος τολμήσας ἐδεήθην.

---

[4] Recte supplevit Leuncl.

Ἀντιγραφὴ βασιλική.

Ὑπόδειξον τὴν παροῦσαν λύσιν τῆς βασιλείας μου τῷ μεγαλεπιφανεστάτῳ δουκὶ τῶν κιβυῤῥαιωτῶν, καὶ οὗτος ἵνα μετακαλέσηται καὶ τοὺς παρά σου διεγκαλουμένους ἰουδαίους. καὶ ἐάν σου τὸν συκοφαντικὸν ἐπομοσαμένου, ὡς ὑπέμνησας, οὗτοι ἀναποδίζουσι πρὸς τὸν ἐν τῇ ὑπομνήσει σου δηλούμενον τέλειον, παραπείσῃ αὐτοὺς ἢ τὸν τοιοῦτον ἀποδοῦναι τέλειον, καθὼς ἐντὸς ἀνατάττεται, ἢ ἃ λέγεις πράγματα ἀντιστρέψαι πρὸς σέ. τῷ[5] μηνὶ νοεμβρίῳ ἐπινεμήσεως ιαʹ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

Παρεκβολὴ γενομένη περὶ[6] ἰουδαίων.

Παρεξεβλήθη ἀπὸ τοῦ ἐπαρχικοῦ βιβλίου ὁ ὅρκος, ὃν ὀμνύουσιν οἱ ἰουδαῖοι, ὁ καὶ περιέχων οὕτως. ἐν πρώτοις, ἵνα ζώσηται τὴν βάτον, καὶ κρατήσῃ ἐν ταῖς χερσὶν αὐτοῦ τὸ μεγαλεῖον, καὶ εἴπῃ οὕτως· εὐλόγητος κύριος ὁ θεὸς τῶν πατέρων ἡμῶν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ διαγαγὼν ἡμᾶς διὰ ξηρᾶς τὴν ἐρυθρὰν θάλασσαν, ὅτι οὐ ψεύδομαι. εἰ δὲ καὶ διαψευδόμενος εὑρεθῶ, δώῃ μοι κύριος ὁ θεὸς τὴν λέπραν τοῦ γιεζῆ καὶ τοῦ ἀμμᾶ, ἠλεὶ τοῦ ἱερέως τὴν καταδίκην, καὶ ἀνοιξάτω ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ καταπιέτω με ζῶντα, ὡς δαθὰν καὶ ἀβειρών.

Ἡ ὑπογραφή.

Ὁ κριτὴς τοῦ βήλου καὶ ἐπὶ τοῦ ἱπποδρόμου, βασίλειος ὁ πεκούλης, τὰ παρόντα ῥήματα τοῦ ὅρκου ἀπὸ τοῦ ἐπαρχικοῦ βιβλίου παρεκβαλὼν καὶ ἰσάζοντα εὑρὼν ὑπέγραψα καὶ ἐσφράγισα.

Εἶχε καὶ βοῦλλαν κάτωθεν ἀπηωρημένην, ἔχουσαν ἐξ ἀμφοτέρων τῶν μερῶν γράμματα, οὕτως ἔχοντα·

ἐκ τῆς σφραγῖδος ἴσθι τὸν γεγραφότα.
κριτὴν πεκοίλην ὃς θέλει γνωριζέτω.

---

[5] Lege τό· [6] Leuncl. παρά.

NOV. LVI.

Imp. Manuelis Comneni aurea bulla de instrumentis ecclesiarum[1]. (A. 1148.)

Ἀπελύθη χρυσόβουλλος λόγος τοῦ αὐτοῦ κραταιοῦ ἁγίου ἡμῶν βασιλέως κατὰ μῆνα φεβρουάριον, ἐπινεμήσεως ια΄ τοῦ ͵ςχνς΄ ἔτους, ὁ καὶ ἰατὴρ λεγόμενος ὡς ἰώμενος τὰ χωλεύοντα ἴσως δικαιώματα τῶν ἁπανταχοῦ ἐκκλησιῶν, ἐπισκοπῶν δηλονότι καὶ μητροπόλεων καὶ αὐτῆς τῆς μεγάλης ἐκκλησίας. ὃς καὶ κατὰ ῥῆμα οὑτωσὶ διαλαμβάνει·

Ὁ μὲν μετὰ μωσέα τοῦ ἐκλεκτοῦ λαοῦ ἐκεῖνος στρατηγὸς ἰησοῦς τὰ ἱεριχούντεια καθελεῖν ἐπειγόμενος ὀχυρώματα τοῖς ἱερεῦσι κύκλῳ σαλπίζειν ἐκέλευε, καὶ οὕτω παραδόξως τὰς τῶν τειχῶν ἐπάλξεις κατέῤῥιπτε. ἡ[2] δὲ τοῦ νέου τῷ θεῷ ἐκλεκτοῦ καθηγουμένη τούτου λαοῦ βασιλεία μου, μετὰ τὸν ἐν βασιλεῦσιν ἐκεῖνον ἄλλον μωσέα, τοῦ λαοῦ σωτῆρα καὶ ὁδηγὸν, τὸν ἀοίδιμον λέγω αὐθέντην τῆς βασιλείας μου καὶ γεννήτορα, ὥσπερ τινὰ τείχη καθελεῖν ἐπειγομένη ἱεριχούντεια τὰς τοῦ κοινοῦ τῶν χριστιανῶν ἐχθροῦ[3] ὀχυρώσεις, τοῦ δυτικοῦ λέγω δράκοντος, τοῦ τῆς σικελικῆς κατατυραννοῦντος γῆς, κἀκεῖθεν κατα τῆς τῶν ῥωμαίων ἐπικρατείας λάθρα ἑρπύσαντος, ἀναλόγως οἷα πνευματικάς τινας σάλπιγγας τὰς τῶν τὸν θεὸν ἐξιλεουμένων καθ' ἑκάστην ὑπὲρ ἡμῶν ἀρχιερέων εὐχὰς πρὸς ἐκείνου καθαίρεσιν συνεργούσας ἐδέησεν. ἀλλὰ καὶ αὐτὸς ὁ θεόπτης μωσῆς ὁπηνίκα τῷ ἀμαλὴκ συνεκρότει τὴν μάχην, ἱερεῦσιν ἑκατέρωθεν στηριζόμενος οὕτω τοῦτον κατετροποῦτο καὶ ὑπερίσχυε· κατ' ἐκεῖνον οὖν καὶ ἡ βασιλεία μου τοῦ ἀρχιερατικοῦ δεομένη ὑποστηρίγματος εἰς τὴν κατὰ τοῦ νέου τούτου ἀμαλὴκ προκειμένην ἀντιπαράταξιν, καὶ ὥσπερ τινὰ στύλον φωτὸς τοῦ νέου ἰσραὴλ προηγούμενον καὶ τὰ τούτου κατευθύνοντα διαβήματα, τὰς τούτων ἔχειν εὐχὰς ἐθέλουσα τὸν παρόντα χρυσόβουλλον λόγον τῇ μητρὶ πασῶν τῶν ἐκκλησιῶν, τῇ νέᾳ σιὼν, τῷ τῆς τοῦ θεοῦ σοφίας ἐνδιαιτήματι, καὶ τοῖς κατὰ

---

[1] Hanc praestat Bals. ad c. 12 syn. Nic. II (ed. Rhalli II p. 608). Inde ediderunt Bonef. p. 109, Leuncl. JGR. I p. 149. [2] Editi: τῇ — καθηγουμένῃ — βασιλείᾳ — ἐπειγομένῃ. Sed aut ita, ut nos, legendum, aut cum Leuncl. in fine hujus periodi emendandum συνεργούσας ἔχειν δεήσει. [3] Leuncl. Rogerium Siciliae regem intelligit.

τὰς νήσους πάσας καὶ τὴν ἀνατολὴν καὶ τὴν δύσιν ἀρχιερεῦσιν ἐβράβευσε, τὰς ὑπὲρ τῆς βασιλείας μου τούτων εὐχὰς ἐπὶ πλέον ἀναῤῥωννύουσα. ἀκριβῶς γὰρ οἶδεν ἡ βασιλεία μου, ὡς οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ ὡς γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ, ψευδὴς δὲ ἵππος εἰς σωτηρίαν, κατὰ τὸν θεῖον φάναι προφήτην καὶ ψαλμογράφον καὶ θεοπάτορα.

α΄. Τοιγάρτοι καὶ τὸ ἀπερικλόνητον πάντῃ φυλάττεσθαι θέλουσα, τῇ τε πασῶν προκαθημένῃ ἐκκλησιῶν καὶ τοῖς μνημονευθεῖσι πᾶσιν ἀρχιερεῦσι τῶν ὁπουδήποτε ἁγίων ἐκκλησιῶν, καὶ τὸ ἀσφαλὲς τῶν προσόντων ταύταις δικαιωμάτων ἐπὶ τῇ κατοχῇ τῶν ἀκινήτων αὐτῶν βεβαιότερον καθιστῶσα, προσεπανορθοῦσα δὲ καὶ εἴ τί που χωλεῖον ἴσως ἐστὶν ἐν τοῖς αὐτῶν δικαιώμασι καὶ τῆς ἀκριβείας λειπόμενον· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ εἴ τί που ὀφεῖλον ἐπακολουθῆσαι δικαίωμα πρὸς τὴν ἀσφαλῆ τῶν τοιούτων ἀκινήτων δεσποτείαν, κατοχήν τε καὶ κυριότητα γενέσθαι ἴσως οὐκ ἔφθασεν· αὐτὸν δὴ τὸν παρόντα χρυσόβουλλον λόγον ἰατῆρα ἡ βασιλεία μου τούτου δὴ τοῦ ἐλλείποντος αὐτοῖς ἐπιδέδωκεν, οἷον ἄρτιον καὶ ὁλομελὲς δεικνύντα τὸ ἐπὶ τούτοις δίκαιον καὶ εἰς τὸ παντελὲς ἀδιάσειστον. δι᾽ οὗ καὶ βεβαιοῖ μὲν καὶ ἀσφαλέστερον τίθησι πᾶν προσὸν ταῖς κατ᾽ αὐτοὺς ἁγιωτάταις τοῦ θεοῦ ἐκκλησίαις καὶ αὐτῇ τῇ τούτων προκαθημένῃ δικαίωμα ἐπὶ τοῖς αὐτῶν ἀκινήτοις, ὁποῖον ἂν καθέστηκε κἂν ὁπουδήποτε ταῦτα διάκεινται, καὶ τὸ καλὸν κάλλιον τίθησι τῇ ἐπικρίσει τε καὶ ψήφῳ τῆς βασιλείας μου. πᾶν δὲ ἐν αὐτοῖς ἐν ὁποίοις εἴποι τὶς θεωρούμενον, εἴτε ἐν χρυσοβούλλοις λόγοις διαφόρων βασιλέων εἴτε ἐν σιγιλλίοις εἴτε ἐν ἁπλαῖς προστάξεσιν εἴτε ἐν λύσεσιν εἴτε ἐν πρακτικοῖς ὑποσκάζον, καὶ κατά τι τοῦ ἀκριβοῦς καὶ τῆς ὀφειλομένης ἀκολουθίας λειπόμενον, ἀπό τε βασιλικῶν προσταγμάτων καὶ νόμων ἐπανορθοῖ· καὶ διορίζεται, μὴ κατά τι πρόκριμα ἐκ τούτων εἶναι ταῖς δηλωθείσαις πάσαις ἁγιωτάταις ἐκκλησίαις εἰς τὸν αἰῶνα τὸν ἅπαντα, ἀλλὰ τὸ ὑπόσαθρον ἐκείνων καὶ ἀσθενὲς εὐτονώτατον εἶναι καὶ ἀνάλωτον πάσῃ δικαιολογίᾳ τοῦ βουλομένου λέγειν τὶ ὑπὲρ τοῦ δημοσίου, τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου ῥωννύμενον καὶ σφόδρα ἐνδυναμούμενον. καὶ ἵνα ἀπὸ τῶν πολλῶν, ὧν ἄν τις ἐννοήσειεν, ὀλίγων τινῶν ἡ βασιλεία μου ἐπιμνησθείη, ἐὰν τυχὸν δωρεὰ αὐτοῖς παροίκων ἄποσος εἴη ἢ μέτρων γῆς, αὐτούργιά τινα ἐκαίνισαν ἐν τοῖς τοιούτοις κτήμασι τυχὸν μὴ δεδωρημένα αὐτοῖς· ἢ ἐδω-

ρήθησαν μὲν, οὐκ ἀνετράπησαν[1] δὲ αἱ περὶ τούτων προστάξεις· ἢ ἐπὶ προαφωρισμένοις δεδωρημένοις αὐτοῖς, αἱ περὶ προαφωρισμένων προστάξεις οὐκ ἀνετράπησαν· ἤ τινα τῶν πορισθέντων αὐτοῖς βασιλικῶν προσταγμάτων οὐδόλως κατεστρώθησαν· ἢ κατεστρώθησαν μὲν εἴς τινα τῶν σεκρέτων, οὐ μήν γε καὶ ἐπὶ τοῖς προσφόροις σεκρέτοις· ἢ καταστρωθέντα ἀπώλοντο, ἶσα δὲ τούτων πεπιστωμένα εὑρίσκονται· ἢ πρακτικὰ ὀφείλοντα προβῆναι οὐ προέβησαν, ἢ προβάντα οὐ κατεστρώθησαν, ἢ ὁρισθέντα γενέσθαι λογίσιμα οὐκ ἐγένοντο· ἢ κατά τινα ἴσως ἄλλην ὁποίαν ἄν τις εἴπῃ αἰτίαν εἴτε κατὰ μέρος εἴτε καὶ καθ' ὁλόκληρον τὰ προσόντα ταῖς πολλάκις διαληφθείσαις ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις καὶ τῇ μητρὶ πασῶν χωλεύουσι δικαιώματα κἀντεῦθεν οὐκ ἔχουσι τὸ ἀπερικλόνητον, κἂν μὴ ῥητῶς ἐνταῦθα πᾶσα ὁποιαδήτις αἰτία ὑποσκάζειν ποιοῦσα τὰ δικαιώματα ἐκπεφώνηται· ἢ ὤφειλον τυχὸν καὶ ἕτερα δικαιώματα προσεπορεχθῆναι αὐταῖς ἐπὶ τοῖς τοιούτοις ἀκινήτοις, ὡς τινων πάντως προβάντων ἐν αὐταῖς (εἰ γὰρ μηδόλως τὶ δικαίωμα ἐπί τινι τῶν προσόντων αὐταῖς ἀκινήτων κέκτηνται, οὐδέν τι ἀπὸ τοῦ παρόντος χρυσοβούλλου λόγου ὠφεληθήσονται)· κατὰ μηδέν τι ταῦτα πάντα, καὶ ὅσα ἄν τις ἄλλα εἰς νοῦν λάβῃ ποτὲ ὑπὲρ τοῦ δημοσίου ἀγωνιζόμενος, καταβλάψαι ποτὲ τὰς τοῦ θεοῦ ἁγιωτάτας ἐκκλησίας, τόν τε τῆς τοῦ θεοῦ σοφίας οἶκον καὶ τὰς λοιπὰς μητροπόλεις, ἀρχιεπισκοπὰς καὶ ἐπισκοπὰς, δυνήσεται ἐπὶ τοῖς (ὡς εἴρηται) διαφέρουσιν αὐταῖς ἀκινήτοις ἀφ' οἱωνδήποτε δικαιωμάτων. εἰ γὰρ μηδέν τι μηδαμῶς δικαίωμα ἐκτήσαντο ἐπί τισιν ἴσως τῶν προσόντων αὐταῖς ἀκινήτων, οὐδεμίαν ἀπὸ τοῦ παρόντος χρυσοβούλλου λόγου ὠφέλειαν ἕξουσιν, ὥσπερ οὐδὲ ἐφ' οἷς ἔσχε τὴν κατοχὴν ὁ δημόσιος ἀφ' οἱασδήτινος εὐλόγου αἰτίας μέχρι τῆς σήμερον· ἐπὶ τούτοις γὰρ πᾶσι τὸ ἀκριβὲς παραφυλαχθήσεται.

Εἴ τις οὖν θελήσει διὰ φιλοχρηματίαν ἢ δι' ἑτέραν αἰτίαν τινὰ καταφρονῆσαι τῶν ἐν τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου διωρισμένων, πρῶτα μὲν τὸ τῆς ἁγίας τριάδος φέγγος, ὅτε παριστάμεθα τῷ φοβερῷ βήματι, μὴ θεάσαιτο· ἐκπέσοι δὲ καὶ τῆς τῶν χριστιανῶν μερίδος, ὡς ὁ Ἰούδας τῆς δωδεκάδος· προσεπιτούτοις καὶ τὴν ἀρὰν ἐπισπάσαιτο τῶν ἀπ' αἰῶνος προκεκοιμημένων πρωτοτόκων ἁγίων δικαίων καὶ θεοφόρων πατέρων.

[1] Leuncl. conj. ἐπετράπησαν vel ἀνεγράφησαν. Male.

NOV. LVII.

Imp. Manuelis Comneni
aurea bulla de locis a Venetis Constantinopoli possidendis[1].
(A. 1148.)

NOV. LVIII.

Imp. Manuelis Comneni
aurea bulla de possessionibus magnae ecclesiae[1]. (A. 1153.)

Τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ ἐπωρέχθη χρυσόβουλλον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, ταῦτα κατὰ ῥῆμα διαλαμβάνον·

Καὶ τῷ παλαιῷ μὲν ἐκείνῳ καὶ περιπύστῳ τῆς τοῦ σολομῶντος σοφίας ναῷ τὸ κατὰ δύναμιν προσέφερον ξύμπαντες· καὶ τῷ ἱερῷ δὲ τούτῳ καὶ παμμεγίστῳ τεμένει, τῷ ἐπ᾿ ὀνόματι τῆς τοῦ θεοῦ σοφίας, τοῦ καὶ ἐκ σολομῶντος κατηγμένου καὶ ἐκ δαβὶδ κατὰ τὸ ἀνθρώπινον, φιλοτίμως ὄντως ἐνιδρυμένῳ καὶ τῷ ὄντι βασιλικῶς, οὗ κἀκεῖνος ἦν ὁ σολομώντειος προεκτύπωμα, τῇ νέᾳ λέγω σιὼν, τῇ τοῦ ἁγιάσματος κιβωτῷ, τῇ τοῦ σωτῆρος ἡμῶν ἐκκλησίᾳ, ἣν τῇ πέτρᾳ ἐπῳκοδόμησε τῶν ἀποστολικῶν διατάξεων τὸ πνεῦμα τὸ ἅγιον οὕτως[2] ἀῤῥαγῆ καὶ ἀκλόνητον, διάφορα πολλοὶ προσήγαγον ἀναθήματα, ἐν ἀκινήτοις θεωρούμενα κτήσεσι κατά τε τὴν ἕω διακειμέναις καὶ πρὸς δυσμὰς, ἀλλὰ δὴ καὶ κατὰ τῶν νήσων τινάς· εἰσὶ δ᾿ ἃ περιῆλθον τούτῳ καὶ κατ᾿ ἐξώνησιν. τούτων πολλὰ (ἵνα μὴ λέγω τὰ πλείω) ἐκ διαφόρων αἰτιαμάτων τῷ δημοσίῳ προσαρμόττειν διεγινώσκοντο παρά τε τῶν ἑκασταχοῦ ἀναγραφέων καὶ τῶν ἄλλως περὶ ταῦτα δεινῶν.

α'. Ἐπεὶ δὲ τοῦτο ταῖς ἀκοαῖς ἐνηχήθη τῆς βασιλείας μου ἐξ ἀναφορᾶς τῶν τὰ κατὰ τὸν μέγιστον τοῦτον καὶ θεῖον οἰκονομούντων ναὸν, αὐτίκα μηδὲν μελλῆσαν τὸ ἡμέτερον κράτος τὸν παρόντα χρυσόβουλλον λόγον τῷ πανσέπτῳ τούτῳ σηκῷ ἐπε-

---

[1] Hoc privilegium verbotenus insertum est Nov. LXXXVIII infra, quam conferas. Pertinet ad donationes ab Alexio Comneno a. 1092 factas (cf. Nov. XXXII supra): practicum traditionis illarum aurea bulla firmatum renovat.

[1] Hanc servavit Bals. ad syn. Nic. II c. 12 (ed. Rhalli II p. 605). Inde ediderunt Bonef. p. 104 et Leuncl. JGR. I p. 152. [2] Leuncl. conj. *ὄντως*.

βράβευσε, δι' οὗ καθαρῶς αὐτῷ δωρεῖταί τε καὶ ἀποχαρίζεται ἡ ἡμετέρα εὐσέβεια ἅπαντα τὰ τῷ δημοσίῳ ὁπωσδήποτε διαφέροντα, ἀπό τε τῶν ἐν τῇ ἀνατολῇ καὶ τῇ δύσει καὶ ταῖς ὅλαις νήσοις κατεχομένων παρ' αὐτῆς[3] παντοίων ἀκινήτων ἐπικτήσεων, ὡς δῶρον ταύτης καὶ ἱερόν τι ἀνάθημα, κἂν πάροικι ὦσι, κἂν γῆ ἀρόσιμος τυχὸν ἢ λιβαδιαία ἢ ὑπάμπελος ἢ κηπεύσιμος, κἂν αὐτούργια οἱαδήτινα, κἂν ἔνοικοι πραγματευταὶ ἢ ἐργαστηριακοὶ, κἂν κάστρα ἔν τισι τούτων ᾠκοδομήθησαν, κἂν ἕτερόν τι ὁποιονδηποτοῦν τῷ δημοσίῳ διαφέρον ἐν τούτοις ἐξεύρηται.

β'. Ἐπανορθοῖ δὲ ἡ βασιλεία μου διὰ τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλλου λόγου καὶ ὅσα που χωλεύοντα εὑρίσκονται ἐπὶ τοῖς προσοῦσι τῇ διαληφθείσῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ δικαιώμασιν, ἐν πᾶσι τοῖς τοιούτοις ἀκινήτοις, ὁποῖα ἂν καὶ ὦσι. καὶ πάντα τὰ προσόντα αὐτῇ κατά τε δύσιν καὶ ἀνατολὴν καὶ τὰς ὅλας νήσους ὡς νῦν παρὰ τῆς βασιλείας μου δωρούμενα καὶ παραδιδόμενα ταύτῃ λογίζεσθαι διὰ τῆς παρούσης εὐσεβοῦς χρυσοβούλλου γραφῆς ἡ γαληνότης ἡμῶν θεσπίζει καὶ διορίζεται.

γ'. Διὰ γὰρ τοῦτο καὶ περιορισμοὺς προβῆναι λεπτομερεῖς, παντοίων ἀκινήτων δηλωτικοὺς, καὶ τῶν ἐν αὐτοῖς προσκαθημένων παροίκων τε καὶ ἐνοίκων, ἔτι δὲ καὶ τῶν ἐν τούτοις εὑρισκομένων παντοίων αὐτουργίων, παρὰ τῶν κατὰ τόπους ἀναγραφέων, καὶ ταῖς ἐκείνων πιστωθῆναι ὑπογραφαῖς καὶ τῷ μέρει τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας ἐπιδοθῆναι εἰς ἀσφάλειαν αἰωνίζουσαν τὸ κράτος ἡμῶν ἐγκελεύεται, ὡς ἂν ὦσι δῆλα καὶ ἀναμφίλεκτα ξύμπαντα, καὶ μηδέποτε τῶν καιρῶν ὑπ' ἀνάκρισιν ἄγοιντο παρ' οὑτινοσοῦν τῶν κατὰ καιροὺς ἀναγραφέων ἢ ἐποπτῶν ἢ ἐξισωτῶν καὶ τῶν ἄλλως ἀνερευνώντων τὰ δημοσιακά· τῶν δηλωθέντων περιορισμῶν ἐγκαταστρωθῆναι ὀφειλόντων τοῖς προσφόροις σεκρέτοις δι' εἴδησιν.

δ'. Οὐδὲ γὰρ ἐξέσται τινὶ τούτων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἐν τοῖς τοιούτοις πᾶσιν ἀκινήτοις εἰσέρχεσθαι ὁπωσδήποτε, ἢ ταῦθ' ὑπὸ ζήτησιν ἄγειν καὶ ἐξέτασιν οἱανδήτινα. ἀλλ' οὐδὲ δικαιώματα ἐπὶ τούτοις ἐπιζητεῖν, οὐ καπνικὸν ἀναλαμβάνεσθαι, οὐ μετρητίκιον, οὐχ ἕτερόν τι οἱονδηποτοῦν φορολόγημα εἰς κέρδος τοῖς ἀναγραφεῦσιν ἐπινοούμενον, ἀποτρεπομένοις[4] τῇ ἐμφανείᾳ καὶ μόνῃ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καὶ τῶν προβησομένων περιορισμῶν, ὡς διείληπται.

---

[3] Al. αὐτοῖς. Malim αὐτοῦ. [4] Al. ἀποτρεπόμενον.

ε΄. Πᾶσα δὲ πρόσταξις γεγονυῖα, εἴτε περὶ τῶν προαφωρισμένων, εἴτε περὶ κλασμάτων, εἴτε περὶ συμπαθειῶν, εἴτε περὶ τῶν ἀπὸ ταπεινῶν στίχων, εἴτε περὶ τῶν ὑποκειμένων ταῖς χαραγαῖς, εἴτε περὶ στρατειῶν συμπεπαθημένων κἂν μὴ ἀντισήκωσις τούτων ἐγένετο, εἴτε περὶ τοῦ τὰς ἀπόσους μὴ στέργειν δωρεὰς, εἴτε περὶ οἱουδήτινος ἑτέρου κεφαλαίου ἐξεφωνήθη καὶ κατά τι ἐναντιοῦται τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου, ὅσον ἐπ' αὐτῷ ἀποίσεται τὸ ἀνίσχυρον, κἂν τὸ μὴ ἀνατρέπεσθαι ἔχῃ ἐγκείμενον ἐν αὐτῇ, εἰ μὴ ῥητῶς ἐκφωνηθῇ· ἐν εἰδήσει γὰρ πασῶν τῶν γεγενημένων προστάξεων ἡ ἡμετέρα τυγχάνουσα[5] θεοσέβεια τὸ κατὰ μέρος ταύτας ἀπαριθμήσασθαι παρέλκον ἡγήσατο, καὶ ὡς ἰδιαιτάτως ἀριθμηθείσας καὶ ἀνατραπείσας ὅσον ἐπὶ τῷ παρόντι χρυσοβούλλῳ λόγῳ λογίζεσθαι ταύτας θεσπίζει ἡ βασιλεία μου. ἀλλ' οὐδὲ γενησομένη οἱαδήτις ἑτέρα πρόσταξις τῆς παρούσης εὐσεβοῦς κατισχύσει χρυσοβούλλου γραφῆς, ἀλλὰ κἀκείνη ἐφ' οἷς ἐναντιοῦται τῷ παρόντι τῆς βασιλείας μου ὁρισμῷ, ὅσον ἐπ' αὐτῷ τὸ ἀνίσχυρον[6] ἀποίσεται καὶ ἀβέβαιον, κἂν τὸ μὴ[7] ἀνατρέπεσθαι ἔχῃ ἐγκείμενον ἐν αὐτῇ (εἰ μὴ ῥητῶς ἐκφωνηθῇ) κἂν ἑτέραν διάστιξιν οἱανδήτινα.

ϛ΄. Ἵν' οὖν εἴη δῆλα τὰ προσόντα τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ ἀκίνητα ἅπαντα, ἐν τῷ παρόντι χρυσοβούλλῳ λόγῳ ῥητῶς ἐνεγράφησαν. ἃ καὶ ἔχουσιν οὕτω πρὸς ὄνομα. ἐν τῷ θέματι θράκης καὶ μακεδονίας, τὸ δεῖνα καὶ δεῖνα. καὶ ἐφεξῆς καταλέγει τὰ ἀκίνητα πάντα. καὶ μετὰ τὴν τούτων ἀπαρίθμησιν, φησίν· οἱ πανταχοῦ εὑρισκόμενοι στροβιλιῶται ἰουδαῖοι, καὶ ἐξκουσσεία πλοίων χωρήσεως χιλιάδων τριάκοντα.

Ἐπὶ τούτοις πᾶσι τὸ ἀπερικλόνητον ἔχειν πάντῃ καὶ ἀδιάσειστον τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν καὶ τὸ μέρος ἅπαν αὐτῆς θεσπίζει τὸ κράτος ἡμῶν· περιορισμῶν ὀφειλόντων προβῆναι λεπτομερῶν παρὰ τῶν κατὰ τόπους ἀναγραφέων, ὡς πολλάκις διείληπται. πλὴν τῇ τοιαύτῃ προφάσει οὐκ ἐξέσται τοῖς δηλωθεῖσιν ἀπογραφεῦσιν ἢ καπνικὸν ἀπαιτῆσαι ἢ μετρητικὸν ἢ χρειῶν δόσιν ἢ ἑτέραν ὁποιανδήτινα εἴσπραξιν ἀπὸ

---

[5] Leuncl. τυγχάνει et mox τὸ δέ. [6] Al. ἄπρακτον ἀπ. καὶ ἄκυρον.
[7] Haec minus apte dicuntur de chrysobullis in posterum edendis. Hoc enim vult imperator, ne per futura chrysobulla huic nostro derogetur: non autem hoc, ut futuris chrysobullis derogari non possit. Itaque negationem delendam esse crediderim.

τῶν ὁπουδήποτε ἀκινήτων αὐτῆς, ἀλλ' ἄνευ τῆς οἱασοῦν συνεισφορᾶς τε καὶ ἀπαιτήσεως τοὺς δηλωθέντας περιορισμοὺς συντελέσουσι· τοῦ κατατολμήσοντος ἀθετῆσαί τι τῶν διωρισμένων τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου πρὸς τῷ τὴν βασιλικὴν ὑποστήσεσθαι ἀγανάκτησιν ὑποστῆναι ὑφορωμένου καὶ δόσιν προστίμου λιτρῶν ὑπερπύρων[8] τριάκοντα, ἀπαιτηθησομένων ἀσυμπαθῶς ἐξ αὐτοῦ παρὰ τοῦ σεκρέτου τῶν οἰκειακῶν ἐκ προσελεύσεως τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, ὡς βεβαίου καὶ ἀσφαλοῦς τοῦ παρόντος χρυσοβούλλου λόγου τυγχάνοντος, γεγενημένου κατὰ τὸν αὔγουστον μῆνα τῆς α' ἐπινεμήσεως τοῦ ,ςχξα' ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

NOV. LIX.

Imp. Manuelis Comneni aurea bulla Pisanis concessa[1]. (A. 1155.)

NOV. LX.

Imp. Manuelis Comneni aurea bulla pro firmanda conventione cum Genuensibus facta[1]. (A. 1155.)

---

[8] Leuncl. *νομισμάτων*.

[1] Ad verbum inserta reperitur instrumento, quod infra Nov. XCI dabimus.

[1] L. Sauli della colonia dei Genovesi in Galata to. II p. 181 praestat conventionem a Demetrio Macropolita, Imperatoris nuntio, Genuae XIII Octobr. ind. III a. 1155 cum Genuensibus factam, in cujus fine haec leguntur: „De his omnibus faciet vobis ipse Dominus meus sanctissimus et excellentissimus Imperator *cirographum suo sigillo impressum* etc.“ Quod chrysobullum, ni fallor, verbotenus relatum est infra Nov. LXXII.

NOV. LXI.

Imp. Manuelis Comneni aurea bulla de possessionibus monasteriorum[1]. (A. 1158.)

[Χρυσόβουλλον] κατὰ τὸν μάρτιον μῆνα τῆς ϛ' ἰνδ. τοῦ ͵ϛχξϛ' ἔτους ἐξενεχθὲν καὶ καταστρωθὲν ἐν πᾶσι τοῖς σεκρέτοις, παρακελεύεται μετὰ τὸ προοίμιον ταῦτα ῥητῶς·

α'. Ἔφθασε μὲν οὖν πρὸ χρόνων τινῶν χρυσόβουλλον λόγον[2] ἐπιβραβεῦσαι ἡ βασιλεία μου τοῖς τε κατ' αὐτὴν τὴν βασιλίδα τῶν πόλεων διακειμένοις εὐαγεστάτοις μοναστηρίοις, καὶ τοῖς κατὰ τὸ δυτικὸν μέρος τοῦ στενοῦ, ὅσον τε κατ' αἰγιαλὸν καὶ ὅσον πόῤῥωθεν· ὡσαύτως καὶ τοῖς περὶ τὸν κόλπον τῆς νικομηδείας καὶ μέχρι καὶ αὐτῆς τῆς νικομηδείας καὶ τοῖς ἐν ταῖς νήσοις[3], τῇ ὀξείᾳ, τῇ πρώτῃ, τῇ χάλκῃ, τῇ πλατείᾳ, τῇ ἁγίᾳ γλυκερίᾳ, τῇ πριγκίπῳ, τῇ τοῦ ἀντιγόνου, τῷ τραγονησίῳ[4], τῇ τερεβίνθῳ, τῷ ἁγίῳ ἀνδρέᾳ, τῷ ἁγίῳ τρύφωνι, τῷ ἁγίῳ ἐλευθερίῳ τῷ κώδωνι[5], τῷ πελαγίῳ[6], τῇ θεοτόκῳ, τῷ μεσονησίῳ[7], τῇ ἰάτρῳ[8] καὶ τῷ ἁγίῳ δημητρίῳ, καὶ τοῖς ἐν ταῖς κτήσεσι τῶν πορτῶν, καὶ ἄχρι τῆς περιοχῆς τοῦ ἀθύρα, καὶ ἁπλῶς τοῖς πέριξ τῆς βασιλίδος τῶν πόλεων ἀσκουμένοις μοναχοῖς, ἀνδράσι τε καὶ γυναιξί· πολλὰ τούτοις φιλοτιμησαμένη δίκαια, καὶ τὸ ἀδιάσειστον αὐτοῖς δωρησαμένη ἐπὶ τῇ κατοχῇ καὶ δεσποτείᾳ τῶν ἀκινήτων τῶν ἀπό τινων δικαιωμάτων διαφερόντων τούτοις, καθὼς ὁ τοιοῦτος χρυσόβουλλος λόγος πλατύτερον ταῦτα διέξεισιν. ἐπεὶ δὲ τοὺς θηρολέκτας οὐκ ἦν ἠρεμεῖν, ἀλλὰ τῷ τοῦ δημοσίου προσχήματι βαρεῖαν τούτοις ἐπῆγον οὗτοι τὴν κάκωσιν, ἡ βασιλεία μου ἅμα μὲν τὸ θεῖον ἐξευμενίσαι θελήσασα[9] καὶ ἐξιλεώσασθαι ἐφ' οἷς ὡς ἄνθρωπος τούτῳ προσκέκρουκεν, ἅμα δὲ βουλομένη καὶ τοὺς στρατιώτας τοῦ μεγάλου βασιλέως,

---

[1] Habetur apud Bals. ad syn. Nic. II can. 12 ed. Rhalli II p. 598. Ediderunt Bonefid. p. 96, et Leuncl. JGR. I p. 156, quo loco ad marginem notatur: Liber electoralis bibliothecae Palatinae hanc Alexio Comneno tribuit. Videatur Mortreuil III p. 172. — Meminit hujus Novellae Jo. Cinnamus VI, 8. [2] Supra Nov. LIII. [3] Sic κατ' ἐξοχὴν Propontidis insulas vel hodie Graeci appellant. [4] Al. τραχονησίῳ, al. βραχυνησίῳ. [5] Al. τῷ κωδώνης. Rhallis: τῷ κωδωνῷ, sive κωδωνᾷ, ut hodie loquuntur. [6] Ita Rhallis ex Cod. Trapezunt. Alii πελάγει. [7] Al. μεσόνης. [8] Al. γάτρῳ. [9] Adjecit Rhallis ex Cod. Trapez.

χριστοῦ δηλονότι, τοὺς δι᾽ αὐτὸν τὸν μονήρη βίον προελομένους καὶ τὴν πανοπλίαν ἐνδυσαμένους τοῦ πνεύματος, συμμάχους ἔχειν καὶ συνασπιστὰς ἰσχυροὺς κατὰ τῶν ὁρωμένων καὶ ἀοράτων ἐχθρῶν· τῷ ἀγαθῷ ἐκείνῳ θεμελίῳ καὶ ὄροφον ἐπιθεῖναι ἀνάλογον ᾑρετίσατο, καὶ τὸν παρόντα χρυσόβουλλον ἀπολέλυκεν εὐλόγως, δι᾽ οὗ θεσπίζει καὶ διορίζεται, πάντα τὰ σήμερον νεμόμενα ἀκίνητα παρὰ τῶν ἄνωθεν ἀριθμηθέντων μοναστηρίων ἢ καὶ ἡσυχαστηρίων ἢ καὶ ἀναχωρητικῶν κελλίων ἢ λαυρῶν καὶ ἁπλῶς κατοικητηρίων μοναχικῶν, κἂν οἵῳ ἂν καλοῖντο ὀνόματι, τούς τε παροίκους, τὰ αὐτούργια, τὰς πανηγύρεις, τοὺς φόρους, τοὺς πόρους, τὰς λίμνας, τοὺς ποταμοὺς, τὰ θαλάσσια δίκαια, καὶ καθολικῷ λόγῳ οἱονδηποτοῦν δίκαιον ἐν ἀκινήτοις κτήμασι θεωρούμενον καὶ ἐν οἱῳδήτινι τόπῳ διακείμενον παρ᾽ αὐτῶν κατεχόμενον νῦν, ἐφ᾽ ᾧ δηλονότι μέχρι τοῦ νῦν οὐκ ἐδόθη τούτοις διάγνωσις παρὰ τῶν κατὰ χώραν ἀναγραφέων τὸ τοῦ δημοσίου μέρος ἐπὶ τούτῳ προσδικαιοῦσα, ἔχειν τὰς ῥηθείσας μονὰς κατὰ διηνεκῆ δεσποτείαν ὡς δῶρον καὶ φιλοτίμημα τῆς βασιλείας μου, καὶ δεσπόζειν αὐτῶν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, κἂν εὐλόγως κἂν παραλόγως τούτων τινὰ ἢ τὰ ὅλα ἴσως ἕως τοῦ νῦν κατεῖχον, κἂν δίχα τινὸς δικαιώματος, ἢ ἀπὸ δικαιωμάτων μὲν, κακῶς δὲ ἐχόντων ἢ ψευδῶς συντεθέντων. πάντα γὰρ τὰ παρ᾽ αὐτῶν κατεχόμενα ἐν οἱῳδήτινι θέματι κατά τε δύσιν καὶ ἀνατολὴν, κἂν ἐξ αὐτῶν εἰς ἐνδιαίτημα[10] τῶν κατὰ τὴν ἡμέραν βασιλέων, κἂν ἀπὸ κλασμάτων ὦσι, κἂν ἀπὸ συμπαθειῶν, ἢ ἀποκεκινημένων, ἢ ὁλοπτώτων, ἢ ἀπὸ ταπεινῶν τελουμένων διαρίων, ἢ ἀπὸ ταπεινῶν κλασματισθέντων, ἢ καὶ δυνατοῖς διαπραθέντων ἢ τοὐναντίον, ἢ ἐξ ὀρθώσεων κακῶς γεγονυιῶν διαπράσεων, κἂν ἐν ἄλλοις τόποις ὁρισθέντα[11] δωρηθῆναι ἐν ἄλλοις παρεδόθησαν, ἢ δωρηθέντα οὐ παρεδόθησαν, ἢ παραδοθέντα οὐκ ἐδωρήθησαν, ἢ καθ᾽ ἕτερόν τινα λόγον κακῶς παρ᾽ αὐτῶν κατέχονται, ἀδιασείστως καὶ ἀπολυπραγμονήτως κατέχεσθαι παρὰ τῶν ῥηθεισῶν πασῶν μονῶν ἡ βασιλεία μου βούλεται εἰς τὸν αἰῶνα τὸν ἅπαντα, ὡς δῶρον τῆς βασιλείας μου καὶ καθαρὸν φιλοτίμημα. μόνης γὰρ τῆς παρ᾽ αὐτοῖς εὑρισκομένης νῦν κατοχῆς τῶν ἀκινήτων ὀφειλούσης ἀρκεῖν αὐτοῖς ἀντὶ παντὸς δικαιώματος, περιττόν ἐστι τὸ πολυπραγμονεῖν περὶ ἑτέρου. ἐπὶ πᾶσι γὰρ οἷς

---

[10] Idem *ὄντων* subjicit. Sed malim *ἐξ αὐτῶν τῶν εἰς ἐνδ.* legere. [11] Idem *ὁρισθέντων*. Male.

κατέχουσι σήμερον (ἄνευ μέντοι τῶν ἐφ' οἷς ἐδόθησαν αὐτοῖς διαγνώσεις παρὰ τῶν κατὰ χώραν ἀναγραφέων τὸν δημόσιον δικαιοῦσαι, ὡς εἴρηται), ὀφείλει ἀρκεῖν ἡ παροῦσα χρυσόβουλλος γραφὴ τῆς βασιλείας μου καὶ ἀντὶ δωρεᾶς καὶ ἀντὶ πρακτικοῦ[12] καὶ ἀντὶ παντὸς ἑτέρου δικαιώματος, κἂν οἱονδηποτοῦν σεκρέτον ἐπ' αὐτῷ δικαιοῖτο· οὐδὲ ἀναγκασθήσονται αἱ μοναὶ ἐφ' οἷς κατέχουσι νῦν ἀκινήτοις προκομίζειν ἕτερα παλαιογενῆ προσόντα αὐταῖς δικαιώματα, ἀλλὰ τῇ παρούσῃ χρυσοβούλλῳ[13] γραφῇ τῆς βασιλείας μου ἀντὶ παντὸς δικαιώματος χρώμεναι ἀρκεσθήσονται ταύτῃ καὶ μόνῃ, ὀφειλούσῃ ἀρκεῖν αὐταῖς ὡς προεγράφη καὶ ἀντὶ δωρεᾶς καὶ ἀντὶ παραδόσεως καὶ ἀντὶ παντὸς ἑτέρου δικαιώματος. εἰ δ' ἴσως καιροῦ καλοῦντος θελήσει οἱονδηποτοῦν μοναστήριον χρήσασθαι καὶ τοῖς προσοῦσιν αὐτῷ δικαιώμασιν, ὑπὲρ ἑαυτοῦ ταῦτα προκομίζον, παρ' οἱουδήτινος πρὸς τοῦτο οὐ κωλυθήσεται· ἀναγκαστικῶς γὰρ τοῦτο οὐ ποιήσει, εἰ δὲ οἰκείῳ θελήματι αὐτὸ αἱρετίσεται, οὐδεὶς ὁ ἐμποδίζων ἐσεῖται. οὐ μόνον δὲ ἐπὶ τῇ δικαιώσει τῆς γῆς συμβαλεῖται τοῖς μοναστηρίοις ἡ παροῦσα χρυσόβουλλος γραφή, ἀλλὰ καὶ ἐπὶ τοῖς παροίκοις τοῖς νῦν παρ' αὐτῶν κατεχομένοις, καὶ τοῖς αὐτουργίοις, φόροις, πανηγύρεσι, διαβατοῖς, λίμναις, ποταμοῖς, θαλασσίοις δικαίοις καὶ ἑτέρῳ οἱῳδήτινι δικαίῳ παρ' αὐτῶν κατεχομένῳ, ἄνευ μέντοι τῶν ἐφ' οἷς ἔλαβον διαγνώσεις ὑπὲρ τοῦ δημοσίου, ὡς πολλάκις ἀνωτέρω διείληπται. εἰ δὲ καὶ προσετάχθησαν λογισθῆναι ἢ ἐκκοπῆναί τινα τελέσματα ἢ πρακτικὰ ἢ στρατεῖαι ἢ δημόσια ἢ λίβελλοι[14] ἢ ἕτερόν τι τῷ δημοσίῳ ἀνῆκον, καὶ οὐ γέγονε τὸ λελογισμένον[15], ἢ ἕτερόν τι ἔχει ἐπιλήψιμον τὸ δικαίωμα, οὐδέν τι ἐκ τούτου βλαβήσεται τὰ μοναστήρια. τί δὲ χρὴ τὰ πολλὰ καταλέγειν καὶ ἀπαριθμεῖσθαι, καὶ χάριν παραδείγματος ἀπογράφεσθαι; τὴν πολυλογίαν ἡ βασιλεία μου παρατρέχουσα, ἵνα μή τις τῶν περὶ ταῦτα δεινῶν, τινῶν μὲν ἐκφωνηθέντων ἐκ τῶν τὰ ἀκίνητα κατασειόντων αἰτίων, τινῶν δὲ παρασιωπηθέντων, ἐπιδράττοιτο τῶν ῥημάτων καὶ κατὰ ἰουδαίους τῷ γράμματι ἐπικάθηται, καὶ ἐπιχειρῇ ἐπὶ τοῖς μὴ ἐκφωνηθεῖσι διασείειν καὶ παρενοχλεῖν ταῖς μοναῖς, καθολικῷ λόγῳ καὶ περιεκτικῷ τοῦτο ἡ βασιλεία μου βούλεταί τε καὶ διορίζεται, ὡς ἂν πᾶν, ὅπερ ἐπὶ τοῖς σήμερον παρὰ τῶν μοναστηρίων κατεχομένοις ἢ ἐπ' αὐταῖς ταῖς κα-

---

[12] Al. πρακτικῆς, al. πράσεως. Infra simili loco παραδόσεως scribitur.
[13] Al. μόνῃ. [14] Al. λιβελλικά. [15] Al. λογίσιμον.

θέδραις τῶν μοναστηρίων νοηθῇ ὑπὲρ τοῦ δημοσίου παρά τινος, ἢ νῦν ἢ ὁτεδήποτε, αὐτὸ τοῦτο δεδωρημένον λογίζεσθαι τῇ μονῇ· καὶ ἅμα τὶς τοῦτο διανοήσεταί τε καὶ φθέγξεται, καὶ εὐθὺς ἀντιλήψεται αὐτοῦ ἡ μονὴ, ὡς σήμερον δεδωρημένου ταύτῃ παρὰ τῆς βασιλείας μου. ὅσον γὰρ ἐφ' οἷς κατέχουσι νῦν ἀκινήτοις, περὶ ὧν διαγνώσεις ὑπὲρ τοῦ δημοσίου οὐκ ἔλαβον τὰ προγραφέντα μοναστήρια, δημόσιον βούλεται ἡ βασιλεία μου λογίζεσθαι ἓν ἕκαστον τούτων κατὰ μόνον τὸ ἔχειν τὸ ἀδιάσειστον καὶ μὴ ὑπ' οὐδενὸς ἀνακρίνεσθαι. καὶ ὃν τρόπον ὁ δημόσιος οὐ πολυπραγμονεῖται ὑφ' ἑαυτοῦ, οὕτως οὐδὲ τὰ ἱερὰ σεμνεῖα ἢ ἡσυχαστήρια, μοναστήριά τε καὶ λοιπὰ, ὑπό τινος τῶν τοῦ δημοσίου φροντιστῶν ἀνακριθήσεται· κἂν τι εὔλογον δικαιολογῆταί τις κἂν παράλογον, κἂν ὁποῖον ἂν εἴη τὸ λαληθησόμενον. πᾶς γὰρ ὁ τοιοῦτόν τι ἐπιχειρήσων ποιῆσαι, ἀνίσχυρα δόξει λέγων καὶ τῷ ὄντι ἀβέβαια, καὶ ἀσυμπαθῶς ἡ τούτου περιουσία τῷ δημοσίῳ καθοσιωθήσεται, καὶ αὐτὸς ἄτιμος ἐσεῖται παντάπασιν, ὡς ἀντιπίπτων βασιλεῖ εὐσεβῶς τε καὶ φιλοθέως τὸ ἀνενόχλητον ταῖς μοναῖς ἀποχαριζομένῳ ἐπὶ τοῖς δεδωρημένοις αὐταῖς διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου, καὶ δι' αὐτοῦ βραχύ τι δῶρον προσάγοντι τῷ θεῷ, ἀνθ' ὧν μυρίων εὐεργεσιῶν παρὰ τῆς πλουσιοπαρόχου δεξιᾶς αὐτοῦ παραπέλαυσεν.

β'. Οὐκ ἐξέσται οὖν οὔτε ἀναγραφεῖ ἢ προκαθημένῳ οἱουδήτινος σεκρέτου ἢ ἐξισωτῇ ἢ ἐνεργοῦντι ἢ ἑτέρῳ τινὶ[16] προσώπῳ τοῦ δημοσίου τὰ τῶν μοναστηρίων ἀκίνητα ἀναγράφεσθαι ἢ καπνολογεῖν, ἢ ἀναζητεῖν μέτρα γῆς ἢ παροίκων ποσότητα, ἢ γῆς τὸ ὑπέρπλεον ἢ ὑπέρτιμον ἢ τὸ ἀδίκως κατεχόμενον ἐξετάζειν· ἀλλ' ἐπεὶ ἐκ προστάξεως τῆς βασιλείας μου μέλλουσι γενέσθαι πρακτικὰ τῶν σήμερον κατεχομένων παρὰ τῶν μονῶν ἀκινήτων καὶ παροίκων, τότε μόνον ὀχληθήσεται ἡ μονὴ καὶ τὸ ἀδίκως κατεχόμενον ἀφαιρεθήσεται, ὅτε ὁ ἀναγραφεὺς δεικνύει, ὡς ἐπέκεινα τοῦ περιορισμοῦ κατέχει ἡ μονὴ τόπια ἢ παροίκους ἢ ἕτερον δίκαιον. οὐδὲ γὰρ ἐπ' ἀδείας ἕξουσιν αἱ μοναὶ τὰ σήμερον παρ' αὐτῶν κατεχόμενα, εἴτε πάροικοι εἶεν εἴτε τόποι εἴτε αὐτούργια, ἐπαύξειν καὶ εἰς πληθυσμὸν ἄγειν πλείονα. πλὴν τῇ τοιαύτῃ προφάσει οὐκ ἐξέσται πράκτορι ἢ ἀναγραφεῖ οἱῳδήτινι ἢ καπνικὸν ἢ μετρητίκιον ἢ ἕτερόν τι ἀναγραφικὸν ἢ πρακτορικὸν φορολόγημα ἀπὸ τῶν ὑποκειμένων

---

16 Al. ἢ ἑτέρῳ τινὶ ἐνεργοῦντι.

ταῖς δηλωθείσαις μοναῖς ἀκινήτων ἀναλαμβάνεσθαι. εἰδέναι γὰρ ὀφείλει ὁ τοῦτο τολμήσων, ὡς οὐ μόνον ἐπὶ τὸ πολλαπλοῦν ἀντιστρέψει ὅπερ ἂν ἀναλάβηται, ἀλλὰ καὶ τελείᾳ δημεύσει ὑποβληθήσεται, καὶ ἄτιμος ἔσται καὶ ἀπολίτευτος. οὕτω γὰρ θέλει ἡ βασιλεία μου τὰ τῶν δηλωθεισῶν μονῶν ἀκίνητα πάντα λογίζεσθαι ὑφ' ἑκάστου τῶν πρακτόρων, ὡς μὴ ὄντα ὑπὸ τὴν ἑαυτοῦ ἀρχήν τε καὶ ἐξουσίαν. καὶ ὃν τρόπον οἱ πράκτορες ἐπὶ τοῖς μὴ ὑποκειμένοις αὐτοῖς θέμασιν οὐδέν τι δίκαιον ἔχουσιν ἐνεργεῖν ἢ ὅλως ποιεῖν τι ἐπ' αὐτοῖς, οὕτως οὐδὲ ἐπὶ τοῖς τῶν μοναστηρίων ἀκινήτοις οἱ πράκτορες τῶν θεμάτων, ὑφ' οὓς τελοῦσι τὰ τοιαῦτα ἀκίνητα, πράκτορες λογισθήσονται. τὰ μέντοι γενησόμενα πρακτικὰ[17] *καὶ οἱ περιορισμοὶ παρ' ὧν ἂν ὁρίσῃ ἡ βασιλεία μου εἰς παράστασιν τῶν σήμερον παρὰ τῶν μοναστηρίων νεμομένων, τοῖς προσφόροις σεκρέτοις δι' εἴδησιν ἐγκαταστρωθήσονται. ὀφείλουσι δὲ εἰδέναι πάντα τὰ μοναστήρια, ὡς οἷον ἂν ἐξ αὐτῶν εὑρεθῇ ῥᾳδιουργίαν τινὰ ποιησάμενον ἐπὶ τοῖς σήμερον παρ' αὐτῶν κατεχομένοις ἀκινήτοις, ἢ συμπαιγνίαν ἢ δόλον πλημμελῆσάν τινα, οὐ μόνον ἀπὸ τῆς τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου ὠφελείας οὐκ εὐμοιρήσει τὸ σύνολον, ἀλλὰ καὶ τοῦ προφιλοτιμηθέντος αὐτῷ ἐκπεσεῖται δικαίου διὰ τοῦ προγεγονότος πάσαις ταῖς δηλωθείσαις μοναῖς ἑτέρου χρυσοβούλλου λόγου τῆς βασιλείας μου*[18].

NOV. LXII.

Imp. Manuelis Comneni aurea bulla de immobilibus monasteriorum[1]. (A. 1159.)

[Χρυσόβουλλον] τὸ κατὰ τὸν ὀκτώβριον μῆνα τῆς ζ' ἰνδ. τοῦ ,ϛχξζ' ἔτους ἀπολυθὲν, καὶ παρακελευόμενον

---

[17] Leuncl. conj. *πρακτορικά*. [18] Reliquam partem hujus chrysobulli Balsamon non expressit; notavit autem: *ἐφεξῆς δὲ ἀνεῖλε τὸ τοιοῦτον χρυσόβουλλον καὶ πᾶσαν πρόσταξιν ἐναντιουμένην τούτῳ γεγονυῖαν δηλονότι ἢ γενησομένην, καὶ διωρίσατο χρῆσθαι τὰς μονὰς καὶ τοῖς παλαιγενέσιν αὐτῶν δικαιώμασιν.* Similia circa finem et istud chrysobullum continet, quod magnae ecclesiae concessum tanquam Nov. LVII modo edidimus.

[1] Laudatur a Bals. ad syn. Nic. II c. 12 (ed. Rhalli II p. 598), unde edidit Bonef. p. 96.

ἔχειν τὰ μοναστήρια κατὰ τὸ ἀναπόσπαστον τὰ ἀκίνητα τούτων, κἂν διαγνώσεις ἐδόθησαν αὐτοῖς παρὰ τῶν ἀναγραφέων δικαιοῦσαι τὸν δημόσιον [2].

NOV. LXIII.

Imp. Manuelis Comneni ut rescripta contra jus elicita irrita sint [1]. (A. 1159.)

Χρυσόβουλλον τοῦ αὐτοῦ [2] καταστρωθὲν ἐν τοῖς σεκρέτοις [3]. μηνὶ αὐγούστῳ ιδ' [4] ἡμέρᾳ ς' ἰνδ. ζ' κατεστρώθη χρυσόβουλλον περιέχον οὕτως·

„Ἀδικίαν [5] ἐμίσησα καὶ ἐβδελυξάμην [6], τὸν δὲ νόμον σου ἠγάπησα". ὁ ἐν βασιλεῦσι προφητικώτατος ταῦτα πρὸς τὸν θεὸν τὰ ῥήματα διαλέγεται, διὰ τούτων παιδαγωγῶν καὶ ῥυθμίζων, ὡς ἔγωγε οἶμαι, πάντας τοὺς τὴν βασίλειον περιεζωσμένους ἀρχὴν, μηδέν τι τοῦ δικαίου τίθεσθαι προὐργιαίτερον, ἀλλὰ πρὸς τὰ ἐκεῖθεν ἀφορῶντας [7] δικαιωτήρια τὰς ἑαυτῶν πράξεις πάσας διοικονομεῖν τε καὶ διϊθύνειν κατὰ τὴν τοῦ δικαίου εὐθύτητα, ὅτι καὶ „τὸ πρόσωπον τοῦ θεοῦ εὐθύτητας εἶδεν," ὡς δεδιδάγμεθα [8], καὶ „δίκαιος τυγχάνει ὁ κύριος, καὶ δικαιοσύνας ἠγάπησεν". ταύτῃ τοι καὶ ἡ βασιλεία μου ἐξότου πρὸς τὸ βασίλειον ὕψος ἀνηνέχθη παρὰ θεοῦ, οὐδέν τι παρὰ τὴν τοῦ δικαίου ἰσότητα ἐνεργῆσαι, ὅσα γε αὐτὴν εἰδέναι, ἠθέλησε πώποτε. ἐπεὶ δὲ τὸ τοῦ ἀνθρωπίνου γένους ὀλισθηρὸν,

---

[2] Balsamon, ad hoc et ad illud *χρυσόβουλλον*, de quo supra Nov. LIII, respiciens, addit: *ἅτινα οὐ κατεστρώθησαν ἐνταῦθα, διὰ τὸ αἰωνίζουσαν ὠφέλειαν ἐκ τούτων μὴ ἐπιχορηγεῖσθαι ταῖς μοναῖς, ἀλλὰ καιρικήν.*

[1] Extat in appendice Synopseos III classis, veluti in Cod. Bieneriano, Paris. 1351 et 1388, nec non in Cod. *τῶν ἰβήρων* 12. Primus edidit Witte in calce *Ἀνεκδότ.* ed. Heimb. II p. 285. [2] Verba *τοῦ αὐτοῦ* in Paris. desunt. Sed Paris. 1351 in margine *μανουὴλ* adscribit, ejusque *πίναξ* sic habet: *Τοῦ εὐσεβοῦς βασιλέως κυροῦ μανουὴλ τοῦ κομνηνοῦ περὶ τοῦ μηδόλως προσέχειν τινὰ τῶν δικαστικῶν θείᾳ κελεύσει ἐναντιουμένῃ τῷ δικαίῳ.* Et in Paris. 1388 ad marginem adscribitur: *διὰ ταύτην καὶ μόνην τὴν νεαρὰν ἄξιος σωτηρίας βασιλέων εὐσεβέστατε!* [3] Pariss. addunt *ἔχον οὕτως*. [4] Verba *μηνὶ — οὕτως* Biener. non habet. Indicatur dies XIV mensis Augusti, qui sextus septimanae fuerit. [5] Witte laudavit Psalm. 119 (118) v. 163. [6] Codd. *ἐβδηλ.* Emendavit Witte. [7] Codd. *ἀφορῶντα.* [8] Witte: Psalm. 11 (10) v. 10.

καὶ οὐκ ἀπεικός ἐστιν ὑποπτεῦσαι μηδὲ τὴν εὐσεβῆ διαδρᾶναι ἡμῶν γαληνότητα, καὶ εἴτε κατὰ λήθην (δυσμαχώτατον γὰρ ταύτην ἅπαντες ἴσασιν) εἴτε καθ' ἕτερον τρόπον οἰκονομίας διορίσασθαί τι ἐγγράφως τὴν βασιλείαν μου μὴ τῆς τοῦ δικαίου ἀκριβείας καθάπαξ ἐχόμενον καὶ[9] πάντη ἀνύποπτον τῷ ἀδεκάστῳ τοῦ συνειδότος κριτῇ, καθ' ἑκάστην ἀνακρινομένη ἡ βασιλεία μου, καὶ καθαρὰν τὴν οἰκείαν συνείδησιν καὶ ἐλευθέραν πάθους ἀνθρωπίνου παντὸς τά γε πρὸς εὐθυδικίαν καὶ τοῦ δικαίου συντήρησιν τῷ δικαίῳ τῶν καρδιῶν καὶ τῶν νεφρῶν ἐταστῇ καρποφορῆσαι πειρωμένη ὡς οἷόν τε ὥσπερ[10] τινὰ θυσίαν δεκτὴν αὐτῷ καὶ εὐάρεστον, πρὸς τὴν παροῦσαν ἀπεῖδεν ὑπόθεσιν ἡ γαληνότης ἡμῶν.

α'. Διορίζεται γὰρ διὰ τῆς παρούσης χρυσοβούλλου γραφῆς, ἵνα εἴ τι δι' ὅλου τοῦ καιροῦ[11] τῆς αὐτοκρατορίας ἡμῶν ἀγράφως ἢ ἐγγράφως ὁρισθῇ παρὰ τῆς βασιλείας μου ἐναντίον τῷ δικαίῳ καὶ τῇ τῶν νόμων εὐθύτητι, ἄκυρον τοῦτο διαμείνῃ καὶ τὸ ἄπρακτον ἕξει παντάπασιν. οὔτε γὰρ ὁ τοιοῦτον πορισάμενος τῆς βασιλείας μου ὁρισμὸν ἐν οἱαδήτινι προστάξει ἢ ἐν χρυσοβούλλῳ γραφῇ θεωρούμενον ἔκτοτε κατά τι ὠφεληθήσεται, οὔτε τὸ ἐξ αὐτοῦ ὁπωσδήποτε μέρος βλαπτόμενον τοιουτοτρόπως ἐκπεσεῖται τοῦ προσόντος δικαίου αὐτοῦ[12] ὁθενδήποτε, κἂν πρόσωπον[13] εἴη τυχὸν ἢ μοναστήριον ἢ σέκρετον εὐαγὲς ἢ οἱαδήτις ἐκκλησία, ὥσπερ ἂν εἰ μηδόλως ἐμεσολάβησε μέσον αὐτοῦ[14] ἔγγραφος οἱοσδήτις βασιλικὸς ὁρισμός.

β'. Πᾶσα δὲ πρόσταξις γεγονυῖα ἢ καὶ γενησομένη ὁτεδήποτε καὶ ὁπωσδήποτε πρὸς ἐναντίωσιν τοῦ παρόντος τῆς βασιλείας μου ὁρισμοῦ, κἂν ἐν χρυσοβούλλῳ ἴσως θεωροῖτο γραφῇ, τὸ ἄπρακτον ὅσον ἐπὶ τούτῳ ἀποίσεται καὶ ὡς μηδόλως ἐκφωνηθεῖσα μόνον οὐχὶ λογισθήσεται· τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου μετὰ τὸ ἐγκαταστρωθῆναι τοῖς τοῦ δημοσίου ἀρχείοις ἀποτεθῆναι ὀφείλοντος τῷ εὐαγεῖ σεκρέτῳ τοῦ χαρτοφυλακείου τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας εἰς ἐπικουρίαν κοινὴν καὶ ἐπίθαλψιν, ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος· γεγενημένου κατὰ τὸν νοέμβριον μῆνα τῆς ζ'. ἰνδ. τοῦ ,ςχξζ' ἔτους[15], ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

---

[9] Codd. οὐ, quod emendavit Witte. [10] Malim ὡς πρός. [11] Bien. inserit παρά. [12] Witte conj. αὐτῷ. [13] Scil. persona privata, cui πρόσταξις datur; monasterio, ecclesiae aurea bulla conceditur. [14] Malim αὐτῶν. [15] Bien. ,ςχξδ' ἔτους, quod ind. VII non convenit.

Εἶχε τὸ σύνηθες κανίκλωμα, καὶ ὑπογραφὴν τοῦ βασιλέως ταύτην· „μανουὴλ ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς πορφυρογέννητος καὶ αὐτοκράτωρ ῥωμαίων ὁ κομνηνός“. καὶ κάτωθεν ἀπῃωρημένην βοῦλλαν χρυσῆν διὰ μετάξης ὀξείας. καὶ ἔξωθεν τό· „διὰ τοῦ ἐπὶ τοῦ κανικλείου καὶ δικαιοδότου θεοδώρου τοῦ στυπειώτου“[16]. καὶ τό· „κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ μεγάλου λογαριαστοῦ κατὰ μῆνα ἰανουάριον ἰνδ. ζ′“.

NOV. LXIV.

Imp. Manuelis Comneni

ut immobilia ab imperatore donata dumtaxat ad hos, qui in dignitate constituti sunt, transmittantur[1]. (A. 1144 vel 1159.)

Ὁ τρισμακάριστος βασιλεὺς κῦρος μανουὴλ ὁ κομνηνὸς διωρίσατο διὰ προστάξεως ἀπολυθείσης κατὰ σεπτέμβριον μῆνα ἰνδ. ζ′, μὴ ἔχειν ἐπ᾽ ἀδείας τινὰς λαβόντας ἢ λαμβάνοντας δωρεὰς ἀκινήτων παρὰ βασιλέων παραπέμπειν αὐτὰς ἀλλαχοῦ που καθ᾽ οἱονδήτινα τρόπον, εἰ μὴ εἰς πρόσωπα ἀπὸ τῆς συγκλήτου ἢ ἀπὸ τοῦ στρατιωτικοῦ καταλόγου τυγχάνοντα· εἰ δὲ παρὰ τοῦτο γένηται, ἵνα περιέρχηται τὰ ἀκίνητα εἰς τὸ δημόσιον.

NOV. LXV.

Imp. Manuelis Comneni

ne morientium episcoporum bona ab exactoribus diripiantur[1]. (A. 1151 vel 1166.)

Τὸ κατὰ τὸν σεπτέμβριον μῆνα τῆς ιδ′[2] ἰνδ. ἀπολυθὲν πρόσταγμα τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως,

---

[16] Id. στυπιότου. Reliqua in Bien. desiderantur.

[1] Laudat Bals. ad c. 1 syn. Primosec. ed. Rhalli II p. 653.

[1] Exhibetur a Bals. ad c. 35 syn. Trull. (ed. Rhalli II p. 384). Inde exscripta est in Cod. Vatic. 640 et Paris. 1263 (tanquam Manuelis Comneni), et in Proch. aucti Append. (ubi πρόσταξις τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀλεξίου perperam inscribitur). Laudatur etiam tamquam Manuelis Novella a Blast. *E*, 27 ed. Beveneg. II p. 129. — Ex Bals. ediderunt Bonef. p. 89 et Leuncl. JGR. I p. 154. — Illustrationis gratia conferas supra Nov. XLIX et σημείωμα patriarchae Lucae in Coll. can. ed. Rhallis et Potlis V p. 98. [2] Bonef. et Leuncl. δ′. Beveregius

χάριν τοῦ μὴ ἁρπάζεσθαι τὰ τοῖς τελευτῶσιν ἐπισκόποις ἀνήκοντα παρὰ τῶν πρακτόρων, τάδε κατὰ ῥῆμα διαλαμβάνον·

Πρᾶγμα καὶ εἰς θεοῦ τολμώμενον περιφρόνησιν καὶ εἰς ἀθέτησιν θεσμῶν φυσικῶν παρὰ τῶν (ὅ φασι) μήτε θεοῦ ὄπιν μήτ' ἀνθρώπων νέμεσιν ὑφορωμένων ὡς ἔοικεν, οὐκ ἀνεκτὸν ὅλως ἐλογίσθη τῇ βασιλείᾳ μου εἰς ἀκοὰς αὐτῇ πεπτωκός. ἔνθεν τοι καὶ ὡς πάντη τοῦ τῶν χριστωνύμων ἀνάξιον ἐπαγγέλματος διορθοῦται τοῦτο ἡ βασιλεία μου. ἀνηνέχθη γὰρ αὐτῇ, ὡς ἐν ταῖς ἀπὸ τοῦ ζῆν ἐκδημίαις τῶν ὁπουδήποτε ἀρχιερατευόντων ἐν ταῖς τοῦ θεοῦ ἁγιωτάταις ἐκκλησίαις, πῇ μὲν καὶ πρὸ τῆς αὐτῶν ἐκφορᾶς πῇ δὲ καὶ μετὰ τὴν ἐκφορὰν, οἱ κατὰ χώραν ἐνεργοῦντες προφάσει τῆς αὐτῶν τελευτῆς τῶν τε κελλίων αὐτῶν ἀπανθρώπως κατεπεμβαίνουσι καὶ τῶν ὑπὸ τὰς λαχούσας αὐτοὺς ἐκκλησίας ἀκινήτων· καὶ ἀφαιροῦνται μὲν ἅπαντα τὰ ἐν τούτοις παρευρεθέντα τῶν ὑπαρχόντων αὐτοῖς, καθολικὴν δὲ ποιοῦνται τῶν τοιούτων ἀκινήτων ἀπαίτησιν, καὶ παντοίως ἑτέρως ταῦτα συντρίβουσιν.

α'. Ἡ γοῦν βασιλεία μου μηδὲ μέχρι καὶ εἰς ἄκουσμα μόνον ἀνασχετὴν[3] *ἡγησαμένη τὴν τοιαύτην τόλμαν αὐτῶν, ἵνα μὴ καὶ τῆς ἐπὶ τοῖς θανάτοις τῶν ἀρχιερέων ἐπιούσης ταῖς κατ' αὐτοὺς ἐκκλησίαις ζημίας καὶ συμφορᾶς οὗτοι βαρυσυμφορώτεροι γίνοιντο καὶ τῆς ἐπ' αὐτοῖς ἀνίας ἀνιαρώτεροι, διορίζεται διὰ τῆς παρούσης προστάξεως, μηκέτι παρὰ τῶν κατὰ χώραν τὰς δουκικὰς ἀρχὰς διεπόντων ἢ ἀναγραφὰς ἢ ἕτερ' ἄττα δικαίῳ τοῦ δημοσίου ἐνεργούντων τοιοῦτόν τι κατὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν ἢ τῶν ὑπ' αὐτὰς ἀκινήτων ἢ τῶν κελλίων τῶν ἀρχιερέων ἐν ταῖς αὐτῶν τελευταῖς τοῦ λοιποῦ νεωτερισθῆναι. ἀλλ' εἰ μὲν ἐνδιαθήκως οἱ ἀρχιερεῖς τελευτῷεν, κατὰ τὰς αὐτῶν βουλάς τε καὶ διατάξεις ἅπαντα γίνεσθαι, ὅσον ἐπὶ τοῖς παρευρισκομένοις ἐν τοῖς κελλίοις αὐτῶν· εἰ δ' ἴσως καὶ ἀδιάθετοι ἀπαλλάττοιντο, πάντα καὶ οὕτω συντελεῖσθαι κατὰ τὸ τοῖς ἱεροῖς κανόσι καὶ τοῖς νόμοις δοκοῦν. τοῖς ἀκινήτοις μέντοι τῶν χηρευουσῶν ἐκκλησιῶν οὐδὲ πόδα ὅλως ἐπιβαλεῖ τις τῶν κατὰ χώραν δουκῶν ἢ τινῶν ἑτέρων, ὡς εἴρηται, οὐδὲ τὸ οἱονοῦν ἐκεῖθεν ὁπωσοῦν ἀναλάβηται· ἀλλὰ πάντα παρὰ τῶν μερῶν*

---

autem et Rhallis, quos sequor, *ιδ'*, quae indictio imperante Manuele incidit in annum 1151 vel 1166. [3] Al. *ἀνεκτήν*.

τῶν τοιούτων ἐκκλησιῶν ἐν αὐτοῖς οἰκονομηθήσεται, καθὼς ἄρα καὶ περὶ τούτου νομίμως καὶ κανονικῶς διηγόρευται, μέχρις ἂν δηλαδὴ οἱ μετὰ τοὺς τεθνηκότας ἀρχιερεῖς εἰς[4] ἐκκλησίας ἐπικηρυττόμενοι κατὰ χώραν γεγονότες αὐτοὶ τῆς τούτων οἰκονομίας ἀνθέξονται[5]. εἰδέναι ὀφείλοντος τοῦ εἰς ἀθέτησίν τινος τῶν ἐν τῇ παρούσῃ προστάξει τῆς βασιλείας μου διωρισμένων χωρήσοντος, ὡς εἰ καὶ θεὸς ἐπὶ τῷ τοιούτῳ αὐτοῦ τολμήματι πρός γε τὸ παρὸν παρασιωπήσεται, πάντως εἰς τὸ μέλλον αὐτῷ τὴν ἀξίαν δίκην ταμιευόμενος, ἀλλ᾽ ἡ βασιλεία μου καὶ εἰς τὸ παρὸν πικρότερον αὐτὸν μετελεύσεται, σωματικαῖς ποιναῖς αὐτὸν καθυποβαλοῦσα, μελῶν τε οἰκείων ἀκρωτηριασμοῖς καὶ τῶν ὑπαρχόντων δημεύσει καὶ ὑπερορίᾳ[6] μακρᾷ. οὐ μόνον γὰρ εἰς τὸ ἁπλοῦν ἀπεντεῦθεν ἀποδώσει ὁ τοιοῦτος τῇ ἐκκλησίᾳ τὸ ἐξ αὐτῆς τοιουτοτρόπως παρ᾽ αὐτοῦ ἀφαιρεθησόμενον, ἀλλὰ καὶ πρὸς[7] τοῦ δημοσίου εἰς τὸ διπλοῦν ἀσυμπαθῶς ἀπαιτηθήσεται τὴν τοιαύτην ποσότητα· εἰδήσεως ἀκριβεστάτης διδομένης περὶ τούτου παρὰ τοῦ τηνικαῦτα ἀρχιερέως τῷ κατὰ τὴν ἡμέραν μυστικῷ, ὃς καὶ ὀφείλει καὶ ἄμφω οἰκονομεῖν, πρόφασιν δὲ πάντως οὐχ ἕξει περὶ τῆς ἁμαρτίας αὐτοῦ. ἦλθε γὰρ ἡ βασιλεία μου εὐαγγελικῶς καὶ ἐλάλησεν αὐτοῖς διὰ τῆς παρούσης προστάξεως, ἥτις καταστρωθήσεται καὶ τῷ ἱερῷ χαρτοφυλακείῳ ἐναποτεθήσεται, ἀρκέσουσα[8] ταῖς ἁγιωτάταις ἐκκλησίαις, κἂν ἰσότυπα καὶ μόνα ταύτης πεπιστωμένα παρὰ τῶν μερῶν αὐτῶν ἐμφανίζηται. ἕξουσι γὰρ πρωτοτύπων ἰσχὺν ταῦτα, καὶ τοῖς πορισομένοις[9] προσέσονται εἰς ἀσφάλειαν αἰωνίζουσαν.

---

[4] Legerim εἰς τὰς ἐκκλησίας. [5] Bever. ἀναδέξωνται. [6] Id. ἐξορίᾳ. [7] Malim παρά. [8] Al. ἀρήγουσα, al. ἀρέσκουσα. [9] Al. πορισαμένοις.

NOV. LXVI.

Imp. Manuelis Comneni de diversis causis[1]. (A. 1166.)

Νεαρὰ τοῦ βασιλέως κυροῦ μανουὴλ τοῦ κομνηνοῦ περιέχουσα πολλῶν ἀμφιβολιῶν λύσεις[2].

Ἔννομον ἐπιστασίαν οἱ πάλαι σοφοὶ τὴν βασιλείαν ὡρίσαντο, χρῆμα γοῦν ἀτεχνῶς θεσπέσιον· διὰ τοῦτο καὶ πρόνοιαν θεοῦ μεγαλομερῆ ταύτην εἶναι καὶ πεπιστεύκασι καὶ διδάσκουσιν. εἰ γὰρ δίκαιος ὁ κύριος καὶ δικαιοσύνας ἠγάπησε, προσήκει δή που καὶ τὸν ἐξ ἐκείνου λαχόντα βασιλεύειν τῶν ἐπὶ γῆς αὐτόν τε δίκαιον εἶναι καὶ τῶν ὑπ᾽ αὐτοῦ προβαλλομένων εἰς τὸ δικάζειν τὰς εὐθυδικίας περισπούδαστον ἔργον ποιεῖσθαι καὶ ἀποδέχεσθαι. ἢ τί γὰρ ἂν εἴη βασιλέως ἔργον τιμιώτερον ἕτερον καὶ τοῖς βασιλευομένοις λυσιτελέστερον; ταῦτα τοίνυν οὐδὲ ἡ βασιλεία μου ἀγνοήσασα, μάλιστα μὲν ἠβούλετο καὶ ηὔχετο, μηδένα μὲν εἶναι τὸν ἀδικούμενον ὑπὸ τὴν αὐτῆς ἐπικράτειαν· εἰ δ᾽ οὖν, ἀλλὰ μὴ ῥαθυμοτέρους εἶναι τῶν τὰ παράνομα δρώντων περὶ τὴν τῶν ἀδικουμένων ἐκδίκησιν τοὺς εἰς αὐτὴν τεταγμένους παρὰ τῆς βασιλείας μου[3]. νυνὶ δὲ πολλοὺς ὁρῶσα πλεονεκτικῆς χειρὸς καὶ ἀδίκου τραυματίας γινομένους, καὶ ἀγρῶν ἀφαιρέσεις καὶ οἰκημάτων ὑπομένοντας καὶ πραγμάτων ἄλλων ἀποστερουμένους, ἔπειτα θυροκοποῦντας διηνεκῶς τὰ δικαστήρια καὶ χρονοτριβοῦντας ἀνήνυτα, καὶ πρὸς τὸ μη-

---

[1] Extat in appendice Synops. III cl. (Paris. 1351 et 1388, Bien. et Marc. App. XI, 30): praeterea in Cod. 12 *τῶν ἰβήρων*, et in Coisl. 39 (qui ex Cod. Vatic. quodam descriptus est) et Paris. 1321. — Edita est a Leuncl. post Syn. p. 76 et in JGR. II p. 186, denique a Labbaeo p. 104. — Passim ab auctoribus Graecis laudatur, et quidem cap. 1 a Bals. ad c. 74 Apost. (edit. Rhalli II p. 95, qui locus receptus est in append. Prochiri aucti) et ad c. 19 syn. Carthag. (ed. Rhalli III p. 361, quem locum praestat Bonefid. p. 114), et a Blast. *Δ*, 8 (ed. Bev. II p. 101); — cap. 2 a Bals. ad c. 6 syn. Nic. (ed. Rhalli II p. 130 et apud Bonef. p. 88); — cap. 6 ab Harm. III, 3, 113; — cap. 7 a Bals. ad Phot. II, 1 (ed. Rhalli I p. 84 et apud Bonef. p. 78). [2] Ita inscriptio est in Syn. III cl. (Bien. *Νομοθεσία νεαρὰ* habet et verba *τοῦ κομνηνοῦ* omittit.) Marc. App. XI, 30, Coisl. 39 et Paris. 1321 inscriptionem non praestant. Apud Leuncl. post Syn. p. 76 inscribitur: *Μανουὴλ τοῦ κομνηνοῦ νεαρὰ β'. Περὶ διαφόρων ὑποθέσεων.* In JGR. additur: *δηλονότι περὶ δικαστῶν καὶ συνηγόρων καὶ ἐπιφωνημάτων καὶ ἐκκλήτων καὶ τῶν θεματικῶν καὶ περὶ τῆς ἀντιχρήσεως καὶ τῶν ἐπιτρόπων ἤγουν διοικητῶν καὶ τῶν προστίμων ἀπαιτήσεως καὶ ἐπιμερισμοῦ τῶν δικαστῶν καὶ συνηγόρων.* Eadem Labbaeus habet ex JGR. [3] Leuncl. *μου* non habet.

δεμιᾶς ἐκεῖθεν θεραπείας ἐπιτυγχάνειν εἰς τὸ χεῖρόν τε καὶ ὀδυνηρότερον ταῖς πληγαῖς ἐπιξαινομένους, καὶ τὸν τρυγίαν ἐντεῦθεν τῆς ἀδικίας ἀπορροφῶντας, ἔνθα τυχεῖν τῆς ἐκδικήσεως ἤλπιζον· καὶ γάρ, ἵν' ἐρῶ τὸ τοῦ σολομῶντος, εἶδον ἀνομίαν ὑπὸ τὸν ἥλιον, ἄνθρωπον θνητὸν ἀθανάτῳ δίκῃ περιπεσόντα, καὶ ταύτην ὥσπερ τινὰ κλῆρον πατρῷον εἰς τρίτην πολλάκις καὶ τετάρτην γενεὰν τοῖς ἐγγόνοις αὐτοῦ κατὰ διαδοχὴν παραπέμψαντα· ταῦτα τοίνυν, ὡς εἴρηται, κατανοοῦσα ἡ βασιλεία μου, ἤλγησε μὲν ὡς εἰκὸς ἐπὶ τοῖς γενομένοις καὶ τὴν ψυχὴν ἠνιάθη, αἰτιασαμένη μὲν τὴν τῶν δικαστῶν[4] ῥαθυμίαν, οἰκτειρήσασα δὲ καὶ τοὺς ἀδικουμένους τῆς ἀπογνώσεως. διὸ καὶ κατὰ τὸ δυνατὸν τὴν τοῦ κακοῦ τούτου περισκοποῦσα διόρθωσιν, καὶ τοῖς τὰ χείριστα πάσχουσι κατὰ τὸ ἐγχωροῦν ἐπαμύνουσα, πρὸς τὴν ἐφεξῆς ῥηθησομένην οἰκονομίαν ἀπέβλεψε.

α'[5]. Βούλεται γὰρ ἀπὸ τῆς σήμερον τοὺς ἐφ' ἑκάστῳ δικαστηρίῳ συνεδριάζειν ὀφείλοντας καὶ συνδιαγνωμονεῖν τῷ τούτου προϊσταμένῳ τεταγμένους εἶναι καὶ ἀφωρισμένους, τοὺς μὲν εἰς τοῦτο, τοὺς δὲ εἰς ἐκεῖνο τὸ δικαστήριον, ἵνα μὴ πάντων εἰς ἓν κατὰ ταὐτὸν συνερχομένων ἀργεῖν ἐπισυμβαίνει[6] τὰ λοιπὰ δι' ἐρημίαν τῶν δικαζόντων[7]· οὕτω δὲ καὶ τὸ νῦν ἐπικρατοῦν ἔθος περιαιρήσεται, τὸ ἐκ διαλειμμάτων δικάζειν αὐτούς. εὐδοκοῦμεν γὰρ τρισσάκις ἀπροφασίστως μιᾶς ἑκάστης ἑβδομάδος δικάζειν ἕκαστον τῶν προκαθημένων τῶν δικαστηρίων, συνερχομένων παρ' αὐτοῖς τῶν ὑπ' αὐτοῖς δικαστῶν. ἐπικεῖσθαι δὲ καὶ τοῖς ἐναγομένοις ἀνάγκην, δι' ὅλου[8] παραβάλλειν ἐν τοῖς δικαστηρίοις καὶ μὴ ἀπολιμπάνεσθαι, μέχρις ἂν ἐκπερατωθῇ τὰ τῆς ὑποθέσεως, εἴγε τέως καὶ οἱ ἐνάγοντες διηνεκῶς ἐπισπεύδουσι τμηθῆναι τὴν προσαρμόσασαν αὐτοῖς ἀγωγήν. δεῖσθαι μέντοι τοὺς ἐναγομένους καὶ διαμηνυμάτων οὐχὶ συχνῶν καὶ κατατριβόντων ἐπίτηδες τοὺς ἐνάγοντας, ἀλλὰ μετὰ τὴν τοῦ λιβέλλου δόσιν καὶ τὴν εἴδησιν τῆς κατ' αὐτὸν[9] φερομένης ἀγωγῆς εἴ τινες ἴσως ἀπειθοῦσι, τρισὶν αὐτοὺς τριακονθημέροις

---

[4] Id. δικαστηρίων. [5] Leuncl. et Labb. in marg. rubricam habent: ὅτι τρισσάκις ἑκάστης ἑβδομάδος ὀφείλουσι δικάζειν. In Paris. 1351 et 1388 rubrica marginalis est: ὅτι τεταγμένοι ὀφείλουσιν εἶναι οἱ συνδιαγνωμονεῖν ὀφείλοντες τῷ τοῦ δικαστηρίου προϊσταμένῳ, ἵνα μὴ ἐκ διαλειμμάτων οἱ δικαζόμενοι κρινόμενοι φθείρωνται. Ita etiam in sequentibus ad singula capita aliae rubricae, quam Leuncl. et Labb. praestant, in Codd. MSS., qui quidem mihi innotuerunt, adscriptae sunt. [6] Leuncl. ἐπισυμβαίνει. [7] Leuncl. post Syn. in ora: δικασόντων. [8] Leuncl. ἀνάγκῃ δόλου. [9] Malim αὐτῶν.

καλεῖσθαι προγράμμασι· καὶ εἰ μὴ ἐντὸς αὐτῶν ἀπαντήσουσι, καταδικάζεσθαι ἀκολούθως τοῖς νομοθετηθεῖσι παρὰ τοῦ ἀοιδίμου πάππου τῆς βασιλείας μου[10], *καὶ τοῦ μακαρίτου βασιλέως κυρίου* Λέοντος *τοῦ σοφοῦ*[11]. *καὶ ταῦτα*[12] *μὲν οὕτω γίνεσθαι διαταττόμεθα.*

β'[13]. *Ἐπεὶ δὲ καὶ τῇ τῶν συνηγόρων ἀπεραντολογίᾳ καὶ τῇ πολλῇ τούτων ἐνστάσει προσωχθήκει ἡ βασιλεία μου (σπούδασμα γὰρ αὐτοῖς κατεφώρασε πολλάκις ὥρας ὑποσυλᾶν καὶ σεσοφισμένως φυγοδικεῖν, οἷς τὰς αὐτὰς πολλάκις δικαιολογίας ἀνακυκλοῦσι, καὶ τῶν προτέρων δυσαποσπάστως ἐξερχόμενοι προκόπτειν οὐκ ἐῶσι τὸ δικαστήριον), διορίζεται μετὰ συστολῆς ἱσταμένους τοὺς συνηγόρους ὡς τὸ πρὶν δικάζεσθαι, καὶ μὴ συγκαθῆσθαι τοῖς δικασταῖς ἐν τῷ δικάζεσθαι, καὶ μὴ κατὰ ταὐτὸν τοῖς λόγοις χωρεῖν (ἀφ᾽ ὧν συγχεῖται μὲν ἡ ἀκρόασις, ἐκκρούεται δὲ καὶ τῶν δικαστῶν ἡ ἀκριβὴς καὶ συντετηρημένη διάγνωσις)· ἀλλὰ θατέρου μέρους ἐφησυχάζοντος μετ᾽ εὐταξίας καὶ καταστάσεως τὰ οἰκεῖα δίκαια προτείνειν τὸν προλογίζοντα, εἶτα τὸν μὲν ἠρεμεῖν, ἀντιδικαιολογεῖσθαι δὲ μετὰ τῆς ἴσης ἀδείας τὸν ἕτερον· καὶ οὕτω λέγειν τοὺς δικαστὰς ἃ διαγινώσκουσι. κἂν εἰ μιᾶς γνώμης ἅπαντες γένοιντο, ἐπὶ τὰ πρόσω χωρεῖν τοὺς δικαζομένους· εἰ δὲ διαφωνήσουσι πρὸς ἀλλήλους, τοὺς μὲν συνηγοροῦντας καὶ πάλιν ἐν ἠρεμίᾳ μένειν, τοὺς δὲ δικαστὰς καθ᾽ ἑαυτοὺς σκοπεῖν τὸ ἀμφήριστον καὶ δίχα τῆς οἱασοῦν προσπαθείας εἰς ἓν συνέρχεσθαι πάντας καὶ ἀποφαίνεσθαι τὸ παρ᾽ αὐτῶν διαγινωσκόμενον. εἰ δέ γε μὴ ὁμογνωμονήσουσι πάντες, ἀλλά τινες διαφωνοῦσι τοῖς πλείοσιν ἢ ἐξισοῦνται οἱ διαφωνοῦντες, ἐκείνων τὴν ψῆφον προκρίνεσθαι, οἷς καὶ ὁ τοῦ δικαστηρίου προεστὼς συμφωνεῖ*[14]. *οἱ δὲ μὴ στοιχοῦντες τοῖς παρ᾽ ἡμῶν διατεταγμένοις περὶ αὐτῶν, ἀλλὰ τὰ αὐτὰ δικαιολογούμενοι, καὶ μὴ παραδεκτέοι μὲν ὄντες τοῖς δικασταῖς, ὅμως δὲ τοῖς αὐτοῖς ἀνερυθριάστως ἐπιμένοντες, κἀκεῖνα λέγοντες, ἃ καὶ προδικαιολογησάμενοι ἀπεπέμφθησαν (ἐστὶ μὲν ὅτε καὶ αὐτολεξεί, ὅτε δὲ καὶ τὰς λέξεις πρὸς τὸ λαθεῖν ὑπαλλάσσοντες, ὁποῖα καὶ τῆς βασιλείας μου δικαζούσης γεγόνασι), καὶ τὸν ἡμέτερον διορισμὸν παραβαίνοντες τοῦ συνηγορεῖν κωλυθήσονται· πάντως γὰρ ἀδικεῖσθαι οἰόμενοι ἐπὶ τὴν*

---

[10] Cf. supra Nov. XLVI. [11] Cf. Coll. II Nov. 108. [12] Leuncl. *παντὶ*, in marg. *πάντῃ*. Labb. *ταυτὶ*, sed *ταῦτα* in Cod. aliquo MS. legi testis est. [13] Iidem in marg. *περὶ συνηγόρων*. [14] Bals. *συμφρονεῖ*.

ἐκ νόμων ἀποτεταμιευμένην τούτοις τῆς ἐκκλήτου βοήθειαν καταφυγεῖν ὤφελον. μελήσει δὲ πάντως καὶ τοῖς δικάζουσι, ἐμμερίμνως τὰς διαγνώσεις ποιεῖσθαι καὶ τὰς ἀποφάσεις, εἰδόσιν ὅτι μεγάλαι ζημίαι, πολλάκις δὲ καὶ σωμάτων ἀκρωτηριασμοὶ ταῖς αὐτῶν ἀποφάσεσιν ἐπακολουθοῦσιν. ἵνα οὖν μὴ τοῦ λοιποῦ ἀπέραντα εἴη τὰ δικαστήρια, τὸν ἐν διαφόροις βιβλίοις τῶν βασιλικῶν ἐγκατεστρωμένον ἀναζωπυροῦμεν νόμον[15], καὶ νενεκρωμένον οἷον εἰπεῖν καὶ ἀργίαν παντελῆ κατεψηφισμένον ἀνιστῶμεν, διοριζόμενοι κατ᾽ ἐκεῖνον, τὰ μὲν ἐγκληματικὰ τῶν δικαστηρίων ἐντὸς διετίας περατοῦσθαι, τοῖς δὲ χρηματικοῖς τὸν τῆς τριετίας χρόνον ἐξαπλοῦμεν· αὔταρκες γὰρ αὐτοῖς τὸ τοσοῦτον διάστημα τοῦ καιροῦ, κἂν εἰ καὶ ἴσως τινὲς ὑποθέσεις πολὺ τὸ γρυφὸν ἔχουσαι καὶ τὸ δυσχερὲς εὑρίσκοιντο καὶ τὴν λύσιν οὐκ εὐμαρῶς παραδεχόμεναι. εἰ δὲ παρ᾽ αἰτίαν τοῦ ἐνάγοντος ἡ προθεσμία ἐκμετρηθήσεται μὴ λελυμένης τῆς ὑποθέσεως, ἀπεντεῦθεν ἔσται καταδεδικασμένος, προσκαταβάλλων τῷ ἐναγομένῳ καὶ τὰ δαπανήματα. εἰ δὲ τοῦ ἐνάγοντος ἐπαγρυπνοῦντος καὶ ἐπισπεύδοντος ἡ δυστροπία τοῦ ἐναγομένου τὸν τοσοῦτον χρόνον ἐπὶ κενοῖς ποιήσει παραδραμεῖν, ἐκ τούτου καὶ μόνου καταδικασθήσεται ἀπαιτούμενος καὶ τὰ δαπανήματα, καὶ οὐδεμιᾶς ἑτέρας ἀξιωθήσεται βοηθείας ἢ δικαιώσεως. εἰ δὲ τῶν καιρῶν σχολαζόντων αἴτιοι τῆς ἀπράκτου παραδρομῆς τοῦ καιροῦ οἱ δικάζοντες γένοιντο, τῶν προσόντων αὐτοῖς δικαστικῶν ὀφφικίων μετακινηθήσονται· ποῦ γὰρ[16] ἂν εἴη δίκαιον, τοὺς ἐπὶ σωτηρίᾳ τῶν κακῶς πασχόντων τὸ δικάζειν λαχόντας, εἶτα πρὸς συντριβὴν αὐτῶν κεχρημένους τῷ λειτουργήματι, καὶ ἔτι δικαστικῶν ὀφφικίων προΐστασθαι, ἢ συνδικάζειν τοῖς τούτων προϊσταμένοις; ἐπεὶ δὲ τεταγμένοι ὀφείλουσιν εἶναι ἐφ᾽ ἑκάστῳ τῶν δικαστηρίων δικασταὶ, τοῦ μὲν δικαστηρίου[17] τοῦ κατ᾽ αὐτοὺς δικάζοντος ἐξ ἀνάγκης παρ᾽ αὐτῷ συνελεύσονται. τούτου δὲ ἴσως διά τινα αἰτίαν μὴ ἐνεργοῦντος, παρὰ τοῖς ἑτέροις πολιτικοῖς δικαστηρίοις ἀκωλύτως ἀποπληρώσουσι τὸ οἰκεῖον λειτούργημα.

γ´[18]. Πάντα δὲ κάλον (ὅ φασι) κινοῦσα ἡ βασιλεία μου

---

[15] Basil. VII, 6, 13. [16] Ita legendum. Labb. δέ. [17] Leuncl verba **δικασταὶ τοῦ μὲν δικαστηρίου** omittit. Idem totam illam periodum a verbis **καὶ τῶν προτέρων** (initio hujus capitis) usque ad **τοῖς τούτων προϊσταμένοις** non habet, ut proinde haec: **ἐπεὶ δὲ τεταγμένοι κτλ.** non ad judices sed ad advocatos pertinere videantur. [18] Leunclav. et Labb. in margine: **περὶ ἐπιφωνημάτων.**

ἐπὶ τῷ περιαιρεῖν τὰς ἐν δικαστηρίῳ γινομένας ὑπερθέσεις[19], καὶ ταῦτα θεσμοθετεῖ, μηκέτι τριακονθήμερα τὰ τρία ἐπιφωνήματα γίνεσθαι, ὅτε ἀπόφασις καὶ διάγνωσις γίνεται[20] δι' ὅρκων τέμνουσα τὰ ἀμφίβολα· ἀλλὰ τὰ προκλητικὰ τῆς τε τῶν ὅρκων ὑποδοχῆς καὶ τελεσιουργίας[21] τρία μὲν γίνεσθαι, πλὴν πεντεκαιδεκαήμερα· καὶ εἰ μὴ ἐντὸς αὐτῶν τὰ τῶν ὅρκων συντελεσθείη, καταδεδικασμένον εἶναι καὶ ὡς ἀναποδίσαντα λογίσασθαι τὸν ἐπιφωνηθέντα καὶ τοὺς ὅρκους μὴ ὑποδεξάμενον ἢ μὴ πληρώσαντα.

δ'[22]. Ἀλλὰ καὶ τὰς ἐκκλήτους τὰς ἐν δικαστηρίῳ γινομένας ἐν τῇ βασιλευούσῃ τῶν πόλεων καὶ ταῖς πέριξ αὐτῆς[23] ἐνιαυτῷ κλείεσθαι· καὶ τὸν καταδικασθέντα παρά τινος καὶ ἐκκαλεσάμενον ἐντὸς χρόνου ἀναγκάζεσθαι τὴν ἔκκλητον γυμνάζειν καὶ συμπληροῦν, ἢ μὴν μὴ οὕτω ποιοῦντα ὑπεύθυνον γίνεσθαι καὶ τὰ ἀπὸ καταδίκης διδόναι. εἰ δὲ καὶ ἐν ἑτέρᾳ τινὶ ἐπαρχίᾳ καταδικασθῇ, καὶ εἰ εἰς τὸ βῆμα τῆς βασιλείας μου ἐκκαλέσηται ἢ εἰς ἕτερον πολιτικὸν δικαστήριον, σὺν τῷ προγραφέντι ἐνιαυτῷ ἔχειν πεφιλοτιμημένον καὶ τὸ νόμιμον διάστημα, ὥστε διὰ τούτου καταλαβόντα τὴν μεγαλόπολιν πρὸς ἀνάγκης ἔχειν καὶ αὐτὸν ἐντὸς τοῦ δηλωθέντος ἐνιαυτοῦ καὶ γυμνάζειν καὶ περατοῦν τὴν ἔκκλητον, ἢ μὴν ἀναγκάζεσθαι στέργειν τῇ προτέρᾳ ἀποφάσει καὶ ἀπαιτεῖσθαι τὰ ὀφειλόμενα.

ε'[24]. Ἔτι καὶ τοῦτο προσκείσθω. τινὲς θεματικοὶ ἔν τε τῇ βασιλίδι τῶν πόλεων καὶ ἀλλαχοῦ, ἔνθα διάγει ἡ βασιλεία μου, παραβάλλοντες ἐνιστῶσι κατά τινων[25] δικαστήρια ἢ παρεισπράξεις ἢ ἄλλας ἀδικίας τινὰς ὑποστάντες ἢ παρὰ πρακτόρων ἢ θεματικῶν ἢ ἑτέρων τινῶν. διοριζόμεθα γοῦν, τοὺς μέλλοντας δίδοσθαι λιβέλλους ἐν τοῖς τοιούτοις δικαστηρίοις ὀκταημέρους εἶναι, παντοίως ὀφείλοντος τοῦ δικάζοντος τὰς τοιαύτας τῶν ὑποθέσεων ἐπισπεύδειν συντόμως αὐτὰς λύειν, ὥστε μὴ ἀναγκάζεσθαι τοὺς θεματικοὺς διὰ τὸ παρατεταμένον τοῦ καιροῦ καὶ τὴν τῶν δαπανημάτων ἔνδειαν τὴν τῶν δικαστηρίων ἀποφυγὴν τιμιωτέραν τῆς τούτων γυμνασίας λογίζεσθαι.

ϛ'[26]. Ἔτι καὶ τοῦτο νομοθετείσθω. πολλοῖς τὸ οἰκεῖον περίεργον, ἢ μᾶλλον εἰπεῖν πανοῦργον[27], ὑποτίθησι τὴν νεαρὰν

---

[19] Leuncl. ὑποθέσεις. [20] Id. γένηται. [21] Labb. τελεσιουργά. [22] Leuncl. et Labb. in marg.: περὶ ἐκκλήτων. [23] Labb. τοῖς πέριξ αὐτοῖς. [24] Leuncl. et Labb. in marg. περὶ τῶν θεματικῶν. [25] Leuncl. κατά τινα δίκην. [26] Leuncl. et Labb. in marg. περὶ ἀντιχρήσεως. [27] Deest apud Labb.

τὴν νομοθετήσασαν τὸ περὶ τῆς προτιμήσεως δίκαιον[28] περιγράφειν προσχήματι ἀντιχρήσεως· κἀντεῦθεν τὰ ἀκίνητα, ἐφ' οἷς ἕτερος προτιμᾶται, κατὰ ἀντίχρησιν λαμβάνειν τινὲς μηχανῶνται, καὶ ἐκ τούτου τὸν προτιμώμενον ἀποκλείειν[29] ἐπιχειροῦσιν, ὡς τάχα τοῦ ἀκινήτου, ἐφ' οὗ ἡ προτίμησις, μέλλοντος πρὸς τὸν δεσπότην ἐπανελθεῖν μετὰ τοῦ ἀντιμετρηθῆναι τὸ δάνειον. καὶ τούτῳ τῷ τρόπῳ τὸν προτιμώμενον περιγράφονται[30], καὶ τὰ τῆς νεαρᾶς ἀναποτέλεστα μένουσι, τοῦ ἀκινήτου ἀπομένοντος παρὰ τῷ κατὰ ἀντίχρησιν τάχα τοῦτο λαμβάνοντι. πολλάκις δὲ καὶ ἕτερόν τι ποιοῦσι περίεργον· πεφύκασι γὰρ τῶν ἀνθρώπων οἱ δύστροποι καὶ ἐν τοῖς προδήλοις πράγμασι μηχανὰς ἐπινοεῖσθαι καὶ δόλους συῤῥάπτειν, καὶ πᾶν ὃ ἂν εἴπῃ τὶς ἐφευρίσκειν εἰς τὴν τοῦ ἀληθοῦς καὶ[31] δικαίου ἐπήρειαν ἢ καὶ τελείαν[32] ἀναίρεσιν. ποῖον δὲ τοῦτο; ὅτε μέλλει ἐκποιηθῆναι ἀκίνητον, ἐφ' ᾧ τις ἔχει πλησιασμὸν ἢ ἀνακοίνωσιν, τὸ μέρος τοῦ πωλουμένου ἀκινήτου τὸ πλησιάζον τῷ ἔχοντι τὴν προτίμησιν γείτονι[33] παρακρατοῦντες οἱ κτήτορες τὸ λοιπὸν πωλοῦσι πρὸς ὃν βούλονται, καὶ ἐκ τούτου τὸ τῆς[34] προτιμήσεως ἀπόλλυται δίκαιον, ἅτε τοῦ πλησιάζοντος μὴ πραθέντος. καὶ συμβαίνει τὰ τῆς νεαρᾶς νομοθεσίας περιγράφεσθαι[35], ὡς τῆς ἐννοίας τοῦ νόμου παραβαινομένης, τῶν δὲ ῥημάτων τάχα φυλαττομένων· περιγράφει γάρ, φησιν ὁ νομικὸς, ὁ ποιῶν ὅπερ ὁ νόμος οὐκ ἐκώλυσεν, οὐ μὴν αὐτὸ βούλεται γίνεσθαι. τὰς τοιαύτας τοίνυν κακοτροπίας περιαθροῦσα[36] ἡ βασιλεία μου, καὶ τὰς τῶν ἐν κακίᾳ σοφῶν μηχανὰς διακόπτουσα, διορίζεται καὶ ἐπὶ τῆς ἀντιχρήσεως τὸ τῆς προτιμήσεως εἰσάγεσθαι δίκαιον, καὶ ἐπὶ τῇ ἀντιχρήσει[37] ἐκεῖνα κρατεῖν, ἃ ἐπὶ τῶν δωρεῶν ἐν τῇ προμνημονευθείσῃ νεαρᾷ διωρίσθησαν. ὡσαύτως τὸ τοῦ πλησιασμοῦ δίκαιον δοθήσεται, κἂν τις μέρος μὲν ἀκινήτου πωλήσῃ, ἐφ' ᾧ ἕτερος προτιμᾶται, μέρος δέ τι ἐλάχιστον καταλείψῃ ἀδιάπρατον, τὸ πλησιάζον τυχὸν τῇ οἰκίᾳ τοῦ γείτονος ἢ τῷ ἀγρῷ, ἐν οἷς ὁ πλησιασμὸς θεωρεῖται· καὶ μὴ τὰς τοιαύτας περιεργίας νικᾶν τὴν ἀλήθειαν καὶ ἄπρακτον μένειν τὸ τὰ περὶ τούτου νομοθετῆσαν διάταγμα τῇ περιεργίᾳ νικώμενον καὶ περιγραφόμενον.

---

[28] Cf. Coll. III Nov. 2. [29] Leuncl. ἐκκλείειν. [30] Malim παραγρ. [31] Leuncl. καὶ omittit. [32] Id. τελείως. [33] Id. ἀκινήτου pro γείτονι. [34] Id. περὶ πρ. [35] Id. περιγεγράφθαι. [36] Id. καταλαβοῦσα. [37] Id. verba ἐπὶ τῇ ἀντιχρ. non habet.

ζ'[38]. Σὺν τούτοις καὶ τοῦτο θεσπίζοντες τοῖς προγραφεῖσι συντάττομεν[39]. πολλοὶ τῶν ἀνθρώπων ἐν τοῖς ἐπιτελευτίοις[40] αὐτῶν διατάγμασιν ἐπιτρόπους ἤγουν διοικητὰς τῶν παρ' αὐτῶν διορισθέντων καταλιμπάνουσι, καὶ τούτοις ἀνατιθέασι τὴν τῶν πραγμάτων αὐτῶν οἰκονομίαν τε καὶ διοίκησιν, τὸν χριστὸν κληρονόμον γράφοντες, τὸ γλυκὺ τοῦτο καὶ κοσμοσωτήριον καὶ πρᾶγμα καὶ[41] ὄνομα. τοῦτο δὲ δοκοῦσι ποιεῖν, δι' ὧν τοῖς πένησι τὰς περιουσίας αὐτῶν καταμερισθῆναι προστάττουσι· τοῦ γὰρ αἰτοῦντος λαμβάνοντος, ἵσταται ὁ χριστὸς συγκοιλαίνων τούτῳ τὴν χεῖρα, ἐφ' ὅσον γάρ, φησιν, ἑνὶ τούτων τῶν ἐλαχίστων ἀδελφῶν ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. παρακελευόμεθα γοῦν[42], ὅταν ἐπιτροπικαὶ τοιαῦται διοικήσεις πρόκεινται, καὶ εἰς εὐσεβεῖς αἰτίας διανομαί, καὶ[43] πρὸς ψυχικὰς οἰκονομίας καὶ ὀρφανῶν, ἀφηλίκων τε καὶ πενήτων ἀναγωγὰς καὶ διατροφὰς τείνουσαι[44], μὴ χώραν ἔχειν ἐν ταύταις τοὺς τῶν δικαστηρίων ὑπερβιβασμοὺς καὶ τὰς ἐντεῦθεν χρονοτριβήσεις. συμβαίνει γὰρ ἐντεῦθεν τὰς τῶν τελευτώντων ζημιοῦσθαι ψυχάς, καὶ τοὺς ἐπ' ἀγαθῷ καὶ κοινῇ λυσιτελείᾳ τοῦ παντὸς τεθέντας νόμους εἰς τοὐναντίον περιΐστασθαι. οὐδὲ[45] γὰρ δίκαιον κρίνει ἡ βασιλεία μου, τὴν ἐπὶ τοῖς λοιποῖς δικαστηρίοις κρατοῦσαν ἀκολουθίαν καὶ ἐπὶ τοῖς τοιούτοις πολιτεύεσθαι, ἀλλὰ τὰς ἐπὶ ταῖς τοιαύταις ὑποθέσεσιν ἀμφιβολίας ἀπεντεῦθεν λύεσθαι, μὴ λιβέλλου διδομένου, εἰδήσεως δὲ τριημέρου, ἢ καὶ ἐς τετάρτην[46] παρεκτεινομένης. μή τινος γὰρ δικαστικῆς ὑπερθέσεως[47] ἐπαγομένης ἡ τῶν προσόντων ἑκάστῳ δικαίων γενήσεται κατεξέτασις, καὶ μετακληθήσεται[48] καὶ ἄμφω τὰ μέρη δίχα τινὸς ὑπερημερίας, καὶ ἀπαιτηθήσεται ἑκάτερα τὰ μέρη τὰ δοκοῦντα συντείνειν αὐτοῖς προβάλλεσθαι[49], καὶ οὕτω δι' ὀλίγου καιροῦ, μηνιαίου τυχὸν ἢ καὶ εἰς δεύτερον παρεκτεινομένου, κατὰ τὸ δόξαν τῷ δικαστῇ προσήκουσαν δέξοιτο λύσιν τὸ ανακύψαν ἀμφίβολον· τηρουμένων δηλονότι τῶν νόμων ἐπὶ τῆς οἰκείας ἕδρας καὶ παγιότητος, ὅσοι μὴ μετὰ τὸν[50] τοῦ τελευτήσαντος θάνατον εὐθὺς τοὺς ἐκείνου διαδόχους εἰς δικαστήριον ἕλκεσθαι διορίζονται,

---

38 Leuncl. et Labb. in marg. περὶ ἐπιτρόπων ἤγουν διοικητῶν. 39 Bals. προστίθεμεν. 40 Bals. ἐπιτελευταίοις. 41 Verba καὶ πρᾶγμα καὶ Labbaeus auctoritate librorum MSS. ejicienda esse putavit. Ea nec Balsamon agnoscit. 42 Leuncl. et Bals. οὖν. 43 Addo ex Bals. 44 Bals. τείνωσι. 45 Leuncl. et Bals. οὐ. 46 Bals. ἐπὶ τέταρτον. Certe τετάρτην sc. ἡμέραν scribendum erat. 47 Id. ὑποθ. 48 Id. μετακληθήσονται, et mox ἀπαιτηθήσονται. 49 Leuncl. et Bals. προβαλέσθαι. 50 Articulus deest apud Labb.

ἀλλὰ μετὰ παραδρομὴν ἡμερῶν τινων, καθὼς τὰ περὶ τούτων πλατύτερον τοῖς βασιλικοῖς[51] διηγόρευται. εἰ δέ γε ὁ ἐπίτροπος εἰς ὑπερθέσεις φανείη χωρῶν καὶ τοιαῦτα σκαιωρῶν φωραθείη, καὶ πρὸς ὑπερβιβασμοὺς χωρήσει μὴ ποιῶν καθὼς ὁ διαθέμενος διετάξατο, τῆς ἐπιτροπῆς καὶ οἰκονομίας τῶν τοῦ τελευτήσαντος πραγμάτων μετακινηθήσεται· ἀνατεθήσεται δὲ αὕτη οἷς ἂν ὁ βασιλεὺς διορίσηται, ἢ τούτου ἴσως ἀποδημοῦντος ὁ τῆς πόλεως ἔπαρχος ἅμα τῷ τῆς ἁγιωτάτης ἐκκλησίας οἰκονόμῳ τὴν τούτου ποιήσονται[52] οἰκονομίαν τε καὶ διοίκησιν, ὀφείλοντος εἴδησιν διδόναι τῶν ἐπὶ ταῖς τοιαύταις ὑποθέσεσιν οἰκονομουμένων τῷ βασιλεῖ, ἢ[53] τῷ κατὰ τὴν ἡμέραν ἁγιωτάτῳ πατριάρχῃ, εἰ τύχῃ τὸν βασιλέα ἀπόδημον εἶναι, καὶ μὴ κατὰ πρόσταξιν αὐτοῦ τὰ τοῦ τελευτήσαντος πληρωθῆναι[54] θελήματα.

η′[55]. Ἐπεὶ δὲ καὶ τὰ πρόστιμα τὰ τοῖς ἐγγράφοις ἐντιθέμενα ἐξ ὁμολογίας τῶν συναλλαττόντων δι' ἀσφάλειαν καὶ παραφυλακὴν τῶν συμπεφωνημένων ἐγγράφονται, ὥστε τὸν ἀθετοῦντα τούτοις ὑποπεσεῖν, νῦν δὲ καὶ τοῦτο εἰς παντελῆ ἀχρηστίαν ἦλθεν, ἅτε τῶν δικαστῶν ἐφ' οἷς οὐ δεῖ[56] φιλανθρωπευομένων, καὶ ἐν ἀλλοτρίαις συμφοραῖς μαλακιζομένων καὶ χαυνουμένων· ἐπὶ τῷ τοῦ καλοῦ ζήλῳ καὶ τῇ τῶν ἀδικουμένων ἐκδικήσει διοριζόμεθα, καὶ ταῦτα ἀπαιτεῖσθαι ἐκ παραβάσεως[57] κατὰ τὴν τῶν νόμων δύναμιν, ναὶ μέντοι καὶ καρποὺς καὶ πᾶν διαφέρον, καὶ πᾶν ἄλλο τοιοῦτον ἀκολούθως ταῖς νομικαῖς διατάξεσιν, ἀλλὰ καὶ τὰ κατὰ βίαν ἢ φόβον ἢ ἁρπαγὴν καὶ τὰ παρὰ τῶν ἄλλως ἁμαρτανόντων μεθ' ὅπλων ἢ καὶ χωρὶς τούτων ἀφαιρούμενα μετὰ τῆς νομίμου ποινῆς ἀντιστρέφεσθαι, ὡς ἂν τῇ τούτων ἁπάντων ἀπαιτήσει ἀναστολὴ γένηται τῶν βουλομένων πλεονεκτεῖν, καὶ μὴ πρόχειροι εἰς κακίαν οἱ πολλοὶ γένοιντο, βλέποντες ἀκόλαστον τὸ κακὸν καὶ μηδεμίαν ἐπὶ τούτοις γενομένην τὴν ἐπεξέλευσιν. πάντα μὲν γάρ, εἰ δυνατόν, ἠβούλετο ἡ βασιλεία μου πρὸς τὸ βέλτιον μεταῤῥυθμίσαι· ἀλλ' ἐπεὶ τοῦτο ἐργῶδες, ἢ τό γε ἀληθέστερον καὶ ἀδύνατον, καθ' ὅσον ἐστὶν ἐφικτὸν διὰ θεσπισμάτων νεαρῶν καὶ τῆς ἀπὸ τούτων ἀνάγκης διορθωτέον τὰ κακῶς γινόμενα καὶ πραττόμενα.

---

[51] Basil. XXIII, 2. [52] Bals. ποιήσεται. [53] Bals. καί. [54] Idem πληρωθῶσι. [55] Leuncl. et Labb. in marg. περὶ προστίμων ἀπαιτήσεως. [56] Leuncl. χρή. [57] Idem παρὰ βασιλέως.

θ'[58]. Ἐπεὶ δὲ ἀνωτέρω διωρίσατο ἡ βασιλεία μου, μερισθῆναι τοὺς πολιτικοὺς δικαστὰς καὶ ἀφορισθῆναι ἑκάστῳ δικαστηρίῳ τοὺς παρ' ἐκείνῳ συνέρχεσθαι μέλλοντας[59], ἐν ταὐτῷ[60] δὲ ἀναγκαῖόν ἐστι καὶ τοὺς συνηγόρους ὁμοίως ἐπιμερισθῆναι· φροντίσουσιν ὅ τε πανσέβαστος σεβαστὸς[61] καὶ μέγας δρουγγάριος, καὶ οἱ μεγαλοεπιφανέστατοι ὅ τε πρωτασηκρῆτις καὶ ὁ δικαιοδότης ἑνωθέντες ποιῆσαι τὸν τούτων ἐπιμερισμὸν ἐξ ἴσου ἐφ' ἑκάστου τῶν τεσσάρων δικαστηρίων, τοῦ μεγάλου δρουγγαρίου, τοῦ προκαθημένου τῶν δημοσιακῶν[62] δικαστηρίων, τοῦ πρωτασηκρήτου καὶ τοῦ δικαιοδότου· ὡς ἂν οὕτως ἕκαστον τῶν τοιούτων δικαστηρίων ἀνεμπόδιστον τὴν οἰκείαν ἔχῃ[63] ἐνέργειαν, καθὼς ἡ βασιλεία μου ὑπετύπωσεν[64].

Εἶχε τό· μηνὶ μαρτίῳ ἰνδ. ιδ', δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός, καὶ τὴν συνήθη δίπτυχον προσκυνητὴν βούλλην. καὶ τό· διὰ τοῦ λογοθέτου τοῦ δρόμου τοῦ ἁγιοθεοδωρίτου μιχαήλ. καὶ ἔξωθεν τό· ἀπελύθη μηνὶ ἰουνίῳ ἰνδικτιῶνος ιδ' ἔτους ͵ςχοδ'. ἦν δὲ τὸ τοιοῦτον βασιλικὸν προσκυνητὸν πρόσταγμα καὶ ἐν διαφόροις κατεστρωμένον πολιτικοῖς τε καὶ ἐκκλησιαστικοῖς σεκρέτοις[65].

---

[58] Leunclav. et Labb. in margine: περὶ ἐπιμερισμοῦ τῶν δικαστῶν καὶ συνηγόρων. [59] Leunclav. ἀφωρισθῆναι εἰς ἕκαστον δικαστήριον τοὺς μέλλοντας παρ' ἐκείνοις συνέρχεσθαι. [60] Idem ἐνταῦθα. [61] Idem σεβαστὸς non habet. [62] Id. δημοσίων. [63] Id. ἔχειν. [64] Id. διετύπ. [65] Apud Leuncl. subscriptio est: Τῷ μηνὶ μαρτίῳ ἰνδ. ιδ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς, καὶ ἡ διὰ κηροῦ σφραγίς. εἶχε καὶ τὸ, διὰ τοῦ — μιχαήλ. ἔτους ͵ςχοδ'. In Cod. Bien. ut et apud Labb. μηνὶ ἰουνίῳ ἰνδ. δ' (sic) absoluta esse dicitur. — In Cod. Coisl. 39 et Paris. 1321 subscriptio haec est: τῷ μηνὶ μαρτίῳ ἰνδ. ιδ' τοῦ βασιλέως. καὶ ἡ διὰ κηροῦ. τὸ διὰ τοῦ λογοθέτου τοῦ δρόμου τοῦ ἁγιοθεοδωρίτου μιχαήλ. καὶ ἔξωθεν ἐν ταῖς προπτύξεσι τῶν κολλῶν ταῦτα· ἀπελύθη μηνὶ ἰουλίῳ ἰνδ. ιδ' ἔτει ͵ςχοδ'. τὸ κατ' ἔτος μόνον (κατεστρωμένον?) τοῦ σεβαστοῦ καὶ μεγάλου δρουγγαρίου καὶ τὸ κατ' ἔτος (κατέστρωται?) ἐν τοῖς δυσὶ μεγάλοις λογαριαστατ.. σεκρέτοις κατὰ μῆνα αὔγουστον τῆς ἰνδ. ιδ' καὶ ἐν τῷ σεκρέτῳ τῶν οἰκειακῶν κατὰ τὸν αὐτὸν μῆνα.

NOV. LXVII.

Imp. Manuelis Comneni de diebus feriatis[1]. (A. 1166.)

Τοῦ βασιλέως κυροῦ μανουὴλ τοῦ κομνηνοῦ[2] περὶ τῶν ἡμερῶν τοῦ ὅλου ἐνιαυτοῦ, ποῖαι μὲν τούτων ἄπρακτοι, ποῖαι δὲ ἐν μέρει μὲν ἄπρακτοι, ἐν μέρει δὲ ἔμπρακτοι.

Σκοπὸς μὲν τοῖς ἀνθρώποις τοῦ ἑορτάζειν ἡ τοῦ θεοῦ θεραπεία προηγουμένως ἐστίν· οὐκ ἄλλῳ δέ τινι τῶν ἁπάντων ἴσμεν θεὸν τοσοῦτον θεραπευόμενον, ὁπόσον ἐλέῳ καὶ οἴκτῳ τῷ περὶ τοὺς μεταλαχόντας τῆς αὐτῆς ἡμῶν ζύμης παρὰ τοῦ κεραμέως τῆς διαρτίας ἡμῶν καὶ πλάστου τῆς φύσεως. καὶ μαρτυρεῖ τῷ λόγῳ αὐτός, ἔλεον θέλειν καὶ μὴ θυσίαν διὰ τοῦ προφήτου φθεγγόμενος. δῆλον οὖν ἐντεῦθεν καὶ ἀναμφίλεκτον, ὅτι καὶ τὸ ἐλεεῖν ἄμεινον πάντως ἂν εἴη τοῦ ἑορτάζειν, καὶ θεῷ μᾶλλον θυμῆρες καὶ πάσης εὐαρεστότερον ἀπαρχῆς καὶ σπονδῆς καὶ θύματος καὶ ὁλοκαυτώματος. ἔλεος δὲ ἄλλοις μὲν ἄλλος ἁρμόττει, καὶ τὸ ἐντεῦθεν φάρμακον ἕτερον ἑτέροις κατ-άλληλον πρὸς τὰς τῶν καμνόντων διαθέσεις μεταπλαττόμενον. τοῖς γε μὴν τραυματίαις ἐξ ἀδικίας, καὶ ὧν ἡ πλεονέκτις κατεκαυχήσατο χεὶρ καὶ πυκνὰς αὐτοῖς ἐπέθηκε πληγάς τε καὶ μώλωπας, οὐχ ἕτερον πάντως ἴαμα προσφυέστατον, ἢ τὸ παρὰ τῆς εὐθυδικίας καλῶς διορθοῦσθαι, ἃ κακῶς εἰς αὐτοὺς πεπαρῴνηται. πῶς δ' ἂν ἡ δικαιοσύνη καὶ ἡ πάρεδρος αὐτῇ θέμις κατὰ τῶν ἀντιπάλων αὐταῖς, τῆς ἀνομίας φημὶ καὶ τῆς ἀδικίας, πρὸς συμπλοκὴν καὶ ἅμιλλαν καταβήσονται καὶ τὸ στέφος κατ' αὐτῶν ἀναδήσονται, τοῦ τῶν δικαστηρίων σταδίου τὰ πολλὰ κεκλεισμένου μηδ' ἀναπεπταμένην καὶ ἄφετον τὴν εἴσοδον ἔχοντος· προφάσει δῆθεν τῆς περὶ τὰς ἑορτασίμους τῶν ἡμερῶν εὐλαβείας καὶ τῆς ἐν αὐταῖς θεραπείας τοῦ κρείττονος; ᾗ δὴ λέληθεν οὐ μᾶλλον αὐτὸ[3] θεραπεύουσα, ἢ τοῖς μὲν ἀδικουμένοις τοὺς μώλωπας ἐπιξαίνουσα καὶ τὸ ἄλγος ἀνακαινί-

---

[1] Haec Novella servata est in appendice Synopseos III cl. Prooemio omisso refertur in Coisl. 39 et Paris. 1321 et a Bals. ad Phot. VII, 1 ed. Rhalli I p. 136, ex quo habet appendix Prochiri aucti et ediderunt Bonefid. p. 80, Leuncl. post Syn. p. 73 et JGR. I p. 160. Integram vero edidit Labbaeus p. 127. — Laudatur a Jo. Cinnamo VI, 8. [2] Ita Paris. 1388. Cod. Bien. τοῦ αὐτοῦ βασιλέως, Paris. 1351 simpliciter τοῦ αὐτοῦ. [3] Labb. ἤδη λέληθεν — αὐτόν. Quod omnino emendandum erat.

ζουσα καὶ τὴν ὀδύνην ἐπαύξουσα, τοῖς δὲ ἀδικεῖν ἑλομένοις τὴν ἐφ' ἧς ἠδίκησαν ἀπόλαυσιν πολυπλασιάζουσα, καὶ τῇ τῶν ἀνεσίμων ἡμερῶν ἀφθονίᾳ καὶ τῷ πλατυσμῷ τῆς τῶν δικαστηρίων σχολῆς ἐπὶ μακρὸν αὐτοῖς ἀποπληροῦσα[4] τὴν ἔφεσιν. τοιγαροῦν καὶ ἡ βασιλεία μου, — τοῦτο μὲν καὶ τοῦ θεοπάτορος καὶ βασιλέως δαβὶδ εἰς ᾆσμα κυρίου τῷ ἐλέῳ τὴν κρίσιν παραζευγνύντος ἀκούουσα, κἀντεῦθεν μὴ τοσοῦτον ὕμνοις καὶ ᾠδαῖς καὶ λογικαῖς λατρείαις χαίρειν θεὸν ἐν ταῖς ἑορτίοις τῶν ἡμερῶν συλλογιζομένη, ὁπόσον ἄρα τῷ ἐκ τοῦ ἐλέου καὶ τῆς κρίσεως ᾄσματι, — τοῦτο δὲ καὶ τὸ ἐν εὐαγγελίοις οὐαὶ καὶ τὸν ταλανισμὸν ἐκεῖνον ὑφορωμένη, ὃν εἰς τοὺς ὑποκριτὰς φαρισαίους ὁ σωτὴρ ἀπετείνατο, ὅτι προσωπείῳ τῆς τῶν ἑορτάδων ἡμερῶν φυλακῆς μεγίστην ἔνδον ἀνομίαν περικαλύπτομεν, τὴν κρίσιν παρὰ φαῦλον τιθέμενοι καὶ τὸν ἔλεον, — πρὸς τούτοις κἀκεῖνο τῆς ἀββακοὺμ προφητείας εὐλαβουμένη ἡ βασιλεία μου, μεμίσηκα ἀπῶσμαι ἑορτὰς ὑμῶν καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ταῖς πανηγύρεσιν ὑμῖν, — εἰς τὴν παροῦσαν οἰκονομίαν ἐλήλυθα[5]. εἰ γὰρ τὸ ἐν σαββάτῳ κατολισθῆσαν κτῆνος εἰς βόθυνον ἀνέλκεσθαι ὁ σωτὴρ ἐκεῖθεν διεκελεύσατο, καὶ μηδαμῶς τὴν τῆς νομικῆς ἀργίας παράλυσιν ὑποστέλλεσθαι· πόσῳ μάλιστα χρὴ τὸν τοῦ ἀλόγου κτήνους ἀσυγκρίτως ὑπερκείμενον ἄνθρωπον, τὸν λόγῳ τετιμημένον, τὸν θεοῦ εἰκόνα σεμνολογούμενον, καὶ ἐν ἑορτίοις ἡμέραις, ἐφ' αἷς ἔργου παντὸς σχολὴν ἄγομεν, τοῦ βόθρου πειρᾶσθαι πᾶσι τρόποις ἀνέλκειν, εἰς ὃν αὐτὸν ἡ παλαμναία καὶ μαινὰς ἀδικία ἐπὶ κεφαλῆς ὠθήσασα κατεκρήμνισε. καὶ εἰ χριστὸς αὐτὸς τοῦ σκιώδους νόμου τὴν ἐπιφυλλίδα ξέων καὶ τὸ λέμμα καὶ τὴν ἀνθέρικα καὶ τὸν σῖτον τῆς ἀληθείας παραγυμνῶν ἐν τοῖς σάββασιν ἐτερατούργει, νοσοῦντας θεραπεύων, συντετριμμένους ἰώμενος, καὶ τὴν ἐν αὐτοῖς ἀνέκαθεν νενομισμένην ἐκεχειρίαν καὶ ἀπραξίαν ἐπὶ σωτηρίᾳ τῶν κακῶς ἐχόντων καινοτομῶν· πῶς ἡμῖν οὐ τὰς πολλὰς περιαιρετέον τῶν δικαστηρίων ἀδικίας, ὑπέρ τε τῆς τῶν πασχόντων ἄδικα ἐκδικήσεως καὶ τῆς τῶν τοιαῦτα δρώντων ἀναχαιτίσεως; καὶ ταῦτα νῦν, ὁπότε ἡ βασιλεία μου τὰς τῆς ἀδικίας τε καὶ πλεονεξίας ῥίζας ἀτεχνῶς ἀποδενδρωθείσας ἠκρίβωσε, καὶ πολλοὺς ἐπέγνω τῶν ἀνθρώπων εἰς τοὐμφανὲς νῦν ἐκρήξαντας ἣν ἐκ μακροῦ ὤδινον πονηρίαν καὶ τρόπων σκαιότητα, ὡς ἀδεῶς τοῖς παρανόμοις ἐπιτολμᾶν καὶ ἀνυποστόλως τὰ

---

[4] Labb. ἀποπληροῦσι. [5] Forte ἐλήλυθε.

πάντων ἐκθεσμότατα δρᾶν, εἶτα καὶ σοφοὺς γενομένους τοῦ κακοποιῆσαι περιστέλλειν αὐτὰ μορφαῖς τισι λόγων καὶ τὸ εἰδεχθὲς τῆς κακίας ἔξωθεν ἐπιχρώζειν πιθανῶν ῥημάτων κομμωτικαῖς ἐπιθέσεσιν· ὅτε[6] καὶ μάλιστα δεῖ πλειόνων δικαστηρίων ἐφ' οὕτω κακομηχάνοις ἀνθρώποις πρὸς τὴν τοῦ δικαίου καὶ ζήτησιν καὶ ἀνερεύνησιν. καὶ ἄλλως δὲ πῶς ποτε καὶ τῷ δικαίῳ συνᾴδει καὶ τῷ θεῷ ἐστιν εὐαπόδεκτον, παντελῆ τοῖς δικαστηρίοις ἐπιψηφισθῆναι σχολὴν διὰ τὰ καὶ πάλιν[7] τερατουργηθέντα ὑπὸ θεοῦ καὶ τῶν αὐτοῦ θεραπόντων παράδοξα καὶ αὖθις τερατουργηθήσεσθαι προσδοκώμενα; ἆρα γὰρ ἐν ταῖς ἀβύσσοις τῶν ἑαυτοῦ θαυμάτων ἡμᾶς περικλῦσαι νεύσαντος τοῦ θεοῦ, εἰ πᾶσαι ὁμοῦ αἱ τοῦ ἐνιαυσιαίου κύκλου ἡμέραι[8] ἄλλοτε ἄλλα διαλάχωσι θαύματα, ἡμεῖς ἁπάσαις αὐταῖς ἀπραξίαν ἐπικηρύξομεν, καὶ πάντη μὲν τοῖς δικαστηρίοις τὰς θύρας ἐπιζυγώσομεν, πᾶσαν δὲ παῤῥησίαν τῇ ἀδικίᾳ ἀνοίξομεν, ὡς ταῖς ἡμῶν ἑορταῖς ταύτην μᾶλλον ἐνεορτάζειν καὶ παιανίζειν κατὰ τῆς δικαιοσύνης τὰ νικητήρια; πολλοῦ γε καὶ δεῖ. ταῦτα δὲ οὕτως ἡ βασιλεία μου προεμηθεύσατο διὰ τὸ καὶ μύρια τὰ ἄτοπα τίκτεσθαι καθ' ἑκάστην ἐκ τῆς τῶν δικαστηρίων σχολῆς, πλεονεξίας, ἁρπαγὰς, μνησικακίας, καὶ τἄλλ' ὁπόσα ταύταις ἑπόμενα· δι' ἃ καὶ τὴν τῶν δώρων προσαγωγὴν θεὸς οὐ προσίεται, μήδ' αὐτῶν τῶν ἱερῶν περιβόλων ψαύειν συγχωρῶν τῷ προσάγοντι, εἰ μὴ πολὺ πρότερον τῷ διενεχθέντι καταλλαγεὶς καὶ τῷ προσκεκρουκότι σπεισάμενος, εἶτα προσενέγκοι τὸ καρποφόρημα. πότε τοίνυν αὐτοῖς λυθείη τὰ τῆς διαφορᾶς, καὶ πηνίκα τὸ τῆς εἰρήνης φῶς τὴν ἐν ταῖς καρδίαις σφῶν βαθεῖαν ἀχλὺν τῆς ἔχθρας διασκεδάσειε, τῶν δικαστηρίων μακροὺς ἑλιττόντων κύκλους διὰ τὴν τῶν ἑορτίων ἡμερῶν παρολκὴν, καὶ τῶν ὑποθέσεων ἀλύτων ἐς μακροὺς ἡλίους καταγηρασκουσῶν; τοῦ νόμου καὶ ταῦτα πᾶσαν δίκην, ὁποία τέως μὴ ἐγκληματικὴ, ἐντὸς τριετίας διαγορεύοντος τέμνεσθαι. ἐκ δὲ ταύτης αὖθις τῆς ῥίζης δύο τινὲς ἀνίσχουσι παραφυάδες κακῶν· οἱ γὰρ δυσμενῶς ἔχοντες πρός τινα, ἢ τὸ τῶν ἀχράντων μυστηρίων πῦρ φρίττουσιν, ὡς ἐκεῖθεν ἀτεχνῶς καταφλεγόμενοι, καὶ τὴν μετάληψιν οὐ θαῤῥοῦσι τῷ συνειδότι βαλλόμενοι, καὶ οὕτω τοῦ ἁγιασμοῦ ἄμφω καὶ ψυχὴν καὶ σῶμα στερίσκουσι, καὶ ζημιοῦνται τὸν ἀτίμητόν τε καὶ ἄφθαρτον μαρ-

---

[6] Malim ὥστε. [7] Forte πάλαι. [8] Labb. ἁπάσας ὁμοῦ τὰς — ἡμέρας, quod ferri non poterat.

γαρίτην διὰ πρᾶγμα φαυλότατόν τε καὶ φθαρτὸν καὶ τοῦ μηδενὸς πολλάκις τιμώμενον· ἢ καὶ κατὰ τοὺς λυττῶντας ἀναιδεῖς τῶν κυνῶν τῆς μυστικῆς τραπέζης ἀδιαφόρως καθάλλονται, καὶ κατὰ τὸν μέγαν ἀπόστολον εἰς κρίμα ἑαυτοῖς καὶ τοῦ ποτηρίου σπῶσι καὶ τοῦ ἄρτου ἐσθίουσιν. ὁρᾷς ὅποι κακοῦ τοὺς τῶν ἀνθρώπων διαδικαζομένους ἐκκυλίει τὸ τῶν ἀπράκτων ἡμερῶν δαψιλὲς, καὶ ἡλίκος αὐτοῖς ὁ κίνδυνος ἐπικρέμαται; ἡ γοῦν βασιλεία μου καὶ τὸν θεὸν εἰδυῖα τῇ κρίσει θεραπευόμενον, ὡς καὶ ἐν αὐτῇ τῇ καταδρομῇ τῆς φαρισαϊκῆς ὑποκρίσεως τοῦ ἐλέου τὴν κρίσιν εὑρίσκουσα προτιθέμενον, καὶ προσέτι τοῖς σπλάγχνοις ζήλου πῦρ ὑποσμήχουσα καὶ ἄντικρυς ὑβριοπαθοῦσα, εἰ τὰ μὲν βάρβαρα τῶν ἐθνῶν, παρ' οἷς μὴ ἔγγραφος κεῖται νόμος, φύσει μόνῃ τὸ ἐκεῖθεν ἑαυτοῖς ἀποπληροῦσι ὑστέρημα καὶ τὰς δίκας ἐς μήκιστον οὐ φέρουσι[9] παρατείνεσθαι, ἡμεῖς δὲ τοῦτο τὸ μέρος πλεῖστον αὐτῶν ἀποδέομεν (δέον μᾶλλον ἐκείνοις μὲν ἡμᾶς εἰς ἀγαθὸν προκεῖσθαι ἀρχέτυπον, αὐτοὺς δὲ τῶν ἡμετέρων χαρακτήρων ἀπομάττεσθαι τοῦ καλοῦ τὰ ἰνδάλματα)· ταῦτα τοίνυν οὐκ ἐν φορητοῖς τιθεμένη ἡ βασιλεία μου, πλεῖστά τε περὶ τὸ πρᾶγμα γνωσιμαχεῖ, καὶ τῷ ἁγιωτάτῳ μου δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ καὶ τῇ ἱερᾷ καὶ θείᾳ συνόδῳ κοινοῦται τὰ τῆς βουλῆς καὶ τοῦ σκέμματος. καὶ δὴ καὶ τὴν αὐτῶν τιμιότητα συνῳδὰ φρονοῦσαν αὐτῇ εὑροῦσα ἡ βασιλεία μου, συνεῖσα δὲ καὶ τοὺς ἐν ταῖς ἀνεσίμοις ἡμέραις τιμωμένους ἁγίους ἀτιμίαν μᾶλλον ἢ τιμὴν οἰομένους ἐξ ἧς οἰχήσεσθαι τέλεον παρακινδυνεύει τὸ δίκαιον, ταῦτα θεσπίζει, ταῖς τε τῶν σεπτῶν πανηγύρεων τελεταῖς τὸ εἰκὸς τῆς αὐτῶν τιμῆς ἀπονέμουσα, καὶ τῇ τῶν ἀδικουμένων ἐκδικήσει τὸ πρέπον ἀπομερίζουσα· ἵνα μὴ, ὅ φησιν ὁ ἀπόστολος, ἐκ τοῦ ἀγαθοῦ κατεργάζοιτο θάνατος, ἐκ τῆς ἐν ταῖς ἑορταῖς δηλαδὴ τοῦ θεοῦ θεραπείας ἡ τῶν ἀδικουμένων πλείων συντριβὴ καὶ ἀπώλεια, μηδ' ἡ σεμνωνυμία τῆς ἀργίας καὶ τῆς ἀπραξίας τὸ εὔφημον, ἐνεργόν τε ἅμα ποιοῖτο τὴν ἀδικίαν καὶ ἔμπρακτον.

α'. Θεσπίζομεν οὖν ἐκείνας εἶναι τῶν ἡμερῶν ἀπράκτους, ἃς ἐν τῇ παρούσῃ διατάξει ῥητῶς ἀπαριθμησόμεθα. καὶ τινὰς μὲν αὐτῶν τὸ πάντη ἄπρακτον ἔχειν, ὡς μηδαμῶς δι' ὅλου τοῦ αὐτῶν διαστήματος συνίστασθαι δικαστήριον, εἰ μὴ βασιλεία ἴσως οἰκονομίας τρόπῳ ἢ ἀνάγκη[10] (ὁποῖα πολὺ τὸ περιπετὲς

---

[9] Labb. ἀποπληροῦν et φέρουσα, quod emendandum erat. [10] Bals. ἀνάγκης.

τῶν πραγμάτων νεανιεύεται) θελήσει καθίσαι καὶ ἐν αὐταῖς δικαστήριον· τινὰς δὲ ἀπὸ μέρους ἄγειν τῶν δικαστηρίων σχολὴν, ὡς οἷον ἕωθεν μέχρι καὶ εἰς αὐτὸν τὸν τῆς λειτουργίας καιρὸν, ἵνα τοῖς δικασταῖς ἐξείη προσανέχειν εὐχῇ καὶ τῇ περὶ τὸ θεῖον δοξολογίᾳ, καὶ μετὰ τὴν ἱεροτελεστίαν ἐπιμελεῖσθαι καὶ τῆς δικαιοσύνης καὶ τοῖς ἄδικα πεπονθόσιν ἐπαρήγειν κατὰ τὴν τῶν νόμων ἰσχύν. οἱ μέντοι οὕτω μετὰ τὴν θείαν λειτουργίαν ἐπιτετραμμένοι δικάζειν ἐν τοῖς γινομένοις παρ᾽ αὐτῶν σημειώμασι μεμνήσονται τοῦ καιροῦ, καθ᾽ ὃν τὰ σημειώματα πράττονται. καὶ δὴ πρῶτον περὶ τῶν τελείως ἀπράκτων διαληπτέον.

Ἡ τοίνυν κατὰ τὴν ὀγδόην ἡμέραν τοῦ σεπτεμβρίου μηνὸς γενέθλιος ἡμέρα τῆς παναχράντου δεσποίνης καὶ θεομήτορος ἄπρακτος ἔσται. ὡσαύτως καὶ ἡ ιδ΄, τῇ ὑψώσει τετιμημένη τοῦ ζωοποιοῦ[11] σταυροῦ. καὶ ἡ κϛ΄, διὰ τὴν τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ ἰωάννου τοῦ θεολόγου μετάστασιν.

Ἡ ϛ΄ τοῦ ὀκτωβρίου, διὰ τὸ τὴν μνήμην ἐν αὐτῇ τελεῖσθαι τοῦ ἁγίου ἀποστόλου θωμᾶ. ἡ θ΄, διὰ τὸν τοῦ ἀλφαίου ἰάκωβον τὸν ἀπόστολον. καὶ ἡ ι΄[12], διὰ τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν λουκᾶν.

Ἡ ιγ΄ τοῦ νοεμβρίου μηνὸς, ὅτι ἐν αὐτῇ ἡ μνήμη τοῦ χρυσοστόμου[13] τελεῖται. ἡ ιδ΄, ὅτι ἐν αὐτῇ ὁ ἀπόστολος φίλιππος ἑορτάζεται. ἡ ιϛ΄, ὅτι ὁ εὐαγγελιστὴς καὶ ἀπόστολος ματθαῖος τιμᾶται. ἡ κα΄, ὅτι τὰ εἰς τὸν ναὸν εἰσόδια τῆς θεομήτορος ἐν ταύτῃ πανηγυρίζεται. καὶ ἡ λ΄, ὅτι ὁ ἀπόστολος ἀνδρέας ἐν αὐτῇ ἑορτάζεται.

Ἡ θ΄ τοῦ δεκεμβρίου, ὡς τῆς συλλήψεως ἐν αὐτῇ τελουμένης τῆς ὑπεραγίας μητρὸς τοῦ θεοῦ ἡμῶν. ἡ κ΄ μέχρι καὶ αὐτῆς τῆς ϛ΄ τοῦ ἰανουαρίου, ὡς ἐν αὐταῖς ἑορταζομένων τῶν γενεθλίων καὶ τοῦ βαπτίσματος τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ.

Ἡ ιη΄ τοῦ[14] ἰανουαρίου, διὰ τοὺς θείους πατέρας καὶ διδασκάλους, ἀθανάσιον καὶ κύριλλον. ἡ κε΄ τοῦ αὐτοῦ μηνὸς, διὰ τὴν μνήμην τοῦ μεγάλου πατρὸς γρηγορίου τοῦ θεολόγου.

Ἡ β΄ τοῦ φεβρουαρίου, διὰ τὴν τοῦ σωτῆρος ὑπαπαντήν. καὶ ἡ γ΄, διὰ τὴν τῆς μνήμης τοῦ θεοδόχου συμεὼν τελετήν.

---

[11] Id. ζωηφόρου. [12] Bals. ex ed. Rhalli: ιη΄. [13] Bals. addit πατρός.
[14] Ib. τοῦ αὐτοῦ.

Ἡ κε′ τοῦ μαρτίου, διὰ τὸν τῆς θεομήτορος εὐαγγελισμόν. αἱ πασχαλίαι τῶν ἡμερῶν, ἀπ᾽ αὐτῆς τῆς τοῦ λαζάρου ἐγέρσεως μέχρι καὶ εἰς αὐτὴν τὴν μετὰ τὸ ἅγιον πάσχα ὀγδόην.

Ἡ κε′ τοῦ ἀπριλλίου, διὰ τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν μάρκον. καὶ ἡ λ′, διὰ τὸν ἀπόστολον ἰάκωβον, τὸν τοῦ θεολόγου καὶ εὐαγγελιστοῦ ἀδελφόν.

Ἡ η′ τοῦ μαΐου, διὰ τὴν μνήμην τοῦ εὐαγγελιστοῦ ἰωάννου τοῦ θεολόγου. ἡ ι′, διὰ τὴν τοῦ ἀποστόλου σίμωνος τοῦ ζηλωτοῦ. ἡ κα′, διὰ τὴν μνήμην τῶν ἁγίων καὶ ἰσαποστόλων μεγάλων βασιλέων, κωνσταντίνου καὶ ἑλένης. ἡ κς′, διὰ τὴν τοῦ ἀποστόλου ἀλφαίου τοῦ ἰούδα.

Ἡ ια′ τοῦ ἰουνίου, διὰ τὸν ἀπόστολον βαρθολομαῖον. ἡ ιθ′, διὰ τὸν ἀπόστολον ἰούδαν τὸν καὶ θαδδαῖον, καὶ λεββαῖον, καὶ ἰάκωβον. ἡ κδ′, διὰ τὸ τοῦ προδρόμου γενέθλιον. ἡ κθ′, διὰ τὴν ἐπὶ τοῖς κορυφαίοις τῶν ἀποστόλων πέτρου καὶ παύλου πανήγυριν. καὶ ἡ λ′, διὰ τὴν ἐπὶ τοῖς δώδεκα.

Ἡ κε′ τοῦ ἰουλίου, διὰ τὴν τῆς ἁγίας ἄννης τῆς μητρὸς τῆς θεομήτορος κοίμησιν.

Ἡ ς′ τοῦ αὐγούστου, διὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ μεταμόρφωσιν. ἡ θ′, διὰ τὴν μνήμην τοῦ ἁγίου ἀποστόλου ματθίου. ἡ ιε′, διὰ τὴν ὑπερένδοξον τῆς ἁγίας θεοτόκου μετάστασιν. καὶ ἡ κ′, διὰ τὴν μνήμην τοῦ ἁγίου ἀποστόλου θαδδαίου. καὶ ἡ κδ′, διὰ τὴν τοῦ ἀποστόλου βαρθολομαίου. καὶ ἡ κθ′, διὰ τὴν τοῦ τιμίου προδρόμου ἀποτομήν.

Ταύταις ὡς τέλεον ἀπράκτοις συνεξετασθήσονται καὶ αἱ μεσότητες τῆς τεσσαρακονθημέρου νηστείας καὶ τῆς πεντηκοστῆς, καὶ ἡ τοῦ σωτῆρος ἀνάληψις, καὶ αἱ πᾶσαι τῶν ἐν τῷ ἐνιαυτῷ ἡμερῶν κυριώνυμοι· ὡς ἐν αὐταῖς ἀποκεκλεῖσθαι πᾶσαν πάροδον εἰς τὸ δικαστήριον, καὶ μηδέν τι μηδένα τῶν δικάζειν λαχόντων δικαστικὸν διαπράττεσθαι.

β′. Αἵ γε μὴν τὸ δικαστήριον ἀπὸ μέρους σχολάζουσαι, καὶ μὴ καθ᾽ ὁλόκληρον (ὡς προδιειλήφαμεν) ἀπρακτήσουσαι, εἶεν ἂν αὗται.

Ἡ ς′ τοῦ σεπτεμβρίου μηνὸς, ὅτι ἐν αὐτῇ τὸ ἐν χώναις τοῦ ἀρχιστρατήγου μιχαὴλ θαῦμα τετερατούργηται[15].

Ἡ κγ′ τοῦ ὀκτωβρίου, ὅτι τὴν μνήμην τοῦ ἀδελφοθέου

---

[15] Ita Bals. Labb. τερατουργεῖται.

ἰακώβου τελοῦμεν. ἡ κς', ὅτι τὸν μέγαν μάρτυρα καὶ μυροβλύτην[16] δημήτριον ἑορτάζομεν.

Ἡ α' τοῦ νοεμβρίου, διὰ τὸ τοὺς θαυματουργοὺς ἀναργύρους[17] κοσμᾶν καὶ δαμιανὸν ἑορτάζεσθαι. ἡ η', διὰ τὸ τὴν σύναξιν τῶν ἀσωμάτων τελεῖσθαι. καὶ ἡ κη', διὰ τὸ τὸν ὁσιομάρτυρα στέφανον τὸν νέον πανηγυρίζεσθαι.

Ἡ δ' τοῦ δεκεμβρίου, διὰ τὴν καλλιμάρτυρα βαρβάραν. καὶ ἡ ς', διὰ τὸν ἐν θαύμασι περιώνυμον καὶ μυροβλύτην νικόλαον.

Ἡ ι' τοῦ ἰανουαρίου, διὰ τὸν νύσσης θεῖον γρηγόριον. ἡ ις', διὰ τὴν προσκύνησιν τῆς τιμίας τοῦ κορυφαίου τῶν ἀποστόλων πέτρου ἁλύσεως. ἡ ιθ', διὰ τὴν ἀνακομιδὴν τοῦ τιμίου νεκροῦ τοῦ θεολόγου γρηγορίου. καὶ ἡ κζ', διὰ τὴν ἀνακομιδὴν τοῦ σεβασμίου λειψάνου τοῦ χρυσοστόμου.

Ἡ ζ' τοῦ φεβρουαρίου, διὰ τὸν μεγαλομάρτυρα στρατηλάτην θεόδωρον. ἡ ιζ', διὰ τὸν ἀθλοφόρον θεόδωρον τὸν τήρωνα.

Ἡ θ' τοῦ μαρτίου, ὡς τῆς μνήμης τελουμένης τῶν ἁγίων μαρτύρων τοῦ χριστοῦ μ'.

Ἡ κγ' τοῦ ἀπριλλίου, ὡς τοῦ μεγαλομάρτυρος γεωργίου τιμωμένου.

Ἡ β' τοῦ μαΐου, διὰ τὸν μέγαν ἀθανάσιον.

Ἡ η' τοῦ ἰουνίου, διὰ τὸν μεγαλομάρτυρα θεόδωρον τὸν στρατηλάτην. ἡ θ', διὰ τὸν ὅσιον πατέρα ἡμῶν κύριλλον ἀλεξανδρείας. καὶ ἡ κζ', διὰ τὸν ὅσιον καὶ θαυματουργὸν σαμψών.

Ἡ α' τοῦ ἰουλίου, ὅτι ἐν αὐτῇ τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων[18] τὴν μνήμην τελοῦμεν. ἡ β', ὅτι τῆς καταθέσεως τῆς τιμίας ἐσθῆτος τῆς θεομήτορος μνημονεύομεν. ἡ η', ὅτι τὸν μεγαλομάρτυρα προκόπιον ἑορτάζομεν. ἡ ιά, ὅτι τὴν καλλιμάρτυρα εὐφημίαν πανηγυρίζομεν. ἡ κ', ὅτι τὸν προφήτην ἠλίαν τιμῶμεν. ἡ κζ'[19], ὅτι τὸν ἀθλοφόρον καὶ θαυματουργὸν παντελεήμονα ἑορτάζομεν.

Καὶ ἡ λα' τοῦ αὐγούστου, διὰ τὴν τῆς τιμίας ζώνης τῆς ἀχράντου θεοτόκου κατάθεσιν.

Αὗται δὴ αἱ πῶς μὲν ἄπρακτοι, πῶς δὲ ἔμπρακτοι. τὰς

---

[16] Bals. μεγαλομάρτυρα καὶ μυρόβλητον. [17] Bals. καὶ ἀναργ. [18] Labb. τῶν ἀναργ. [19] Haec verba ὅτι τὸν προφήτην — Ἡ κζ' ex Bals. supplevi, quum apud Labb. deessent.

μέντοι διὰ γέννησιν βασιλικὴν ἢ ἀναγόρευσιν σχολαζούσας τῶν ἡμερῶν καὶ ταύτας ταῖς ἐμπράκτοις ἐγκρίνει ἡ βασιλεία μου, ἀφ' ἑαυτῆς ἀρχομένη τοῦ παρόντος θεσμοθετήματος, καὶ ἐν οἷς αὐτὴ διαπράξαιτο διδάσκουσα τοὺς λοιπούς· οὐχ οὕτω γὰρ ὁ τῆς παρούσης διατάξεως πείσει λόγος τοὺς αὐτῷ προσανέχοντας, ὡς ἡ παρὰ τῆς βασιλείας μου πρᾶξις. αὐτὰς γὰρ τὰς ἡμέρας, ἐν αἷς ἡ βασιλεία μου καὶ εἰς τὸν τῇδε βίον προῆκται καὶ εἰς βασιλέα θεοῦ προνοίᾳ ἀνηγόρευται, ἐμπράκτους εἶναι θεσπίζει, καὶ μηδεμίαν ἐκεχειρίαν ἐν ταύταις ἄγειν τὰ δικαστήρια. πᾶσαι μέντοι αἱ παρὰ τὰς ἄνω καταγραφείσας ἡμέρας τοῦ χρόνου καὶ ἔμπρακτοι ἔσονται, καὶ δικαστήρια ἐν αὐταῖς γενήσονται καὶ ἐκβιβασμοὶ ἀκολούθως ταῖς δικαστικαῖς ἀποφάσεσι. πέπεισμαι δὲ, ὅτι καὶ θεῷ φίλον ἔσται τὸ παρὸν τῆς βασιλείας μου θεσμοθέτημα· ταλανίζων γὰρ τοὺς φαρισαίους ὁ ἰησοῦς[20] καὶ αὐτοῦ τοῦ ἐλέους τὴν κρίσιν προέταξε.

Εἶχε τὸ· μηνὶ μαρτίῳ ἰνδικτιῶνος ιδ', δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρός. τὸ· διὰ τοῦ λογοθέτου τοῦ δρόμου τοῦ ἁγιοθεοδωρίτου μιχαήλ. κηρίνη βούλλη διπτύχου. καὶ ἔξωθεν τό· ἀπελύθη μηνὶ ἰουνίῳ ἰνδικτιῶνος ιδ' ἔτους ͵ςχοδ'[21].

NOV. LXVIII.

Imp. Manuelis Comneni de homicidis[1]. (A. 1166.)

Νεαρὰ τοῦ πανευσεβεστάτου καὶ φιλοχρίστου κραταιοῦ

---

[20] Bals. *ὁ κύριος*. [21] Cod. Bien. et Labb. indictioni IV tribuunt, quod aperte falsum et a Labb. ex Bals. emendatum est. — In Cod. Paris. 1321 et Coisl. 39 subscriptio haec est: *τῷ μηνὶ μαρτίῳ τοῦ βασιλέως. ἡ διὰ κηροῦ, καὶ τό· διὰ τοῦ λογοθέτου τοῦ δρόμου τοῦ ἁγιοθεοδωρίτου μιχαήλ. εἶχε δὲ καὶ ἔξωθεν τὸ κατ' ἔτος μόνον (κατεστρωμένον?) τοῦ σεβαστοῦ καὶ μεγάλου δρουγγαρίου καὶ τὸ κατ' ἔτος (κατεστρώθη?) ἐν τοῖς δυσὶ μεγάλοις λογαριασταῖς σεκρέτοις κατὰ μῆνα αὔγουστον ἰνδ. ιδ'. καὶ ἐν ταῖς προπτύξεσι τῶν κολλῶν ταῦτα· ἀπελύθη μηνὶ ἰουλίῳ ἰνδ. ιδ' ἔτει ͵ςχοδ'.*

[1] Extat in Cod. Vatic., Coisl. 39, Paris 1321, et in App. Syn. III cl., veluti in Cod. Bien., Paris. 1351. (Marc. App. XI, 30 non integram, sed prooemio truncatam, ex Balsamone fortassis, exhibet, hac nota adscripta: *λείπει τὸ προοίμιον. ἐν ᾧ κατὰ λέξιν ἡ ιβ' νεαρὰ κωνσταντίνου τοῦ πορφυρογεννήτου διείληπται. ἔχεις δὲ ταύτην ἐν τοῖς ἄνω ἐπιδιορθωθεῖσαν διὰ τῆς παρούσης διατάξεως.* Quam quidem notam similiter praestat Leuncl. post Syn. p. 81.) Praeterea verba

καὶ ἁγίου ἡμῶν βασιλέως τοῦ πορφυρογεννήτου κυροῦ μανουὴλ τοῦ κομνηνοῦ περὶ τῶν ἑκουσίως φονευόντων [2].

Τοῖς ἀρχηγέταις τοῦ γένους ὁ τῆς κακίας γεννήτωρ ἀπὸ φθόνου καὶ φόνου τὰς ἀρχὰς τῆς πονηρίας ἐπήξατο, συλλαβὼν μὲν τὸν φθόνον καὶ ὠδινήσας, ἀποτεκὼν δὲ τὸν φόνον, ἅτε ζωῆς πολέμιος ὢν καὶ τῷ δημιουργῷ καὶ πλάστῃ τῶν ἀνθρώπων ἀντίπαλος· εἰ ἐκεῖνος μὲν παράγειν[3] *καὶ συνέχειν τὸ πλάσμα ηὐδόκησεν, αὐτὸς δὲ ἀναιρεῖν καὶ ἀπολλύειν*[4] *ἐξ ἀρχῆς καὶ μέχρι παντὸς μεμελέτηκε. διὰ τοῦτο*[5] *καὶ παρ' ἀδελφοῖς τὰ πρῶτα φθόνος τὸ πονηρὸν τοῦτο καὶ ὀλέθριον παραβλαστάνει ζιζάνιον, καὶ φόνον καρποφορεῖ καὶ ἀντιπράττει δι' αὐτοῦ τῷ ποιήσαντι. ἀλλ' ὅρα καὶ τὴν τιμωρίαν οὐ διαμέλλουσαν, παρὰ πόδας δὲ μᾶλλον καὶ ἀπαραιτήτως ὑπὸ θεοῦ τῷ τοῦ μύσους ἐργάτῃ προσαγομένην καὶ εἰς τὸ ἑπταπλάσιον ἀντιμετρουμένην. καὶ δῆλον ἐκεῖθεν· „πᾶς γὰρ ὁ ἀποκτείνας κάϊν ἑπτὰ,“ φησὶ, „τὰ*[6] *ἐκδικούμενα παραλύσει*[7]*,“ ἐν οἷς καὶ τὸ τρέμειν αὐτὸν συγκατηρίθμηται, ἵνα δηλονότι μηκέτι δεύτερον ἰσχύσῃ φόνον ἐργάσασθαι. καὶ οὕτω μὲν ὁ κάϊν. ἐν δὲ τῷ λάμεχ ἠκηκόειμεν οὐχ ἑπτάκις μόνον, ἀλλ' ἑβδομηκοντάκις τὰ τῆς ἐκδικήσεως ὡς φονευτῇ καὶ αὐτῷ γεγονότι ἀντιμεμέτρηται. καὶ οἱ περὶ τὸν ἀχαὰβ ὡς τὸν κατὰ τοῦ ναβουθαὶ μελετήσαντες ἄδικον φόνον καὶ τολμήσαντες ἀποτόμως ἤκουσαν*[8]*· „ἐφόνευσας, ἐκληρονόμησας“, καὶ· „ἐν τῷ τόπῳ, ἐν ᾧ ἔλειξαν οἱ κύνες τὸ αἷμα ναβουθαὶ*[9]*, ἐκεῖ ἐκλείξουσιν οἱ κύνες τὸ αἷμά σου“, καὶ· „τὴν ἰεζάβελ κύνες καταφάγονται ἐν τῷ προτειχίσματι τοῦ ἰσραήλ*[10]*.“ καὶ τὰ μὲν τῆς παλαιᾶς, ὡς ἐκ πολλῶν ὀλίγα φάναι, τοιαῦτα. ἐπὶ δὲ τῇ τῆς νέας χάριτος*

---

quaedam prooemii allegat Bals. ad c. 74 Basil. (ed. Rhalli IV p. 237), et reliqua praeter prooemium idem Bals. ad c. 8 Basil. (ed. Rhalli IV p. 116). Laudatur Novella nostra ab eodem Bals. ad Phot. IX, 26 (ed. Rhalli I p. 201) et ad syn. Trull. c. 91 (ed. Rhalli II p. 520); in Synopsi minore *Φ*, 29; in Proch. aucto tit. 39; in Leunclavii JGR. I p. 225; denique ab Harm. VI, 6, 5. — Ex Balsamone eam edidit Bonef. p. 87, deinde Leuncl. post Syn. p. 81 et in JGR. I p. 163. Prooemium nuper primus edidit Witte in calce *Ἀνεκδ.* ed. Heimb. II p. 287. [2] Ita inscriptio est in Paris. 1321 et Coisl. 39. App. Syn. III cl.: *Τοῦ αὐτοῦ βασιλέως κυροῦ μανουὴλ τοῦ κομνηνοῦ περὶ φονέων καὶ ὅπως οἱ τοιοῦτοι ἐπιτιμᾶσθαι καὶ τιμωρεῖσθαι ὀφείλουσιν.* [3] Witte conj. *προάγειν.* [4] Paris. 1351: *ἀπολύειν.* [5] Bien. *διὰ τοῦ.* Witte conj. *δι' αὐτοῦ.* [6] Articulus deest in Paris. 1351. [7] Genes. IV, 24. [8] I (III) Reg. 21, 19. [9] Codd. hic et paulo ante *ναβουθὲ* vel *ναβουθὰ* scribunt. [10] I (III) Reg. 21, 23.

ἱλαρότητι, ὅτε πρὸς φόνον ὥρμων τοῦ εὐεργέτου οἱ ἐξ ἰσραὴλ ἀγνώμονες ὄντες καὶ σκληροκάρδιοι, ἀκούομεν τοῦ σωτῆρος τῷ λαβόντι μάχαιραν τὸν ἐκ τῆς μαχαίρας ἐπαπειλοῦντος θάνατον. ἀλλὰ καὶ ὁ πολιτικὸς καὶ παλαιότερος νόμος[11] τῶν ἱερῶν ἀπείργει περιβόλων τὸν φονευτὴν καὶ τὸν τοῦ ἐλέου καὶ τῆς φιλανθρωπίας ναὸν παντάπασι τούτοις ἀπέκλεισεν, ἄδικον εἶναι λογισάμενος, τὸν τὰς χεῖρας πεπλησμένας αἵματος φέροντα τῆς ἀπὸ τῶν νόμων ἐπηρτημένης αὐτῷ ἐξελέσθαι κατακρίσεως καὶ κολάσεως. ταῦτα δὲ πάντως διορίσματα[12] τῷ μωσαϊκῷ κατακολουθήσει νόμῳ[13], τῷ ἐκ τοῦ θυσιαστηρίου τὸν φονέα λαμβάνειν θεσπίζοντι. ἀλλ' ὅτι μὲν ἡ τοῦ φόνου πλημμέλεια ἐναγὲς τῷ ὄντι καὶ θεοστυγὲς, ἔκ τε τῶν θείων νόμων καὶ τῶν ἀνθρωπίνων ἀρκούντως δεδήλωται. Περὶ δὲ τῶν τοιούτῳ περιπιπτόντων ἐγκλήματι καὶ τῇ ἁγιωτάτῃ καὶ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ προσφευγόντων τὰ δόξαντά οἱ νομοθετήσας ὁ πορφυρογέννητος κυρὸς κωνσταντῖνος διωρίσατο[14], ἀειφυγίᾳ μὲν τοὺς ἑκουσίους φονεῖς ἅπαντας ἀπαραιτήτως καθυποβάλλεσθαι, καὶ μὴ συγχωρεῖσθαι περινοστεῖν αὐτοὺς καὶ φαίνεσθαι ἐν τῇ γῇ, ἣ τὸ τοῦ πλησίον αἷμα χανοῦσα κακῶς ὑπεδέξατο· τούς γε μὴν ἐκ μελέτης καὶ βεβουλευμένως καὶ μετὰ σκέψεως τὸν ἀδελφικὸν κατεργασαμένους θάνατον, σὺν τῇ ἀειφυγίᾳ καὶ ἀποκείρεσθαι πάντως διετάξατο, καὶ τοῖς μοναχοῖς ἐγκαταλεγέντας παρ' ὅλην αὐτῶν τὴν ζωὴν τῷ μοναστηρίῳ προσμένειν, μετὰ τὸ καὶ ἄλλας ποινὰς ὑφίστασθαι (περὶ ὧν πλατύτερον τὰ περὶ τούτων ἀπολυθέντα[15] νεαρὰ θεσπίσματα διορίζεται), μηδὲν περὶ τῶν μὴ προσφευγόντων τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ διορισάμενος, ὡς τοὺς πολιτικοὺς νόμους ἀπαρακινήτως[16] ἐπὶ τούτων τηρεῖσθαι βουλόμενος καὶ τὴν τιμωρίαν τοῖς φονεῦσιν ἐπάγεσθαι, καθὼς ἡ τούτων[17] νομοθεσία παρακελεύεται. πρόφασις οὖν ἡ τοιαύτη νεαρὰ νομοθεσία τοῖς παλαμναιοτάτοις τῶν ἀνθρώπων καὶ ἐπαράτοις γέγονε τοῦ μετὰ πολλῆς ἀδείας ἐπὶ τὰς μιαιφονίας ἐκτρέχειν, καὶ τῆς τυχούσης λαβομένους προφάσεως τηλικοῦτον μύσος ἐργάζεσθαι καὶ προσφεύγειν τῇ ἐκκλησίᾳ, καὶ γράμμα συμπαθείας πορισαμένους ἀναστρέφειν[18] οἴκαδε. κἀντεῦθεν οἱ πλείους καὶ δευτέροις καὶ τρίτοις φόνοις καὶ πλείοσιν ἐπιτολμῆσαι οὐκ ὤκνησαν διὰ τὸ

[11] Witte laudat Nov. Justiniani 17 c. 7 et 37. [12] Cod. Bien. *διορισμένα.* [13] Exod. XXI, 12. 14. Deut. XIX, 12. 13. [14] Coll. III Nov. 11. [15] Witte *ἐκφωνηθέντα.* [16] Bien. *ἀπαρατηρήτους — κινεῖν.* [17] Malim *τούτου.* [18] Paris. 1351: *ἀποστρ.*

χαῦνον καὶ καταπεφρονημένον, — οὐ γὰρ ἂν εἴποιμι συμπαθὲς — τῆς προτέρας κολάσεως· συμπάθεια γὰρ ἐπὶ τοῖς πεπονθόσι κακῶς, οὐκ ἐπὶ τοῖς δράσασι, καὶ γίνεται δικαίως καὶ λέγεται· ἐπὶ δὲ τοῖς κακῶς πράττουσιν οὐκ ἀδιακρίτως χρὴ ταύτην γίνεσθαι. ταύτης δὲ τῆς νομοθεσίας κἀκεῖνο δὴ συνέβη τὸ μέρος, λέγω δὴ τὴν ἀειφυγίαν, εἰς παντελῆ ἀχρηστίαν ἐλάσαι. λόγος[19] γὰρ νῦν ἀειφυγίας οὐδεὶς, ἀλλὰ πάντες οἱ φονευταὶ ἀδεῶς καὶ πάλιν ἐκεῖσε περινοστοῦσιν, ἔνθα τὸ μύσος εἰργάσαντο. πρῴην μὲν γὰρ οἱ ἐν τοῖς θέμασιν ἀποστελλόμενοι, εἴτε πολιτικὴν περιεζωσμένοι ἀρχὴν ἢ καὶ στρατιωτικὴν ἐνδεδυμένοι ἀξίαν, φόνου τολμηθέντος, ἔσπευδεν ἕκαστος καὶ τοῦ ἑτέρου προέτρεχε, τὸν φονέα συλλαβεῖν προθυμούμενοι καὶ τὴν ἐπ' αὐτῷ ἐπεξέλευσιν κατὰ νομικὴν ἀκολουθίαν ποιήσασθαι, καὶ διὰ τῆς ἐπὶ τούτῳ κολάσεως ἀναστεῖλαι τοὺς ὁμοιόφρονας. νῦν δὲ οἱ τοῖς θέμασιν ἄρχοντες, ὡς μανθάνει ἡ βασιλεία μου, τοῦ καλοῦ μὲν τελείως ἠλογηκότες καὶ πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν συντείνοντος[20], ἓν δὲ καὶ μόνον συμπέρασμα τῆς ὅλης αὐτῶν ἐνεργείας ποιούμενοι τὸν χρηματισμὸν καὶ τὴν κακὴν αἰσχροκέρδειαν καὶ τὸ κέρμα περιχάσκοντες, οὐ μόνον οὐκ ἀναψηλαφῶσιν, ὅτε φόνος τὶς ἐν ᾗ διέπουσι χώρᾳ γένηται, τοὺς τὸ τοιοῦτον δεινὸν πλημμελήσαντας, ἀλλ', ὃ τούτου χείριστον, τινὲς τῶν τοιούτων καὶ τοὺς ἤδη φωραθέντας ὑπ' αὐτῶν καὶ κρατηθέντας περικρύπτουσι, καὶ λαθραίως εἰς τὴν μεγάλην ἐκκλησίαν προπέμπουσι. περὶ δὲ τῶν γινομένων ἐπ' αὐτοῖς μετὰ τὸ προσδραμεῖν τῇ ἁγιωτάτῃ τοῦ θεοῦ ἐκκλησίᾳ ἡ μὲν βασιλεία μου ἀκριβῶς οὐκ οἶδεν· ἀκούει δὲ ὅμως οὐκ ἀγαθά[21], καὶ ἁπλῶς τοῦτο ἐξ ἁπάντων ἀποτελεῖται, τὸ[22] ἐν παντὶ τόπῳ τῷ ὑπὸ τὴν ῥωμαϊκὴν ἐπικράτειαν φόνους ἀδεῶς καθημέραν τολμᾶσθαι. ὅταν οὖν ἡ βασιλεία μου ἀναλογίσηται, ὅπερ* παρ' ἔθνεσιν, ἃ μήτε νόμος θεῖος ἀπεῖρξε μήτε μελλούσης καὶ φρικτῆς κολάσεως ἀπειλὴ τοῦ κακῶς εἰς ἀλλήλους ποιεῖν ἀνεχαίτισε, τὰ τοιαῦτα τῶν ἁμαρτημάτων σπάνια καὶ διὰ χρόνου τολμῶνται, ἐν δὲ τῇ καθ' ἡμᾶς χώρᾳ σχεδὸν καθ' ἑκάστην πλημμελοῦνται[23], πόσης ἀνίας ἐμπίπλαται; ἡλίκης δὲ ἀθυμίας καὶ τοῦτο αἴτιον μετὰ τῶν ἄλλων τῇ βασιλείᾳ μου γίνεται, τῶν νῦν ἀνθρώπων κατανοούσῃ τὸ περὶ τὴν δικαιοπραγίαν ὀλίγωρον, καὶ τὸ μηδένα ζῆλον ἔχειν αὐτοὺς τοῦ καλοῦ καὶ τῆς ἀρε-

---

19 Id. χρόνος. 20 Witte συντείνοντες. Malc. 21 Hunc locum egregie illustrat Bals. ad c. 74 Basil. ed. Rhalli IV p. 237. 22 Sic Witte. Codd. τῷ. * Malim ὅτιπερ. 23 Sic edo ex conj. Wittii. Paris. 1351: πλημμελοῦντα, Bien. τολμῶνται.

της; ταῦτα πάντα κατανοήσασα ἡ βασιλεία μου, προσλογισαμένη δὲ καὶ τὸ τοῦ ῥηθέντος νεαροῦ βασιλικοῦ διατάγματος ἐπί τισι κανονικαῖς διατάξεσιν ἐναντίον καὶ ἄλλως ἀδόκιμον, ἐφρόντισε κατὰ τὸ ἐγχωροῦν καὶ τὸ τοῦ φόνου μύσος ἀναστεῖλαι, καὶ τὰ τῆς νεαρᾶς διορθώσασθαι.

α΄. Παρακελεύεται οὖν ἅπασι τοῖς ἐν θέμασι διαιτηταῖς, καὶ ταῖς ἐν αὐτοῖς οὔσαις στρατιωτικαῖς δυνάμεσι καὶ τοῖς τούτων στρατηγοῖς, ἔνθαπερ ἂν ἑκούσιος φόνος γένηται καὶ τολμηθῇ τοιοῦτόν τι παρά τινος, αὐτίκα πάντας διεγείρεσθαι εἰς τὴν τοῦ φονέως κατάσχεσιν, καὶ δέσμιον αὐτὸν ἀποστέλλειν πρὸς τὴν βασίλειον περιωπὴν, ἢ ταύτης ἀποδημούσης πρὸς τὸν ἔπαρχον τῆς θεοφυλάκτου μεγαλοπόλεως, ὥστε εἰς δημοσίαν φυλακὴν εἰσάγεσθαι, καὶ τὰς σωματικὰς καὶ οὐσιακὰς κατά τε νόμους καὶ τὴν τῶν νεαρῶν θεσπισμάτων δύναμιν καὶ ἑτέρας ὑποστῆναι κολάσεις· εἰδότων τούτων ἁπάντων, ὡς εἴ τις φωραθείη δυνάμενος κατασχεῖν τὸν φονέα καὶ μὴ τοῦτο ποιήσας, οὕτω μέλλειν[24] κατακριθῆναι, ὡς κατὰ βασιλέως[25] βουλευσάμενος. εἰ δ᾽ ἴσως διαλάθη τὶς καὶ προσφύγῃ τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, μετὰ τὸ προβῆναι τὰ ἐκκλησιαστικὰ ἐπ᾽ αὐτῷ[26] ἐπιτίμια, κατὰ τὴν νομικὴν παρατήρησιν ἐνδημοῦντος μὲν τοῦ κρατοῦντος τῇ βασιλευούσῃ τῶν πόλεων, παρ᾽ αὐτοῦ ἀποσταλήσεται εἰς τὸ θέμα ὁποῖον ἂν ἐπικρίνῃ, ὥστε τὸν χρόνον τῆς ὅλης αὐτοῦ ζωῆς ἐκεῖσε διαβιβάζειν[27], καὶ μὴ ἐκεῖθεν ἀποδιδράσκειν, ὥστε ἐπανατρέχειν ἔνθα τὸ τοῦ φόνου μῦσος εἰργάσατο· ἀποδημοῦντος δ᾽ ἴσως τοῦ βασιλέως, παρὰ τοῦ ἐπάρχου (ὡς εἴρηται) εἴς τινα τῶνποῤῥωτέρω[28] χωρῶν ἐξορισθήσεται καὶ τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ἐκεῖσε διανύσει.

β΄. Ἂν δέ γε μὴ μόνον ἑκουσίως, ἀλλὰ καὶ ἐκ μελέτης τὸν φόνον ἐργάσοιτο, οὐκ ἀναγκασθήσεται κατὰ τὴν προῤῥηθεῖσαν βασιλικὴν διάταξιν ἀποκαρῆναι. εἰ γὰρ τὸν ἑκουσίως τῇ ἀποκάρσει προστρέχοντα οὐκ ἀπεντεῦθεν ἡ κανονικὴ ἀκρίβεια εἰς αὐτὴν παραδέχεται, ἀλλὰ καιρὸν αὐτῷ τὸν ἀρκοῦντα ἐπιμετρήσασα, καὶ δι᾽ αὐτοῦ τὸ τῆς γνώμης ἐκείνου βέβαιον εἴτε καὶ ἀπαγὲς βασανίσασα, εἴπερ εὑρήσει τὸν ἄνθρωπον τῇ ἐξ ἀρχῆς προθέσει στοιχοῦντα καὶ τῷ μοναχικῷ πολιτεύματι καὶ τῇ νεκρώσει τοῦ σώματος ἀόκνως ἑαυτὸν παρασκευάζοντα, ἔκτοτε

---

[24] Leuncl. conj. μέλλει. Paris. 1351 pro his οὕτω μέλλει habet μεγάλως.
[25] Leuncl. in marg. βασιλείας. [26] Al. κατ᾽ αὐτοῦ. [27] Paris. 1351: διαβιβάσαι.
[28] Id. ποῤῥωτάτω.

καὶ τὴν τοῦ ἀγαθοῦ ἔργου αὐτῷ προσεπιφέρει συμπλήρωσιν εἰς τὴν μοναχικὴν πολιτείαν τε παραδεξαμένη καὶ κατάστασιν· πῶς οὐκ ἂν εἴη ἄλογον καὶ τοῖς πνευματικοῖς νόμοις ἀπᾷδον, ἀναγκαστικῶς ἀποκείρεσθαί τινα, καὶ ταῦτα φονέα, ὃν μέχρι τοσούτου ὁ θεὸς ἐγκατέλιπεν, ὥστε καὶ ἀδελφικῷ χρανθῆναι τὰς χεῖρας αἵματι; δέος γάρ, μήπως ἀκουσίῳ προαιρέσει τὸν ἀγγελικὸν βίον ὑπελθὼν καὶ βίᾳ τοῦτον καταδεξάμενος εἰς ἐμπαιγμὸν τῷ φρικώδει χρήσηται σχήματι· πεφύκασι γὰρ οἱ τῶν ἀνθρώπων κουφότεροι εἰς ἀπόνοιαν ἐμπεσόντες καὶ ταῖς χειρίσταις καὶ παραβολωτέραις ἐπιτολμᾶν πράξεσιν. ἀντὶ τοίνυν τῆς ἀποκάρσεως νομοθετεῖ ἡ βασιλεία μου, τὸν πεπλημμεληκότα φόνον μεμελετημένον ἑκούσιον ἐν φυλακῇ παρ᾽ ὅλον τὸν τῆς ζωῆς αὐτοῦ χρόνον[29] διάγειν, καὶ μηδέποτ᾽ ἐκεῖθεν ἐξάγεσθαι, μηδ᾽ ἀπὸ βασιλικῆς ἴσως προστάξεως κατὰ λήθην πορίζομένης· ἐπὶ δὲ ταῖς περιουσίαις αὐτῶν γίνεσθαι, καθὼς ὁ προμνημονευθεὶς βασιλεὺς διετάξατο.

γ΄. Ἐπεὶ δὲ οἱ πλείους τῶν φονέων ἐκ μελέτης καὶ διασκέψεως τοὺς φόνους κατεργαζόμενοι, ἔπειτα τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ προσελθόντες, οὐχ ὡς γέγονε παρ᾽ αὐτῶν ὁ φόνος, ἀλλὰ πρὸς τὸ οἰκεῖον συμφέρον ποιοῦνται τὴν ἐξομολόγησιν τὴν ἀλήθειαν παρακρύπτοντες· παρακελεύεται ἡ βασιλεία μου γραφὴν γίνεσθαι τοῦ κατὰ καιροὺς ἁγιωτάτου πατριάρχου μετ᾽ ἐπιτιμίου πρὸς τὸν κατὰ χώραν ἀρχιερέα καὶ τὸν ὑπ᾽ αὐτὸν κλῆρον, ἀλλὰ μὲν καὶ τὸν τοῦ θέματος διαιτητήν, καὶ καθὼς μάθῃ[30] γενέσθαι τὸν φόνον ἀπὸ τῆς ἐκείνων ἀντιγραφῆς, οὕτω ποιεῖν καὶ τὴν ἐπεξέλευσιν· καὶ μὴ τὸν ἐκ μελέτης φονεύοντα διὰ τὴν ψευδῆ αὐτοῦ ἐξαγορείαν[31] τὰς τοῦ κατὰ τύχην καὶ ἀπροόπτως τῷ τοιούτῳ περιπεσόντος ἐγκλήματι δέχεσθαι ποινὰς καὶ τὰ ἐπιτίμια.

δ΄. Εἴ τις μέντοι τῶν φονέων τῇ ἁγιωτάτῃ μεγάλῃ προσφυγὼν ἐκκλησίᾳ, καὶ τῇ ἀειφυγίᾳ κατακριθεὶς ἢ δέσμιος εἶναι καὶ ἐν φυλακῇ ἐγκεκλεῖσθαι παρ᾽ ὅλην αὐτοῦ τὴν ζωήν, εὑρεθῇ ἄνετος ἐμπεριπατῶν ἔνθα τὸν φόνον εἰργάσατο, δέσμιος παρὰ[32] τοῦ κατὰ χώραν πράκτορος ἀποσταλήσεται εἰς τὴν βασιλείαν μου· καὶ ὅσα δὲ τότε παρευρεθῶσιν αὐτῷ πράγματα, εἰς κέρδος ἔσται τῷ πράκτορι καὶ τῷ τὸν φονέα καταμηνύσαντι ἐπίσης παρ᾽ αὐτῶν μεριζόμενα. μελήσει δὲ πάντως καὶ τοῖς ἐν τῇ ἁγιω-

---

[29] Bals. παρ᾽ ὅλον τῆς ζωῆς αὐτοῦ διάγειν. [30] Al. ἂν μάθοι. [31] Leuncl. ἐξομολόγησιν. [32] Al. διά.

τάτῃ μεγάλῃ ἐκκλησίᾳ τῶν τοιούτων διαιτηταῖς, μετὰ τῆς προσηκούσης κανονικῆς αὐστηρίας τὰ φονικὰ κολάζειν ἐγκλήματα, καὶ μὴ τοὺς χρόνους ὡς ἔτυχε συντέμνειν, καὶ μηδὲ ἐφ' οἷς οὐ χρὴ πλέον τοῦ εἰκότος φιλανθρωπεύεσθαι. Ἶσα μέντοι τοῦ παρόντος διατάγματος τῆς βασιλείας μου, ὑπογραφέντα παρὰ τῶν προϊσταμένων τῶν δικαστηρίων, ἀποσταλέντα ταῖς κατὰ χώραν ἐκκλησίαις ἀποτεθήσεται· ὥστε πάντας εἴδησιν ἔχειν τῶν διωρισμένων, ὡς ἂν ποιῶσι κατὰ τὴν τούτων περίληψιν.

ε'. Εἴπερ μέντοι ὁ τὸν μεμελετημένον φόνον ἐργασάμενος ἑκουσίως ἕλοιτο τὴν ἀπόκαρσιν, οὐκ ἀδοκιμάστως τοῖς μοναχοῖς ἐγκαταλεγήσεται, ἀλλὰ μετὰ πολλῆς τῆς ἀκριβείας καὶ ἐξετάσεως, τὸν ἀρκοῦντα χρόνον κατὰ τὰς κανονικὰς διατάξεις βασανιζόμενος. τῷ μέντοι μοναστηρίῳ καὶ ἄκων προσμένειν ἀναγκασθήσεται παρ' ὅλον τὸν τῆς ζωῆς αὐτοῦ χρόνον, μηδέποτε τούτου ἐξέρχεσθαι συγχωρούμενος. πάντως δὲ τὸ μοναστήριον ἐν ἑτέρᾳ ἔσται ἐπαρχίᾳ, καὶ οὐκ ἐν ἐκείνῃ τῇ γῇ, ἣ τὸ τοῦ θανόντος[33] αἷμα χανοῦσα κακῶς ὑπεδέξατο.

Τό· μηνὶ ἀπριλλίῳ ἰνδ. ιδ' τῆς βασιλικῆς ἁγίας χειρός· ἡ διὰ κηροῦ συνήθης σφραγίς· καὶ τὸ διὰ τοῦ λογοθέτου τοῦ δρόμου τοῦ ἁγιοθεοδωρίτου μιχαήλ. εἶχε καὶ ἔξωθεν ἐν τῇ προπτύξει τῶν κολλῶν ταῦτα· ἀπελύθη μηνὶ ἰουλίῳ ἰνδ. ιδ' ἔτει ͵ςχοδ'. τὸ κατ' ἔτος μόνον[34] τοῦ σεκρέτου τοῦ μεγάλου δρουγγαρίου, καὶ τὸ κατεστρώθη ἐν τοῖς δυσὶ μεγάλοις λογαριαστατικοῖς σεκρέτοις κατὰ μῆνα αὔγουστον ἰνδ. ιδ'[35].

---

[33] Leuncl. θανάτου, et in marg. θανατωθέντος. [34] Forte κατεστρώθη.
[35] Haec subscriptio est in Paris. 1321 et Coisl. 39. In Paris. 1351 et Bien. sic est: εἶχε τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. δ' (l. ιδ') δι' ἐρυθρῶν γραμμάτων τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως (Bien. τῆς θείας καὶ βασιλικῆς χειρὸς), τὴν συνήθη δίπτυχον καὶ κηρίνην βοῦλλαν τῆς ἁγίας αὐτοῦ βασιλείας. καὶ τὸ· διὰ τοῦ λογοθέτου τοῦ δρόμου τοῦ ἁγιοθεοδωρίτου μιχαήλ. καὶ ἔξωθεν τὸ· ἀπελύθη μηνὶ ἰουλίῳ ἰνδ. ιδ' ἔτους ͵ςχοδ' (Bien. τοῦ ͵ςχοδ' ἔτους). — Apud Leuncl. simpliciter est: τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. ιδ' ἔτους ͵ςχοδ'.

NOV. LXIX.

Imp. Manuelis Comneni edictum, quod rescindit matrimonium septimo cognationis gradu contractum[1]. (A. 1166.)

Πρόσταγμα βασιλικὸν[2]*, διαλύον καὶ ἀνατρέπον τὸ προβὰν ἑβδόμου ἐξ αἵματος βαθμοῦ συνοικέσιον, κωλύον δὲ γενέσθαι μὴ γεγονός.*

Μηνὶ μαρτίῳ ιη' ἡμέρᾳ δ' ἰνδ. ιδ' κατεστρώθη καὶ πιττάκιον βασιλικὸν περιέχον οὕτως[3]*·*

Τῆς τῶν θείων καὶ ἱερῶν κανόνων καὶ νῦν φροντίζοντες συντηρήσεως ὅ τε ἁγιώτατός μου δεσπότης καὶ οἰκουμενικὸς πατριάρχης καὶ ἡ τῶν τοῦ χριστοῦ ἀρχιερέων ὁμήγυρις, ἀλλὰ καὶ τὴν κρατοῦσαν ἐν ταῖς συνοδικαῖς περὶ κοινῶν ὑποθέσεων πράξεσι διατηροῦντες συνήθειαν, ἀνενεγκεῖν καὶ πρὸς τὴν ἡμῶν εὐσεβῆ βασιλείαν τὰ παρ' αὐτῶν διαγνωσθέντα καὶ ὁροδοτηθέντα καλῶς ἐβουλεύσαντο, ἐφ' οἷς συνοδικὴ προὐτέθη συζήτησις, εἰ χρὴ τοὺς ἐκ τοῦ ἑβδόμου βαθμοῦ ἐξ αἵματος, τὴν τῆς συγγενείας μὲν εἰδότας ἐγγύτητα, περιέργως δὲ ὅμως μὴ πρὸς ἐρώτησιν τῆς ἐκκλησίας τὸ γενησόμενον ἄγοντας, καὶ οὕτω γαμικὸν συνιστῶντας συνάλλαγμα, μένειν μὲν ἀδιασπάστους, ἐπιτιμίοις δὲ καθυπάγεσθαι· εἴτε μὴν ἀπ' ἀλλήλων τοὺς οὕτω κακουργοῦντας διΐστασθαι. καὶ γοῦν τὸν ἐκτεθέντα περὶ τούτου τόμον τῷ ἡμετέρῳ κράτει προκεκομίκασι, τὸ ἐπιστημοναρχικὸν τῆς ἡμῶν βασιλείας παραφυλαττόμενοι δίκαιον, καὶ πυθέσθαι καὶ ταύτης προῃρετίσαντο, εἰ καὶ κατὰ γνώμην αὐτῆς τὰ κυρωθέντα συμβαίνει. τῶν γὰρ ἀναγκαιοτάτων εἶναι τοῦτο διενοήσαντο κάλλιστά τε καὶ εὐλογώτατα. οὗτοι μὲν γὰρ τὴν ἐκ τοῦ τοιούτου βαθμοῦ ἐν γάμῳ συζυγίαν πάντη διεκωλύσαντο, καὶ μηδὲ τὴν ἀρχὴν προβαίνειν ἐθεσμοθέτησαν, οὐ μόνον κἂν

---

[1] Extat in Cod. Paris. 1355, et absque prooemio in Bodlej. 158 et Paris. 1339. — Laudatur a Bals. ad Phot. XIII, 2 (ed. Rhalli I p. 282), unde hausit Bonef. p. 85; a Demetrio Chomateno (in Coll. can. ed. Rhalli V p. 423), a Blast. *B,* 8 (ed. Bever. II p. 47) et ab Harmenop. IV, 8, 9. Edidit Leuncl. JGR. I p. 165, et nuper Rhallis et Potlis in Coll. can. V p. 311. — Confirmatur hoc edicto sententia synodalis sub P. Luca anno 1166 edita, quam praestat Coll. can. laud. V p. 95. [2] In Paris. 1355, ubi legitur post *σημείωμα* not. 1 laud., additur: *ἐπὶ τούτοις ὁμοίως τῷ συνοδικῷ τόμῳ.* [3] Haec verba *Μηνὶ — οὕτως* Leuncl. non habet. Addo ex Paris. 1355. Sed videtur legendum *Μηνὶ μαΐῳ.* Cf. infra in fine.

πρὸς ἐρώτησιν ἔλθῃ τῆς ἐκκλησίας, ἀλλὰ καὶ πρὸ τῆς ἐρωτήσεως εἰς ἔργον ἀποβᾶσαν αὖθις διαιρεῖσθαι καὶ διατέμνεσθαι ἅτε καὶ φύσει καὶ θείῳ νόμῳ προσπταίουσαν· δίχα μέντοι τῶν μέχρι τότε φθασάντων ἐκτελεσθῆναι γάμων ἐκ τοῦ τοιούτου βαθμοῦ. οὐ μόνον δὲ, ἀλλὰ καὶ τοὺς τολμήσαντας παρὰ τὴν συνοδικὴν ταύτην κύρωσιν διαπράξασθαι μετὰ τῆς διασπάσεως καὶ ἀφορισμῷ καθυπάγεσθαι, καὶ τοὺς ἐκείνοις δὲ συναινέσαντας τῆς κανονικῆς πειρᾶσθαι δριμύτητος· ἀλλὰ καὶ τοὺς ἱερολογήσαντας καθαιρέσει καθυποβάλλεσθαι. ἐπεὶ δὲ πολλὰ πολλάκις προβαίνουσι συναλλάγματα μετὰ τῶν ἐκ βασιλέων γένους καὶ τῶν ἄλλων εὐγενεστάτων καὶ περιδόξων ἐν ἀξιώμασι, καὶ τῶν ἐξ ἀλλοδαπῶν χωρῶν, ὧν ῥῆγες καὶ πρίγκιπες ἄρχουσι, μεταγομένων προσώπων ἐπὶ τὴν βασιλίδα τῶν πόλεων, ἅπερ οὐκ ἄνευ τῆς τοῦ ἡμετέρου κράτους κελεύσεως συντελεῖσθαι πάντως πεφύκασιν, ἐν εἰδήσει γενέσθαι καὶ τὴν ἡμῶν βασιλείαν τῶν συνοδικῶς κυρωθέντων περὶ τοῦ τοιούτου ἀναγκαίου ζητήματος ἦν δικαιότατον, ἵνα μὴ κατὰ λήθην ἴσως ἄθεσμόν τι τοιοῦτον συμβαίη συνάλλαγμα, καὶ τοῖς ἱεροῖς κανόσι καὶ τοῖς νομικοῖς ἀνακόλουθον διατάγμασιν, ἐν πόλει καὶ ταῦτα ταύτῃ, πασῶν μὲν προκαθημένῃ τῷ τῆς αὐτοκρατορίας στέμματί τε καὶ διαδήματι, νόμοις δὲ κατὰ πᾶν διεξαγομένῃ καὶ εἰς κοινὸν προκειμένῃ τῆς εὐνομίας πᾶσιν ὑπόδειγμα.

α΄. Τοιγάρτοι καὶ ἡ βασιλεία ἡμῶν τὴν συνοδικὴν ταύτην ἐπὶ τῷ ζητηθέντι ἀπόκρισιν, εἴτ' ἀληθὲς[4] εἰπεῖν ὁροθέτησιν, ὡς ἑπομένως τοῖς θείοις κανόσι καὶ τοῖς ἀποστολικοῖς[5] ἐκτεθεῖσαν νόμοις ἐπέκρινε, καὶ κρατεῖν εἰς τὸ ἑξῆς καὶ ἀμετατρέπτως ἔχειν εἰς τὸ διηνεκὲς διορίζεται, τῆς αὐτῆς κοινωνοῦσα γνώμης ἐπὶ τῇ λύσει τοῦ προκειμένου ζητήματος τῷ τε ἁγιωτάτῳ μου δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ καὶ τῇ ἱερᾷ καὶ θείᾳ συνόδῳ. εἰ γὰρ ἐπὶ τῶν ἐξ ἀγχιστείας συναλλαγμάτων ἐστὶν, ἃ τοῖς νόμοις κωλύονται τῆς εὐπρεπείας χάριν καὶ τοῦ μὴ συγχέεσθαι τὰ ὀνόματα, πολλῷ μᾶλλον τοῦτ' ἂν ἐνταῦθα παῤῥησιάσαιτο, ἔνθα καὶ τὸ ἀπρεπὲς μετὰ τῆς τῶν ὀνομάτων συγχύσεως, ἀλλὰ δὴ καὶ ἡ τοῦ συγγενοῦς αἵματος ἀλογωτάτη σύγκρασις καὶ ἀνάχυσις. ἵνα τί καὶ δεήσει τοῖς ἐγγυτέρω καὶ καθ' αἷμα συνηνωμένοις ἐπιμιξίας ἑτέρας καὶ συνενώσεως; ἐκείνοις γὰρ πάντως χρῆναι τὸν σύνδεσμον καὶ τὴν τῶν γάμων συνάφειαν πραγματεύεσθαι, οἷς καὶ ἡ πηγαία τοῦ αἵματος πρόοδος

---

[4] Bals. ἢ τἀληθές. [5] Bals. πολιτικοῖς, quod praestat.

πολλαχῶς μερισθεῖσα καὶ διαιρεθεῖσα πορρωτέρα διεστηκυῖα γνωρίζεται, εἰς ὄγδοον βαθμὸν περιστᾶσα, κἀκεῖθεν μᾶλλον αὖθις τὴν αὐτῆς ἀπόστασιν προσεπαύξουσα. οὕτω δὴ προσθεμένη[6] τῇ συνοδικῇ περὶ τοῦ ῥηθέντος ζητήματος ἐπικρίσει ἡ εὐσεβὴς ἡμῶν βασιλεία, τὸ παρὸν ἐννομώτατον ἀπολέλυκε θέσπισμα, ὀφεῖλον τῷ τε ἱερῷ χαρτοφυλακείῳ τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας ἐναποτεθῆναι, καὶ πᾶσι τοῖς δημοσιακοῖς ἀρχείοις ἐπιγνωσθῆναι, καὶ ἔχειν εἰς τὸ ἀπέραντον τὸ ἰσχυρόν τε καὶ ἀναλλοίωτον.

Τό· μηνὶ ἀπριλλίῳ ἐπινεμήσεως ιδ', δι' ἐρυθρῶν γραμμάτων τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου. καὶ ἡ διὰ κηροῦ συνήθης σφραγίς. τὸ· διὰ τοῦ λογοθέτου τοῦ δρόμου τοῦ ἁγιοθεοδωρίτου μιχαήλ· καὶ τὸ· κατετέθη ἐν τοῖς δυσὶ μεγάλοις σεκρέτοις κατὰ μῆνα μάϊον.

NOV. LXX.

Imp. Manuelis Comneni edictum de controversia, quatenus pater major Christo sit[1]. (A. 1166.)

Μανουὴλ ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς ὁ πορφυρογέννητος, ῥωμαίων αὐτοκράτωρ εὐσεβέστατος, ἀεισέβαστος, αὔγουστος, ἰσαυρικὸς, κιλικικὸς, [ἀρμενικὸς][2], δαλματικὸς, οὐγγρικὸς, βοσεντικὸς[3], χροβατικὸς, λαζικὸς, ἰβηρικὸς, βουλγαρικὸς, σερβικὸς, ζηκχικὸς, ἀζαρικὸς[4], γοτθικὸς, θεοκυβέρνητος κληρονόμος τοῦ στέμματος τοῦ μεγάλου κωνσταντίνου καὶ ψυχῇ νεμόμενος[5] πάντα τὰ τούτου δίκαια[6]

---

[6] Leuncl. προθεμένῃ, sed in marg. προσθ.

[1] Extat in Cod. Marc. 83, Mosquensi Typogr. 30 (in fol.), Ottob. 309 et Paris. reg. Supplem. 131, ex cujus apographo hic editur. Pluribus de eo tractant Joannes Cinnamus VI, 2 (ed. Paris. p. 146 sqq.), Nicetas Choniates in Manuele VII, 5 (ed. Paris. p. 137 sq.), Ephraem. Vit. Caesar. v. 4746 sqq. Narrationem de hoc edicto ex bibl. Cl. Pelleterii laudat Ducange in Indice Auctorum p. 37. Edictum nostrum etiam inest actis Synodi Constantinopolitanae de anno 1166, quae edidit A. Maio Scriptor. vet. nova coll. to. IV p. 75 Quo anno datum sit, dubitaverunt viri docti: Mortreuil III p. 169 anno 1146, Wolffius (ad Nicetam) anno 1177 tribuunt. Sed propositum est mense Aprili ind. XIV anno 1166, ut ex actis synodi laudatae patet. [2] Addo ex Maio. [3] Mai: βοσθνικός. [4] Verba σερβ. ζηκχ. ἀζαρ. apud Maium desunt. [5] Mortreuil: ἐλόμενος. [6] In Cod. additur γράφω punctis infra literas positis.

ὡς τινων ἀποστατησάντων τοῦ κράτους ἡμῶν, τοῖς τοῦ φιλοχρίστου ἡμῶν παντὸς λαοῦ, τῆς τε[7] θεοφυλάκτου ἡμῶν βασιλίδος πόλεως, ἔτι δὲ καὶ πᾶσι τοῖς τῶν ὑπὸ τὴν τῆς ἡμετέρας βασιλείας ἐξουσίαν χωρῶν, ἠπειρωτικῶν τε καὶ θαλασσίων, οἰκήτορσιν.

Εἰ μακαρίζει πέτρον χριστὸς τὸν ἐν ἀποστόλοις κορυφαιότατον, ἐπεὶ προφθάνει πάντας τῷ διαπύρῳ τῆς ἀγαπήσεως, καὶ τοῦτον εἶναι τὸν χριστὸν διατείνεται τὸν τοῦ θεοῦ ζῶντος υἱόν, ἅτε παρὰ τοῦ πατρὸς ἀποκαλυφθεὶς τὸ κατ' ἐκεῖνον μυστήριον, τί δήποτ' ἂν ἕτερον εἴη μακαριστότερον καὶ τῷ κυρίῳ εὐαρεστότερον τοῦ τῆς εὐσεβείας ὀρθοδοξαστικῶς τὴν ἀποστολικὴν ἐκκλησίαν ἀντέχεσθαι καὶ μὴ παρὰ τῶν τοῦ ᾅδου πυλῶν κατισχύσασθαι[8]; ἅστινας δὴ τὰς πύλας ταύτας ὑποληπτέον τοὺς μὴ παρὰ τὴν ταύτης πύλην[9] εἰσιόντας δι' αὐτοῦ χριστοῦ τῆς ἀσφραγίστου θύρας, ἐπεὶ καὶ πᾶσι τοῖς ἐρχομένοις ἄνετος πρόκειται. ἐπὶ ταύτην τὴν πρὸς θεὸν εἰλικρινεστάτην εὐσέβειαν ὡς ἐπὶ πέτραν ἀῤῥαγεστάτην ἡ θεόθεν ἡμῶν βασιλεία τὸν ἑαυτῆς[10] θεμέλιον προσεδράζουσα καὶ ταύτῃ προσεποικοδομεῖσθαι τὸ ὑπήκοον ἅπαν σπουδάζουσα, μυρίαν ὅτι τὴν περὶ τούτου φροντίδα διηνεκῶς ἐπιδείκνυται. οἴδαμεν γὰρ ἀκριβῶς, ὡς εἰ καὶ βασιλεύειν τῶν ἐπὶ τῆς γῆς θεὸς ἑκάστων[11] ἐπηυδόκησεν, ἀλλ' οὖν ἐκεῖθεν βασιλευόμεθα· καὶ ὥσπερ παρὰ τῶν ὑπὸ χεῖρα[12] λαμβάνειν πίστιν ἀνεπιμώμητον τῶν[13] ἐξ ἀνάγκης εἶναι τιθέμεθα, οὕτω[14] καὶ προεισφέρειν θεῷ τῷ βασιλεύειν ἡμᾶς προορίσαντι[15] τὴν ἀπαράκλιτον[16] πίστιν παρὰ τοῦ δικαίου προσαπαιτούμεθα, καὶ δεῖν εἶναι σολομῶντι πείθεσθαι λογιζόμεθα τῶν πραγμάτων [ἑκάστῳ][17] τὸν πρόσφορον καιρὸν ἀφορίζοντι. ἐντεῦθεν καὶ ποτὲ μὲν[18] τοῦ εἰρηνικοῦ χριστοῦ πλὴν ἀλλ' ἐπικαιρότατα λέγοντος „οὐκ ἦλθον ἐπὶ τὴν γῆν εἰρήνην βαλεῖν ἀλλὰ μάχαιραν", οὐδὲ ἡ γαληνότης ἡμῶν εἰρηνεύειν ἀνείχετο[19] οὐδ' ἐν αταράχῳ μένειν, ὁπότε παρεμβολὴ διαφωνούντων τοῖς περὶ θεοῦ θεσμοῖς ἀναφαίνεται, ἀλλὰ καὶ τὴν μάχαιραν αἴρειν[20] τοῦ πνεύματος, τὴν διαιροῦσαν τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος, τὰ θεῖα προβεβλημένη νοήματα, καὶ δι' αὐτῶν διχοτομοῦσα πᾶν ὅσον τῆς ἐκκλησίας ἔκφυλον νόημα·

---

[7] Maius τε non habet. [8] Mai. κατισχύεσθαι. [9] Mai. αὐτήν. [10] Ita Mai. Noster: ἐν αὐτῇ. [11] Mai. ἡμᾶς. [12] Apographum nostrum corrupte παρὰ τῇ ὑποχείρᾳ. [13] Idem: ἐπίμονον τοῦτον. [14] Idem τούτῳ. [15] Id. προώρισεν τί. [16] Mai. ἀπαρέγκλιτον. [17] Addo ex Maio. [18] Mai. addit μετά. [19] Mai. ἀνέχεται. [20] Mai. αἴρει.

ποτὲ δὲ μετὰ τοῦ αὐτοῦ χριστοῦ, τοῦ κατὰ καιρὸν αὖθις τὴν οἰκείαν εἰρήνην βραβεύοντος καὶ εἰρηνεύειν ἐν ἑαυτοῖς καὶ πᾶσι κελεύοντος καὶ τὰ τῶν εἰρηνοποιῶν μακαρίζοντος, ἀποστρέφει μὲν τὴν λογικὴν ῥομφαίαν εἰς τὰ ὀπίσω[21], ἤδη τὰς τῶν ἀντιλεγόντων διελθοῦσαν καρδίας καὶ τοὺς οὐκ ἀνεπισφαλεῖς λογισμοὺς εἰς μέσον ἀνακαλύψασαν, τὸν δὲ τῆς ἔχθρας φραγμὸν καθαιρεῖ καὶ τὸ τῆς ἀντιλογίας καταστρέφει μεσότοιχον, καὶ μετὰ τῆς ᾀσματιζούσης τάξατέ φησιν ἀγάπην ἐπὶ τοῖς μέχρι νῦν ἀντερίζουσιν. οὕτω[22] δὴ καὶ νῦν ἐπὶ τοῖς παρεμπεσοῦσιν ἡ εὐσεβὴς ἡμῶν βασιλεία προσιδεῖν ἤρξατο[23].

α'. Ἐζητεῖτο μὲν γὰρ περὶ τῆς ἐν τῷ ἱερογράφῳ εὐαγγελίῳ φωνῆς τοῦ ἀληθινοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ, ἣν τοῖς μαθηταῖς προσεφθέγξατο κατὰ τὴν τοῦ πάθους νύκτα λέγων πρὸς τὸν πατέρα πορεύεσθαι, ὡς ὀφείλειν διὰ τοῦτο χαίρειν μᾶλλον αὐτούς, ὅτι, φησί, πορεύομαι πρὸς τὸν πατέρα, ὅτι ὁ πατήρ μου μείζων μου ἐστίν· ἡ δὲ ζήτησις, ὅπως ἢ κατὰ τίνα[24] τὴν διασάφησιν μείζων τοῦ λέγοντος χριστοῦ ὁ πατὴρ ἐκλαμβάνεται. ἐνταῦθα κατὰ τὴν μωσαϊκὴν ἐκείνην ῥάβδον τοῦτο τὸ πρόβλημα μικροῦ δεῖν διχῇ διατέμνειν ἔμελλε θεοῦ τῆς ἐκκλησίας τὴν θάλασσαν, πρὸς ἣν οἱ ζωγρηταὶ τῶν ἀνθρώπων ἁλιεῖς τὰ δίκτυα τοῦ λόγου χαλάσαντες τὴν ἐθνικὴν μερίδα συμπαρελέξαντο· ὡς καὶ ἐδόκει[25] ἵστασθαι τεῖχος ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων, ὡς ἀλλήλοις πάντων ἀντιλεγόντων περὶ τῆς τοῦ ῥητοῦ ἐξηγήσεως. οἱ μὲν γάρ τισι[26] τῶν γραφικῶν ἀποχρώμενοι χρήσεων, μόνῳ τῷ αἰτίῳ τῆς ἀχρόνου καὶ ἀνωτάτω γεννήσεως τοῦ μονογενοῦς[27] υἱοῦ τοῦ θεοῦ τὴν ἐξήγησιν ταύτησι τῆς φωνῆς περιέγραφον, καὶ συγχωρεῖν οὐκ ἤθελον καὶ ὡς σαρκοφόρου τοῦ κυρίου κατὰ τὴν κάτω γέννησιν χρηματίσαντος τὴν ῥῆσιν ταύτην λογίζεσθαι· ὡς ἐντεῦθεν καινήν τινα τὴν ἕνωσιν τῶν τοῦ χριστοῦ φύσεων καὶ μὴ κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν ἀναφαίνεσθαι, καὶ ταὐτὸν εἶναι νομίζεσθαι ὑποστάσεώς τε τὸ ἑνιαῖον περιαθρεῖν καὶ τὴν ἀσύγχυτον κρᾶσιν τῶν ἐν χριστῷ ἡνωμένων[28] ἀτρέπτως φύσεων, καὶ διὰ ταῦτα κινδυνεύειν τὰς τῶν μονοφυσιτῶν δυσφημίας οἷον ἀνακαινίζεσθαι. ἦσαν δὲ οἳ κατὰ μόνον τὸν τῆς κενώσεως εἴτουν συγκαταβάσεως τρόπον εἰρῆσθαι μείζονα τοῦ υἱοῦ τὸν πατέρα διενοοῦντο, ὡς

---

[21] Noster: ὅπως. [22] Mai. τοῦτο et mox παραπεσ. [23] Mai. προσεπιδείξατο. [24] Noster addit τρόπον. [25] Mai δοκεῖν. [26] Noster et Mai τῶν τισι. [27] Noster μόνου. [28] Noster ἡμῶν μένειν.

τῇ[29] τοῦ μονογενοῦς ὑποστάσει κατὰ τὴν θείαν αὐτοῦ φύσιν πάντως προσάπτεσθαι τὸ λεγόμενον· οὗτος γὰρ ἑαυτὸν κεκένωκεν ἄσαρκος ὤν, καὶ τὴν ἁγνὴν ὑπέδυ μήτραν τῆς θεομήτορος, τῶν μέντοι πατρικῶν οὐκ ἀπέστη κόλπων, ὅλος ὢν ἀχώριστος τοῦ γεννήτορος. οἱ δὲ προσώπῳ τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως τοῦτο ῥηθῆναι παρὰ τοῦ κυρίου ἐτίθεντο, ὥστε μονονουχὶ φαντασιώδη τὴν οἰκονομίαν τῆς μετὰ σαρκὸς ἀναστροφῆς αὐτοῦ ἐπὶ τῆς γῆς εἰκονίζεσθαι. ἔνιοι δὲ καὶ τῆς σαρκὸς μὲν τοῦ κυρίου τὴν τοιαύτην φωνὴν περιέγραφον[30], πλὴν ἀλλ' ὁπότε[31] κατὰ ψιλὴν ἀποδιαίρεσιν σὰρξ αὕτη νοεῖται, ξένη τῆς προσλαβομένης ταύτην θεότητος, ὥσπερ τυχὸν ἡ τῆς ἡμῶν ἑκάστου σαρκὸς ὑπόστασις, πρὸς ἣν οὐδαμῶς οὐδεμία τῆς θεότητος ἕνωσις· ὃν δὴ τρόπων [καὶ] ἡ δουλεία καὶ ἡ ἄγνοια ταύτῃ προσάπτεται, ἡνίκα ψιλαῖς τοῦ νοῦ φαντασίαις τὸ ὁρώμενον ἐκ τοῦ νοουμένου διέλωμεν κατὰ τὸν δαμασκόθεν σοφόν· κατὰ γὰρ τὴν τῆς ὑποστάσεως ταυτότητα καὶ τὴν ἀδιάσπαστον ἕνωσιν οὔτε δούλη οὔτε ἀγνοοῦσα λεχθήσεται· καὶ οὕτω καὶ πρὸς αὐτοὺς διαφωνοῦντες οὗτοι ἐδείκνυντο· οἱ δὲ ἑτέρωθεν αὐτοῖς ἀντικαθιστάμενοι ᾔδεσαν μὲν καί τινας τῶν πνευματοφόρων τῆς τοῦ θεοῦ ἐκκλησίας πατέρων καὶ διδασκάλων τὴν τοῦ κυρίου ταύτην φωνὴν ἑρμηνεύσαντας καὶ κατὰ τὸ αἴτιον τῆς ἀκαταλήπτου πρώτης γεννήσεως, ἀλλ' οὖν ὁπότε κατὰ τῶν ἐρεσχελούντων κατ' οὐσίαν διαφέρειν τοῦ υἱοῦ τὸν πατέρα τὰς ἀντιῤῥήσεις πεποίηντο τῇ τοῦ μείζονος φωνῇ κατὰ πάντα χρωμένων καὶ ὑπόβασιν ἐν ἀμφοτέροις κατὰ τὴν φύσιν εἰσαγόντων καὶ ἑτερότητα, οὐ μὴν δὲ κατὰ τοῦτο καὶ μόνον ἐκλαμβάνεσθαι τὴν τοιαύτην φωνὴν προσεπάγοντας. ἡνίκα γὰρ οὐ πρὸς τοιούτους ἦσαν αἱ ἀντιθέσεις καὶ τὰ παλαίσματα, περὶ δὲ τῆς μετὰ σαρκὸς οἰκονομίας καὶ τῶν φυσικῶν ἰδιοτήτων καὶ διαφορῶν ἐδογμάτιζον, ἑκάστῃ τῶν φύσεων τὰς προσφόρους ῥήσεις ἀπένεμον, τὰς μὲν ὑψηλοτάτας[32] καὶ ὑπερκειμένας τῇ τοῦ χριστοῦ θεότητι ὡς καὶ θεοῦ τελείου ὄντος προσαφορίζοντες, τὰς δὲ ταπεινοτέρας καὶ ὑποβεβηκυίας τῇ ἐν τῷ αὐτῷ χριστῷ ἀνθρωπότητι ὡς καὶ ἀνθρώπῳ γεγονότι τελείῳ προσεφαρμόζοντες· οἷς καὶ τὸ ἡμέτερον ὁμοφρόνει κράτος, ταῖς τῶν ἁγίων τῆς ἐκκλησίας φωστήρων διδασκαλίαις ἑπόμενον. οὕτω δὴ μετὰ τοιούτων ἀντιθέσεων ἀμφιγνωμονοῦντες ἀλλήλοις καὶ ἀντιλέγοντες ἀνε-

---

[29] Idem ἐν τῇ. [30] Mai. τῇ σαρκὶ — ἐπεγράφοντο. [31] Ita Mai. Noster ἄν ποτε. [32] Mai. ὑψηλοτέρας.

φαίνοντο. ἀλλ' ἡ παρὰ τῆς ἄνωθεν δεξιᾶς καὶ δεδομένη καὶ διεξαγομένη βασιλεία ἡμῶν οὐχ ὑπερεῖδεν οὕτω τὸν νέον τοῦ θεοῦ καὶ περιούσιον ἰσραὴλ τῷ τῆς αἰγυπτιακῆς κακίας ἄρχοντι πολεμούμενον, οὐδὲ τὴν ἐξ ἐθνῶν μετηρμένην εὐκληματοῦσαν ἄμπελον ταῖς τῶν ἀπᾳδόντων λόγων παρεισφθοραῖς χαλαζουμένην οἷον καὶ συντριβήσεσθαι μέλλουσαν, ὡς καὶ τῷ φυτουργῷ θρηνηθῆναι διὰ τὸ ἀκαλλές τε καὶ ἄκαρπον. κἂν καὶ μυρίαις ὅσαις ταῖς ἀνθολκαῖς τῶν κοσμικῶν φροντίδων διεμεμέριστο, καὶ τοῖς ἐκ τοῦ καλάμου θηρίοις, ἀλλὰ δὴ καὶ τοῖς πελαγίοις κήτεσιν ἀντιμαχεῖν ἠναγκάζετο ἐκ θαλάσσης ἅμα καὶ γῆς προσεγχανοῦσι κατὰ ταὐτὸν, ἐφ' ᾧ τὸ τῆς ῥωμαίων ἀρχῆς περικαλλέστατον σῶμα διασπαράξασθαι, ὅμως τὰ μὲν ἐν δευτέρῳ τίθεται, τῆς δὲ τῶν διεστώτων τῆς ἐκκλησίας μερῶν οὐκ ὀλίγη γίνεται φροντὶς[33] προσενώσεως, καὶ τοῦ τὴν ὀρθόδοξον περὶ τοῦ ζητουμένου ἔννοιαν ἀνακαλυφθῆναι μεγίστην ὅτι δείκνυσι[34] τὴν προμήθειαν· εἶναι γὰρ τὴν ἐπὶ τούτοις εἰρήνην ἀπαρχὴν καὶ τῆς τοῦ ἡμετέρου κράτους εἰρηναίας [ἐν] ἅπασι καταστάσεως μετ' εὐελπίστου γνώμης πεπίστευκε. τοιγάρτοι καὶ τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην, μετὰ τῶν ἑτέρων ἁγιωτάτων πατριαρχῶν, τοῦ τε τῆς θεουπόλεως μεγάλης ἀντιοχείας καὶ τοῦ τῆς ἁγίας σιὼν τῆς πόλεως ἱερουσαλὴμ, συγκαλεσαμένη, καὶ τὴν ἐνδημοῦσαν τηνικαῦτα τῇ βασιλίδι τῶν πόλεων θείαν καὶ ἱερὰν τῶν τοῦ χριστοῦ ἀρχιερέων σύνοδον, συναθροίσασά τε[35] τὰς χρήσεις τῶν τὴν τοιαύτην ἐξηγησαμένων φωνὴν θεοφόρων πατέρων, εἰς μέσον προτεθῆναι ᾠκονομήσατο καὶ μετ' ἀκριβοῦς βασανισθῆναι κατεξετάσεως. καὶ γοῦν αἱ μὲν δοκιμασθεῖσαι τῷ τοῦ λόγου πυρὶ ὡς εὔροιζον χρυσίον εὑρέθησαν, μηδὲν ὑπόχαλκον ἐφελκόμεναι [ὃ] πρότερόν τισιν ἐνομίζετο· αἱ δὲ τῶν μέχρι τότε ἀντιλεγόντων ἐνστάσεις καὶ ἀσύμφωνοι φωναὶ διαλύονται, τῇ δὲ μιᾷ κεφαλῇ τῶν πάντων χριστῷ τὸ διασπασθῆναι κινδυνεῦον σῶμα τῆς ἐκκλησίας συναρμολογεῖται καὶ συμβιβάζεται, καὶ οἱ ἐκ τῆς αὐτῆς κολυμβήθρας υἱοθετηθέντες ἀδελφοὶ ὁμοφωνοῦντες[36] καὶ ὁμογνώμονες γίνονται. ἐντεῦθεν καὶ ὁρογραφεῖται τὰ περὶ τῆς τοιαύτης τοῦ κυρίου φωνῆς, ὅπως[37] ἀκολούθως [τοῖς] ἀνέκαθεν τῶν ἱερῶν συνόδων εὐσεβάστοις[38] δόγμασιν ὀφείλει παραλαμβάνεσθαι.

---

[33] Mai. ὅλη γίνεται, omisso φροντίς. [34] Noster δίκην εἰς. [35] Mai. τε non habet, et συναθρ. ad praecedentia trahit. [36] Mai. ἀδελφὰ φρονοῦντες. [37] Mai. ὅπερ. [38] Mai. εὐσεβεστάτοις.

κεκύρωται γὰρ κατὰ τὰς διαφόρους μὲν ἑτέρας, παρὰ τῶν ἁγίων πατέρων δὲ καὶ δοθείσας[39] ἐξηγήσεις, νοεῖσθαι ταύτην καὶ λέγεσθαι· οὐ μὴν δὲ, ἀλλὰ καὶ κατ' αὐτὴν ἐν τῷ χριστῷ ἀνθρωπίνην κτιστὴν καὶ περιγραπτὴν φύσιν, καθ' ἣν ὁ αὐτὸς χριστὸς πάσχειν τότε πεφυκυῖαν καὶ πέπονθε, καὶ τὰς λοιπὰς τῆς τοιαύτης φύσεως ἰδιότητας· ὡς ἐντεῦθεν καὶ τὴν ἀληθῆ τοῦ κυρίου ἐνανθρώπησιν εἴτουν σάρκωσιν σώζεσθαι, καὶ τὸ τῶν φύσεων ἄφυρτον ἐν τῇ τοῦ χριστοῦ μιᾷ ὑποστάσει συντηρεῖσθαι ἀσυγχύτους[40] τὰς ἰδιότητας. ἐν δὲ τῷ τοιούτῳ εὐσεβογράφῳ τόμῳ καὶ ἡ βασιλεία ἡμῶν οἰκειογράφοις ἐρυθροῖς ὑπεσημήνατο γράμμασιν, οὕτω πρὸς ἔπος διαλαμβάνουσα· „στοιχῶ ταῖς γνώμαις τῶν ἁγίων[41] πατριαρχῶν καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, καὶ λέγω, ὅτι σὰρξ[42] τοῦ κυρίου ἐξ αὐτῆς ἑνώσεως ὑπερυψωθεῖσα καὶ ἀνωτάτω πάσης τιμῆς ὑπερκειμένη, ὡς ἐξ ἄκρας ἑνώσεως [ὁμόθεος] γενομένη, ἀναλλοιώτως ἀμεταβλήτως ἀσυγχύτως καὶ ἀτρέπτως, διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν καὶ ἀχώριστος καὶ ἀδιάσπαστος μένουσα τῷ προσλαβομένῳ αὐτὴν θείῳ[43] λόγῳ, ἰσοκλεῶς αὐτῷ τιμᾶται καὶ προσκυνεῖται μιᾷ προσκυνήσει, καὶ τοῖς βασιλικοῖς καὶ θείοις ἐγκαθίδρυται θώκοις ἐκ δεξιῶν τοῦ πατρὸς ὡς τὰ τῆς θεότητος αὐχήματα καταπλουτήσασα, σωζομένων τῶν ἰδιοτήτων τῶν φύσεων“. καὶ [οὕτως] ὁ τῆς ἀδιαιρέτου τριάδος καὶ μετὰ τὴν σάρκωσιν εἷς κύριος ἰησοῦς χριστὸς, ἐν τῇ ἀδιαιρέτῳ αὐτοῦ μιᾷ ὑποστάσει διπλοῦς τε καὶ σύνθετος ἐν ἀσυγχύτοις ταῖς φύσεσι, τὴν ἐξ ἀσυμφωνίας διαιρεθῆναι καὶ τῷ τῆς ἀντιλογίας ὕδατι καταβυθισθῆναι κινδυνεύουσαν ἐκκλησίαν εἰς ἓν συνήγαγε καὶ ἀνήγαγε· καὶ ὡς θεοῦ καὶ ἀνθρώπων μεσίτης καὶ νῦν ἐν ἑαυτῷ τοὺς πάντας κατήλλαξεν. ἐπεὶ δὲ ὁ τῆς κακίας πατὴρ ἐν ἀποκρύφῳ τῆς ἐνέδρας καθήμενος, καὶ τοῦ τῶν ἀνθρώπων τῷ γένει ἐπιβουλεύειν οὐκ ἀπεχόμενος, μετὰ τῆς συνήθους καὶ αὖθις ἀναιδείας προσέβαλε καὶ ἐχόμενα τρίβων ἔθετο σκάνδαλα, πάλιν ὁ θεμελιῶν τὴν τῆς ἐκκλησίας γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς ἐξ οὐρανοῦ πρὸς ταύτην ἐπέβλεψε· καὶ συνοδικὴ πάλιν ἐπὶ τοῖς λεγομένοις γίνεται κατεξέτασις καὶ γράμματα πάλιν[44] ἐκτίθεται παρὰ τῶν ἐν ὑποψίᾳ [μὲν] γεγονότων, πληροφορῆσαι δὲ τὴν ἐκκλησίαν ἀπαιτηθέντων περὶ τῆς ἑαυτῶν συνειδήσεως· ἐν ᾧ καὶ ἕκαστος [τούτων] οἰκειοχείρως

---

[39] Mai. *πατέρων ἐκδοθείσας.* [40] Mai. *καὶ ἀσυγχ.* [41] Idem *ἁγιωτάτων.* [42] Idem *αὕτη ἡ σάρξ.* [43] Mai. *θεῷ.* [44] Noster *μέν* pro *πάλιν* hic habet, mox omittit.

ὑπέγραψεν, ἀναθέματι καθυποβάλλων τοὺς ἐναντία φρονήσαντας ταῖς προεκτεθείσαις τῆς[45] ἡμῶν βασιλείας γνώμαις καὶ τῶν ἁγιωτάτων πατριαρχῶν καὶ τῆς ἱερᾶς καὶ θείας συνόδου ἀφ' οὗ τὸ κῦρος ἐδέξαντο, καὶ οὕτω διὰ βίου φρονήσοντας. πρὸς δὲ τούτοις καὶ τοὺς τῇ κενώσει μόνῃ τὴν τοιαύτην φωνὴν προσαρμόζοντας ἢ τῇ κατὰ ψιλὴν ἐπίνοιαν διαιρέσει[46], ὁπότε [ἡ] τοῦ κυρίου σὰρξ ὡς μηδὲ τῇ θεότητι ἑνωθεῖσα καθ' ἑαυτὴν νοεῖται καὶ κρίνεται (καθ' ὃν τρόπον καὶ δούλη καὶ ἀγνοοῦσα λέγεται), οὐ μὴν ἀλλὰ καὶ τοὺς [λέγοντας] τὴν τοιαύτην φωνὴν παρὰ τοῦ κυρίου ῥηθῆναι τὸ τῆς κοινῆς φύσεως τῶν ἀνθρώπων ὑποδυομένου πρόσωπον, ὥσπερ καὶ ἐγκαταλειφθῆναι παρὰ τοῦ πατρὸς ἐπὶ σταυροῦ κρεμάμενος ἀνακέκραγεν, ὅπερ οἱ θεῖοι πατέρες προσώπῳ τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως λεχθὲν ἐκλαμβάνονται (ἐκείνης γὰρ πάντως[47] ἡ ἐγκατάλειψις, ἣ ταῖς ἁμαρτίαις ὑπόδικος γέγονεν· οὐ [γὰρ δὴ] χριστοῦ αὐτοῦ, ὃς [ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ] εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ[48]), καὶ τοὺς τοιούτους οὖν [ἅπαντας] ὑποδίκους ἔθεντο τῇ καταδίκῃ τοῦ ἀναθέματος. ἐπὶ δὲ τῷ τοιούτῳ γράμματι καὶ συνοδικὸν γράμμα[49] προέβη, τὰ συναχθέντα διαγράφον ἀριδηλότατα· καὶ νῦν [ἰδοὺ κατὰ] τὴν ἐν ᾄσματι νύμφην ἡ τοῦ χριστοῦ ἐκκλησία προφαίνουσα τὴν πνευματικὴν αὐτῆς ἀγαλλίασιν, ὁ χειμών φησι παρῆλθε δι' οὗ ἡ ἀγάπη τῶν πολλῶν ἀπεψύγετο, ὁ ὑετὸς ἀπῆλθεν, αἱ ῥαγδαιόταται τῶν ἀντιθέων ἐπιφοραὶ διελύθησαν[50], τὰ ἄνθη τῆς ἀληθείας ὤφθη ἐν τῇ γῇ. τὴν γὰρ τοῦ νυμφίου φωνὴν ἠκουτίσθη, ὅτι ἡ φωνὴ αὐτοῦ ἡδεῖα· ἡ γὰρ τοῦ κυρίου φωνή, περὶ ἧς ἡ ζήτησις ἦν, τοῖς ὀρθοῖς τῶν τῆς ἀληθείας κηρύκων κρατυνθεῖσα λόγοις ἀπεδόθη τοῖς αὐτῆς τροφίμοις μετὰ τῆς εὐσεβείας κηρύττεσθαι· καὶ ἰδοὺ νῦν αἱ νεφέλαι παρῆλθον ἀπὸ τῆς τηλαυγήσεως τοῦ ἀληθινοῦ φωτὸς τὸ σκότος τῆς ἀγνοίας λύσαντος καὶ σκεδάσαντος· καὶ τὸ τοῦ σκανδάλου αἴτιον διελύθη καὶ τῶν ἡμετέρων τρίβων μετήρθη[51]· καὶ οἱ πόδες ἡμῶν ἐν εὐρυχόρῳ τῆς ἀληθείας ἑστήκασιν, καὶ ὁ τὴν πτέρναν τηρῶν τῆς καρδίας ὄφις καταπεπάτηται· καὶ μία γέγονεν ἐκκλησία κοινῶς δοξολογοῦσα[52] τὸν κύριον.

β'. Διὸ δὴ καὶ ἡ βασιλεία ἡμῶν καὶ νῦν ἐπικυροῦσα τὰ παρὰ

---

[45] Idem ταῖς τε. [46] Noster καὶ τὴν — διαίρεσιν. [47] Idem καὶ παρὰ πάντων. [48] Noster corrupte: ἢ τ. ἁ. ὑποδίκου γενομένου χρ. αὐ. ὃς οὐκ εὑρ. — αὐτοῦ καὶ ἁμ. οὐκ ἐποίησεν. [49] Mai. σημείωμα et mox συνενεχθέντα. [50] Mai. verbum διελύθησαν non habet. [51] Mai. οἱ τ. σκ. λίθοι τῶν ἡμ. τρ. μετήρθησαν. [52] Mai. δοξολογούντων.

τῶν ἁγιωτάτων πατριαρχῶν καὶ τῆς συνειλεγμένης θείας καὶ ἱερᾶς ταύτης[53] συνόδου ὁροθετηθέντα, καὶ βεβαιότατα διαμένειν ἐθέλουσα, τὸ παρὸν εὐσεβὲς ἐκτίθεται ἴδικτον, δι' οὗ[54] καὶ πᾶσι τοῖς ὑπὸ τὴν ῥωμαϊκὴν ἐπικράτειαν ταύτης ἔχεσθαι τῆς ὀρθοδόξου γνώμης παρακελεύεται. εἰ δέ τις ἐναντιοφρονῶν αὐτοῖς[55] φωραθήσεται καὶ τὴν παροῦσαν ἡμῶν [εὐσεβῆ] γραφὴν παραλογιζόμενος, εἰ μὲν ἐπίσκοπός ἐστιν ἢ κληρικὸς ἢ μοναχὸς[56], τὸν τοιοῦτον θεσπίζομεν τῷ τῆς καθαιρέσεως ἐπιτιμίῳ καθυποβάλλεσθαι· εἰ δὲ τῶν ἐν ἀξιώμασι καὶ τῶν ἐντελεστέρων τελεῖ, δημεύσει τε ὑποκεῖσθαι, καὶ τῇ ἀφαιρέσει τοῦ ἀξιώματος· εἰ δὲ[57] τῆς τῶν ἰδιωτῶν μερίδος καθέστηκεν, ὑπερορίαν τῆςδε τῆς[58] βασιλίδος τῶν πόλεων καὶ πάσης ἁπλῶς κατακρίνεσθαι πόλεως, καὶ ἐπὶ πᾶσι [τούτοις] τῇ αὐστηρότητι[59] τῶν ἱερῶν καὶ θείων κανόνων ὑπάγεσθαι.

Μηνὶ ἀπριλλίῳ ἰνδικτιῶνος θης τοῦ ϛ...[60].

NOV. LXXI.

Imp. Manuelis Comneni de argentariorum mensis ad clericos ex emtione pertinentibus[1].

(A. 1152 vel 1167.)

Ἐστὶ δὲ καὶ πρόσταγμα τοῦ ἀοιδίμου βασιλέως κυρίου μανουὴλ τοῦ κομνηνοῦ, ἐξενεχθὲν μὲν κατὰ μῆνα νοέμβριον ἐπινεμήσεως ιε' ἐπὶ ὑπομνήσει τινῶν κληρικῶν καταλλακτῶν· καταστρωθὲν δὲ ἐν τῷ σεκρέτῳ τῶν οἰκειακῶν κατὰ μῆνα ἰανουάριον[2] ἐπινεμήσεως ιε', καὶ ταῦτα ῥητῶς παρακελευόμενον·

Ὅσοις περιῆλθον ἐξ ἀγορασίας τὰ τοιαῦτα καταλλακτικὰ τραπεζοτόπια, δίδωσιν ἄδειαν ἡ βασιλεία μου ἐναλλαγῆναι

---

[53] Mai. ἱερωτάτης. [54] Idem διό. [55] Mai. ἑξῆς φωρασθήσ. [56] Id. ἢ τῷ τῶν ἱερωμένων ἐν μοναχοῖς καταλόγῳ σύστοιχος. [57] Noster addit τίς. [58] Mai. τῆς τε βασ. [59] Mai. αὐστηρίᾳ. [60] Sic Paris. Codex. In Mosquensi Codice mense Maio ind. I a. ͵ϛχοϛ' datum esse dicitur. Sed ex actis synodi omnino legendum ἰνδ. ιδ' τοῦ ͵ϛχοδ' ἔτους. Ibi in fine sic est: ἦν δὲ τὸ τοιοῦτον εὐσεβέστατον ἴδικτον ὑποσεσημασμένον τῇ αὐτοχείρῳ ἐρυθρογράφῳ ὑπογραφῇ τοῦ κρατίστου (l. κραταιοῦ) καὶ ἁγίου ἡμῶν αὐτοκράτορος κατὰ μῆνα ἀπριλλ. ἰνδ. ιδ' καὶ χρυσῆν σφραγῖδα ἐπιφερόμενον.

[1] Refertur a Bals. Resp. 27 ed. Rhalli IV p. 469. [2] Leuncl. νοέμβριον.

ταῦτα εἰς ἅπερ ἂν εὑρήσητε ἀξιόλογα καὶ ῥωμαϊκὰ πρόσωπα. ὑμᾶς γὰρ ἱερωμένους ὄντας τὴν τοιαύτην ἐπιστήμην μετέρχεσθαι οὐκ ἐνδέχεται, ὅτι οὐδὲ δυνατὸν ἀναστέλλεσθαι διὰ προσήκοντος σωφρονισμοῦ, ὁπηνίκα τὶ ποιεῖτε παρὰ τὸν ἐπαρχικὸν ὁρισμὸν, διὰ τὸ εἶναι ἱερωμένους. ὅσοι οὖν ἐξ ὑμῶν ἐξ ἀγορασίας, ὡς εἴρηται, ταῦτα κέκτησθε, προσκομισάτωσαν ἀξιόλογα πρόσωπα τῷ ἐπάρχῳ· καὶ ἵνα δέξηται αὐτὰ, καὶ σφραγίσῃ τραπεζίτας ἀντ᾽ αὐτῶν, κατὰ δωρεὰν καὶ ἄνευ συνηθείας καὶ δόσεως οἱασδήτινος.

NOV. LXXII.

Imp. Manuelis Comneni aurea bulla confirmans conventionem cum Genuensibus[1]. (A. 1170.)

Quandoquidem venerabilissimus Archiepiscopus civitatis Janue et sapientissimi Consules et universum Commune ejusdem civitatis mittentes ad Imperium meum sapientem nuncium eorum Amicum de Murta dederunt ei potestatem tractare et conventare cum Imperio meo de quibus voluerint: ille autem ad Imperium meum perveniens et de his negociis sufficienter tractans hanc convencionem hic ostensam fecit, et sacramento eam confirmavit, que et sicut habentur de verbo in verbum:

„*In nomine Patris et Filii et Spiritus Sancti amen. Ego „Amicus de Murta, civis Janue, legatus ab Archiepiscopo civitatis „Janue et a Consulibus et ab omni Communi civitatis Janue, ac„cipiens potestatem et injunctum ab eis ut, quicquid juravero et „conveniero vice Janue cum sanctissimo et excellentissimo Impe„ratore Romeon Porfirogenito Domino Hemanuele Comino, firmum „et ratum erit hoc ab eis: hanc presentem convencionem facio et „juro ex voluntate Archiepiscopi et Consulum et tocius Communis „civitatis Janue ad sanctissimum Dominum Imperatorem Porfiro„genitum Dominum Hemanuelem Cominom et ad omnes heredes „et successores Imperii ejus et Romaniam sicut significabitur.*

„*Quum*[2] *ab hodie et in antea usque in sempiternum donec „mundus steterit non erunt Januenses contra Imperium ejus vel*

---

[1] Edidit ex archivo Genuensi Sauli della colonia dei Genov. in Galata II p. 188. [2] Malim: *Quod.*

„contra ejus heredes et successores vel contra Romaniam vel con- „tra aliquam terram ipsius Imperii, quam nunc habet vel quam in „antea Domino adjuvante acquisierit, neque per consilium neque „per pecuniam neque per stolum idem[3] *per navalem exercitum ne- „que ullo aliquo modo, neque Januenses hoc facient neque aliqua „conjungentur justa vel injusta occasione alicui homini coronato „vel non coronato, qui sit vel qui erit, christiano vel pagano, „viro vel mulieris*[4]*, qui mori vel vivere possit: sicut de capitulo „coronati tractatum est in curia Domini Imperatoris, et intellec- „tum et interpretatum est mihi et a me confirmatum ad honorem „et proficuum ejus Imperii et Romaniae, sicut et ego debeo hoc „interpretari Januensibus ut et in antea sic istud capitulum in- „telligatur et observetur.*

„Et nunquam facient Januenses dampnum alicujus terre Im- „peratoris et persone ejus vel heredum et successorum ejus. Ne- „que facient diminucionem imperii sui vel honori[5] *ejus neque in- „quirent hanc per se vel aliter, sed maxime si aliquid tale intel- „lexerint in terra Janue, debeant hoc disturbare. Et si ab ali- „quibus fuerit assultus factus vel obsessio contra aliquam terram „Imperatoris, Januenses qui in terris illis fuerint inventi, bona „fide sine dolo et fraude debent illas deffendere et custodire ad „honorem domini Imperatoris et heredum ipsius. Si vero aliquis „alicujus inimici ex parte aliqua aliquando pervenerit Christiani „vel Saraceni sive pagani versus aliquas partes Imperatoris usque „ad numerum centum galearum vel plus, universi Januenses qui „tunc inventi fuerint in terris Romanie, debent intrare in galeris „domini Imperatoris cum consuetis soldis curie domini Imperato- „ris quos consuevit dare Latinis, et ire contra supradictum sto- „lum cum galeris Grecorum, et non revertentur, donec illud ser- „vicium compleatur et Grecorum galere revertantur vel in Con- „stantinopolim vel in aliam terram domini Imperatoris. Verun- „tamen quando predicti Januenses debent moveri, habebunt licen- „tiam relinquendi in custodia navium et rerum suarum homines „XX quos maluerint vel elegerint. In propriis vero galeris ibunt „Januenses quot armare poterint. Si vero Januenses in aliqua „terra domini Imperatoris neque unam galeram armare poterint, „omnes in eam intrabunt et complebitur numerus galere ex alia „gente sufficienter.*

---

[3] Imo legendum: *id est.* [4] Legerim: *mulieri.* [5] Lege: *honoris.*

„Quandocunque vero dominus Imperator voluerit Januam „mittere pecuniam vel res vel homines ejus, galeras sine naves, „contra quemcumque miserit ea Christianum sive paganum coro- „natum vel non coronatum, ut ex debito debeant Januenses hono- „rifice eam[6] *recipere, et deffendere in terra sua et custodire se- „cundum voluntatem hominum domini Imperatoris, qui cum eis „erunt, omnem pecuniam et res missas, homines, galeras et naves, „quanta et qualia erunt, ab omni homine coronato et non coro- „nato: debentes et hic intelligere capitulum de coronato sicut su- „perius interpretatum est, ad servicium et honorem domini Impe- „ratoris et Romanie.*

„Et non impedient umquam Januenses dominum Imperatorem „et heredes vel successores ejus ad conquirendas terras aliquas, „preter jus quod habent in terra Surie sive ex bello sive ex „emptione seu aliquo alio modo. Si vero et in his ex parte do- „mini Imperatoris custodietur Januensibus justitia eorum, neque „in his debent impedire dominum Imperatorem facere in his quic- „quid voluerit.

„De offensionibus vero quas fortasse Januenses fecerint in „terris domini Imperatoris Grecis vel aliis gentibus que non sint „Januenses, debent judicari in curia domini Imperatoris, sicut Ve- „netici et cetere Latine gentes. Si vero contigerit Januenses ali- „quos depredari aliquando vel aliter ledere aliquam terram domini „Imperatoris vel homines ejus, dabitur super hoc noticiam[7] *Janue „civitati ab Imperatore sive per literas sive per nuncium, et da- „bunt operam sine dolo et fraude invenire eos et facere ex eis „justiciam et vindictam ad honorem domini Imperatoris spectan- „tem. Si forte isti malefactores inventi non fuerint, similiter fiat „vindicta in bonis eorum.*

„Hanc conventionem et que in ea scripta sunt capitula omnia „debent habitatores tocius civitatis Janue a majore usque ad mi- „norem observare domino Imperatori Romeon Porfirogenito domino „Hemanueli Comnino et omnibus heredibus et successoribus ejus „et Romanie, donec mundus steterit. Et omnes futuri Consules „Janue aliter fieri non debent consules, nisi prius juraverint cum „consilio et consensu archiepiscopi et nobilium et communis tocius „Janue sacramentum factum in hac conventione, quatenus obser- „vetur ista conventio rata et inconcussa. Neque unquam Januenses

---

[6] Malim: *ea*. [7] Lege: *noticia*.

„dimittent hanc conventionem vel facient contra eam, neque pro „ecclesiastica excommunicacione neque pro precepto alicujus homi- „nis coronati vel non coronati, quemadmodum dominus Imperator „et heredes ejus et successores Imperii sui debent observare sem- „per, que ab Imperio suo per presens crisobolum logo[n] promissa „sunt civitati Janue, que sic habentur.

„„„Propter[8] *enim gratiam et bonam voluntatem quam habet „„„dominus sanctissimus Imperator Romeon ad habitatores civita- „„„tis Janue, et propter servicium et fidem quam manifestant com- „„„plere ad Imperium ejus et Romaniam in sempiternum et sem- „„„per, promittit Imperium dare civitati Janue embolum et scalam „„„et ecclesiam ultra Constantinopolim in loco qui dicitur Orcu in „„„loco bono et placabili. Et dare civitati Janue et communi „„„propter solempnias singulis annis perperos D et pallia duo, et „„„archiepiscopo Janue perperos LX et pallium unum. Et dabun- „„„tur modo simul civitati et communi Janue solempnias*[9] *annorum „„„XXVI propter expensas que eis imminent. Et ut debeant com- „„„mercium dare sic: videlicet in Constantinopolim de centum qua- „„„tuor, in aliis vero terris Romanie sicut ceteri Latini dant com- „„„mercium. Custodientur vero Januenses et res eorum integre in „„„omnibus terris domini Imperatoris. Si vero lesio aliqua eis ab „„„aliquo illata vel facta fuerit, invenient justiciam ab Imperio „„„ejus secundum quod decens est. Sed et statim quod reclama- „„„tionem fecerint contra aliquem Grecum vel aliam gentem coram „„„Imperatore, invenient justiciam in curia Imperii sui. Habebunt „„„vero potestatem naves Januensium negociari in omnibus terris „„„ubicumque voluerint, preter in Rusiam et in Matica, nisi forte „„„ab ejus Imperio specialiter hoc fuerit eis concessum. Si autem „„„Januenses res suas in Constantinopolim introduxerint, easque „„„vendere non poterint, fiet de rebus eorum sicut consuetudo est „„„fieri in aliis Latinis qui dant commercium. Et si aliqua navis „„„Januensium, a quacumque parte venerit, naufragium passa fue- „„„rit in Romaniam et contigerit de rebus ejus auferri eis ab „„„aliquo, fiat preceptum Imperii ejus vindicandi et recuperandi „„„res amissas. Adhuc et istud preceptum est quum si contigerit „„„Januenses offendere aliquem modo aliquo, non debent judicari „„„ab aliqua alia gente nisi a curia domini Imperatoris presidente,*

---

[8] Sequitur tenor chrysobulli anterioris, videlicet ejus quod a. 1155 datum est. Cf. supra Nov. LX. [9] Forte *solempniae.*

„„judicante videlicet aliquo de consanguineis Grecis Imperatoris „„vel de hominibus ipsius. Neque tenebitur in captione faciens „„injuriam ante judicium si dederit fidejussorem: si vero fide- „„jussorem non dederit, tenebitur quidem in custodia, extraetur „„tamen et judicabitur donec judicium manifestum et finis judicii „„fuerit in ipso. Preterea expletis quinque annis mittetur came- „„rarius domini Imperatoris ad vindictam faciendam Januensibus, „„si ipsi per damnacionem domino Imperatori fecerint.

„Ista omnia in presenti carta significata conventio ego pre- „nominatus nuncius civitatis Janue Amicus de Murta et juro sine „fraude et malo ingenio, ex precepto et voluntate archiepiscopi, „consulum et tocius civitatis communis civitatis Janue communis[10] *„confirmari et observari ab eis et jurari et firma et stabilia cu- „stodire in sempiternum et semper.“*

Quandoquidem presentem sinphoniam et conventionem prenominatus nuncius fecit et sacramento hanc confirmavit, ecce et Imperium meum per presens crisobolum logo[n] ejus, quum si universitas Januensium, videlicet archiepiscopus consules et multitudo tocius communis, hanc convencionem recipientes secundum consuetudinem eam complebunt et per scriptum fecerint et juraverint quod secundum prescriptas ejus distinctiones et capitula observabunt eam incorruptam et immobilem usque in sempiternum et semper ad honorem Imperii nostri et Romanie, firma observabuntur ab Imperio nostro que ab eo promissa sunt Januensibus, que superius sunt significata, donec videlicet firmiter et indissolubiliter observabuntur que ab eis conventata sunt Imperio meo et Romanie. Presente grisoboliologo Imperii mei firmiter et stabiliter perseverare debente, facto mense octubris presentis terciae indictionis anno [VI] M[DC]LXXVIII[11], in quo et nostrum clementissimum et a deo concessum signavit imperium vel potestas. — Subscriptio proprie manus Imperatoris: Manuel in Christo deo fideliter Imperator Porfirogenitus et aftocrator Romeon o Cominos.

---

[10] Hic corruptelam inesse patet. [11] Apud Sauli l. l. est: M......LXXVIII. Silvestre de Sacy in Mém. de l'Institut. Cl. d'Hist. III p. 103 legisse videtur VIMDCXCVIII, eumque numerum in 6688 mutandum esse putat. Sed datum fuit hoc chrysobullum indictione III, quae quidem incidit inter a. 1155 (cf. not. 8) et legationem Grimaldi a. 1174 susceptam (cf. Sauli l. c. p. 188), ut annus a. o. c. 6678 indicari debuerit.

NOV. LXXIII.

Imp. Manuelis Comneni
ut immobilia ab imperatore donata dumtaxat ad hos, qui in dignitate constituti sunt, transmittantur[1]. (A. 1155 vel 1170.)

Ὡσαύτως καὶ κατὰ τὸν φεβρουάριον μῆνα τῆς γ' ἰνδ. νεαρὰ νομοθεσία γέγονε τοῦ αὐτοῦ βασιλέως τῆς αὐτῆς σχεδὸν περιλήψεως[2].

NOV. LXXIV.

Imp. Manuelis Comneni
de his, qui adversarios suos vexare machinantur eo, quod causam ab imperatore dijudicari et decidi desiderant[1]. (A. 1170.)

Ἑτέρα τοῦ αὐτοῦ λίαν ὠφέλιμος περὶ[2] τῶν συντρίβειν τοὺς ἑαυτῶν ἀντιδίκους μηχανωμένων, τῷ βούλεσθαι

---

[1] Laudat Bals. ad c. 1 syn. Primosec. ed. Rhalli II p. 653. [2] Respicit Bals. ad Nov. LXIV supra.

[1] Haec Novella inter alias Manuelis Novellas habetur in Cod. Biener., Paris. 1351 et 1388, ut proinde Ἑτέρα τοῦ αὐτοῦ, ut est in inscriptione, Manuelem Imp. designet. Eadem est in Cod. Marc. 173 et Ἰβήρων 12, qui eam Manueli Imp. expressis verbis adscribunt. Ejusdem Novellae pars dispositiva textualiter refertur in σημειώσει ad commentarium Balsamonis ad Nom. Phot. IX, 1 ed. Rhalli I p. 166, quasi „ἀπὸ μεταγενεστέρας προστάξεως τοῦ αὐτοῦ βασιλέως κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ, ἀπολυθείσης κατὰ μῆνα μάϊον ἰνδ. γ'": unde tanquam Alexii Novellam ediderunt Bonefid. p. 76, Leuncl. post Syn. p. 72 et in JGR. I p. 139 et II p. 184. (Hinc etiam Witte, qui in Ἀνεκδ. ed. Heimb. II p. 184 hanc Novellam ex Codd. Bien. et Paris. 1351 edidit, inscriptionem, quam isti praestant, nimis audacter ita interpolavit, ut Νεαρὰ τοῦ βασιλέως κυρίου ἀλεξίου τοῦ κομνηνοῦ inscriberet. Atque etiam Mortreuil III p. 161 Alexio Novellam nostram vindicat.) Verum enim vero librariorum et editorum errore effectum esse videtur, ut l. l. Alexio haec Novella tribuatur. Nimirum ad commentarium, quem Balsamon ad Phot. Nomoc. confecit, passim σημειώσεις accedunt, sive ab ipso Balsamone sive ab alio recentiori scholiasta postea adjectae; eam autem, de qua hoc loco agitur, σημείωσιν praecedit alia, quae in ed. Rhalli I p. 152 sq. legitur. Ibi laudatur πρόσταξις τοῦ ἀοιδίμου βασιλέως κυροῦ μανουὴλ τοῦ κομνηνοῦ: proinde πρόσταξις τοῦ αὐτοῦ βασιλέως, quae in altera σημειώσει laudatur, et ipsa Manuelis, non Alexii est. Igitur eo loco, quem superius ex commentario ad Phot. Nom. laudavimus, verba illa „κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ" expungenda aut certe in κυροῦ μανουὴλ τοῦ κ. mutanda sunt. Error autem ex eo manavit,

δῆθεν κριθῆναι καὶ τμηθῆναι[3] τὴν ὑπόθεσιν παρὰ βασιλέως[4].

Παρὰ πολλῶν ὀχληθεῖσα ἡ βασιλεία μου ἀνέμαθεν, ὡς οἱ πλείους τῶν ἑλκομένων εἰς δικαστήρια, συντρίβειν τοὺς ἑαυτῶν ἀντιδίκους βουλόμενοι καὶ περὶ τούτου πᾶσαν εἰσφέροντες μηχανὴν, σοφιστικῶς καὶ ταύτην εὗρον τὴν μέθοδον· ἑλκόμενοι γὰρ ἐπὶ τὰ δικαστήρια, κἀκεῖθεν λιβέλλους ἐπὶ ταῖς κινουμέναις δίκαις λαμβάνοντες[5] τὸν τῆς δίκης ὑπεκκλίνειν ἀγῶνα πειρῶνται διὰ τῆς εἰς τὴν βασιλείαν μου προσενέξεως[6], λύσεις τοῦ κράτους ἡμῶν ποριζόμενοι, ἐπιτρεπούσας τῷ ἀκολούθῳ[7] τούτους εἰσάγειν μετὰ τῶν ἀντιδικούντων αὐτοῖς ἐπὶ τὸ βῆμα τῆς βασιλείας μου, κἀντεῦθεν εἰς ὑπερθέσεις χωροῦσι πολλὰς καὶ διακενῆς ἐπὶ χρόνον μακρὸν τοὺς κατ' αὐτῶν συνιστῶντας τὸ δικαστήριον κατατρίβουσιν.

α'. Ὅπερ ἵνα μὴ γίνηται μηδὲ διὰ πονηρᾶς μεθόδου τὸ δικαστήριον παρὰ τῶν κακοτέχνων κατασοφίζηται, διορίζεται[8] πᾶσιν ὑμῖν τοῖς τῶν δικαστηρίων προεστηκόσιν[9] ἡ βασιλεία μου, μηκέτι τὸ ἀπὸ τοῦδε οἱαδήτινι προσέχειν ἀντιγραφῇ κωλυούσῃ τινὰ τῶν δικαστῶν τὴν ἐπ' αὐτὸν[10] καταπεμφθεῖσαν δίκην γυμνάζειν, κἂν διὰ κινναβάρεως ὑποσεσημασμένη τυγχάνῃ κἂν τὴν κηρόβουλλον σφραγῖδα ἐπιφέρηται[11]· ἀλλὰ μετὰ τὴν τοῦ λιβέλλου δόσιν, εἰ μὲν ἐντὸς κ' ἡμερῶν τῆς διασκέψεως ὁ ἐπὶ τὸ δικαστήριον ἑλκόμενος λύσιν τῆς βασιλείας μου[12] πορίσεται

---

quod sive librarii sive editores σημείωσιν nostram cum textu commentarii Balsamonis, in quo Novella Alexii laudatur, cohaerere existimaverint, neque vero cum praecedente σημειώσει contulerint. Nec tamen silentio praeterire possum, in Cod. Marc. App. XI, 30 hanc Novellam (a verbo Διορίζεται, ut in σημειώσει illa ad Bals., incipientem ideoque forsan ex hac desumtam) in calce aliarum Novellarum Alexii tanquam sextam ejusdem imperatoris legi: id scil. in schedis meis notatum invenio, a Wittio in Zeitschr. f. gesch. RW. VIII p. 194 neglectum. [2] Haec verba inscriptionis, quae sequuntur, ὁ πίναξ Codicis Paris. 1351 praestat, textus non item, nec Paris. 1388. [3] Witte τιμηθῆναι perperam edidit. [4] Idem ex Bals. addit: ἀπολυθεῖσα κατὰ μῆνα μάϊον ἐπινεμήσεως γ'. Ind. III Manuele imperante in annos 1155 et 1170 incidit. Jam quum in Codd. not. 1 laudatis haec Novella fere Novellae LXVIII de anno 1166 subjecta sit, ut ea recentior esse videatur, anno 1170 illam editam esse suspicor. [5] Witte: „Cf. Nov. Justiniani 53 c. 3 §. 2." [6] Ita Paris. 1351. Witte in Bien. προσελεύσεως vel προσκαλέσεως legi auctor est. [7] Witte: „Cf. Du Fresne Glossar. h. v. p. 41." [8] Quae abhinc sequuntur, praestat σημείωσις illa ad Bals. not. 1 laudata, a Bonef. et Leuncl. edita. [9] Leuncl. προεστῶσιν. [10] Id. αὐτῷ. [11] Id. φέρηται. [12] Id. ἡμῶν.

καὶ[13] ἕτερον δικαστὴν τῷ ἐφ᾽ ὃν πρότερον παρεπέμφθη ἡ δίκη παραζευγνύουσαν, συνιέναι τοὺς ὁρισθέντας κακὰ ταὐτὸν δικαστὰς καὶ τὴν τομὴν ἐπάγειν τοῖς ἀμφιβόλοις ἔννομον· εἰ δ᾽ ὁ τῶν κ΄ ἡμερῶν παραδράμῃ χρόνος, μήτε συνδικαστὴν ἕτερον παραδέχεσθαι, ὅτι καὶ τῷ νόμῳ τοῦτο δοκεῖ, μήτε μὴν προφάσει τοῦ ἐπὶ τὸ τῆς βασιλείας μου βῆμα ὁρισθῆναι ἴσως ἐσύστερον τὴν δίκην[14] εἰσαγώγιμον ἐμποδίζεσθαι ὅλως εἰς τὴν διάγνωσιν, ἀλλὰ τέμνειν τὴν καταπεμφθεῖσαν τούτῳ ἀμφιβολίαν κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν, μὴ ἀποκλειομένου πάντως τῷ δικαζομένῳ[15] τοῦ τῆς ἐκκλήτου δικαστηρίου, εἴγε βεβλάφθαι οἴεται. καὶ τοῦτο πάντες[16] ὑμεῖς γινώσκοντες οἱ δικάζοντες σπεύδετε τὰς ἀνατεθειμένας ὑμῖν δίκας τηρεῖν, καὶ πέρας[17] ταύταις ἐπάγειν ἔννομον. οὐ βούλεται γὰρ ἡ βασιλεία μου μετὰ το παραπεμφθῆναι ὅλως τινὶ τῶν δικαστῶν ὑπόθεσιν κατὰ πρόσταξιν αὐτῆς ἐξ οἱασδήτινος μεταγενεστέρας γραφῆς, ἐπιτρεπούσης εἰς τὴν βασιλείαν μου εἰσαχθῆναι τὴν δίκην, τὴν διάγνωσιν ἐμποδίζεσθαι· ἀλλὰ προβαίνειν ταύτην ἕως ταύτης[18] ἀνυποστόλως παρὰ τῷ αὐτῷ δικαστῇ[19] ἢ τοῖς (ὡς ἀνωτέρω εἴρηται) διδομένοις[20] τούτῳ συνδικασταῖς, ἐντὸς δηλαδὴ τῆς τῶν κ΄ ἡμερῶν διασκέψεως. μετὰ δέ γε[21] τὴν τῆς δίκης περαίωσιν τῷ ἀδικηθῆναι ἴσως οἰομένῳ ἐπ᾽ ἀδείας[22] εἶναι, ἢ[23] ἕτερον ἐπικαλέσασθαι κατ᾽ ἔκκλητον δικαστὴν[24] ἢ τὴν τοῦ κράτους ἡμῶν ζητῆσαι ἀκρόασιν.

NOV. LXXV.

Imp. Manuelis Comneni de episcopis Constantinopoli versantibus[1]. (A. 1174.)

Τὸ δὲ καθαιρεῖσθαι τοὺς ἐπέκεινα χρόνου κατὰ τὴν

---

[13] Id. τὴν pro καί. [14] Id. addit γενέσθαι. [15] Id. τοῦ δικαζομένου. [16] Paris. 1351: πάντως. [17] Leuncl. τέλος. [18] Id. τέλους. [19] Paris 1351: τοῦ αὐτοῦ δικαστοῦ. [20] Leuncl. συνδιδ. [21] Id. γε non habet. [22] Paris. 1351: ἐπαδείαν. [23] Leuncl. καί. [24] Id. δικαστήριον.

[1] Hujus Novellae pars, quam infra damus, servata est in Bals. comm. ad Phot. VIII, 2 ed. Rhalli I p. 153. Qui locus quum commentario ad Photii Nomocanonem sive ab ipso Balsamone sive a recentiori scholiasta post mortem Manuelis (τοῦ ἀοιδίμου βασιλέως) adjectus sit, verisimile est, hocce πρόσταγμα imperatoris tum, quum commentarium ipsum conscriberet Balsamon, nondum promulgatum fuisse, et proinde ind. VII, qua editum esse dicitur, in finem imperii Manuelis in-

τοιαύτην ρκγ' νεαρὰν[2], ἢ ἐπέκεινα ἑξαμήνου κατὰ τὸν ις' κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης α' καὶ β' συνόδου διατρίβοντας ἐπισκόπους εἰς κωνσταντινούπολιν χωρὶς εὐλόγου αἰτίας, ἀνῃρέθη διὰ προστάξεως τοῦ ἀοιδίμου βασιλέως κυροῦ μανουὴλ τοῦ κομνηνοῦ, ἀπολυθείσης κατὰ μῆνα σεπτέμβριον ἰνδ. ζ', καὶ διοριζομένης ταῦτα ῥητῶς·

Ταῦτα τοίνυν ἀναλογισαμένη ἡ βασιλεία μου πρὸς τὴν παροῦσαν ἐλθεῖν οἰκονομίαν ἠναγκάσθη καὶ ἄκουσα, καὶ θεσπίζει διὰ τοῦ παρόντος αὐτῆς[3] προστάγματος μὴ πλείονα τοῦ παρά τε τῶν φιλευσεβῶν νόμων καὶ τῶν θείων κανόνων ὑφαπλωθέντος καιροῦ τοῖς ἱερωτάτοις ἀρχιερεῦσιν ἐνδιατρίβειν δίχα τινὸς ἀπαραιτήτου ἐμποδισμοῦ ἐν τῇ μεγαλοπόλει καὶ προφανοῦς εὐλόγου προφάσεως, ἢ μὴν καὶ ἄκοντες τῆς μεγαλοπόλεως ἐκβληθήσονται. ἡ[4] μέντοιγε ἐν τῇ μεγαλοπόλει εἰσέλευσις αὐτῶν ὀφείλει γίνεσθαι κατὰ τὴν ἔκπαλαι κανονικῶς καὶ νομίμως κρατήσασαν συνήθειαν.

NOV. LXXVI.

Imp. Manuelis Comneni de tomo P. Sisinnii[1]. (A. 1145 vel 1160 vel 1175.)

Ἀπελύθη θέσπισμα νεαρὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κατὰ μῆνα ἰούνιον ἰνδ. η', ταῦτα περὶ τὸ τέλος διεξιόν·

Ὡς ἂν οὖν καὶ ἀμφότερα καλῶς περιφυλαχθῶσι καὶ σεβασθῶσιν, ἥ τε μεγαλειότης τῶν βασιλικῶν τε καὶ ἀρχιερατικῶν διαταγμάτων καὶ ἡ τῶν νόμων καὶ ἡ τῶν κανόνων ἀκρίβεια, μήτε παντελῶς δοτέον τῷ τόμῳ τούτῳ τὴν λύσιν, μήτε πάντῃ

---

cidere i. e. anno 1174 convenire videtur. [2] Scil. Nov. Justiniani 123 c. 9. [3] Sic legendum pro ταύτης, quod habent editi libri. [4] Haec verba ἡ μέντοιγε κτλ. Balsamonis scholiastaeve sint, an Novellae nostrae partem faciant, dubitare est.

[1] Laudatur a Bals. ad Phot. XIII, 2 ed. Rhalli I p. 283, unde ediderunt Bonef. p. 86 et Leuncl. JGR. I p. 167. — Tomus P. Sisinnii de impedimento matrimonii ob affinitatem sexti gradus a. 997 promulgatus, ad quem imperator respicit, editus est in Coll. can. Rhalli et Potli V p. 11.

ἐπιτρεπτέον αὐτῷ καὶ αὖθις τὸ ἐνεργόν· ἀλλὰ τὴν μέσον βαδιστέον (ὅ φασι) καὶ βασιλικὴν, καὶ ἄμφω συντηρητέον, τό τε περὶ τὸν τομογράφον ἐκεῖνον ἀρχιερέα σέβας καὶ τοὺς ἐπιμνησθέντας τοῦ τόμου αὐτοῦ βασιλεῖς, καὶ τὸ μηδένα τοῖς νόμοις ἀπᾷδον καὶ τοῖς κανόσι προτρέψασθαι, ὅπερ ὁ τοιοῦτος τόμος εἰσήνεγκε. χρὴ γὰρ τὸ ἀπὸ τοῦ τοιούτου τόμου εἰσενηνεγμένον συνάλλαγμα, ἤδη μὴν συντελεσθὲν καὶ πρὸ ἐρωτήσεως, μὴ διασπᾶσθαι, ἐπιτιμίοις δὲ τοὺς οὕτως εἰς γάμον ἁρμοσθέντας βαρύνεσθαι, κατὰ τὴν κρίσιν καὶ δοκιμασίαν τοῦ κατὰ τόπον ἀρχιερέως, καὶ[2] συντηρεῖσθαι τούτοις τὸ συνοικέσιον· φθάσαν δὲ πεσεῖν εἰς ἐρώτησιν, μὴ ἐνδίδοσθαι χωρὶς τῶν ἀνηκόντων ἐπιτιμίων καὶ ἐντολῶν, δι' ὃ σέβας ἄνωθεν εἴρηται, μηδὲ ἀδεῶς καὶ ἀνυποστόλως καὶ ἀναιτίως τοῖς ἐρωτήσασιν ἐπιτρέπεσθαι, ἀλλὰ μετὰ ἐντολῆς, μᾶλλον δὲ καὶ ἀνάμνησιν τοῦ ῥηθέντος τόμου παρὰ τῆς ἐκκλησίας λαμβάνειν αὐτοὺς καὶ τῶν ἐν αὐτῷ διαταττομένων. καὶ εἰ μὲν τὸ θέσπισμα τιμᾶν προαιρούμενοι καὶ τὰ ἐν αὐτῷ διειλημμένα φυλάττειν ἀπαρασάλευτα βούλοιντο, ἐπαινετέοι πάντως εἰσίν· εἰ δὲ τὸ παρ' αὐτοῦ κεκωλυμένον διαπράττεσθαι προαιροῖντο, ἐκχωρηθήσονται μὲν τοῦτο ποιεῖν, πλὴν ὅμως τοῖς προσήκουσιν ἐπιτιμίοις καθυπαγόμενοι.

NOV. LXXVII.

Imp. Manuelis Comneni de possessionibus monasteriorum[1]. (A. 1176.)

Ἀπελύθη κατὰ τὸν Ἰούνιον μῆνα τῆς θ' ἰνδ. τοῦ ,ϛχπδ' ἔτους πρόσταγμα βασιλικὸν, ἀνατρέπον σχεδὸν τὸ τοιοῦτον εὐσεβέστατον καὶ εὐεργετικώτατον χρυσόβουλλον[2], καὶ διὰ τοῦτο πάντα τὰ μοναστηριακὰ ἀκίνητα ὑπὸ τῶν ἀναγραφέων ἡρπάζοντο.

---

[2] Al. ὡς.

[1] Laudatur a Bals. ad c. 12 syn. Nic. II ed. Rhalli II p. 603. [2] Spectant haec ad Nov. LIII supra.

NOV. LXXVIII.

Imp. Manuelis Comneni de impedimento matrimonii ob affinitatem sexti gradus[1].

Ὅτι δὲ λόγος γέγονέ ποτε παρὰ τῷ βασιλικῷ βήματι περὶ τοῦ εἰ δύναται ὁ αὐτὸς καὶ εἰς δύο δευτέρας ἐξαδέλφας λαμβάνειν κατὰ λόγον γάμου, ὡς δῆθεν εἰς ζ' βαθμὸν ἐξ ἀγχιστείας ἀναγομένου τοῦ συναλλάγματος, ἀπελύθη πρόσταγμα τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, μὴ γίνεσθαί ποτε τοῦτο διοριζόμενον, διὰ τὸ ἑνὸς βαθμοῦ λογίζεσθαι τὸν ἄνδρα μετὰ τῆς γυναικὸς καὶ καταντᾶν τὸ συνάλλαγμα εἰς ἕκτον βαθμὸν ἐξ ἀγχιστείας[2].

NOV. LXXIX.

Imp. Manuelis Comneni subnotatio confirmans consuetudinem, secundum quam mulier a marito in monasterium divertens post tres demum menses tondetur[1].

Νόμος ἔγγραφος οὐκ ἐστὶ διοριζόμενος τὴν θέλουσαν ἀποκαρῆναι καὶ διαζυγῆναι τοῦ οἰκείου ἀνδρὸς μὴ ἀπεντεῦθεν ἀποκείρεσθαι, ἀλλ' εἰς μοναστήριον ἀπάγεσθαι καὶ διὰ τριμηναίου καιροῦ δοκιμάζεσθαι, μή ποτε καθ' ἀψιμαχίαν τὴν ἀπόκαρσιν ἐξῃτήσατο· ἀλλ' ἐξ ἀγράφου συνηθείας δοκιμασθείσης πολλάκις ἐπὶ δικαστηρίου καὶ βεβαιωθείσης νενόμισται μὴ ἄλλως τὴν ἀπόκαρσιν ἐπιτρέπεσθαι τῆς γυναικὸς, εἰ μὴ μετὰ τρίμηνον ἐρωτωμένη τῷ ἀγαθῷ τούτῳ σκοπῷ ἐμμένει. καὶ ἐγυμνάσθησαν τὰ περὶ τούτου ἐφ' ἱκανὸν ἐπὶ βασιλικοῦ βήματος. πολλῶν γὰρ λεγόντων ὀφείλειν τὴν γυναῖκα τοῦ π υ ῤ ῥ ο γ ε ω ρ γ ί ο υ ἐκείνου

---

[1] Laudatur a Bals. ad Phot. XIII, 2 ed. Rhalli I p. 284, quem locum olim edidit Bonef. p. 88, et nos jam edimus. Caeterum eandem Novellam laudat etiam Harm. IV, 7, 17. — Cf. etiam Nov. LXIX. [2] Balsamon pergit: *ἐπεὶ δὲ τὸ τοιοῦτον πρόσταγμα οὐκ ἔφθασε καταστρωθῆναι εἰς τὰ πρόσφορα σέκρετα, ἐγὼ μὲν οὐκ ἔχω τὶ γράψαι πλέον· ἡ δὲ ἐκκλησία κωλύει καὶ τὸν τοιοῦτον γάμον.*

[1] Quae sequuntur, post Bonefid. p. 115 ex Bals. ad Phot. I, 3 (ed. Rhalli I p. 41) edo. — Caeterum hoc *σημείωμα* Novella LXVIII antiquius esse videtur, utpote quae hujusmodi consuetudinem tanquam firmam atque indubitatam ob oculos habet.

ἀπεντεῦθεν ἀποκαρῆναι διὰ τὸ εἶναι αὐτὴν φρονήματος στερεοῦ ὡς καὶ μʹ ἔτη οὖσαν, μὴ εἶναι δὲ νόμον ἔγγραφον χάριν τοῦ τριμήνου, ὁ θεοστεφὴς, κράτιστος καὶ ἅγιος ἡμῶν βασιλεὺς τὴν μακρὰν συνήθειαν, κυρωθεῖσαν ὡς εἴρηται, ἀντὶ νόμου ἐγγράφου ἐδέξατο καὶ σημειώματι ἐπεστήριξεν.

NOV. LXXX.

Imp. Manuelis Comneni de foro Judaeorum[1].

Συνηθείας οὔσης τοῖς Ἰουδαίοις δικάζεσθαι παρὰ μόνῳ τῷ στρατηγῷ τοῦ στενοῦ, ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς διωρίσατο παρὰ παντὸς δικαστηρίου κατὰ νόμους τούτους δικάζεσθαι.

---

[1] Sequentia praestat Bals. ad Phot. I, 3 ed. Rhalli I p. 41; unde antea edidit Bonef. p. 115. — Notare hic lubet, quae narrat Jo. Cinnamus VI, 8, quo loco de legibus Manuelis insignioribus agit: *Οὗτος ὁ αὐτοκράτωρ καὶ ἔθος τὶ τῶν ἀτοπωτάτων, μικροῦ καὶ εἰς νόμον τελέσαι δεῆσαν, ἐκ μέσου τῆς ῥωμαίων ἐποιήσατο πολιτείας. ὁποῖον δὲ τοῦτο ἦν, ἤδη λέγομεν. ἡ τοῦ ζῆν ἀπαραίτητος τοῖς ἀνθρώποις ἀνάγκη πολλά τε κατὰ τὸν βίον ἐκαινοτόμησεν ἄλλα, καὶ δὴ καὶ μισθοῦ τὴν ἐλευθερίαν ἀποδόσθαι πολλοὺς ἀναγκάζει. θητεύουσι τοίνυν τοῖς ἐν ὑπεροχαῖς τε καὶ ἀξιώμασι καὶ τῶν εὖ γεγονότων ἂν οὕτω τύχῃ, μὴ ὅτι ἀγελαῖοί τινες καὶ ὀχλικοί. ὁποῖον τοίνυν ἡ ἀνθρωπίνη κακὸν πλεονεξία; παραλαμβάνοντες τοὺς ἀθλίους οἱ τὴν σφῶν ἐωνημένοι δουλείαν, ὅσα καὶ ἀργυρωνήτοις αὐτοῖς προσεφέροντο, καὶ ἦν τὸ τριόβολον ἴσως καταβαλλόμενον μίσθωμα ἐλευθέρων ἀνθρώπων ὠνὴ καὶ συμβόλαιον οὕτω κακοτυχές. ἀμέλει καὶ εἴ ποτε τῇ ἐκ τῆς θητείας ἀχθόμενοι ἐργασίᾳ ἀπωθεῖσθαι βουληθεῖεν αὐτὴν, οἵδε καθάπερ δραπέτας συσχόντες αὐτοὺς καὶ δίκας ἐπετίθουν τῆς τόλμης. καὶ ἦν τότε κατὰ τὸ αἰσώπου μυθάριον, ἐν ᾧ λέων ἐπὶ τοῦ σπηλαίου νοσεῖ καῖ ζῶα παρ᾽ αὐτὸν εἴσεισιν· ἐλευθέρων μὲν εἰσιόντων ἀνθρώπων ἴχνη καὶ μάλα πολλὰ, ἐξιόντων γε μὴν ἐπὶ τῇ αὐτῇ ἥκιστα οὐδενός. τὸ μὲν δὴ ἔθος οὕτω δεινὸν ἦν. βασιλεὺς δὲ πρόῤῥιζον ἀπὸ μέσης ἐξευπακέναι τῆς πόλεως αὐτὸ βουληθεὶς, γράμμασι τὴν ἐλευθερίαν οἷον φύσει τὸ ἐλεύθερον ἐπεψήφιστο· ἐλευθέρων γὰρ ἄρχειν ῥωμαίων, οὐ μὲν οὖν ἀνδραπόδων αὐτὸς ἤθελεν.* De interpretatione hujus loci videndus est Ducange in notis ad eum.

NOV. LXXXI.

Imp. Alexii Comneni II
ne monasteriorum immobilia describantur[1]. (A. 1181.)

Ἀπελύθη κατὰ τὸν ἰούλιον μῆνα τῆς ιδʹ[2] ἰνδ. τοῦ ͵ϛχπθʹ ἔτους λύσις προσκυνητὴ τῶν θεοστέπτων κρατίστων καὶ ἁγίων ἡμῶν βασιλέων ἐπὶ ὑπομνήσει τῶν μοναστηρίων, ἐκκόπτουσα τὴν πραιτωρικὴν χρείαν καὶ τὴν κατεπανικὴν, καὶ διοριζομένη ἔχειν τὸ ἐνεργὸν τὰ προγεγονότα χρυσόβουλλα χάριν τοῦ μὴ ἀναγράφεσθαι τὰ τῶν μοναστηρίων ἀκίνητα, κατὰ ῥῆμα οὕτω διαλαμβάνουσα·

Ἡ βασιλεία μου, τῆς ἐκ τῶν ὑμετέρων εὐχῶν συνάρσεως χρήζουσα καὶ ἐν πᾶσι κατ᾽ ἴχνος βαίνειν τοῦ ἐν μακαρίᾳ τῇ λήξει βασιλέως αὐθέντου καὶ πατρὸς αὐτῆς θέλουσα, καὶ τὸ περὶ τοὺς ἀνατεθειμένους ὑμᾶς τῷ θεῷ εὐεργετικὸν ἐκείνου μιμεῖσθαι προῄρηται· ταύτῃ τοι καὶ διὰ μιᾶς ταύτης τῆς ἐφ᾽ ὑμῖν ἀγαθοποιΐας καὶ τῷ βασιλεύσαντι ταύτην θεῷ χαρίζεται, καὶ τῇ τοῦ αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου ἁγίᾳ ψυχῇ, καὶ τῷ ἡμετέρῳ δὲ κράτει τῆς εἰς τὸ ἀγαθὸν προκοπῆς ὑποβάθρα καὶ θεμέλιος τίθεται.

αʹ. Καὶ ἐπικλινὴς τῇ ὑμῶν γενομένῃ αἰτήσει, τὸ ἐνεργὸν ἔχειν καὶ ἀπαρασάλευτον καὶ ἀμετακίνητον τοὺς ἐπ᾽ εὐεργεσίᾳ τῶν καθ᾽ ὑμᾶς μονῶν ἀπολυθέντας τρεῖς χρυσοβούλλους λόγους[3] παρὰ τῆς ἁγίας ἐκείνου βασιλείας διορίζεται, καὶ ἐπὶ τῆς αὐτῆς ἀμετακινήτως μένειν δυνάμεως ἐφ᾽ ἧς κατὰ τὴν ἀρχὴν ἐξετέθησαν· καὶ τὰ ἀκολούθως δὲ τούτοις προβάντα τῆς παραδόσεως πρακτικὰ τὸ ἀσφαλὲς ἐπιφέρεσθαι, κἂν μετὰ διετίαν γεγόνασι, κἂν ἴσως τινὰ τούτων τοῖς προσφόροις σεκρέτοις καταστρωθῆναι οὐκ ἔφθασαν· τῶν εἰς ἑρμηνείαν ἢ ἀνατροπὴν τῆς τῶν χρυσοβούλλων δυνάμεως μερικὴν ἢ καθόλου ἀπολυθέντων παντοίων προσταγμάτων[4], τῶν καὶ ἐν τῇ ὑπομνήσει ὑμῶν δηλουμένων, κἂν ὅπως ἄρα καὶ ἀπελύθησαν, τὸ ἄπρακτον καὶ ἀνίσχυρον ἀποφερομένων διὰ τῆς παρούσης λύσεως, καὶ ὥσπερ εἰ μηδὲ ὅλως γεγόνασι λογιζομένων.

---

[1] Hanc Novellam servavit Bals. ad syn. sept. c. 12 (ed. Rhalli II p. 603). Inde ediderunt Bonef. p. 116 et Leuncl. JGR. I p. 167. [2] Editi libri δʹ, quod emendandum erat. [3] Cf. supra Nov. LIII. LXI. LXII. [4] E. g. cf. supra Nov. LXXVII.

β΄. Ἀργήσει δὲ καὶ ἡ μέχρι τοῦ νῦν ἐπεισκωμάσασα τοῖς ὑπὸ τὰς καθ᾿ ὑμᾶς μονὰς ἀκινήτοις, τοῖς κατὰ τὸ θέμα Θράκης καὶ μακεδονίας διακειμένοις, ἀπαίτησις τῆς τε πρακτορικῆς καὶ κατεπανικῆς γύρας καὶ[5] χρείας, καὶ ἡ στυπίου καὶ ἀξουγγίου ἐξώνησις ἢ ἀπαίτησις, ὡς διὰ τῆς παρούσης λύσεως ἐκκοπτόμεναι καὶ ῥιζοτομούμεναι καὶ εἰς τὸ ἀνύπαρκτον καὶ ἀνονόμαστον ἀποκαθιστάμεναι· τῶν πραιτόρων καὶ πρακτόρων καὶ κατεπάνων, καὶ τῶν τὴν ἐξώνησιν ἢ ἀπαίτησιν τοῦ στυπίου καὶ τοῦ ἀξουγγίου κατὰ καιροὺς ποιουμένων, καὶ τῶν ἐξυπηρετούντων αὐτοῖς οὕτω παρατρέχειν τὰ τοιαῦτα ἀκίνητα ὀφειλόντων, ὡς εἰ μηδὲ ὅλως ἐν τοῖς ὑπ᾿ αὐτοὺς θέμασι ταῦτα διέκειντο[6], ἅτε καὶ αὐτῶν ἀκαταζητήτων μελλόντων διατηρεῖσθαι ἀπὸ τοῦ δημοσίου ἐπὶ πᾶσι τοῖς τοιουτοτρόπως ἐπιγνωσθεῖσιν αὐτῷ ἀπ᾿ ἀρχῆς τῆς σήμερον ἀπαιτουμένης ἐγχρονίας καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους δεχομένοις[7] ἀναντιῤῥήτως, καὶ ὡς μηδὲ ἐν δημοσιακοῖς πρακτικοῖς καταγραφῆναι[8] λογιζομένοις· κἂν μὴ κατεγράφησαν δὲ ἐν πρακτικοῖς, ἄλλως δέ πως ἐπεγνώσθησαν, δεχομένοις καὶ οὕτω.

γ΄. Τοῦ κατατολμήσαντος ἕτερόν τι παρὰ τὰ διωρισμένα τοῖς τοιαύτοις χρυσοβούλλοις καὶ τῇ παρούσῃ λύσει τῆς βασιλείας μου ἐπὶ ταῖς ὑπὸ τὰς καθ᾿ ὑμᾶς μονὰς παντοίαις ἀκινήτοις κτήσεσι διαπράξασθαι, σὺν τῷ καὶ καθοσιώσει ὑποπίπτειν (καθὼς διὰ τῶν τοιούτων χρυσοβούλλων διωρίσθη) καὶ παρὰ τοῦ κατὰ τὴν ἡμέραν μεγαλεπιφανεστάτου μυστικοῦ καταναγκαζομένου εἰς τὸ τὴν ἐπενεχθεῖσάν τινι τῶν ὑφ᾿ ὑμᾶς κτήσεων βλάβην ἀποθεραπεύειν αὐτῇ. μελήσει μέντοι καὶ τῷ μέρει τῶν μονῶν πασῶν, τῶν τε ἐντὸς τῆς μεγαλοπόλεως καὶ ἐκτὸς, ὑπὸ τοὺς ἐμπεριειλημμένους μέντοι ὅρους τοῖς τοιούτοις χρυσοβούλλοις διακειμένων, τοῦ ἐν τοῖς μνημοσύνοις τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου ἐκτελεῖν ὅσα ἐν τῇ ὑπομνήσει ὑμῶν δεδήλωται, εἰ μὴ βούλονται τῆς τοιαύτης ἐξκουσσείας διαπεσεῖν ἐκ τοῦ ἅπαξ τούτων καταμελῆσαι.

---

[5] Verba *γύρας καὶ* Bonef. et Leuncl. omittunt. [6] Verba *τὰ τοιαῦτα — διέκειντο* in editis libris fere desunt. Supplevi ex editione Rhalli. [7] Bonef. et Leuncl. *δεχόμενα.* [8] Iidem *καταγραφεῖσι.*

NOV. LXXXII.

Imp. Alexii Comneni II de laesae majestatis reis[1]. (A. 1182.)

Σημείωμα τοῦ βασιλέως κυροῦ ἀλεξίου, τοῦ υἱοῦ τοῦ βασιλέως κυροῦ μανουὴλ τοῦ κομνηνοῦ κατεστρωμένον ἐν τοῖς προσφόροις σεκρέτοις, γεγονὸς κατὰ μῆνα ἰούλιον τῆς ιε΄ ἰνδ., καὶ διαλαμβάνον μὴ ὑποκεῖσθαι εἰς καθοσίωσιν τοὺς τότε συνομοσαμένους μεγάλους καὶ ὑψηλοὺς ἄρχοντας, διὰ τὸ μὴ λογίζεσθαι συνωμοσίαν τὸ γεγονὸς, ἀλλὰ θεμιτὸν ὅρκον διὰ τὸ ὑπὲρ τῆς βασιλείας αὐτοῦ τὸν ὅρκον γενέσθαι.

NOV. LXXXIII.

Imp. Alexii Comneni II ut immobilia ab imperatore donata ad quemlibet possint transmitti. (A. 1183.)

Ἅτινα [1] δὴ προστάγματα ἀνῃρέθησαν διὰ μεταγενεστέρου χρυσοβούλλου τοῦ υἱοῦ αὐτοῦ τοῦ ἀοιδίμου πορφυρογεννήτου καὶ βασιλέως ἀλεξίου τοῦ κομνηνοῦ, ἀπολυθέντος κατὰ μῆνα δεκέμβριον τῆς α΄ ἰνδ. τοῦ ,ςχϟα΄ ἔτους.

NOV. LXXXIV.

Imp. Isaacii Angeli de nuptiis septimi gradus[1]. (A. 1186.)

Κατὰ τὴν δ΄ ἰνδ. τοῦ ,ςχϟδ΄ ἔτους πρόσταξις γέγονε τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυροῦ ἰσαακίου τοῦ

---

[1] Sequentia praestat Bals. ad syn. Trull. c. 34 ed. Rhalli II p. 383.

[1] Verba sunt Balsamonis ad syn. CP. primosec. c. 1 ed. Rhalli II p. 653. Respicit Bals. ad Novv. Manuelis LXIV et LXXIII supra indicatas.

[1] Sequentia praestat Bals. ad Phot. XIII, 2 ed. Rhalli I p. 291. Inde hausit Bonef. p. 120.

ἀγγέλου, πατριαρχεύοντος τοῦ καματηροῦ κυρίου βασιλείου, διοριζομένη μὴ προκριματίζεσθαι ἐκ τῶν ῥηθεισῶν πράξεων τὸν μετὰ τὴν ποίησιν αὐτῶν συστάντα γάμον μέσον τῶν πανευτυχεστάτων καισάρων, ἤγουν τοῦ καντακουζηνοῦ κυρίου ἰωάννου καὶ τῆς αὐταδέλφης τοῦ βασιλέως τῆς κυρίας εἰρήνης, καὶ εἰς ζ' βαθμὸν ἐξ αἵματος ἀναγόμενον, ἀλλ' ὅσον τὸ εἰς αὐτοὺς καὶ μόνους ἀπρακτῆσαι τὰ παρὰ τῆς συνόδου καὶ τοῦ βασιλέως κυρίου μανουὴλ διορισθέντα[2] χάριν τοῦ τοιούτου γάμου· καὶ ἐδέχθη παρὰ τῆς συνόδου.

NOV. LXXXV.

Imp. Isaacii Angeli de electionibus pontificum[1]. (A. 1187.)

Ἰσαακίου τοῦ ἀγγέλου[2].

Σημείωμα βασιλικὸν ἀκυροῦν τὰς γινομένας ψήφους ἀπουσίᾳ τινὸς τῶν τῇ μεγάλῃ πόλει ἐνδημούντων ἀρχιερέων, διοριζόμενον δὲ καὶ εἰς τὸ ἑξῆς μὴ ἄλλως γίνεσθαι ψῆφον, εἰ μὴ πάντες οἱ ἐν τῇ μεγάλῃ πόλει ἐνδημοῦντες ἀρχιερεῖς μετακληθῶσι, καὶ ἢ παρουσιάσουσιν ἢ δώσουσι γνώμας. μηνὶ σεπτεμβρίῳ ι' ἡμέρᾳ δ' ἐπινεμήσεως ε'.

Ὁ μὴ ἐλέγχων, φησὶν ἡ γραφὴ, τὴν ἁμαρτίαν τοῦ ἀδελφοῦ αὐτοῦ, ὡς ὁ τὸν ἰὸν ἀφεὶς τῷ δηχθέντι ὑπὸ ἰοβόλου. πρὸς τί δὲ ταῦτα παρὰ τῆς βασιλείας μου τῷ τοῦ λόγου προθύρῳ προβέβληται, προϊὼν ὁ λόγος δηλώσει σαφέστατα. καὶ γὰρ τοῦ ἱερωτάτου μητροπολίτου κυζίκου ὑπομνήσαντος πρότριτα τὸ κράτος ἡμῶν, ὡς ἐστὶν οὔ τινα παρὰ τοὺς ἱεροὺς καὶ θείους κανόνας καὶ τοὺς φιλευσεβεῖς νόμους προβαίνουσιν ἐν ταῖς συνοδικαῖς τῶν συναδελφῶν αὐτοῦ συνελεύσεσι, καὶ παρακληθέντος τηρηθῆναι ταῦτα παρὰ τῷ τῆς βασιλείας μου βήματι συνάμα τῷ ἁγιωτάτῳ μου δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ, ὡς καὶ

---

[2] Supra Nov. LXIX.

[1] Edita est a Leuncl. JGR. I p. 169, et ex eo repetita in Coll. can. ed. Rhalli et Potli V p. 314. Extare eam in Cod. Scorialensi II, X, 14 (olim A. Augustini 182) auctor est Mortreuil III p. 186. [2] Haec inscriptio Leunclavio deberi videtur.

τὴν τοῦ ἐπιστημονάρχου τῆς ἐκκλησίας τάξιν λαχούσης τῆς βασιλείας μου παρὰ τοῦ ταύτην χρίσαντός τε καὶ βασιλεύσαντος, καὶ ἐφειμένον ἐχούσης διορθοῦσθαι τὰ παρὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας ἴσως γινόμενα· οὐ μὲν οὖν καὶ ἀπεώσατο καὶ ἡ βασιλεία μου τὴν τοῦ μητροπολίτου ἱκέσιον δέησιν καὶ εἴασεν ἀδιαίτητον. διὸ καὶ μετακαλεσαμένη τὴν σήμερον τὸν ἁγιώτατόν μου δεσπότην καὶ οἰκουμενικὸν πατριάρχην, ἀλλὰ καὶ τοὺς ἑτέρους ἁγιωτάτους πατριάρχας, τόν τε τῆς θεουπόλεως ἀντιοχείας, καὶ τὸν ἱεροσολύμων, ναὶ μὴν καὶ τοὺς ἐνδημοῦντας τῇ μεγάλῃ πόλει ἀρχιερεῖς, ἀπήτησε τὸν διαληφθέντα μητροπολίτην κυζίκου παρόντα καὶ αὐτὸν ἐν ἐπηκόῳ τοῦ φιλοθέου τούτου χοροστασίου εἰπεῖν καὶ προθέσθαι ὃ βούλεται· ὁ δὲ καὶ πάλιν μηδὲν ὑποστειλάμενος ἐκεῖνα ταῦτα προέθετο, ἅπερ καὶ πρὸς τὴν βασιλείαν μου πρότριτα ἀνήνεγκε, τὸ τοὺς ἱεροὺς καὶ θείους δηλαδὴ κανόνας καὶ νόμους ἔν τισι παραθεωρεῖσθαι καὶ παραβαίνεσθαι. καὶ εὐθὺς πρὸ τῶν ἄλλων προέθετο, ὅτι ἐκκλησιῶν χηρευουσῶν καὶ ψήφων γινομένων αὐτῶν οὐ συγκαλοῦνται ἐπὶ ταῖς γενησομέναις ψήφοις ἅπαντες οἱ ἐνδημοῦντες τῇ μεγάλῃ πόλει ἀρχιερεῖς, ἀλλὰ καὶ ἄτερ τῆς τινων συλλειτουργῶν καὶ συναδελφῶν μετακλήσεως τὰ τῆς ψήφου παρὰ κανόνας προβαίνει· ὁποῖον δή τι γέγονε καὶ ἐπὶ ταῖς ψήφοις τῶν ῥηθησομένων ἐκκλησιῶν. καὶ προΐσχετο, ὡς ἐπὶ τῇ ψήφῳ μὲν τῆς τε κλαυδιουπόλεως καὶ τῆς μαρωνείας οὐδόλως ἠξίωται λόγου παρὰ τῶν ψηφισαμένων ταύτας συναδελφῶν τούτου καὶ συλλειτουργῶν, οὐδὲ μετεκλήθη πρὸς τὴν ψῆφον παρά τινος, καὶ ταῦτα τῇ μεγάλῃ πόλει ἐνδημῶν καὶ τῶν συνοδικῶν δικαστηρίων μὴ ἀπολιμπανόμενος καὶ τῶν λοιπῶν συνελεύσεων· ἐπὶ δὲ ταῖς ψήφοις τῶν ἑτέρων τριῶν ἐκκλησιῶν, δυῤῥαχίου, μιλήτου καὶ χριστιανουπόλεως, δοθείσης τούτῳ εἰδήσεως, καὶ αὐτοῦ ποιησαμένου ἀπόλογον, καὶ ἐνδειξαμένου φανερῶς ἀποπεφασμένον τὸ τούτῳ δυσαρεστούμενον καὶ τὸ μέσον αὐτοῦ τε καὶ τῆς ἀδελφότητος διὰ τὴν περιφρόνησιν σκάνδαλον, καὶ οἷον ἀπαιτοῦντος τὴν εἰρήνην καὶ τὴν ὁμόνοιαν, οἱ τούτου συναδελφοὶ παρὰ φαῦλον ἔθεντο καὶ ἀπεῤῥάπισαν τὴν ἀπόκρισιν, καὶ ἀποσχοινίσαντες ἑαυτοὺς, χωρὶς τῆς αὐτοῦ παρουσίας καὶ ἑτέρας τινὸς ὑπομνήσεως, κἀπὶ ταύταις ταῖς ἐκκλησίαις τοὺς δοκοῦντας αὐτοῖς ἐψηφίσαντο. ὅτι γοῦν οἱ θεῖοι καὶ ἱεροὶ κανόνες τὰς τοιαύτας ψήφους ἀποδοκιμάζοντες μεμισήκασι, προτίθησι τέως τὰ περὶ τούτου, καὶ τοὺς κανόνας παρακλητεύει ἀναγινώσκεσθαι, οἵ τινες καὶ παρ᾽ αὐτοῦ

ἐκδοθέντες ἐπὶ τοῦ μέσου κατὰ ῥῆμα ὑπανεγνώσθησαν. ὧν ὁ μὲν εἷς δ' ἦν κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς α' συνόδου, οὕτω διεξιών· „ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων „τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι. εἰ δὲ δυσχερὲς εἴη τὸ τοι- „οῦτον, ἢ διὰ κατεπείγουσαν ἀνάγκην ἢ διὰ μῆκος ὁδοῦ, ἐξ „ἅπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συνηγμένους, συμψήφων γινομένων „καὶ τῶν ἀπόντων καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν „χειροτονίαν ποιεῖσθαι. τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι „καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ". ὁ δὲ ἕτερος κανὼν ἦν καὶ αὐτὸς ιθ' τῆς ἐν ἀντιοχείᾳ συνόδου, διαλαμβάνων οὕτως αὐτολεξεί· „ἐπίσκοπον μὴ χειροτονεῖσθαι δίχα συνόδου καὶ „παρουσίας τοῦ ἐν τῇ μητροπόλει τῆς ἐπαρχίας. τούτου δὲ „παρόντος ἐξ ἅπαντος, βέλτιον μὲν συνεῖναι αὐτῷ πάντας ἐν „τῇ ἐπαρχίᾳ συλλειτουργούς, καὶ προσήκει δι' ἐπιστολῶν „τοὺς ἐν τῇ μητροπόλει συγκαλεῖν. καὶ εἰ μὲν ἀπαντῷεν „πάντες, βέλτιον· εἰ δὲ δυσχερὲς εἴη τοῦτο, τούς τε πλεί- „ους ἐξ ἅπαντος παρεῖναι δεῖ ἢ διὰ γραμμάτων ὁμοψήφους „γενέσθαι. καὶ οὕτω μετὰ τῆς τῶν πλειόνων ἤτοι παρουσίας „ἢ ψήφου γίνεσθαι τὴν κατάστασιν. εἰ δὲ ἄλλως παρὰ τὰ „ὡρισμένα γίνοιτο, μηδὲν ἰσχύειν τὴν χειροτονίαν. εἰ δὲ κατὰ „τὸν ὡρισμένον κανόνα γίνοιτο ἡ κατάστασις, ἀντιλέγοιεν δέ „τινες δι' οἰκείαν φιλονεικίαν, κρατεῖν τὴν τῶν πλειόνων ψῆ- „φον". ταῦτα τοῦ ἱερωτάτου μητροπολίτου κυζίκου προβαλλομένου, οἱ ἀντικαθιστάμενοι τούτῳ ἀρχιερεῖς, καὶ πρὸ τῶν ἄλλων ὁ ἐφέσου, ὁ ἰκονίου καὶ ὁ ἀβύδου, μὴ ἀληθεύειν τὸν κυζίκον προΐσχοντο ἐφ' οἷς καὶ προέθετο, τὸ μὴ μετακληθῆναι δηλονότι καὶ αὐτὸν ἐπὶ ταῖς ψήφοις τῶν ῥηθεισῶν ἐκκλησιῶν. αὐτὸς γάρ, φησιν ὁ ἰκονίου, γάμου γεγονότος ἐπὶ ἐξαδέλφῃ τοῦ ῥαιφερενδαρίου εὑρὼν ἐκεῖσε μετακληθέντα καὶ τὸν κυζίκου, δέδωκε τούτῳ εἴδησιν τῆς γενησομένης ψήφου τῇ ἐπιούσῃ ἐπί τε τῇ κλαυδιουπόλει καὶ τῇ μαρωνείᾳ· ἐπὶ δὲ ταῖς λοιπαῖς ψήφοις τῶν ἑτέρων ἐκκλησιῶν καὶ ἐγγράφως γενέσθαι διετείνοντο τὴν τούτου μετάκλησιν. καὶ εἰς παράστασιν τῆς βεβαιολογίας αὐτῶν καὶ σημείωμα ἐνεφάνιζον τοῦ πατριαρχικοῦ νοταρίου, στεφάνου τοῦ ναρσίτου, γεγονὸς κατὰ τὴν κγ' τοῦ αὐγούστου τῆς πρὸ μικροῦ διελθούσης δ' ἐπινεμήσεως, ὃ καὶ ἀναγνωσθὲν ἐπὶ λέξεων εἶχεν οὕτως· „μηνὶ „αὐγούστῳ κγ' ἡμέρᾳ ζ' ἐπινεμήσεως δ', ἐπὶ παρουσίᾳ τοῦ „εὐλαβοῦς ἐπισκοπειανοῦ κυροῦ κωνσταντίνου τοῦ χειρο- „μάχου, θεοδώρου τοῦ φιαλίτου καὶ μιχαὴλ τοῦ χα-

„μούλη, ὁρισθέντες παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου „καὶ οἰκουμενικοῦ πατριάρχου, εἰδήσει καὶ τοῦ τιμιωτάτου χαρ-„τοφύλακος τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας κυροῦ „εὐσταθίου τοῦ χανδρηνοῦ, μετακαλέσασθαι τὸν πανιερώ-„τατον μητροπολίτην κυζίκου κῦρον ἰωάννην ἀνελθεῖν κατὰ „τὴν αὔριον εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ παρουσιάσαι „ἐπὶ ταῖς μελλούσαις γενέσθαι ψήφοις τῶν χηρευουσῶν ἁγιω-„τάτων ἐκκλησιῶν ἢ γνώμην ἐκθέσθαι, καὶ ἀναδιδάξαι τοῦτον, „ὡς εἰ μὴ οὕτω ποιήσει, μέλλουσιν αἱ τοιαῦται ψῆφοι προβῆ-„ναι καὶ ἀπουσίᾳ αὐτοῦ, διὰ τὸ περὶ τούτων μηνυθῆναι αὐτὸν „διαφόρως καὶ παρὰ τοῦ εὐλαβοῦς ἐπισκοπειανοῦ, κυροῦ κων-„σταντίνου τοῦ χειρομάχου, καὶ μὴ θελῆσαι τὰ τούτου „μηνύματα ἐκπληρῶσαι· ἀφικόμεθα τὴν σήμερον ἐν τοῖς κελ-„λίοις τοῦ ῥηθέντος πανιερωτάτου μητροπολίτου, τοῖς διακει-„μένοις πλησίον καὶ σύνεγγυς τῆς σεβασμίας μονῆς τῶν στου-„δίου, καὶ ἐντυχόντες τούτῳ ἐκεῖσε ἐπὶ κλίνης κειμένῳ ὡς ἀρ-„ρώστως ἔχοντι, εἴπομεν πρὸς αὐτὸν καθὼς παρὰ τῆς πατριαρ-„χικῆς καὶ θείας μεγαλειότητος ὡρίσθημεν, ὅσα ὁ λόγος ἀνω-„τέρω ἐδήλωσε, παρεγγυησάμενοι τούτῳ, ὡς εἴπερ ἴσως οὐ „θελήσει οὗτος ἢ παρουσιάσαι κατὰ τὴν αὔριον εἰς τὰς γενη-„σομένας (ὡς εἴρηται) ψήφους τῶν χηρευουσῶν ἁγιωτάτων ἐκ-„κλησιῶν ἢ γνώμην ἐπὶ ταύταις ἐκθεῖναι, προβήσονται αὗται „καὶ ἀπουσίᾳ αὐτοῦ. ὁ δὲ πρὸς ἡμᾶς ἀπεκρίθη ταῦτα· ὡς καὶ „ἄλλοτε προέβησαν ψῆφοι ἐκκλησιῶν παρὰ τῶν τούτου συναδελ-„φῶν ἄνευ παρουσίας αὐτοῦ καὶ γνώμης, τοῦτο γοῦν γενέσθω „παρ᾽ αὐτῶν καὶ ἐπὶ ταῖς νῦν χηρευούσαις ἐκκλησίαις· οὐ γὰρ „δύναται ἀνελθεῖν εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον καὶ παρου-„σιάσαι ἐπὶ ταῖς ψήφοις διὰ τὸ δεινῶς νοσηλεύεσθαι. πολλὰ „γοῦν παρακληθεὶς παρ᾽ ἡμῶν κἂν γνώμην ἐκθέσθαι, οὐδὲ τοῦτο „ποιῆσαι ἠθέλησεν. εἰς δήλωσιν οὖν τούτων τὴν παροῦσαν „σημείωσιν ἐξεθέμεθα, ἣν παρεκβαλόντες καὶ συνήθως πιστω-„σάμενοι ἐπιδεδώκαμεν μηνὶ καὶ ἐπινεμήσει τοῖς προγεγραμμέ-„νοις. ὁ εὐτελὴς διάκονος τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης „ἐκκλησίας καὶ πατριαρχικὸς νοτάριος στέφανος ὁ ναρσίτης“. τοῖς οὖν ῥήμασι τοῦ τοιούτου σημειώματος ἀποχρώμενοι οἱ τοῦ κυζίκου ἀντίθετοι, ἔλεγον ἐν πάσαις ταῖς ψήφοις μετάκλητον γενέσθαι καὶ τὸν κυζίκου, καὶ αὐτοὶ μὲν τὸ οἰκεῖον ποιήσασθαι, τοῦτον δὲ μὴ θελῆσαι παρουσιάσαι· προστιθέμενοι, ὅτι καὶ ἐπισκοπειανοὶ κατ᾽ ἐπιτροπὴν τοῦ θεοφιλεστάτου χαρτοφύλακος κατὰ τὸ ἔθος ἀπεστάλησαν εἰς τὰ ἐν οἷς καταμένει κελ-

nichi, apud Corsandrum[9], et infrascriptis insulis et qualibet earum, scilicet in Metelli, in Sio, et Dei misericordia in Creti, in Negroponte, logiam, palatium, ecclesiam, balneum, furnum et jardinum, et domos sufficientes ad stallos mercatorum, qui ibidem venerint causa negotiandi: ita tamen, quod ex ipsis aliqua pensio peti non debet nec exigi, et in praedictis terris et insulis habere debent et possint Januenses et in qualibet earum ad eorum velle consules, curiam et jurisdictionem meram et mixtam in civilibus et criminalibus omnibus super omnibus Januensibus et de districtu Januae [et] qui dicuntur Januenses. Et si quaestio erit, utrum aliquis erit Januensis vel de districtu vel appellatur, credetur et stetur assertioni consulum Januensium, qui tunc temporis fuerint. Promisit autem et convenit, quod non recipiet aliquem Januensem nec de districtu in vasallum hominem seu fidelem, quia semper sit sub curia et jurisdictione consulum Januensium, et sub ipsis respondere teneatur tanquam civis et habitator Januensis.

Item promisit et convenit, quod non impediet vel impediri faciet nec permittet in toto nostro Imperio, quod habet et Dei misericordia adquisierit, aliquem Januensem vel de districtu vel dictum Januensem pro facto vel delicto alterius occasione aliqua in personis vel rebus, sed poena suos teneat auctores, ita quod caeteri nullum damnum vel laesionem patiantur pro delicto alterius, debito vel rapina. Et si quis erit accusatus vel inculpatus vel requisitus de aliquo debito, rapina vel delicto alicujus, cognoscatur de his sub curia et jurisdictione consulum Januensium. Et si aliquis de terra nostri Imperii, vel aliquis qui non sit de nostro Imperio nec sit Januensis, offenderit aliquem praedictorum Januensium vel erit debitor de aliqua quantitate, Imperium nostrum procedat et faciet justitiam summariam et expeditam.

Item, quod non permittet de caetero in tota sua terra vel in insulis nostri Imperii, quas habet et Dei misericordia adquisierit, aliquam armatam fieri, quod armata sit et esse debeat contra commune Januae vel Januenses et districtus: non receptabit neque receptari permittet aliquam armatam contra Januenses in toto dicto Imperio, neque concedet inimicis communis Januensium mercatum aliquod, exceptis Pisanis, qui sunt fideles nostri Imperii: et omnes piratas contra commune Januensium de toto nostro Imperio ex-

---

[9] Anea (prope Ephesum), Smyrna, Adramyttium, et praeter Constantinopolin Thessalonica et Cassandria indicatur. Vide etiam infra.

pellet, et persequetur eos atque puniet secundum justitiam offensores.

Item promisit, convenit et confirmavit jura, rationes[10] et privilegium jurium et aedificiorum, divina misericordia favente, quod commune Januae seu aliquis pro communi consuevit habere in urbe magna Constantinopoli. Et si Dominus omnipotens concesserit Imperio nostro recuperare et capere dictam civitatem, tunc dabit in civitate praedicta palatium communi Januae, stallum, possessiones, et in terris et gratiam faciet dicto communi, videlicet quod dabit dicto communi ecclesiam S. Mariae, quam modo tenent Venetici, cum logiis, quae sunt intra ipsam ecclesiam, et cimiterio ipsius, atque solum castri Venetorum, quod est in ipsa civitate, si dictum commune instantem et efficacem ad dictam civitatem capiendam succursum miserit galearum.

Item dedit et concessit jure proprietatis et dominii cum plena jurisdictione mera et mixta civitatem sive locum Simirri et ejus portum cum supradictis possessionibus et districtu et habitatoribus, introitu exituque maris et terrae liberam et expeditam, perpetuo possidendam: videlicet totum illud, quod pertinet imperatoriae Majestati, salvis juribus episcopatus et ecclesiarum ipsius civitatis, et eorum militum qui sunt privilegiati in ipsa civitate inhabitare ab Imperio nostro in ordine militiae: quae cunctis est utilis ad usum mercationum, et habet bonum portum et est affluens bonis omnibus.

Promisit iterum et convenit dare annuatim communi Januae pro solemniis yperperos[11] quingentos et duo pallia deaurata, et archiepiscopatui Januensium yperperos LX et pallium unum deauratum, ut memoratur in privilegio felicis memoriae Domini Manuelis Imperatoris quondam Graecorum.

Item promisit et convenit, quod non faciet de caetero communi Januae devetum aliquod in toto dicto Imperio, quod habet et Dei misericordia adquisierit, de aliquibus mercationibus, victualibus atque grano, sed ipsis mercationes, victualia et granum permittet contrahere de toto jam antedicto Imperio omnibus et singulis Januensibus, et deferre libere et expedite, sine aliquo impedimento dacitae, commercii sive exactionis.

Item promisit et convenit, quod non detinebit nec detineri faciet nec permittet aliquam navim neque lignum alicujus Januensis

---

[10] Nempe λόγους sc. χρυσοβούλλους. [11] Apud Ducange hic et infra *ysperos* scriptum est.

aliqua occasione, nec aliquem Januensem in personis et rebus, sed ipsos et ipsas semper exire permittet de toto Imperio personaliter et realiter, nisi inculpatus foret de aliquo debito, furto vel rapina, de quibus sub curia Januensium debeat judicari.

Item promisit et convenit, quod non imponet aut exiget nec exigi faciet ab aliqua persona aliquod novum commercium, dacitam seu exactionem in toto Imperio praedicto, quod habet vel adquisierit Dei misericordia, de illis mercationibus, quas emit a Januensibus nec ipsis vendiderit[12] nec qui dicuntur Januenses, nisi ut hinc retro tempore foelicis memoriae domini Imperatoris Kaloicannis agnati nostri solitum fuerit exigi et haberi de civilibus mercationibus.

Promisit iterum[13] et convenit, quod non permittet de caetero negotiari inter Majus mare aliquem Latinum, nisi Januensem et Pisanum et eos, qui deffenderunt portum seu res Vestiarii, quibus Januensibus devetum non faciet eundi inter Majus mare et redeundi cum mercibus vel sine mercibus, sed libere possint ire et redeundi[14] ab omni commercio et redire.

Promisit insuper et convenit, firmatis et ratificatis per sacramentum iis, quae continentur in praesenti privilegio, per Potestatem Januae, Capitaneum Januae et octo Nobiles et Antianos et totum Commune et Consiliares Januae versus Imperium nostrum, quod liberabit et absolvet a carceribus et vinculis omnes Januenses et de districtu Januae et qui dicuntur Januenses, qui sunt in carceribus nostri Imperii, et ipsos redire et recedere permittet. Praeterea omnia et singula, ut continentur superius, promisit et convenit Imperium nostrum, et juramento confirmavit per se et successores praedictis syndicis et nuntiis et procuratoribus, recipientibus nomine et vice Communis Januae et singulorum Januensium.

Ex quo ergo praedictas petitiones praedictorum nuntiorum recepit et adimplevit Imperium nostrum et per juramentum confirmavit, juraverunt namque praedicti nuntii, videlicet Guillelmus Vicecomes et Gualterius[15] Judex ad sancta Dei evangelia et honorabilem et veram crucem et omnes sanctos, et receperunt super animas suas et dominorum suorum, Potestatis, Capitanei, Antianorum, octo Nobilium et Communis, omnes petitiones Imperii nostri subscriptas, et jurare debeant multotiens, videlicet Potestas, Capitaneus, Antiani,

---

[12] Legerim: *nec qui sunt de districtu.* [13] Malim: *item.* [14] Legendum: *immunes,* vel: *et expedite.* [15] Supra: *Guarnerius.*

octo Nobiles et Commune Januae, ut adimpleant ista, et per juramentum confirment et ratificent infrascripta:

Inprimis quod Commune Januae habebit de caetero pacem et amorem perpetuum cum Imperio nostro ac successoribus ejus, et non faciet pacem, treugam nec concordiam cum communibus inimicis nostrae communiae Venetis sine scientia et voluntate nostri Imperii, sicut Imperium nostrum tenetur non facere treugam, pacem neque concordiam cum communibus inimicis nostris Venetis sine voluntate et conscientia dicti Communis Januensium.

Item quod salvabunt, custodient et defendent in Janua et districtu Januae, quem habent et de caetero adquisierint, omnes nuntios et fideles homines nostri Imperii.

Item quod omnes mercationes et omnes et singuli, qui sunt de terra nostri Imperii, possint ire Januam et facere mercantiam, et totum districtum ejus, quem habet et de caetero adquisierit, et extrahere de Janua et districtu ejus de omnibus mercationibus et armis et equis libere sine aliqua dacita vel commercio, et quod sint liberi et franchi in Janua et districtu ejus, quem habet et adquisierit, eundo et redeundo, et quod custodiri debeant sani et naufragi.

Item[16] quod non permittent aliquam armatam fieri in Janua vel districtu ejus habito vel habendo per aliquos inimicos Imperii nostri et per aliquos alios contra dictum Imperium vel gentes seu insulas Imperii nostri.

Item quod omnes Januenses et de districtu Januae, qui voluerint venire in servitium nostri Imperii, possint venire cum galeis, armis, navibus et equis, et quod dictum Commune, Potestas et Capitaneus non possint ipsos detinere.

Item quod omnes Januenses et de districtu et qui pro Januensibus se appellabunt, qui fuerint in Imperio nostro, et adjuvabunt ad defendendum et defendent terram nostri Imperii et homines bona fide: non tamen possint propterea detineri personaliter vel realiter, quin semper ad eorum voluntatem de nostro Imperio exire possint et recedere personaliter et realiter.

Item quod si aliqua navis mercatorum Januensium fuerit in Imperio nostro, et tunc acciderit quod[17] stolus Pisanorum vel Venetorum vel aliorum, qui habent guerram cum Imperio nostro, et Capitaneus seu Ducas vel Castellanus loci, ubi jam dicta navis esset,

---

[16] Ducange: *ita.* [17] *Quod* delendum esse videtur, nisi verbum *advenerit* vel ejusmodi quid exciderit.

requireret de hominibus navis praedictae pro muniendo castrum, et pepigerit cum ipsis Januensibus per tantum tempus, quantum pactum fecerit dando ipsis solidos[18], videlicet decem dierum vel viginti vel unius mensis vel plus vel minus, quod dicti Januenses, qui pepigerint, teneantur debitum debito castrum illud defendere et salvare sicut castrum proprium Januensium, et non facere aliquam malitiam dicti castri seu traditionem dicti castri: teneatur Commune Januae, Capitaneus[19] et Potestas contra ipsos correctionem et vindictam facere, sicut si essent in simili causa traditores Communis Januensium.

Item quod nuntii Imperii nostri semper ad eorum voluntatem possint extrahere de civitate Januae et districtu habito et habendo libere sine aliquo commercio arma et equos.

Item cum necesse habuerit galearum Imperium nostrum et eas petere veluerit pro serviendo Imperio nostro, Commune Januae, Capitaneus et Potestas ab una galea usque in quinquaginta[20], cum expensis Imperii nostri, sicut apparet et scriptum est de expensis in isto privilegio sacrament[at]o: videlicet quod homines uniuscujusque galeae quolibet mense habeant pro victualibus Cant. XC de panis biscotti, quae sunt ad pondus librarum Romaniae librae XIVMCCCC, item carnes salitas Cant. VI Janu., quae sunt libr. DCCCCLX Romaniae, item caseum lib. M Romaniae, item vinum ad mitrum Nisi CCXL. Item quod homines dictarum galearum debent habere solidos Imperii nostri pro quolibet mense et pro quolibet homine, sicut hic continetur: videlicet Comites uniuscujusque galeae yperpera VI et dimidium; IV nautileni uniuscujusque galeae yperp. XIII, videlicet quilibet nauclerius yperp. III et kar. VI; supersalientes uniuscujusque galeae yperp. C, videlicet pro quolibet yperp. II et dimidium; panetarius uniuscujusque galeae yperp. I et kar. XVIII; vogherii CVIII uniuscujusque galeae yperp. CLXXXIX[21], videlicet pro quolibet I et kar. XVIII. Praedictos namque solidos et victualia dabit et solvet praedictum Imperium nostrum populo dictarum galearum ab ea die, qua recesserint de portu Januae dictae galeae, in antea, et Commune Januae teneatur debito dictis galeis apparare bene et integre de totis sarciis earum et apparatu. Quae galeae et homines ipsarum servire debent Imperium nostrum contra omnes homines inimicos Imperii nostri, excepto contra Ecclesiam Romanam et contra illas Communitates et Barones, cum quibus Janua pacem seu

---

[18] i. e. *soldum.* [19] Ducange: *Capitulum.* [20] Nempe excidit aliquid, v. c. *opparare teneatur.* [21] Duc.: LXXXVIII.

conventionem habet, qui debent nominari et cognosci et dari in scriptis illa die, qua jurabunt versus Imperium nostrum Potestas, Capitaneus, octo Nobiles, Antiani, Consiliares et Commune Januae. Et Imperium nostrum galeas sibi commissas licentiabit de Imperio nostro facto servitio: et si acciderit infra diem primam intrantis mensis Octobris, quod homines ipsarum galearum habuerint dictos solidos et dispendium dierum quadraginta tunc proxime futurorum, ex quo licentiatae fuerint, si non[22] ante dictum terminum dierum quadraginta dictae galeae portum accesserint Januae, teneatur dictum Commune restituere Imperio nostro solidos et dispendium qui supererunt, de quibus faciat Imperium nostrum voluntatem suam. Et si acciderit quod Imperium nostrum licentiaret dictas galeas transacta dicta prima die Octobris, quod dabit Imperio nostro[23] solidos et dispendium hominibus ipsarum galearum per tantum tempus, quantum moram fecerint accedendo portum Januae. Teneatur tam[en] admiratus, comites et nauclerii[24] dictarum galearum juramento, quod, licet Imperium nostrum ante dictum terminum ipsos licentiaret vel post, ne[25] cum dictis galeis et efficacius omnibus modis nullo tardatu apud Januam commode[26] ad eorum posse.

Item quod aliquis mercator Januae vel de districtu vel qui dicitur Januensis non portabit res alicujus extranei intrando terram nostri Imperii nec exeundo de eo in fraudem commercii Imperii nostri, et hoc cognoscatur litteris vel testimonio Consulum Januensium qui tunc fuerint Romaniae.

Item quod omnes mercatores Januae et districtus habeant licentiam faciendi et exercendi et extrahendi de toto Imperio nostro omnes merces, excepto auro et argento, nisi foret de voluntate Imperii nostri: yperperos aureos et[27] Turchifaros liceat eis extrahere ad eorum voluntatem et deferre. Ex quo autem dicti syndici, nuntii et procuratores requisiverint ab ipso Imperio nostro logiam apud Landrimir[28], in Sio, Anea, Marellini, Carsandria, Simirris, et Deo volente in Constantinopoli, et in Negreponti et in Creti, et dedit et concessit ista[m] ipsis, promiserunt et promittunt ipsi nuntii, quod negotiationes, quas Januenses et qui nominati sunt Januenses apportabunt de partibus extraneis, et eas negotationes in scripto et per sacramentum dabunt et manifestabunt et denuntiabunt certissime

---

22 Negatio delenda esse videtur. 23 Lege: *Imperium nostrum.* 24 Ducange: *comitii et mauclerii.* 25 Legerim: *vel postea, cum.* 26 Legerim: *contendere.* 27 *et* abundare videtur. 28 De his nominibus vide supra ad not. 9.

commissariis Imperii nostri, ut commissarii jus suum accipiant ab illis extraneis praeter a Januensibus. Aliae autem mercationes, quas afferent alii mercatores Graeci et aliae generationes ex Janua, poni debent ad domos imperiales, et ibi ipsis compartire debent Januenses, ut isti quidem liberi sint, alii autem solvant jus commercii.

Praedicta omnia et singula promittit Imperium meum per praesens privilegium sacramentatum salvare et attendere, si Potestas, Capitaneus Januae, octo Nobiles et Antiani et Consilium totum [et] Commune Januae jurabunt conventiones praedictas juratas a praedictis nuntiis, syndicis et procuratoribus delegatis, videlicet Guillelmo Vicecomite et Gualterio Judice, et salvabunt et confirmabunt omnes ipsas juratas et firmatas per praedictos syndicos, nuntios et procuratores, secundum quo continetur in privilegio inde facto.

Acta fuerunt praedicta in Romaniae Imperio in aula imperiali, quae est apud Nisiem, MCCLXI a nativitate Domini Jesu Christi, Indict. quarta, die XIII Martii.

NOV. VI.

Imp. Michaelis Palaeologi aurea bulla pro firmanda pace cum Venetis[1]. (A. 1265.)

Ἐπεὶ ὁ εὐγενέστατος δοὺξ βενετίας καὶ ἐξουσιαστὴς χορβατίας δαλματίας καὶ τῶν ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ λοιπῶν χωρῶν τε καὶ νησίων κῦρις ῥαινέριος ντζένος μετὰ καὶ τῆς μικρᾶς καὶ μεγάλης βουλῆς τοῦ κουμουνίου αὐτῶν καὶ συναινέσεως καὶ γνώμης τοῦ τοιούτου κουμουνίου παντὸς τῆς βενετίας ἐκλεξάμενος ἀποκρισιαρίους τοὺς δύο εὐγενεῖς ἄνδρας καὶ πρωτοσυμβούλους, τόν τε σὺρ ἰάκωβον δελφῖνον καὶ τὸν σὺρ ἰάκωβον κονταρῖνον, ἀπέστειλεν εἰς τὴν βασιλείαν μου, ὥστε συντυχεῖν καὶ τρακταΐσαι περὶ ἀγάπης, καὶ πληρῶσαι τούτους ταύτην μετὰ τῆς βασιλείας μου ὡς πληρεστάτους ἀποκρισιαρίους καὶ ἔχοντας τὴν ἐξουσίαν καὶ τὸ θέλημα ἅπαν τοῦ εὐγενεστάτου δουκὸς βενετίας καὶ τοῦ κουμουνίου αὐτῶν ἀνα-

[1] Hanc ex originali ediderunt Tafel et Thomas in Sitzungsber. d. k. k. Akad. d. Wissensch. 1850. phil. hist. Cl. II p. 180. Iidem ibi versionem vernaculam addiderunt, et adjecerunt versionem antiquam latinam, quae in Libro albo et Libris pactorum extaret. Doctissimas editorum adnotationes exegeticas, historicas et geographicas adeat cui opus.

τεθειμένον εἰς αὐτοὺς, καὶ τὸ παρ᾿ αὐτῶν γεγονὸς καὶ ἀφιερωθὲν μετὰ τῆς βασιλείας μου στερχθῆναι καὶ βεβαιωθῆναι καὶ δεχθῆναι παρὰ τοῦ διαληφθέντος εὐγενεστάτου δουκὸς βενετίας κυροῦ ῥαινερίου ντζένου καὶ τῆς μικρᾶς καὶ μεγάλης βουλῆς τῆς βενετίας καὶ παντὸς τοῦ κουμουνίου αὐτῆς, καὶ πολλῶν συντυχιῶν γενομένων καὶ τρακταϊσμῶν μετ᾿ αὐτῶν, συνῆλθεν ἡ βασιλεία μου καὶ συνεβιβάσθη εἰς τὸ ποιῆσαι καὶ πληρῶσαι τὴν μετ᾿ αὐτῶν ἀγάπην ἐπὶ τοῖς κεφαλαίοις τοῖς κατωτέρω ῥηθησομένοις· ὀμνύει ἡ βασιλεία μου εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν, ἵνα ἀπὸ τῆς σήμερον ἡμέρας, ἥτις ἐστὶν ὀκτωκαιδεκάτη τοῦ παρόντος ἰουνίου μηνὸς τῆς ὀγδόης ἰνδικτιῶνος, ἔχῃ μετὰ τοῦ εὐγενεστάτου δουκὸς βενετίας καὶ τῆς μικρᾶς καὶ μεγάλης βουλῆς αὐτῶν καὶ παντὸς τοῦ κουμουνίου τῆς βενετίας ἀγάπην καθαρὰν καὶ ἀδολίευτον οὕτως·

Ἵνα μετὰ τὸ συνδεθῆναι αὐτοὺς εἰς ἀγάπην μετὰ τῆς βασιλείας μου οὐ μὴν ποιήσωσιν οὗτοι μετὰ ἄλλου γένους ἀγάπην κατὰ τῆς βασιλείας μου· ἀλλ᾿ οὐδὲ ἐὰν ἐπιχειρήσῃ τὶς ἄλλος, ἢ[2] ἀπὸ τῶν νῦν κρατουμένων εἰς φιλίαν τῆς βενετίας, καὶ ὁρμήσῃ κατὰ χώρας τῆς βασιλείας μου, ἢ ὁ κύριος πάπας, ἢ ὁ ῥὴξ φραγγίας, ἢ ὁ ῥὴξ σικελίας, ἢ ὁ ῥὴξ καστέλλας, ἢ ὁ ῥὴξ ἰγκλινίας, ἢ ὁ ῥὴξ ῥαγούνας, ἢ ὁ αὐτάδελφος τοῦ ῥηγὸς φραγγίας ὁ κόντος κάρουλος ἢ ἕτερος ῥὴξ καὶ κόντος, ἢ τὸ κουμούνιον τῆς γενούας, ἢ τὸ κουμούνιον τῆς πίσσης, ἢ τὸ κουμούνιον τοῦ ἀγκῶνος ἢ ἕτερον κουμούνιον, ἢ ἁπλῶς εἰπεῖν χριστιανός τις ἢ ἀσεβὴς ἀλλογενὴς ὁρμήσῃ κατὰ χώρας τῆς βασιλείας μου ἢ κάστρου ἢ φοσσάτου αὐτῆς, ἵνα συνέλθῃ[3] ὁ εὐγενέστατος δοὺξ βενετίας μετ᾿ αὐτῶν ἢ τὸ κουμούνιον τῆς βενετίας ἢ τῶν καραβοκυρίων τὶς ἢ τῶν ἀρχόντων τῆς βενετίας εἰς μάχην κατὰ τῆς χώρας τῆς βασιλείας μου ἢ κατὰ κάστρου ἢ φοσσάτου αὐτῆς, ἢ λόγοις ἢ βουλαῖς ἢ ἔργοις ἢ χρήμασιν, ἢ ἵνα ναυλώσωσιν αὐτοῖς ξύλα εἰς τὸ ἐλθεῖν ἢ ἀπὸ τοῦ κουμουνίου κοινῶς ἢ ἀπὸ πραγματευτῶν ἰδικῶς καὶ ἀρχόντων τῆς βενετίας, ὥστε λαβεῖν ναῦλον ἢ τὸ κουμούνιον τῆς βενετίας ἤ τινας τῶν πραγματευτῶν ἢ τῶν καραβοκυρίων καὶ διακομίσαι ἐχθροὺς εἰς τὴν χώραν τῆς βασιλείας μου. εἰ δέ τινες ῥῆγες ἢ πρίγκιπες ἢ κόντοι ἢ βαρούνιοι μετὰ φοσσάτου

---

[2] Latinum exemplar habet: *qui sit*. Unde forte scribendum ὅς ἤ.

[3] Omnino negatio deest.

ζητήσουσι διαπερᾶσαι ἐπὶ τῷ ἀπελθεῖν εἰς τὸν τοῦ κυρίου τάφον ἢ ἀλλαχοῦ, πρῶτον ἵνα ζητῇ ὅρκον ἐξ αὐτῶν ὁ δοὺξ βενετίας καὶ τὸ κουμούνιον, ὅτι οὐ μὴν ἔλθωσι κατὰ χώρας τῆς βασιλείας μου, καὶ οὕτως ἵνα παραχωρῶσιν αὐτοῖς ἀπελθεῖν ἔνθα βούλονται εἰς τὴν δουλείαν αὐτῶν· εἰ δ' ἴσως περεγρῖνοί τινες θελήσουσι διαπερᾶσαι δέκα ἢ εἴκοσι τὸν ἀριθμὸν, οὐ μὴν ἀπαιτῇ ἐξ αὐτῶν ὅρκον ὁ δοὺξ βενετίας καὶ τὸ κουμούνιον.

Ἵνα οἱ πραγματευταὶ τῆς χώρας τῆς βασιλείας μου οἱ μέλλοντες ἀπέρχεσθαι εἰς βενετίαν, ποιῶσι τὰς δοκούσας αὐτοῖς πραγματείας καὶ διδῶσι τὸ κομμέρκιον κατὰ τὴν συνήθειαν τῆς βενετίας, καὶ ἐξωνῶνται τὰ δοκοῦντα αὐτοῖς ἀνεμποδίστως.

Ἵνα τὰς χώρας, ἃς κρατεῖ ἀρτίως ἡ βενετία, τὴν κορώνην καὶ τὴν μεθώνην, ἔχῃ πάλιν καθὼς ἔχει αὐτάς. ἵνα ἔχῃ τὴν νῆσον κρήτην, καὶ ὅσοι ἄνθρωποι τῆς βασιλείας μου εὑρίσκονται ἐκεῖσε, ἵνα ἐπάρῃ αὐτοὺς ἡ βασιλεία μου καὶ οὐ μὴν μεταχειρισθῇ ταύτην ἡ βασιλεία μου. τὰ νησία τοῦ αἰγαίου πελάγους, ὅσα εἶχεν εἰς εἴσοδον ὁ δοὺξ βενετίας, ἵνα πάλιν ἔχῃ ταῦτα, ὅσα δὲ ἦσαν ὑπὸ τὴν βασιλείαν καὶ τὸ πριγκιπάτον, ὅτε οἱ λατῖνοι ἦσαν ἐγκρατεῖς τῆς κωνσταντινουπόλεως, ἵνα θεοῦ εὐδοκοῦντος γένωνται ὑπὸ τὴν βασιλείαν μου καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ τὴν ῥωμανίαν. εἰς τὸν εὔριπον ἵνα ἔχωσιν, εἴ τι ἔχουσι σήμερον.

Ἵνα δώσει αὐτοῖς ἡ βασιλεία μου εἰς τὸν ἁλμυρὸν τόπον εἰς κάθισμα, καὶ ποιήσωσιν ἐν αὐτῷ ἀναπαύσεις. ἐπεὶ δὲ ἔχει ἡ βασιλεία μου μάχην μετὰ τοῦ εὐρίπου, καὶ εὑρίσκονται ἐν αὐτῷ βενέτικοι, ἵνα ἔχῃ ἡ βασιλεία μου κατακεκρατημένην τὴν σκάλαν τοῦ ἁλμυροῦ, ὅπως μὴ ἐπαίρωσιν ἀπὸ τῆς τοιαύτης σκάλας βρώσιμα καὶ πόσιμα οἱ ἐν τῷ εὐρίπῳ βενέτικοι, καὶ ἀποκομίζωσι ταῦτα εἰς ζωάρκειαν τῶν ἐν τῷ εὐρίπῳ ἐχθρῶν τῆς βασιλείας μου λατίνων· μέχρις ἂν δώῃ θεὸς, καὶ γένηται ἐγκρατὴς ἡ βασιλεία μου τοῦ εὐρίπου, καὶ τότε ἵνα ἀπολύσῃ ἡ βασιλεία μου καὶ τὴν τοιαύτην σκάλαν πρὸς τὸ μέρος τῆς βενετίας. ὅτε δὲ μέλλει πολεμεῖν ἡ βασιλεία μου μετὰ καὶ τῆς τοῦ θεοῦ βοηθείας τοῖς εἰς τὸν εὔριπον λατίνοις, οὐ μην ἀποστείλῃ ἡ βενετία συμμαχίαν ἢ χρῆμα εἰς βοήθειαν αὐτῶν. ἀλλὰ καὶ οἱ ἐν τῷ εὐρίπῳ εὑρισκόμενοι βενέτικοι, εἰ μὲν ἀποσχισθῶσιν ἀπὸ τοῦ μέρους τῶν ἐκεῖσε λατίνων καὶ πέσουσιν ἰδικῶς, καὶ οὔτε τοῖς λατίνοις συμ-

μαχοῦσιν οὔτε τῇ βασιλείᾳ μου ἀντιδικοῦσιν, ἵνα φυλάσσωνται καὶ αὐτοὶ καὶ τὸ πρᾶγμα αὐτῶν παρὰ τοῦ μέρους τῆς βασιλείας μου, ὡς καὶ οἱ λοιποὶ βενέτικοι· εἰ δὲ ἀντιδικήσουσιν οὗτοι μετὰ τῶν ἐκεῖσε λατίνων τῷ μέρει τῆς βασιλείας μου εἰς τὸν κατὰ τῶν εὐριπιωτῶν γενησόμενον πόλεμον, ἵνα καὶ εἰς αὐτοὺς καὶ εἰς τὸ πρᾶγμα αὐτῶν ποιῇ ἡ βασιλεία μου, ὅπερ βούλεται. ἀφότου δὲ βοηθείᾳ θεοῦ ἐπιλάβηται ἡ βασιλεία μου τοῦ εὐρίπου, τὸν τόπον, ὃν εὑρίσκεται ἡ βενετία ἔχουσα ἐν αὐτῷ κατὰ τὴν σήμερον, ἵνα δώσει τοῦτον πάλιν ἡ βασιλεία μου πρὸς τὸν εὐγενέστατον δοῦκα βενετίας καὶ τὸ κουμούνιον αὐτῆς· καὶ ἔχωσι πάλιν τοῦτον, καθὼς ἔχουσι σήμερον.

Ὡσαύτως ἵνα δώσει αὐτοῖς ἡ βασιλεία μου καὶ εἰς τὸ μέρος τῆς θεσσαλονίκης ἄνευ τοῦ κάστρου ἔνθα θέλουσι τόπον εἰς κάθισμα· εἰς τὸ μέρος τοῦ βολεροῦ καὶ τῆς αἴνου, ἔνθα ἀναπαυθῶσιν· ἀπὸ τοῦ στενοῦ εἰς τὸ μέρος τῆς δύσεως εἰς δύο τόπους ἔνθα ἂν ὀρεχθῶσιν· εἰς τὴν κωνσταντινούπολιν εἰς οἷον τόπον θελήσουσιν, ἀπὸ τῆς παλαιᾶς ἐξαρτήσεως μέχρι καὶ τῶν πηγῶν (εἰ δ' ἴσως ποτὲ τῶν καιρῶν θελήσει ἡ βασιλεία μου δοῦναι τόπον ἐντὸς τῆς κωνσταντινουπόλεως ἢ τῆς θεσσαλονίκης τινὶ τῶν λατινικῶν κουμουνίων, ἵνα τότε προτιμῆται ἡ βασιλεία μου τοὺς βενετίκους, καὶ διδῷ αὐτοῖς τόπον εἰς τὰ τοιαῦτα κάστρα)· εἰς τὴν μαύρην θάλασσαν ὅπου ἂν ἀρεσθῶσι· εἰς τὸ ὑρτάκιον ἵνα ἔχωσι τόπον· εἰς τὸ ἀτραμύτιον τὰ ὀσπήτια καὶ τὸ λουτρὸν τὰ ὄντα ἐκεῖσε· εἰς τὴν ἄναιαν τόπον ἵνα εἰσέρχωνται καὶ ἐξέρχωνται ἐν αὐτῷ· ὡσαύτως καὶ εἰς τὴν σμύρνην.

Ἵνα ἀποδιώξῃ ἡ βασιλεία μου ἀπὸ τῆς χώρας αὐτῆς καὶ τοὺς ἐχθροὺς αὐτῶν τοὺς γενουίτας καὶ οὐ μὴν παραλάβῃ αὐτούς. ἐὰν δέ ποτε τῶν καιρῶν προσέλθωσιν οἱ γενουῖται τῇ βασιλείᾳ μου καὶ παρακλητεύσωσιν αὐτήν, ἵνα δέξηται αὐτοὺς εἰς ἀγάπην, ἄλλως οὐ μὴν ποιήσῃ ταύτην ἡ βασιλεία μου μετ' αὐτῶν, εἰ μὴ μετὰ εἰδήσεως τοῦ δουκὸς βενετίας καὶ τοῦ κουμουνίου, σωζομένου τοῦ παρόντος ὁρκωμοτικοῦ τῆς βασιλείας μου πρὸς τὴν βενετίαν. ἀλλ' οὐδὲ ἡ βενετία ἵνα παραδέξηται αὐτοὺς εἰς ἀγάπην ἄνευ εἰδήσεως τῆς βασιλείας μου, σωζομένου τοῦ πρὸς τὴν βασιλείαν μου ὁρκωμοτικοῦ τῆς βενετίας. ἐὰν δὲ οἱ τοιοῦτοι ἐχθροὶ αὐτῶν ἁρματώσωσι κάτεργα ἐπὶ τῷ ἐλθεῖν κατὰ τῆς χώρας τῆς βασιλείας μου, ἵνα ἁρματώσωσι καὶ οὗτοι κάτεργα καὶ ἔρχωνται πρὸς ἀντιπαράταξιν αὐτῶν καὶ βοήθειαν τῆς χώρας τῆς βασιλείας μου, πρὸς

τὸ ποσὸν τῶν γ ε ν ο υ ι τ ι κ ῶ ν ξύλων καὶ πρὸς ὃ διακρίνουσιν οὗτοι ἀντιπαρατάξασθαι αὐτοῖς. καὶ ἵνα διδῷ ἡ βασιλεία μου τὴν ἔξοδον τῆς [ἡ]μισείας ῥόγας τῶν σωμάτων τῶν τοιούτων κατέργων, γινομένου ὅρκου παρά τε τοῦ δουκὸς β ε ν ε τ ί α ς καὶ τοῦ κουμουνίου αὐτῶν, ὅτι καθὼς μέλλουσιν οὗτοι δοῦναι τὴν ἡμίσειαν ῥόγαν τῶν τοιούτων σωμάτων ἄνευ τινὸς δόλου, ἵνα διδῷ καὶ ἡ βασιλεία μου τὴν ἡμίσειαν ῥόγαν τῶν σωμάτων, ἰσόποσον τῆς ῥόγας τῆς β ε ν ε τ ί α ς. ἐὰν δὲ ἡ βασιλεία μου μηνύσῃ πρός τινας τῶν ἀρχόντων τῆς β ε ν ε τ ί α ς καὶ φίλων τῆς βασιλείας μου, ἵνα ἁρματώσωσι κάτεργα καὶ δουλεύσωσι τῇ βασιλείᾳ μου, καὶ θελήσωσι διὰ τὴν ἀγάπην τῆς βασιλείας μου ποιῆσαι τοῦτο, οὐ μὴν ἐμποδίσονται οὗτοι εἰς τοῦτο παρὰ τοῦ εὐγενεστάτου δουκὸς β ε ν ε τ ί α ς ἢ τοῦ κουμουνίου αὐτῶν. ἀλλ' οὐδὲ ἡ βασιλεία μου, ἵνα ἀποστείλῃ τὰ τοιαῦτα κάτεργα κατὰ χώρας τινὸς ἐχούσης φιλίαν μετὰ τῆς β ε ν ε τ ί α ς.

Ἵνα, ἐὰν διὰ ξηρᾶς συμβῇ ἐλθεῖν φοσσάτον κατὰ χώρας τῆς βασιλείας μου, οἱ εὑρισκόμενοι ἐν ἐκείνῳ τῷ τόπῳ β ε ν έ τ ι κ ο ι φυλάσσωνται καὶ οὗτοι παρὰ τῆς βασιλείας μου, ὡς καὶ οἱ ὑπὸ τὴν βασιλείαν μου ῥ ω μ α ῖ ο ι, ἢ εἰς κ ω ν σ τ α ν τ ι ν ο ύ π ο λ ι ν ἢ εἰς θ ε σ σ α λ ο ν ί κ η ν.

Ἵνα θήσει τὸ κουμούνιον τῆς β ε ν ε τ ί α ς κεφαλὴν ἐπάνω εἰς τὸν λαὸν αὐτῶν, καὶ ὀνομάζηται μπάϊλος καὶ ἀποστέλλῃ κατὰ τόπους ἔνθα μέλλουσιν ἔχειν ἀναπαύσεις κριτάς, ὅπως διεξάγωσι τὸν λαὸν αὐτῶν. ἀλλὰ καὶ ῥ ω μ α ῖ ο ι, ὅσοι ἔχουσιν ὑπόθεσίν τινα μετὰ β ε ν ε τ ί κ ω ν, καὶ θελήσουσιν ἵνα κριθῶσι παρὰ τοῦ μπαΐλου, ἵνα κρίνωνται καὶ οὗτοι κατὰ τὸ δίκαιον.

Ἵνα ἔχωσιν οἱ ἐγνωσμένοι β ε ν έ τ ι κ ο ι πάντες ἐξουσίαν εἰς πάσας τὰς χώρας τῆς βασιλείας μου, ἐφ' αἷς μέλλουσι ποιεῖν πραγματείαν, κατά τε ξηρὰν καὶ θάλασσαν. ἀλλὰ καὶ χωρὶς πραγματείας ἐρχόμενοι ἵνα διέρχωνται καὶ εἰς γῆν καὶ εἰς θάλασσαν χωρίς τινος δόσεως καὶ ἐμποδισμοῦ καὶ χωρὶς δόσεως τελωνίου, διαβατικοῦ, κομμερκίου, σκαλιατικοῦ καὶ ἄλλης ἁπάσης δόσεως.

Ἵνα οἱ φέροντες πραγματείας β ε ν έ τ ι κ ο ι, ἔνθα ἂν φέρωσι ταύτας, δεικνύωσιν αὐτὰς τοῖς κατὰ τόπους κομμερκιαρίοις τῆς βασιλείας μου, καὶ μεθ' ὅρκου ἐξασφαλίζωνται, ὅτι οὐκ ἔχουσιν εἰς τὰς πραγματείας αὐτῶν ξένων τινῶν πραγματείας, ἀλλὰ αἱ πραγματεῖαι ὅλαι εἰσὶ τῶν β ε ν ε τ ί κ ω ν, καὶ ἵνα μὴ παρυποκρύπτωσιν ἐκ τῶν πραγματειῶν αὐτῶν τι· ὅπως λαμβάνωσιν

οἱ κατὰ τόπους κομμερκιάριοι τῆς βασιλείας μου τὸ σύνηθες κομμέρκιον ἀπὸ τῶν ἐξωνουμένων αὐτάς.

Ἵνα ἔχωσι στατῆρας ἰδίους, μοδίους, μέτρα, λίτρας, πήχεις εἰς τοὺς οἰκείους τόπους.

Ἵνα αἱ ἐκκλησίαι αὐτῶν, ἃς μέλλουσιν ἔχειν ἐν οἷς μέλλουσι κατοικεῖν τόποις, ὦσιν ἰδιόῤῥυθμοι μετὰ δυνάμεως τῆς βασιλείας μου ἄνευ ἀνακρίσεως, καὶ ἵνα ποιῶσιν ἐν αὐταῖς βαπτίσματα καὶ ἱεροτελεστίας, καθὼς ἔχουσι συνήθειαν.

Ἵνα ἐὰν βενέτικος ἀποθάνῃ εἰς τὴν χώραν τῆς βασιλείας μου, εἴτε διαθήκην ποιήσει εἴτε οὐ ποιήσει, οἰκονομῆται τὸ πρᾶγμα αὐτοῦ παρὰ τοῦ μπαΐλου ἢ παρὰ τοῦ δικαίῳ[1] αὐτοῦ, καθὼς ἂν οὗτος διάθηται ἢ ὁ μπάϊλος καὶ ὁ δικαίῳ αὐτοῦ ἐπικρίνῃ, καὶ οὐ μὴν εὑρίσκῃ ἐμποδισμόν τινα ἢ ὄχλησιν ἀπὸ τοῦ μέρους τῆς βασιλείας μου.

Ἵνα ἐὰν συμβῇ κινδυνεῦσαι βενετίκους μετὰ καραβίων αὐτῶν ἢ μετὰ ἄλλων ξύλων εἰς χώραν τῆς βασιλείας μου, ὦσι σῷοι καὶ αὐτοὶ καὶ τὰ πράγματα αὐτῶν, καὶ ἵνα ἔχωσι βοήθειαν ἀπὸ τοῦ λαοῦ τῆς βασιλείας μου, ὅπως κρατῶσι τὰ πράγματα αὐτῶν.

Ἵνα ἔχωσιν οἱ βενέτικοι ἄδειαν ἐξωνεῖσθαι σῖτον ἀπὸ τῆς χώρας τῆς βασιλείας μου, καὶ διακομίζειν αὐτὸν ἔνθα θέλουσι, πάρεξ τῶν χωρῶν τῶν ἐχθρῶν τῆς βασιλείας μου. ὅταν δὲ πωλῆται ὁ σῖτος ἐν τῇ κωνσταντινουπόλει τὸ κεντηνάριον ἐπέκεινα τῶν πεντήκοντα ὑπερπέρων, οὐ μὴν ἐξωνῶνται αὐτόν.

Ἵνα ἐὰν συμβῇ ποιῆσαί τινα βενέτικον εἴς τινα ῥωμαῖον βλάβην, ἐὰν εὑρεθῇ ὁ ποιήσας τὴν βλάβην, τηνικαῦτα ποιῇ ὁ μπάϊλος τὴν ἐκδίκησιν κατὰ τὸ δίκαιον. εἰ δὲ οὐχ εὑρίσκεται ὁ ποιήσας τὴν ζημίαν, ἵνα διδῶται διωρία παρὰ τοῦ μπαΐλου τῷ ἀδικηθέντι μέχρι καὶ ἑξαμήνου· καὶ εἰ μὲν εὑρεθῇ ὁ ποιήσας τὴν ἀδικίαν, ἵνα γένηται ἡ ἐκδίκησις πάλιν κατὰ τὸ δίκαιον· εἰ δὲ οὐχ εὑρεθῇ, ἵνα ποιῇ ὅρκον ὁ μπάϊλος ἢ ὁ δικαίῳ αὐτοῦ διδόναι εἴδησιν πανταχοῦ, ἔνθα ἔνι ἡ ἐξουσία τῶν βενετίκων καὶ εὑρίσκηται τὸ πρᾶγμα αὐτοῦ, καὶ ἱκανῶται ὁ ἀδικηθείς. ἐὰν δὲ συμβῇ γενέσθαι φόνον, εἰ μὲν βενέτικος φονεύσει ῥωμαῖον, ἵνα κρίνηται οὗτος παρὰ τοῦ μέρους τῆς βασιλείας μου, ὁμοίως καὶ ῥωμαῖος, ἐὰν φονεύσῃ βενέτικον.

---

[1] Editores *δικαίω*, quod forma Italica dictum putant: sed *δικαίῳ* legendum. In latino exemplari est: *loco ejus*.

εἰ δὲ βενέτικος φονεύσει βενέτικον, εἰ μὲν ἔξω τῆς κωνσταντινουπόλεως φονεύσει τοῦτον, ἵνα κρίνηται παρὰ τοῦ μπαΐλου· εἰ δὲ ἐν τῇ κωνσταντινουπόλει γένηται φόνος ἀπὸ βενετίκου εἰς βενέτικον, ἵνα κρίνηται καὶ τοῦτο παρὰ τοῦ μέρους τῆς βασιλείας μου.

Ἵνα ἀπολύσῃ ἡ βασιλεία μου τοὺς βενετίκους, ὅσους ἔχει κεκρατημένους· καὶ ὅσους δὲ ῥωμαίους κρατοῦσιν οἱ βενέτικοι, ἵνα ἀπολύῃ τούτους ὁ δοὺξ βενετίας καὶ τὸ κουμούνιον· ὡσαύτως δὲ ἀπολύσωσι καὶ τοὺς κρητικοὺς, τοὺς κορωναίους τε καὶ τοὺς μεθωναίους, τοὺς φθάσαντας γενέσθαι τῆς βασιλείας μου καὶ κατασχεθέντας παρ᾽ αὐτῶν, ὁπότε ἦσαν οὗτοι τῆς βασιλείας μου· καὶ εἰ μὲν θελήσουσιν οἱ τοιοῦτοι κρητικοὶ ἢ οἱ κορωναῖοι ἢ οἱ μεθωναῖοι ἵνα πάλιν ὦσιν ἐκεῖσε, μένωσι παρ᾽ αὐτῶν ἀβλαβεῖς· εἰ δὲ θελήσουσιν ἐλθεῖν εἰς τὴν χώραν τῆς βασιλείας μου, ἵνα ἀπολύωνται μετὰ τοῦ λαοῦ αὐτῶν.

Ἵνα οὐ μὴν παραχωρήσῃ ἡ βασιλεία μου γενέσθαι ἁρμάτωσιν ἀπὸ τῆς χώρας αὐτῆς κατὰ τῶν βενετίκων· ἐὰν δὲ γένηται ζημία, ἵνα διορθῶται ταύτην ἡ βασιλεία μου.

Ἵνα ἐὰν κουρσάριοι βενέτικοι ποιήσωσί τινα ζημίαν εἰς τὴν χώραν τῆς βασιλείας μου, ἔνι ἔνοχος ὁ μπάϊλος καὶ οἱ ἴδικοὶ αὐτοῦ ἐπάνω εἰς τὸν ὅρκον αὐτῶν, ὅπως εὑρίσκωσιν αὐτοὺς καὶ κρατῶσι, καὶ ποιῶσι ποινὰς εἰς αὐτοὺς, καὶ ἐπαίρωσι τὸ πρᾶγμα τῶν ἀδικηθέντων καὶ ἐπιδιδῶσι πρὸς αὐτοὺς, ἄνευ μέντοι τῶν βενετίκων τῶν κρατούντων νησία καὶ μὴ ὑποκειμένων τῇ βενετίᾳ· ἐὰν δὲ καὶ ἀπὸ ἑτέρου γένους ἢ ἀπὸ τῶν νησίων τῶν ὡς εἴρηται μὴ ὑποκειμένων τῇ βενετίᾳ ἔλθωσι κουρσάριοι κατὰ τῆς χώρας τῆς βασιλείας μου, οὐ μὴν δέχωνται αὐτοὺς ἢ εἰς χώραν αὐτῶν ἢ εἰς νησίον, ἀλλ᾽ ἵνα μάχωνται καὶ ἀποδιώκωσιν αὐτοὺς, καθὼς καὶ οἱ τοῦ μέρους τῆς βασιλείας μου. ὅστις δὲ ἀναδέχεται τούτους, ἐὰν εὕρῃ τιμωρίαν ἀπὸ τῆς βασιλείας μου, οὐ μὴν ἐνέχεται ἡ βασιλεία μου εἰς τὸν ὅρκον χάριν τῆς παιδεύσεως τῶν τοιούτων.

Ἵνα ἐὰν συμβῇ γενέσθαι τὶ σφάλμα ἀπο τοῦ μέρους τῆς βενετίας εἰς τὸ μέρος τῆς βασιλείας μου, οὐ μὴν ἀπολύῃ ἡ βασιλεία μου τὴν ἀγάπην τοῦ εὐγενεστάτου δουκὸς βενετίας καὶ τοῦ κουμουνίου αὐτῶν καὶ κινῆται εἰς μάχην, ἀλλ᾽ ἵνα διαμηνύῃ τῷ εὐγενεστάτῳ δουκὶ βενετίας καὶ τῷ κουμουνίῳ, καὶ γίνηται παρ᾽ αὐτῶν ἡ διόρθωσις. ὡσαύτως ἵνα ἐὰν συμβῇ γενέσθαι τὶ σφάλμα παρὰ τοῦ μέρους τῆς βασιλείας μου εἰς τὸ μέρος

τῆς βενετίας, οὐ μὴν ἀπολύῃ ὁ δοὺξ βενετίας καὶ τὸ κουμούνιον τὴν ἀγάπην τῆς βασιλείας μου καὶ κινῆται εἰς μάχην, ἀλλ' ἵνα διαμηνύῃ ὁ δοὺξ βενετίας καὶ τὸ κουμούνιον τῇ βασιλείᾳ μου, καὶ γένηται παρὰ τῆς βασιλείας μου διόρθωσις. εἰ δὲ συμβῇ τὸν εὐγενέστατον δοῦκα βενετίας τὸ κοινὸν λαβεῖν χρέος, ὅπερ ἀπεύχεται ἡ βασιλεία μου, ἵνα οἱ διάδοχοι τῆς ἐξουσίας τοῦ δουκάτου τῆς βενετίας καὶ τὸ κουμούνιον αὐτῶν καὶ ἡ μικρὰ καὶ μεγάλη βουλὴ στέργωσι τὰ τοιαῦτα κεφάλαια.

Ἅπερ δὴ κεφάλαια οὕτως ἐπωμόσατο ἡ βασιλεία μου ἐνώπιον τῶν διαληφθέντων εὐγενῶν δύο ἀνδρῶν καὶ ἀποκρισιαρίων, τοῦ τε σὺρ ἰακώβου δελφίνου καὶ τοῦ σὺρ ἰακώβου κονταρίνου, ὡς ἐμφανισάντων τῇ βασιλείᾳ μου τὴν ἣν εἶχον οὗτοι ἔγγραφον δύναμιν καὶ ἐξουσίαν ἀπὸ τοῦ δουκὸς βενετίας καὶ τοῦ κουμουνίου εἰς τὸ τρακταΐσαι καὶ πληρῶσαι τὴν ἀγάπην μετὰ τῆς βασιλείας μου, ἥπερ δὴ γραφὴ ἐπὶ λέξεων ἔχει οὕτως· „ἡμεῖς ῥαινέριος ντζένος, θεοῦ χάριτι δοὺξ βενε-„τίας, γνωστὸν ποιοῦμεν πᾶσι τοῖς τὸ παρὸν ἡμῶν ἔγγραφον „θεωροῦσιν· ἐπεὶ τοῖς εὐγενέσι καὶ φρονίμοις ἀνδράσιν ἰα-„κώβῳ δελφίνῳ καὶ ἰακώβῳ κονταρίνῳ, τοῖς πιστοῖς „ἡμῶν καὶ ἀγαπητοῖς, μετὰ τῆς μεγάλης καὶ μικρᾶς βουλῆς τοῦ „κουμουνίου τῆς βενετίας ἀνεθέμεθα πληρεστάτην δύναμιν καὶ „ἐξουσίαν αὐτοῖς ἐδώκαμεν ἐνεργεῖν τὰ παρόντα, ἤτοι τρακτα-„ΐσαι, συμβίβασιν ποιήσασθαι μετὰ τοῦ ὑψηλοτάτου κῦρ μι-„χαὴλ ἐν χριστῷ τῷ θεῷ πιστοῦ βασιλέως καὶ αὐτοκράτορος „ῥωμαίων δούκα ἀγγέλου κομνηνοῦ τοῦ παλαιολόγου, „καὶ γενέσθαι χρυσόβουλλα, καὶ πληρῶσαι καὶ στερεῆσαι μετὰ „τοῦ ῥηθέντος βασιλέως καθὼς αὐτοῖς φανῇ κρεῖττον, καὶ ποι-„ῆσαι καὶ ἀναλαβεῖν ὑποσχέσεις καὶ ὁρκωμοτικὰ δι' ἡμᾶς καὶ „διὰ τὸ κουμούνιον τῆς βενετίας, καθὼς αὐτοῖς φανῇ κρεῖτ-„τον, καὶ γενικῶς καὶ διὰ πάντων ποιῆσαι εἰς τὰ προῤῥηθέντα „καὶ εἰς τὰ πλησιάζοντα αὐτοῖς, καθὼς ἂν αὐτοῖς φανῇ εὐχερές· „ὑποσχόμεθα[5] ἡμεῖς ἐν τῷ ὀνόματι ἡμῶν καὶ τοῦ κουμουνίου „τῆς βενετίας, ἔχειν εἰς ἡμᾶς τὸ στέργον καὶ ἀποδεκτέον καὶ „στερεὸν καὶ οὐ μὴν ἐναντιωθῶμεν κἂν εἴ τι οἱ εὐγενέστατοι „οὗτοι ἢ εἷς ἐξ αὐτῶν εἰς ὃν φανῇ[6] τὸ παρὸν ἔγγραφον συμ-„βιβασθῶσιν εἰς τὰ προῤῥηθέντα· καὶ ἵνα ἡ παροῦσα ἡμετέρα

---

[5] Sic in diplomate. Editores *ὑπεσχόμεθα* legi volunt. [6] Editores conjiciunt: *εἰς ὃ ἂν φανῇ*, allegantes ex Latina versione: *prout melius videbitur*. Vix recte.

„ἀνάθεσις ἡ πληρεστάτη καὶ στερεά, ὡρίσαμεν καὶ ἐβουλλώθη „αὕτη μετὰ ἡμετέρου μολιβδίνου σιγιλλίου, καὶ διὰ χειρῶν κορ- „ῥάδου τῆς ἡμετέρας αὐλῆς κανικλείου ὡρίσαμεν καὶ ἐσημειώθη. „ἐδόθη ἐν τῷ παλατίῳ τοῦ ἡμετέρου δουκάτου τρέχοντος χρόνου „τοῦ κυρίου χιλιοστοῦ διακοσιοστοῦ ἑξηκοστοῦ πέμπτου μηνὶ „μαρτίῳ ἡμέρᾳ δωδεκάτῃ ἰνδικτιῶνος η΄. ἐγὼ κορῥάδος, „νοτάριος τῆς δουκικῆς αὐλῆς τῆς βενετίας κανικλείου, ἐπλή- „ρωσα καὶ ἐστερέωσα.“ οὕτω μὲν οὖν εἶχε τὰ τῆς γραφῆς· ἡ δέ γε βασιλεία μου οὕτως ὀμνύει φυλάξαι ταῦτα πάντα, ἐὰν καὶ ὁ εὐγενέστατος δοὺξ βενετίας καὶ τὸ κουμούνιον ταύτης καὶ ἡ μικρὰ καὶ μεγάλη βουλὴ στέρξωσι καὶ φυλάξωσι ταῦτα εἴς τε τὴν βασιλείαν μου, εἰς τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ εἰς τὴν ῥωμανίαν ἀπαράθραυστα.

Μιχαὴλ ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ ῥωμαίων δούκας ἄγγελος κομνηνὸς ὁ παλαιολόγος.

NOV. VII.

Imp. Michaelis Palaeologi renovatio pacis cum Venetis[1]. (A. 1268.)

NOV. VIII.

Imp. Michaelis Palaeologi rescriptum, quo Theodoro Scutariotae diacono dicaeophylacis dignitas confertur[1]. (A. 1270.)

Ὁρισμὸς τοῦ βασιλέως τοῦ κομνηνοῦ[2] πρὸς τὸν σκουταριώτην γεγονότα κυζίκου. ὁρισμὸς προσκυνητὸς τοῦ

[1] Extat latine in Libro albo et Libris pactorum, de quibus videndi sunt Tafel et Thomas Der Doge Andreas Dandolo und die von demselben angelegten Urkundensammlungen etc. München 1855. 4. Ex istis fontibus propediem ab iisdem editoribus in Libro: „Urkunden z. älteren Handels- u. Staatsgesch. d. Rep. Venedig,“ Viennae publicabitur. In formam chrysobulli redacta sit, ut ad hanc nostram collectionem pertineat, nec ne, nondum compertum habeo.

[1] Hoc rescriptum, ut et Nov. IX. X et XII, Rhallis et Potlis in Coll. can. V p. 326 sqq. ex Codice MS. Gerasimi archiepiscopi ediderunt. [2] Intelligitur Mi-

κραταιοῦ καὶ θεοστεφοῦς ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅτε με τῷ τοῦ δικαιοφύλακος ἐτίμησεν ἀξιώματι.

Μιμεῖται καὶ μωϋσῆν ἐκεῖνον ἡ βασιλεία μου τὸν δημαγωγὸν, καὶ πρὸς τὸν τῆς νομοθεσίας ἐκείνου ζῆλον ὡς ἐφικτὸν ἀπευθύνεται· ὡς γὰρ ἐκεῖνος τὸν δακτύλῳ θεοῦ γραφέντα νόμον ἐγχειρισθεὶς διὰ τοῦ ἀαρὼν, σεμνυνομένου τὸ τηνικαῦτα τῷ ἱερατικῷ ἀξιώματι, τῷ ἰσραηλιτικῷ λαῷ διεπόρθμευε, κατὰ ταῦτα καὶ ἡ βασιλεία μου τὸ παντὸς τιμώμενον τῆς βασιλείας χρῆμα λαβοῦσα παρὰ θεοῦ, ἣν ἔννομον ἀρχὴν οἱ πάλαι ὡρίσαντο, κἀντεῦθεν οὖσα νόμος ἔμψυχος ἀτεχνῶς, ὡς καὶ τὸ δόξαν ταύτῃ καθάπερ νόμον γραπτὸν καὶ λέγεσθαι καὶ πιστεύεσθαι, τὸν ἐντιμότατον ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κὺρ θεόδωρον διάκονον τὸν σκουταριώτην ἄνδρα εὕρουσα κατὰ τὴν παλαμηφορουμένην θεῷ καρδίαν αὐτῆς, καὶ πρὸς ταῖς ἄλλαις λογικαῖς ἐπιστήμαις καὶ τοὺς λόγους ἀκριβῶς μελετήσαντα, καὶ τῷ ἱερῷ καὶ θείῳ καταλόγῳ ἐμπρέποντα, τῇ τοῦ δικαιοφύλακος ἀξίᾳ τιμᾷ· χρεὼν γὰρ τὸν ἔκ τε θείων καὶ ἀποστολικῶν κανόνων, ἔκ τε τῶν νόμων, οὓς σοφοὶ ἄνδρες ἐξέθεντο, γνῶσιν ἐς τὰ μάλιστα συλλεξάμενον καὶ τῷ δικαιοφυλακικῷ ἐνσεμνύνεσθαι ἀξιώματι. ὅθεν καὶ διορίζεται ἡ βασιλεία μου διὰ τῆς παρούσης αὐτῆς προστάξεως, διενεργεῖσθαι παρὰ τοῦ διαληφθέντος ἐντιμοτάτου ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κὺρ θεοδώρου διακόνου τοῦ σκουταριώτου τὸ δικαιοφυλακικὸν ὀφφίκιον, μετὰ πάντων τῶν ἀπονενεμημένων αὐτῷ δικαίων καὶ καθὼς ἐνηργεῖτο καὶ παρὰ τῶν πάλαι κεκτημένων αὐτὸ, καὶ τῆς αὐτῆς ἐκείνης μετέχειν τοῦτον τιμῆς τε καὶ τάξεως, ἔν τε καθέδραις, στάσεσι καὶ πᾶσιν ἄλλοις, καὶ ἐν τῷ εὐαγεῖ κλήρῳ τῆς βασιλείας μου, πάσας τε τὰς ἀνέκαθεν προσαρμοσθείσας τῷ τοιούτῳ ὀφφικίῳ κρίσεις διεξάγειν καὶ περατοῦν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσα τῆς βασιλείας μου πρόσταξις δι᾽ ἀσφάλειαν.

Εἶχε τό· μηνὶ μαΐῳ ἰνδικτιῶνος ιγ´ διὰ τῆς βασιλικῆς καὶ θείας χειρός.

---

chael Palaeologus, qui Comneni cognomento utebatur. Sub illo enim Theodorus Scutariota dicaeophylacis munere functus est, ut ex Pachymere editores adnotaverunt.

NOV. IX.

Imp. Michaelis Palaeologi rescriptum de promovendo Theodoro Scutariota ad altiorem dignitatem ecclesiasticam[1]. (A. 1270.)

Ἕτερον πρόσταγμα σεπτὸν τοῦ κοσμοποθήτου κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δι' οὗ μοι καὶ τόπος ἀπεδόθη κἀν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τοῦ θεοῦ ἀνάλογος, εἰ καὶ διὰ τά τινων ἀπρεπῆ σκάνδαλα καὶ τὴν ἐν τῷ χορῷ τῶν ἐκκλησιαστικῶν ἀρχόντων ἄφιλον στάσιν ἀπέκλινα, τὴν εἰρήνην αἱρετισάμενος· μετ' οὐ πολὺ δὲ καὶ σακελλίου ἐσφραγίσθην, καὶ τὸν τόπον τοῦ σακελλίου ἀπέλαβον.

Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ πατριάρχα· οἶδεν ἡ ἁγιωσύνη σου, ὡς ἀνεδέξατο ἡ βασιλεία μου τὸν τιμιώτατον δικαιοφύλακα κὺρ θεόδωρον διάκονον τὸν σκουταριώτην, καὶ οἵας καὶ πόσης αὐτὸν ἀξιοῖ προσπαθείας καὶ οἰκειώσεως, τῆς τε περὶ τὰ θεῖα γνώσεως αὐτοῦ χάριν, καὶ τῆς περὶ τὰ πράγματα προσούσης τούτῳ εἰδημοσύνης καὶ ἀρετῆς. ἐπεὶ οὖν οὕτως αὐτὸν ἀνεδέξατο καὶ οὕτως ἔχει τοῦτον ἡ βασιλεία μου καὶ τοιούτῳ ἀξιώματι κατεκόσμησεν, οὐ δέον πάντως τὸ μὴ καὶ παρὰ τῆς ἁγιωσύνης σου καὶ τῆς τῶν συγκλητικῶν αὐτὸν ἀναλόγως μετέχειν τιμῆς τε καὶ τάξεως ἔν τε τῷ ἐκκλησιαστικῷ ὀφφικίῳ κἀν ταῖς καθέδραις καὶ στάσεσι· χρεὼν γὰρ τόν, ὃν ἡ βασιλεία μου κατὰ λόγον τιμᾷ, καὶ παρὰ τῆς ἁγιωσύνης σου κατ' ἶσον τιμᾶσθαι, καὶ τὸν ἐν τῇ βασιλείᾳ κἀν τῇ συγκλήτῳ τίμιον, καὶ παρὰ τῇ ἐκκλησίᾳ σου καὶ τῷ κλήρῳ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας τιμῆς καταξιοῦσθαι τῆς κρείττονος· εἴ περ ἐπιστημονάρχης, σὺν θεῷ φάναι, τῆς ἐκκλησίας σου ἡ βασιλεία μου, καὶ κατὰ κρίσιν οἰκονομεῖ τοὺς λόγους αὐτῆς· πρὸς τύπον δὲ τῶν βασιλικῶν καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὀφφικίων παρὰ τῶν ἀοιδίμων καὶ φιλευσεβῶν βασιλέων ἐτάχθησαν, καθὼς κἀν τῷ θείῳ ἰδίῳ τοῦ πρώτου τῶν χριστιανῶν βασιλέως, μεγάλου καὶ ἁγίου κωνσταντίνου, ὃ πρὸς τὸν μακάριον ἐξέθετο σίλβεστρον, οὐκ ἀσαφῶς, ἀλλ' ἄριστα τεθέσπισται· ἐφ' ᾧ καὶ ὀφεῖλον τῷ πρωτοτύπῳ ἐπακολουθεῖν

[1] Cf. Nov. VIII not. 1.

τὰ πρὸς μίμησιν. διά τοι τοῦτο καὶ οἰκονομήσαιτο ἡ ἁγιωσύνη σου ἔχειν ἀπὸ τοῦ νῦν τὸν τοιοῦτον δικαιοφύλακα κἂν τῇ τοῦ θεοῦ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὀφφίκιον τῶν προβαθμίων καὶ ὑψηλῶν, καὶ ὡς τῷ κλήρῳ τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας καταλεγόμενον ἵστασθαι, καὶ προκόπτειν μετὰ τὸν νῦν τιμιώτατον πρωτέκδικον τὸν γεμιστὸν, ἕνα καὶ αὐτὸν ἀπὸ τῶν ἐξωκατακοίλων ἀπό γε τῆς σήμερον γνωριζόμενον· ἄτοπον γὰρ τὸν ἐν καθέδραις ταῖς μείζοσι καὶ προβαθμιαιτέραις τῶν ἐκκλησιαστικῶν ἁγιοσοφιτῶν ἀρχόντων ὡς τὸ εἰκὸς συντιμώμενον, μὴ κἂν τῇ ἐκκλησιαστικῇ στάσει καὶ προκοπῇ τὸν προσήκοντα τόπον ἔχειν, καὶ τοῖς ἐξωκατακοίλοις συνίστασθαι καὶ τῆς αὐτῆς συμμετέχειν τούτων τιμῆς τε καὶ προκοπῆς. ἡ μὲν οὖν βασιλεία μου ἤδη τὰ περὶ τούτου παρεδήλωσε τῇ ἁγιωσύνῃ σου, ᾗ καὶ ἔργον ἔσται πρὸς ἔργον ἀγαγεῖν καὶ πληρῶσαι τὸ τοιοῦτον τῆς βασιλείας μου θέλημα, ὡς θεάρεστόν τε καὶ δίκαιον· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου ἀπελύθη, ὀφεῖλον ἀντιστραφῆναι τῷ τιμιωτάτῳ δικαιοφύλακι κὺρ θεοδώρῳ διακόνῳ τῷ σκουταριώτῃ δι' ἀσφάλειαν.

Μηνὶ μαΐῳ, ἰνδικτιῶνος ιγ'.

NOV. X.

Imp. Michaelis Palaeologi, ut videtur, rescriptum, quo montis Sinai praepositus hypertimus nominatur[1]. (A. 1271.)

Ὁρισμὸς τοῦ εὐσεβεστάτου βασιλέως ὃν ἐποίησε διὰ τὸ θεοβάδιστον ὄρος τὸ σίναιον.

Εἰ δὲ καὶ ἀνδράσι[2], τοῖς περιδεξίοις εἰς ὑπηρεσίαν τῆς βασιλείας, ἀρχόντων καταστρατηγῆσαι ὀρεγομένοις, ἢ πόλεων διοι-

[1] Cf. Nov. VIII not. 1. Codex Gerasimi in margine adscriptum habet: *ἰουστινιανοῦ*, quod editores ex *κομνηνοῦ* depravatum esse putant, quippe Comnenorum sive Palaeologorum demum tempore clerici hypertimi vocentur. Quorum conjectura, nisi forte pro supposititio hoc rescriptum habendum sit, ita mihi placet, ut vel ipsum Michaelem Palaeologum hujus rescripti auctorem esse crediderim, tum propter styli indolem tum quia aliis Michaelis rescriptis hoc nostrum in Codice Gerasimi juxtapositum est. [2] Exordium in Codice Gerasimi corrupte legi editores tradunt sic: *Εἰ δὲ καὶ ἀνδράσι τῶν περιδεξίοις εἰς ὑπηρετῶν βασιλείας ἀρχόντων καταστρ.* (in

κήσεις ἐγχειρισθῆναι ἢ λαοὺς ὁδηγῆσαι ἢ καὶ ἄλλ' ἄττα τοιαῦτα πράττειν δεομένοις τῷ κράτει τῆς τῶν ῥωμαίων ἀρχῆς φαινόμενα χρήσιμα, τιμὴν ἐπιμετρεῖ τὴν προσήκουσαν, τῶν δ' ὑπηκόων, ὅσοι εὐγνωμόνως εἰσηγούμενοι, δίκαιοι ἂν εἶεν τὰ τῆς ὑποθήκης τούτων βλέπειν τὸ πέρας ἐπιδεχόμενα· ἀνδράσι σεμνοῖς καὶ βίῳ καὶ τρόπῳ καὶ θεῷ πλησιάζουσιν, οὐχ ὅσα τῶν εἰς τὰ ἐκτὸς συντεινόντων, ἀλλὰ κρείττω καὶ εἰς ψυχὴν αὐτὴν παραπέμποντα τὴν ὠφέλειαν, μᾶλλον δὲ καὶ τοῦτο κἀκεῖνο περιποιούμενα τούτοις ἐκ τῆς ἄνωθεν δεξιᾶς προβαλλομένοις τοῖς αὐτοκράτορσι, πῶς οὐκ ἂν εἴη τῶν καθηκόντων ἐπικλινὲς ὠτίον βραβεύειν, καὶ εἰς τὸ τέλος ἄγειν ἅπερ αἰτήσαιντο; εἰ δὲ καὶ ἄλλως τῇ δεήσει τιμᾶται τὸ εὔλογον, οὐχ ὅπως διὰ τὴν τούτων παράκλησιν, ἀλλ' ἤδη καὶ καθ' αὑτὸ τὸ πρᾶγμα ἀξίως ἔχει γενέσθαι, τηνικαῦτα καὶ μᾶλλον ταῖς αἰτήσεσι τούτων ἐπινευτέον τοὺς ἄνακτας, καὶ παρεκτέον ἅπερ ἐθέλοιεν, ἵν' εἶεν οὐ μόνον αὐτοῖς, ἀλλὰ καὶ τῷ δικαίῳ κατὰ τὸ εἰκὸς χαριζόμενοι.

α΄. Τοῦτο καὶ ἄρτι τῇ βασιλείᾳ μου πάρεστιν ἰδεῖν ἐκτελούμενον, δωρουμένῃ τοῖς ἐν τῷ ὄρει σινᾷ τιμὴν τὴν ὑπέρτιμον· τοῦτο μὲν δι' ἱκετείαν, ἣν ἐποιήσατο πρός με ὁ πτολεμαΐδος μητροπολίτης, ὁ ἱερώτατος καὶ ὑπέρτιμος· οὐ γὰρ ἔκρινα ὅλως ἄξιον μὴ πειθηνίους τούτῳ δοῦναι τὰς ἀκοὰς, εὔλογα αἰτουμένῳ καὶ ἃ μὴ τετελεσμένα τῷ δικαίῳ τὴν ζημίαν προεξένησε· τοῦτο δὲ καὶ [διὰ] τὸ ἄλλως ἡγεῖσθαι τὸ τοιοῦτον ὄρος αἰδέσιμον, καὶ τιμῆς ἁπάσης ἐπαπολαύειν δίκαιον ὂν, καὶ νομίζειν μᾶλλον τιμᾶσθαι τὴν βασιλείαν μου ἐκ τῆς πρὸς τοῦτο τιμῆς, ἐπεὶ καὶ δοξάζειν οἶδε θεὸς τοὺς τοῦτον δοξάζοντας. ὄρος γὰρ τοῦτο ὑπερηρμένον τῶν καθ' ἡμᾶς, ὄρος θεῖον, κατὰ τὸν ἀββακοὺμ, δασὺ καὶ κατάσκιον ταῖς τῶν ἀρετῶν ἐργασίαις καὶ ἀρεταῖς παντοίαις κατάκοσμον· εἰ δὲ καὶ ἁγιάσματος τόπον καλέσαι τὶς βούλεται καὶ οἶκον τοῦ θείου ἰακὼβ, προσφυὲς μὲν τὸ πρᾶγμα καὶ τῆς ἀληθείας ἄκρως ἐχόμενον. κἂν τις θεωρείη τρανώτερον, πλήρης ὁ θεῖος οἶκος οὗτος δόξης πολλῆς· πλὴν ἔσται κἂν τοῖς ἐσχάτοις τούτοις καιροῖς μέρος δόξης ἀπονενεμημένον τούτῳ παρὰ τῆς βασιλείας μου· οὕτω καὶ ἣν εἶχε πάλαι ἴδοι τὶς ἂν ἐπὶ τὸ μεῖζον κατὰ τὸν προφήτην προκόπτουσαν. ταῦτα τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα βούλεται· τιμᾷ γὰρ ἡ βασιλεία μου

---

marg. ὀρεγομένων) ἢ — προσήκουσαν (in marg. τῶν δ' ὑπηκόων) ὅσοι κτλ. Editores nimis audacter sic legendum esse censuerunt: Εἰ δὲ καὶ ἀνδράσι τῶν περιδεξίως εἰς ὑπηρεσίαν τῆς βασ. ἐχόντων, κᾆτα στρατηγῆσαι ἢ πόλεων — τιμὴν ἐπιμετρεῖν τὴν προσήκουσαν ὅσοι εὐγν. εἰσηγοῦνται κτλ.

τον κατα καιροὺς τῶν ἐν τῷ σινᾷ προστησόμενον τῶν ὑπερτίμων τῷ ἀξιώματι, καὶ διορίζεται συναριθμεῖσθαι τρίτον[3] τοῖς οὕτω τετιμημένοις ἐν ἅπασι, καὶ συντιμᾶσθαι ἐν ταῖς προόδοις, καθέδραις, στάσεσί τε καὶ συνελεύσεσιν· ἀμφιέννυσθαι δὲ καὶ ἄμφια, ὁποῖα καὶ τῶν ἀρχιερέων ὁπόσοι τὴν τοιαύτην τιμὴν ἐκ τῶν ἔκαθεν χρόνων καὶ νῦν ἀπέλαβον, τἄλλα τε πάντα, ὅσα τούτοις καὶ τούτῳ προσέσται, κατὰ μηδὲν ἐλαττούμενα. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου κατὰ μῆνα ἰουλιον ἰνδικτιῶνος ιδ΄. εἶχε δὲ καὶ διὰ ἐρυθρῶν γραμμάτων τῆς θείας καὶ βασιλικῆς χειρός.

NOV. XI.

Imp. Michaelis Palaeologi aurea bulla de possessionibus monasterii Macrinitissae[1]. (A. 1272.)

Χρυσόβουλλος λόγος ὁ πρῶτος, τῆς βασιλικῆς δεῖγμα φιλοτιμίας.

Ἡ ἐκ θεοῦ δὲ ἡμετέρα βασιλεία περὶ τὰς αἰτήσεις ἀεὶ τῶν ὑπηκόων εὐμενέστερον βλέπουσα, οὐδὲ τοῖς εὖ ἔχουσι γένους τὴν ἱκεσίαν ἔχει παραβλέπειν ἀτέλεστον, καὶ μᾶλλον ὅσοι τῆς περὶ τὴν ἡμετέραν βασιλείαν εὐνοίας ἅμα καὶ πίστεως ἤρτηνται, ὃ δῆτα καὶ περὶ πλείστου γίνεται βασιλεῖ καὶ βασιλέως εὐμένειαν ἐφελκύσασθαι. εἰ δέ γε καὶ θεοφιλὴς αὐτοῖς ὁ σκοπὸς καὶ τὰ τῆς ἱκεσίας τούτοις πρὸς θείαν μονὴν ἀποτείνεται, ἐν ᾗ θείων καὶ ἱερῶν ἀνδρῶν ἐμπολιτεύεται σύλλογος, ἐργάται παντὸς τοῦ ἀγαθοῦ καὶ διὰ βίου τὴν τραχεῖαν τῆς ἀρετῆς φιλοπόνως αὔλακα τέμνοντες, πῶς οὐκ ἂν παρευθὺς καὶ τὰς τῆς

---

[3] Editus liber: *τρίτος*.

[1] Cod. Taurin. 237 continet diplomatarium monasteriorum Macrinitissae in regione Demetriadis et Prodromi in territorio Druanubainis, accurate descriptum a Pasini Catal. I p. 319. Inter caetera documenta insunt *χρυσόβουλλα* et *ὁρισμοὶ* s. *προστάγματα* Imp. Michaelis Palaeologi quinque, et variorum Despotarum argyrobulla et chartae decem, quibus possessiones eorum monasteriorum firmantur. Ex his *χρυσόβουλλα* duo nec non *πρόσταγμα* Imp. Michaelis Palaeologi cum aliis insignioribus chartis edidit Pasini l. l. Unum, quod hic a nobis repetitum est, ante illum ediderat Maffeius ad calcem Hist. Theol. de Gratia: alterum chrysobullum et *πρόσταγμα* illud dabimus Nov. XV et XVI.

ἡμετέρας βασιλείας πειθηνίας λάβοιεν ἀκοάς, ὁπηνίκα δι' ἑνὸς τούτου τρόπου καὶ τοῖς ἀγαθοῖς τῶν ὑπὸ χεῖρα παρεχόμεθα χάριν καὶ διὰ τούτων καὶ θεὸν θεραπεύομεν;

α'. Ἐπεὶ τοίνυν καὶ ὁ οἰκεῖος τῇ βασιλείᾳ μου κομνηνὸς κῦρος νικόλαος ὁ μαλιασηνὸς παρεκλήτευσε τὴν βασιλείαν μου, ὡς ἂν ἀπολυθείη τούτῳ χρυσόβουλλος λόγος αὐτῆς ἐπὶ τοῖς κτήμασι τῆς γονικόθεν διαφερούσης αὐτῷ σεβασμίας πατριαρχικῆς μονῆς τῆς ἐπικεκλημένης τῆς μακρινιτίσσης, τῆς ἐπ' ὀνόματι τιμωμένης τῆς ὑπεράγνου μου θεομήτορος τῆς ὀξείας ἐπισκέψεως καὶ περὶ τὸ ὄρος τοῦ δρόγγου διακειμένης, ἃ καὶ εἰσὶ ταῦτα ἤγουν εἴ τι κέκτηται ἡ τοιαύτη μονὴ ἐν τῇ χώρᾳ τῆς δημητριάδος διά τε ἀμπελώνων, χωραφίων, γῆς ὀρεινῆς καὶ πεδινῆς, μυλικῶν ἐργαστηρίων καὶ τῶν προσκαθημένων ἐν αὐτοῖς ἀνθρώπων· καὶ τὸν ἅγιον ὀνούφριον· ἐρημοτόπιον τὸ ἐπιλεγόμενον τῆς καλίτζας· χωρίον ἡ κρυποῦς μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ τῶν δύο μονοξύλων αὐτοῦ καὶ τῶν ἁλιέων, χωραφίων, ἀμπελίων καὶ τῆς νεμομένης παρὰ τῆς τοιαύτης μονῆς γῆς ὀρεινῆς καὶ πεδινῆς ἕως τῆς ἀειδαρορράχης· χωρίον ἡ καπραίνα μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ· μετόχιον ὁ ἅγιος δημήτριος τὸ διακείμενον πλησίον τῆς μεγάλης μετὰ τῶν προσκαθημένων ἐν αὐτῷ ἀνθρώπων καὶ ἀροσίμου ἁπάσης γῆς αὐτοῦ· μετόχιον τὸ ἐπονομαζόμενον τοῦ κυροῦ ἱλαρίωνος τὸ διακείμενον ἐν τῇ χώρᾳ τοῦ ἀλμυροῦ μετὰ τῶν ἀμπελώνων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ· τὰ περιελθόντα τῇ τοιαύτῃ μονῇ ἐξ ἀγορασίας ἀμπέλια ἐν τῷ τόπῳ τοῦ μορίβορι· τὰ ἀπὸ προσενέξεώς τινων φιλοχρίστων ἀνδρῶν περιελθόντα τῇ τοιαύτῃ μονῇ ἀμπέλια ἐν τῷ τοιούτῳ τόπῳ τοῦ ἀλμυροῦ· τὸ ἐν τῷ ὄρει τῆς ζαγορᾶς ἀγρίδιον τῆς κυρακαλῆς μετὰ τῶν ἐκεῖσε προσκαθημένων καὶ πάντων τῶν δικαίων αὐτοῦ· μετόχιον τὸ ἐπιλεγόμενον ἡ ῥάσουσα· πρὸς τούτοις δὲ καὶ ἡ ἐκεῖσε ἀπεῤῥιμένη μονὴ τοῦ τιμίου προδρόμου· ἃ δὴ κτήματα ἔκπαλαι καὶ μέχρι τῆς σήμερον εὑρίσκεται ἡ τοιαύτη μονὴ νεμομένη τε καὶ κατέχουσα·

β'. Ἡ βασιλεία μου εὐμενῶς τὴν τούτου προσηκαμένη παράκλησιν, τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς ἐπορέγει τῇ τοιαύτῃ μονῇ, δι' οὗ καὶ διορίζεται, ἵνα τὰ δηλωθέντα τῆς τοιαύτης μονῆς κτήματα, — ἤγουν εἴ τι κέκτηται ἡ τοιαύτη μονὴ ἐν τῇ χώρᾳ τῆς δημητριάδος διά τε ἀμπελώνων, χωραφίων, γῆς ὀρεινῆς καὶ πεδινῆς, μυλικῶν ἐργαστηρίων καὶ τῶν προσ-

καθημένων ἐν αὐτοῖς ἀνθρώπων· καὶ τὸν ἅγιον ὀνούφριον· ἐρημοτόπιον τὸ ἐπιλεγόμενον τῆς καλίτζας· χωρίον τὴν κρυπτοῦς μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ τῶν δύο μονοξύλων αὐτοῦ καὶ τῶν ἁλιέων, χωραφίων, ἀμπελίων καὶ τῆς νεμομένης παρὰ τῆς τοιαύτης μονῆς γῆς ὀρεινῆς καὶ πεδινῆς ἕως τῆς ἀειδαρορράχης· χωρίον τὴν καπραίναν μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ· μετόχιον τὸν ἅγιον δημήτριον τὸ διακείμενον πλησίον τῆς μεγάλης μετὰ τῶν προσκαθημένων ἐν αὐτῷ ἀνθρώπων καὶ ἀροσίμου ἁπάσης γῆς αὐτοῦ· μετόχιον τὸ ἐπονομαζόμενον τοῦ κυροῦ ἱλαρίωνος τὸ διακείμενον ἐν τῇ χώρᾳ τοῦ ἀλμυροῦ μετὰ τῶν ἀμπελώνων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ· τὰ περιελθόντα τῇ τοιαύτῃ μονῇ ἐξ ἀγορασίας ἀμπέλια ἐν τῷ τόπῳ τοῦ μορίβορι· τὰ ἀπὸ προσενέξεώς τινων φιλοχρίστων ἀνδρῶν περιελθόντα τῇ τοιαύτῃ μονῇ ἀμπέλια ἐν τῷ τοιούτῳ τόπῳ τοῦ ἀλμυροῦ· τὸ ἐν τῷ ὄρει τῆς ζαγορᾶς ἀγρίδιον τῆς κυρακαλῆς μετὰ τῶν ἐκεῖσε προσκαθημένων καὶ πάντων τῶν δικαίων αὐτοῦ· μετόχιον τὸ ἐπιλεγόμενον τὴν ῥάσουσαν· πρὸς τούτοις δὲ καὶ τὴν ἐκεῖσε ἀπεῤῥιμένην μονὴν τοῦ τιμίου προδρόμου· — τὰ τοιαῦτα πάντα, ἅπερ ἔκπαλαι καὶ μέχρι τῆς σήμερον εὑρίσκεται ἡ τοιαύτη μονὴ νεμομένη τε καὶ κατέχουσα, κατέχῃ καὶ νέμηται ταῦτα ἡ τοιαύτη μονὴ καὶ εἰς τὸ ἑξῆς ἀναφαιρέτως, ἀναποσπάστως, ἀνενοχλήτως τε καὶ ἀδιασείστως κατὰ τὴν περίληψιν τῶν προσόντων αὐτῇ ἐπὶ τούτοις δικαιωμάτων, καὶ ἀνώτερα πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, ἄνευ μέντοιγε τῶν δύο τούτων κεφαλαίων, τῆς τε καστροκτισίας καὶ κατεργοκτισίας· ταῦτα γὰρ ὡς κοινωφελῆ καὶ παρὰ τῶν τοιούτων τῆς μονῆς κτημάτων ἀπαιτηθήσονται.

Τῇ ἐμφανείᾳ τοίνυν τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει τὰ τοιαῦτα κτήματα ἡ τοιαύτη μονὴ καὶ εἰς τὸ ἑξῆς ἀναφαίρετα, ἀναπόσπαστα, ἀνενόχλητα, ἀδιάσειστα καὶ ἀνεπηρέαστα χωρὶς τῶν διαληφθέντων δύο κεφαλαίων, καθὼς ἔκπαλαι καὶ μέχρι τῆς σήμερον εὑρίσκεται ταῦτα νεμομένη τε καὶ κατέχουσα μετὰ τῶν δικαίων αὐτῶν· ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῇ διαληφθείσῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ, τῇ ἐπικεκλημένῃ τῆς μακρινιτίσσης καὶ ἐπ' ὀνόματι τιμωμένῃ τῆς ὑπεράγνου μου θεομήτορος τῆς ὀξείας ἐπισκέψεως καὶ περὶ τὸ ὄρος τοῦ δρόγγου διακειμένῃ, τῇ γονικόθεν διαφερούσῃ τῷ οἰκείῳ τῆς βασιλείας μου κομνηνῷ κυρῷ νικολάῳ τῷ μαλιασηνῷ, καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς

κατὰ μῆνα μάϊον τῆς νῦν τρεχούσης ιέ ἰνδ. τοῦ ‚ςψπ' ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς [καὶ] θεοπρόβλητον ὑπεσημήνατο κράτος.

NOV. XII.

Imp. Michaelis Palaeologi rescriptum, quo Theodorus Scutariota metropolita Cyzici hypertimi dignitate condecoratur[1]. (Inter 1275 - 1282.)

Πρόσταγμα πρὸς τὸν κυζίκου μητροπολίτην.

Ἡ βασιλεία μου πρὸς τὴν πρώην εὔκλειαν πρὸς τὰς χρυσᾶς ἐκείνας ἔννας καὶ εὐημερίας τάς τε πόλεις καὶ χώρας καὶ τὰς τοῦ θεοῦ ἐκκλησίας ἐπαναγαγεῖν ἐθέλουσα καὶ ἀναβιοῦν τὰ τῷ μακρῷ χρόνῳ γηράσαντα, καὶ εἰς ζῆλον τῶν προβεβασιλευκότων τῆς ῥωμανίας ἀγαθῶν βασιλέων καὶ μεγαλουργῶν ἀνατρέχουσα, καὶ τὰ ἐκείνων ἔργα μεγαλουργὰ ἅμα δὲ καὶ θεῖα καὶ ἔνσεμνα ἐπειγομένη ἀνανεοῦν, καὶ τὰ ἀπονενεμημένα ἀνέκαθεν τοῖς ἀρχιερεῦσι τῆς λαμπρᾶς τῆς κυζίκου πόλεως ἐπίσημα τῷ ἱερωτάτῳ μητροπολίτῃ κυζίκου ἐχαρίσατο, τὸ κεκτῆσθαι τοῦτον δηλονότι τὸ ἐμπρέπον ὑπέρτιμον τοῖς θεσπεσίοις ἀρχιερεῦσί τε καὶ [μητροπολίταις] ἀξίωμα, καὶ τὸ σάκκον καὶ πολυσταύριον ἐν ταῖς θείαις μυσταγωγίαις τοῦτον ἀμπίσχεσθαι, καὶ λαμπαδοῦχον προτρέχειν αὐτοῦ ἀνὰ πᾶσαν τὴν αὐτῆς ἐνορίαν. ἐφ' ᾧ καὶ διορίζεται ἡ βασιλεία μου, ὑπέρτιμον λέγεσθαι καὶ ὀνομάζεσθαι τὸν διαληφθέντα μητροπολίτην κυζίκου, καὶ πᾶν τὸ ἀνέκαθεν προσαρμόσαν τῷ τοιούτῳ ἀξιώματι σέμνωμα ἔχειν κατὰ τὴν ἐπὶ τούτῳ συνήθειαν· ἐνδιδύσκεσθαι δὲ τοῦτον καὶ σάκκον καὶ πολυσταύριον ἐν ταῖς θείαις καὶ ἱεραῖς μυσταγωγίαις, καὶ λαμπάδα φαίνουσαν ἔμπροσθεν τούτου προάγεσθαι [ἀνὰ] πᾶσαν τὴν ἐνορίαν. φῶς γὰρ εἶναι τοῦ κόσμου τοὺς μαθητὰς αὐτοῦ, χριστὸς ἀπεφήνατο· φαίνει δὲ καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ, ὁ ἠγαπημένος αὐτῷ φησι μαθητής. κατὰ τοὺς κυριακοὺς οὖν μαθητὰς καὶ τοὺς ὑπὸ τὴν ὑπήκοον τῆς βασιλείας μου πᾶσαν γῆν ἀρχιερεῖς πεφωτισμένους εἶναι θέλουσα, καὶ ἐν τῷ σκότει τοῦ βίου τούτου παμφαέστατα διὰ τῆς ἀρετῆς αὐτῶν φαίνειν βουλομένη (ὡς ἀπὸ μιᾶς γάρ τινος οὐρανομήκους κλίμακος τῶν ὑπηρετῶν τοῦ λόγου καὶ μαθητῶν τὸ

---

[1] Cf. Nov. VIII not. 1.

μέγα τῆς ἀρχιερωσύνης χρῆμα καὶ πρᾶγμα καὶ ἐς αὐτοὺς καταβέβηκεν), εἰκότως καὶ φῶς τοῦ ἱερωτάτου αὐτοῦ μητροπολίτου κυζίκου προπορεύεσθαι κέκρικε, καὶ τὰ ἄλλα δὲ ἐπίσημα αὐτῷ ἐδωρήσατο διὰ τῆς παρούσης αὐτῆς προστάξεως· ἥτις καὶ γεγονυῖα ἐπεδόθη αὐτῷ, ὀφείλουσα ἐπιγνωσθῆναι καὶ τοῖς τοῦ ἱεροῦ χαρτοφύλακος χαρτίοις τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας.

Εἶχε τό· μηνὶ καὶ ἰνδικτιῶνος, δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρός.

NOV. XIII.

Imp. Michaelis Palaeologi de stauropegiis[1]. (A. 1279.)

Ὅπως βασιλικὴ νεαρὰ προβαίνει ἐπὶ τοῖς σταυροπηγίοις.

Προβαίνει γὰρ νεαρὰ βασίλειος ἄλλ' ἄττα πλεῖστα διοριζομένη καὶ τάττουσα, καὶ τὸ τὰ ὁπουδηποτοῦν πατριαρχικὰ, ὅσα ἐν χώραις καὶ μοναῖς, ὑπὸ τοὺς ἐπισκόπους, ὧν αἱ ἐνορίαι, τελεῖν. ἔγκλημα γὰρ ἐφαίνετο καὶ παρὰ κανόνας τὸ ἐκ παλαιοῦ γινόμενον, ὑπερόριον κεκτῆσθαι τὸν κωνσταντινουπόλεως δίκαιον.

NOV. XIV.

Imp. Michaelis Palaeologi aurea bulla Monembasiotis concessa[1].

Non extat.

---

[1] Haec sumsi ex Georgii Pachymeris Mich. Palaeol. VI, 11. — Stauropegia quid sint, P. Possinus Obss. Pachym. lib. I ed. Rom. p. 414 illustrat ex Blastaris loco: *μόνῳ τῷ πατριάρχῃ κωνσταντινουπόλεως ἐκ συνηθείας ἐφεῖται μακρᾶς σταυροπήγιά τε διδόναι, καὶ τὴν ἀναφορὰν καὶ μνήμην τοῦ ὀνόματος αὐτοῦ ἔχειν, οὐ μόνον ἐν οἷς κέκτηται ἰδίοις χωρίοις ὁπουδήποτε κειμένοις καὶ τοῖς ἀκινήτοις κτήμασι τῶν ὑποκειμένων τούτῳ μοναστηρίων, ἀλλὰ καὶ ἐν ταῖς τῶν μητροπόλεων αὐτῶν ἐνορίαις, ἔνθα ἂν παρὰ τοῦ τὸν νεὼν ἀνεγείροντος δηλαδὴ προσκληθείη.* Cf. Ducange s. v.

[1] Laudatur infra Nov. XXVIII.

NOV. XV.

Imp. Michaelis Palaeologi decretum in gratiam monasterii Novae Petrae[1].

Τοῦ αὐτοῦ θεοστεφοῦς βασιλέως πρόσταγμα τὸ δεύτερον.

Ἐπεὶ ὁ οἰκεῖος τῇ βασιλείᾳ μου κομνηνὸς κῦρος νικόλαος ὁ μαλιασηνὸς ἐδεήθη τῆς βασιλείας μου, ὁρισμοῦ ταύτης τυχεῖν τὴν ἐν τῷ ὄρει τῆς δρεανούβεως διακειμένην σεβασμίαν πατριαρχικὴν γυναικείαν μονὴν, τὴν ἐκ βάθρων ἀνεγερθεῖσαν παρὰ τῆς ἀνεψιᾶς τῆς βασιλείας μου, κομνηνῆς κυρᾶς ἄννης παλαιολογίνης τῆς συζύγου αὐτοῦ, τὴν καὶ ἐπ᾿ ὀνόματι τοῦ τιμίου τιμωμένην προδρόμου καὶ νέαν πέτραν ἐπικεκλημένην, διοριζομένου διατηρεῖσθαι τὴν τοιαύτην μονὴν ἀδιάσειστόν τε καὶ ἀνενόχλητον ἐπί τε τοῖς προσοῦσι ταύτῃ δυσὶ μετοχίοις αὐτῆς, τοῖς ἀνιδρυμένοις ἐπ᾿ ὀνόματι τῆς ὑπερενδόξου μοῦ τε θεομήτορος τῷ τῆς πορταρέας ἐπιλεγομένῳ καὶ τῷ τοῦ ἁγίου νικολάου τῷ ἐπικεκλημένῳ τοῦ παλιρεοπάτου, μετὰ καὶ τῆς ἀνέκαθεν νομῆς αὐτῶν καὶ διακρατήσεως, καὶ ἐπὶ τοῖς λοιποῖς ἀκινήτοις ταύτης, ἤγουν ἀμπελίοις, χωραφίοις καὶ ἀλλοίοις δικαίοις αὐτῆς κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ ἐγγράφων δικαιωμάτων, τῶν τε ἀρχιερατικῶν ἐκδοτηρίων γραμμάτων τοῦ θεοφιλεστάτου ἐπισκόπου δημητριάδος καὶ τοῦ ἐπὶ τούτοις γεγονότος πατριαρχικοῦ ὑπομνήματος, καὶ μὴ εὑρίσκειν παρά τινος τὸν τυχόντα διασεισμὸν ἢ τὴν οἱανδήτινα ὄχλησιν ἐπ᾿ αὐτοῖς·

α΄. Ἡ βασιλεία μου τῆς τούτου δεήσεως ἐπακούσασα τὸν παρόντα ὁρισμὸν αὐτῆς ἐπορέγει τῇ τοιαύτῃ μονῇ, δι᾿ οὗ καὶ διορίζεται τὸ στέργον ἔχειν καὶ ἀμετάτρεπτον τὰ προσόντα τῇ τοιαύτῃ μονῇ ἔγγραφα δικαιώματα, τά τε ἀρχιερατικὰ δικαιωτήρια γράμματα τοῦ δηλωθέντος θεοφιλεστάτου ἐπισκόπου δημητριάδος καὶ τὸ ἐπὶ τούτοις γεγονὸς πατριαρχικὸν ὑπόμνημα, ὥστε κατέχεσθαι παρὰ τῆς τοιαύτης μονῆς τὰ διαληφθέντα δύο ταύτης μετόχια μετὰ καὶ τῆς ἀνέκαθεν νομῆς αὐτῶν καὶ διακρατήσεως, τά τε ἀμπέλια καὶ χωράφια ταύτης καὶ τὰ ἀλλοῖα αὐτῆς δίκαια, ἐλευθέρως πάντῃ, ἀνενοχλήτως τε καὶ ἀναποσπάστως κατὰ τὰς περιλήψεις τῶν τοιούτων δικαιωμάτων αὐτῆς, καὶ μὴ εὑρίσκειν ταύτην παρά τινος τὸν τυχόντα διασεισμὸν

---

[1] Cf. Nov. XI not. 1.

ἢ τὴν οἱανδήτινα ὄχλησιν ἐπὶ τούτοις, ἀλλὰ διατηρεῖσθαι ἀδιάσειστόν τε καὶ ἀνενόχλητον τῇ ἐμφανείᾳ τῆς παρούσης προστάξεως τῆς βασιλείας μου, τῆς καὶ ὀφειλούσης προσεῖναι τῇ τοιαύτῃ μονῇ δι' ἀσφάλειαν.

NOV. XVI.

Imp. Michaelis Palaeologi aurea bulla, qua monasterium Salvatoris Christi Latomi, quod Thessalonicae est, Comneno Joasaph Maliaseno conceditur: et de conjunctione inter monasterium Macrinitissae et Novae Petrae[1].

Χρυσόβουλλος λόγος τρίτος.

Δύναταί τι παρὰ βασιλεῖ καὶ ὁ τῆς σωματικῆς εὐγενείας λόγος, εἴ τις τῆς βασιλικῆς ἐξαρτώμενος γνησιότητος ἐκ τῆς σχέσεως τὴν φύσιν παρίστησι καὶ ἀνύσιμα τὰ κατὰ σκοπὸν τίθησιν αὐτὸ δὴ τοῦτο προβαλλόμενος εἰς καταδυσώπησιν· πολλῷ δὲ μᾶλλον εἴ τις τὴν ἐν τῇ ψυχῇ διάθεσιν δείκνυσιν ἔκ τε δὴ τοῦ τρόπου καὶ τοῦ τὴν φροντίδα πᾶσαν ἐξαναλίσκειν περὶ τὰ θεῖά τε καὶ θεάρεστα καὶ τὸ χάριν ἔχειν ἐκεῖθεν εἰς ψυχικὴν συντείνουσαν τὴν ὠφέλειαν· εἰ δ' ἄμφω τινὶ συνδεδραμηκότα, τὸ μὲν ἐπιφαινόμενον ἐκ τῶν ἔξωθεν καὶ σωματικῶν, τὸ δ' ἐκ τῶν ἔνδοθεν καὶ κατὰ θεὸν, εἰς μὲν τὸν τῆς παρακλήσεως συμπροταθεῖεν λόγον, τὸ δὲ τῆς αἰτήσεως εὔλογον ἐκ τῆς χρηστότητος τοῦ τρόπου γινώσκοιτο, ῥᾷον ἂν ἢ λόγος τὸ ἐξαιτούμενον ἀνυσθήσεται. ἀλλὰ ταῦτα μὲν οὕτω γνώμης τετύχηκεν, αὐτοῖς δὲ τοῖς πράγμασιν ὁ τῆς ἀληθείας λόγος ἐπιγνωσθήσεται.

α'. Ὁ γάρ τοι περιπόθητος ἀνεψιὸς τῆς βασιλείας μου τιμιώτατος ἐν μοναχοῖς κομνηνὸς κῦρος ἰωάσαφ ὁ μαλιασηνὸς, τυγχάνων ἐκ γένους προσήκων τῇ βασιλείᾳ μου, καὶ μηδαμῇ λειπόμενος τῶν ἄλλων ταῖς πρὸς τὸ καλὸν διασκέψεσι τὸ πλεῖον φέρει ταῖς ἐν περιστατικαῖς καὶ ἀνάγκαις χρείαις καρτερίαις ὑπὲρ τοῦ οἰκείου γένους κατὰ καιροὺς καὶ τοῦ τῆς ψυχῆς φρονήματος γενναιότησιν, ὡς ἐκ τούτου καὶ ζῆλον[2] μὲν ἐμφαίνειν ὑπὲρ τῶν ἐκ γένους ὁμοφύλων αὐτῷ, ὅσον ἂν προσῆκον εἴη τῷ τοιούτῳ τυγχάνοντι, οὐδὲν δὲ ἧττον καὶ τῆς εὐνοϊκῆς πρὸς τὴν ἡμετέραν βασιλείαν ἀκραιφνοῦς διαθέσεως, καὶ μὴ τὸ τῆς εὐγε-

---

[1] Cf. Nov. XI not. 1. [2] Pasini: ζῆλου.

νείας τίμιον καὶ σεμνὸν ταπεινοῦν ἐξ αὐτῶν ἔργων, ἀλλ' εἰς ἅπαν ταύτην συνιστᾶν ἐκ τῆς ἀναλόγου τούτων καὶ ἰσοῤῥοποῦς ἐπιδείξεως. ὅτι δὲ καὶ ὑπὲρ τοῦ καλοῦ καὶ τοῦ σωτηριώδους ἔργου μελέτην ἀεὶ ποιούμενος οὐ διαλείπει μὴ παντὶ τρόπῳ καὶ παντοίαις ἔργων ἰδέαις ἐκκαλύπτειν τὴν τῆς ψυχῆς ἐγκρυπτομένην ἐν τούτῳ κατάστασιν, πολλὰ μὲν δὴ καὶ ἄλλα τὰ[3] περὶ τούτου δῆλον ποιεῖ, τὸ δὲ τῆς αἰτήσεως νυνὶ προβαλλόμενον σαφὲς πάντως καὶ πρόδηλον γνώρισμα τῆς πρὸς τὸ ἀγαθὸν θεαρέστου τούτου γνώμης καὶ προαιρέσεως. ἐπειδὴ[4] γὰρ καὶ πρὶν ἀμφιέσασθαι τὸ μοναχικὸν (ταὐτὸν δ' εἰπεῖν καὶ ἀγγελικὸν) σχῆμα ἐν τούτῳ καταστάσεως ἐπὶ τῶν ἔργων ἦν, καὶ οὐ τοσοῦτον τοῖς ἐν κόσμῳ χαριζόμενος ἦν ὅσον τοῖς θειοτέροις ἀεὶ προστιθέμενος, ὥστε καὶ τὰς ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἀνεγηγερμένας δύο τούτου μονὰς (— τήν τε διαφέρουσαν αὐτῷ γονικόθεν περὶ τὸ ὄρος τῶν δρόγγων διακειμένην καὶ τιμωμένην εἰς ὄνομα τῆς ὑπεράγνου μου θεομήτορος τῆς ἐπικεκλημένης μακρινιτίσσης καὶ ὀξείας ἐπισκέψεως, καὶ τὴν παρ' αὐτοῦ τε καὶ τῆς συζύγου αὐτοῦ, τῆς περιποθήτου ἀνεψιᾶς τῆς βασιλείας μου κομνηνῆς κυρᾶς ἀνθούσης μαλιασηνῆς τῆς παλαιολογίνης, ἐξ αὐτῶν βάθρων ἀνοικοδομηθεῖσαν καὶ διακειμένην ἐπάνω τοῦ ὄρους τῆς δρυανουβαίνης, τὴν καὶ ἐπ' ὀνόματι τιμωμένην τοῦ τιμίου μου προδρόμου τῆς νέας πέτρας —) ἔτι τοῖς κοσμικοῖς συνὼν ἐπὶ μᾶλλον συνιστῶν ἦν καὶ προάγων ἐπὶ τὸ βέλτιον· καὶ νῦν δ' ὁπηνίκα κατέστη καὶ ἐπ' αὐτοῦ δὴ τοῦ πράγματος καὶ τῶν μαλακῶν ἐκείνων ἱματίων καὶ τῶν διαφόρων καὶ ποικίλων σχηματισμῶν ἀντιπεριέθετο τὸ βραχὺ τοῦ κατὰ θεὸν βίου τριβώνιον, τῆς θεοφιλοῦς ταύτης ἐργασίας ἀπρὶξ ἐξεχόμενος πάντα λέγειν καὶ πράττειν ἐπὶ τῇ ψυχῇ προεστήσατο, [καὶ] οὐδὲν ἕτερον τὴν ἡμετέραν βασιλείαν ἐξαιτησάμενος εἵλετο, ἢ ὅπερ τῷ σκοπῷ συνεβάλετο καὶ τῷ προτέρῳ τούτῳ τρόπῳ συνήνεγκε. τὸ δὲ τῆς παρακλήσεως, ὡς ἂν δωρήσηται αὐτῷ ἡ βασιλεία μου τὴν ἐντὸς τῆς μεγαλοπόλεως θεσσαλονίκης σεβασμίαν μονὴν τοῦ σωτῆρός μου χριστοῦ τὴν τοῦ λατόμου μετὰ τῶν προσόντων ταύτῃ δικαίων καὶ πραγμάτων, ἅπερ εὑρίσκεται κατέχουσα νῦν ἐντὸς τῆς θεσσαλονίκης καὶ ἐκτός, διά τε χωραφίων, ἀμπελώνων, μυλοστασίων καὶ ἐνοικιακῶν, καὶ ἔχωσι ταύτην αἱ διαληφθεῖσαι τούτου δύο μοναὶ εἰς δοχεῖον ἀπὸ τοῦ νῦν καὶ εἰς

[3] Pasini: τό. [4] Idem: ἐπὶ δή.

τὰ ἑξῆς ἀναφαιρέτως πάντη καὶ ἀναποσπάστως εἰς διηνέκειαν.

β'. Ἡ γοῦν βασιλεία μου χαριζομένη τοῦτο μὲν τῇ προσούσῃ τούτῳ πρὸς αὐτὴν γνησιότητι καὶ τῇ εὐγενείᾳ τοῦ σώματος, τοῦτο δὲ καὶ τὸ καρτερικὸν αὐτοῦ καὶ γενναῖον ὑπὲρ τοῦ τῶν ῥωμαίων γένους ἐν τοῖς περιστατικοῖς τῶν καιρῶν ἀνταμειβομένη, προσέτι γε μὴν δεξιουμένη καὶ τὸ τῆς αἰτήσεως εὔλογον ὡς θεοφιλὲς ἀγαθαῖς συμπληρώσεσι, τὴν κατὰ τὴν θεσσαλονίκην τοιαύτην σεβασμίαν μονὴν τοῦ σωτῆρός μου χριστοῦ τοῦ λατόμου δωρεῖται τῷ τοιούτῳ περιποθήτῳ ἀνεψιῷ αὐτῆς τῷ τιμιωτάτῳ ἐν μοναχοῖς κομνηνῷ κυρῷ ἰωάσαφ τῷ μαλιασηνῷ, καὶ θεσπίζει καὶ διορίζεται διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς, ἵνα αἱ διειλημμέναι τούτου δύο μοναὶ ἔχωσι τὴν τοιαύτην μονὴν ἡνωμένην μετ' αὐτῶν, καὶ ἔχωσιν αὐτὴν ὡς δοχεῖον εἰς τὸ διηνεκὲς ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀναποσπάστως, ἀναφαιρέτως καὶ ἀδιαιρέτως μετὰ τῶν ἀρτίως εὑρισκομένων ταύτῃ δικαίων καὶ πραγμάτων καὶ κατεχομένων παρ' αὐτῆς διά τε χωραφίων, ἀμπελώνων, μυλοστασίων, ἐνοικιακῶν καὶ τῶν ἑτέρων ἐντὸς καὶ ἐκτὸς τῆς πόλεως θεσσαλονίκης· καὶ μὴ εὑρίσκωσιν αἱ τοιαῦται μοναὶ παρά τινος τῶν ἁπάντων ἐπὶ τούτῳ ὄχλησίν τινα ἢ διασεισμὸν ἢ ἐμποδισμὸν, ἀλλ' ἵνα διαμένῃ ἡ δηλωθεῖσα μονὴ τοῦ σωτῆρός μου χριστοῦ τοῦ λατόμου εἰς δοχεῖον τῶν δηλωθεισῶν τούτου δύο μονῶν ἀναπόσπαστος πάντη καὶ ἀναφαίρετος καὶ ἀδιαίρετος εἰς διηνέκειαν τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, ὃς δὴ καὶ ἐσεῖται πρὸς τὸ διαμένειν τὴν τοιαύτην μονὴν ἑνωμένην μετὰ τῶν ἀνωτέρω διειλημμένων δύο τούτου μονῶν ὥσπερ τὶ φρούριον ἀσφαλέστατον, ἀπεῖργον πάντη τὸν βουληθησόμενον ἀνατροπήν τινα ποιῆσαι κατά τι τῶν διωρισμένων καὶ τεθεσπισμένων τῇ βασιλείᾳ μου ἐπὶ τῇ τοιαύτῃ μονῇ, καὶ διακωλύον ἅπαν ὀχληρὸν καὶ ἐπηρεαστικόν.

γ'. Ἔτι ἐπικυροῖ ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς καὶ τοὺς προγεγονότας[5] τῷ τοιούτῳ περιποθήτῳ ἀνεψιῷ αὐτῆς, τῷ τιμιωτάτῳ ἐν μοναχοῖς κομνηνῷ κυρῷ ἰωάσαφ τῷ μαλιασηνῷ, χρυσοβουλλίους λόγους τῆς βασιλείας μου κατὰ πᾶσαν αὐτῶν τὴν περίληψιν, ἄνευ μέντοι τῆς μιᾶς τῶν διαληφθεισῶν μονῶν, δηλαδὴ τῆς διακειμένης ἐπάνω τοῦ ὄρους τῆς δρυανουβαίνης τῆς τοῦ τιμίου μου προδρό-

[5] Pasini: τὰ προγεγονότα.

μου τῆς νέας πέτρας. ἐπειδὴ γὰρ ἡ τοιαύτη μονὴ, γυναικεία οὖσα τὸ πρότερον, θελήσει τοῦ τοιούτου περιποθήτου ἀνεψιοῦ τῆς βασιλείας μου, κομνηνοῦ κυροῦ ἰωάσαφ τοῦ μαλιασηνοῦ, καὶ αὐτῆς δὲ τῆς συζύγου αὐτοῦ τῆς περιποθήτου ἀνεψιᾶς τῆς βασιλείας μου, τῆς τιμιωτάτης μοναχῆς κομνηνῆς κυρᾶς ἀνθούσης μαλιασηνῆς τῆς παλαιολογίνης, ἥτις καὶ τὴν τοιαύτην μονὴν ἐκ βάθρων ἀνήγειρε καὶ συνέστησεν, ἀποκατέστη νῦν εἰς ἀνδρῴαν μονὴν, ὀφείλει ἔχειν τὸ στέργον καὶ ἐπὶ τούτῳ καὶ βέβαιον, καθὼς ἀμφότεροι διετάξαντο· ἐπεὶ δὲ ἀνέφερον καὶ ὅτι ἡ εἰς τὴν χάρμαιναν διακειμένη μονὴ τῆς ὑπεράγνου μου θεομήτορος τῆς παναγίας ἀνετέθη εἰς μετόχιον παρὰ τοῦ ἱερομονάχου θεοδοσίου δι᾽ ἐγγράφου αὐτοῦ παραδόσεως, τοῦ καὶ συστησαμένου ταύτην πρὸς τὴν σεβασμίαν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῆς μακρινιτίσσης καὶ ὀξείας ἐπισκέψεως μετὰ τῶν προσόντων ταύτῃ δικαίων καὶ πραγμάτων καὶ κατεχομένων παρ᾽ αὐτῆς μέχρι τοῦ νῦν, ὀφείλει ἔχειν καὶ τοῦτο οὕτως καὶ διαμένειν ἀναποσπάστως καὶ ἀναφαιρέτως εἰς μετόχιον τῆς διαληφθείσης σεβασμίας μονῆς. αἱ δὲ δηλωθεῖσαι δύο τούτου μοναὶ, ἥ τε τῆς ὑπεράγνου μου θεομήτορος τῆς μακρινιτίσσης καὶ ὀξείας ἐπισκέψεως καὶ ἡ τοῦ τιμίου μου προδρόμου τῆς νέας πέτρας, αἱ καὶ γονικόθεν τούτοις διαφέρουσαι, οὐκ ὀφείλουσιν ἑτέρα [ἑτέρας][6] κατεξανίστασθαι, ἀλλὰ διατηρεῖσθαι ἑκάστη κατὰ πᾶσαν τὴν ἐν τοῖς κυρίοις μοναστηρίοις φυλασσομένην τάξιν τε καὶ κατάστασιν, καὶ κατέχειν τὰ προσαρμόσαντα ἑκάστῃ ἀνὰ μέρος κτήματά τε καὶ μετόχια, καὶ μηδέποτε πειραθῆναι τὴν ἑτέραν ὑπαγαγεῖν εἰς μετόχιον καὶ ποιῆσαι ὑφ᾽ ἑαυτὴν, ἀλλὰ διαμένειν ἀνὰ μέρος καὶ καθ᾽ αὐτὰς, καθὼς οὗτοι καθ᾽ ὃ κτήτορες[7] καὶ διεσκέψαντο καὶ διετάξαντο. ὀφείλει δὲ καὶ ὁ υἱὸς αὐτῶν, ὁ οἰκεῖος τῇ βασιλείᾳ μου κομνηνὸς κῦρος ἰωάννης παλαιολόγος ὁ μαλιασηνὸς, μετὰ τὴν τελευτὴν αὐτῶν εἶναί τε καὶ λογίζεσθαι[8] . . .

---

[6] Deest apud Pasini, forte typorum vitio, quum latine verterit sic: *non debent alterum adversus alterum insurgere.* [7] Pasini: *καθοκτήτορες.* [8] Caetera deerant in Codice.

NOV. XVII.

Imp. Andronici senioris aurea bulla de immunitate habitatorum Monembasiae[1]. (A. 1284.)

Χρυσόβουλλον τῆς χώρας μονεμβασίας.

Οὐκ ἦν ἄρα καὶ τὴν τῆς μονεμβασίας πόλιν τῶν ἐκ τοῦ χρόνου μεῖναι τὸ παράπαν ἀπείρατον, οὐδ᾽ ἐπὶ τῶν αὐτῶν ἑστάναι τῶν ἄλλων πάντων δεξαμένων μεταβολὴν καὶ γευσαμένων· τῆς τούτου παλινστρόφου κινήσεως μέντοιγε οὐδὲ τῆς αὐτοῦ παντάπασιν ἔξω γεγένηται φύσεως, ἀλλ᾽ ἅπτεται καὶ ταύτης ὡς καὶ πάντων μεταβολὴ χρόνοις πρότερον ἤδη συχνοῖς, καὶ κινεῖται πλὴν τὴν πρὸς τὰ χείρω κίνησιν ὡς μὴ ὤφελε. λαμπρὰ γὰρ οὖσα τὸ πρὶν καὶ πολλοῖς εὐθηνουμένη[2] τοῖς ἀγαθοῖς ὑπὸ τὰ ῥωμαίων σκῆπτρα τῆς εὐδαιμονίας ἀπέλαυεν[3], ἀλλ᾽ ὁ χρόνος ὥσπερ οὐκ ἐνεγκὼν τηρῆσαι τὴν ἐπιφάνειαν τῆς μὲν ῥωμαίων ταύτην ἀποσπάσαι ἔγνω χειρὸς, δουλείας δὲ φέρων ἰταλικῆς ζυγὸν αὐτῇ ἐπιτίθησιν· ἐντεῦθεν καὶ πᾶν ὁμοῦ τῆς πόλεως τὸ λαμπρὸν ἀποσβέννυσι, καὶ τὴν οὔπω[4] πρῴην καλλίστην ἐν πόλεσιν μετὰ βραχὺ πολλοῦ τοῦ αἴσχους ἐμπίπλησιν. ἀλλ᾽ οὐκ ἦν εἰς τέλος τοὺς αὐτῆς πολίτας οὕτω τῆς τῶν τρόπων χρηστότητος ἔχοντας, οὕτω συχνοῖς κεκοσμημένους τοῖς ἀγαθοῖς περιοφθῆναι παρὰ θεοῦ καὶ τὴν ταλαιπωρίαν φέρειν ἐπὶ πάνυ μακρόν. οὔκουν οὐδὲ θείας ἀμοιροῦσιν[5] ἐπισκοπῆς, ἀλλ᾽ ἐφορᾷ καὶ πάλιν ἵλεων ἐπ᾽ αὐτοὺς ὁ πάντα ἐφορῶν ὀφθαλμὸς, καὶ τῆς μὲν ἀλλογενοῦς αὐτίκα δουλείας δέχονται τὴν ἀπαλλαγὴν, πρὸς δὲ τὴν πρὶν ἐκείνην εὐθὺς εὐδαιμονίαν ἀναχωροῦσι καὶ περιφάνειαν, ὑπὸ ῥωμαίοις αὖθις καὶ τῇ τούτων ἀρχῇ τελεῖν ὡς πρῴην ἐπευτυχήσαντες. ὅτε δὴ πρὸς ἄλλοις τῶν ἀγαθῶν (οὐδ᾽ ὅσοις ῥᾴδιον ἀριθμεῖν) καὶ χρυσοβούλλου ἐπὶ τοῖσδε τυγχάνουσι παρὰ τοῦ ἀοιδίμου βασιλέως τοῦ αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου[6], τῷ τε δηλαδὴ ἐξκουσίας πάσης καὶ ἐλευθερίας ἀπολαύειν αὐτοὺς καὶ πάντα τὰ προσόντα γονικόθεν αὐτοῖς ἀνώτερα κεκτῆσθαι τέλους[7] καὶ βάρους ὁποιου-

---

[1] Hanc ex Cod. Scoriolensi Σ — I — 12 edidit Miller Cat. des MSS. Grecs de l'Escurial (Paris 1848) p. 59. [2] Sic recte Miller pro *εὐθυνουμένη*, quod in Cod. legitur. [3] Miller: *ἀπήλαυεν*, typorum vitio ut videtur. [4] Miller conj.: *ὄντως*. Male. [5] Cod. *ἀμοίβουσιν*, quod emendavit Miller. [6] i. e. Michael Palaeologus. [7] Miller conj.: *χωρὶς τέλους*. Imo verba *ἀνώτερα τέλους* invicem jungenda sunt.

δήτινος, καὶ τῷ κομμερκίου χάριν ἀκαταζητήτους τετηρῆσθαι παντάπασιν ἐφ᾽ αἱσοῦν[8] ἂν ποιεῖν ἐθέλωσι πραγματείαις ἐν τῇ εἰρημένῃ πόλει τῆς μονεμβασίας.

α'. Ὅθεν ἐπειδὴ καὶ νῦν ὑπὲρ τούτων τυχεῖν ἐξητήσαντο καὶ χρυσοβούλλου τῆς βασιλείας μου, εὐμενῶς τε ἄγαν καὶ ἑτοίμως τῇ τούτων αὐτῇ[9] παρακλήσει συννεύσασα τὸν παρόντα ταύτης πρὸς αὐτοὺς ἐπιβραβεύει χρυσόβουλλον λόγον. δι᾽ οὗ προστάσσει καὶ διορίζεται, ἐπαπολαύειν καὶ εἰς τὸ ἑξῆς τοὺς οἰκήτορας τῆς τοιαύτης πόλεως μονεμβασίας τῆς προσούσης αὐτοῖς μέχρι τοῦ νῦν τοιαύτης ἐξκουσίας τε καὶ ἀνενοχλησίας· καὶ διατηρεῖσθαι μὲν τά τε γονικὰ καὶ ὑποστατικὰ αὐτῶν ἀδιάσειστα πάντη καὶ ἐλεύθερα καὶ παντὸς βάρους καὶ τέλους ἀνώτερα, ἅπερ εὑρίσκονται κεκτημένοι μετὰ τῆς τοιαύτης ἐλευθερίας μέχρι τῆς σήμερον· διαμένειν δὲ αὐτοὺς καὶ ἀπὸ τῆς τοῦ κομμερκίου δόσεως ἀκαταζητήτους τε καὶ ἀνενοχλήτους παντάπασιν ἐφ᾽ αἷς ἂν δηλονότι πριῶνται[10] πραγματείαις ἐν τῇ τοιαύτῃ πόλει τῆς μονεμβασίας. βούλεται γὰρ ἡ βασιλεία μου τελείας ἀπολαύειν αὐτοὺς ἅπαντας τῆς ἐπὶ τούτοις ἐλευθερίας καὶ ἀνέσεως τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, καὶ μὴ εὑρίσκειν ὑπὲρ τούτων τὴν οἱανδήτινα διενόχλησιν καὶ συζήτησιν. ἐπὶ τούτῳ γὰρ γεγονὼς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη αὐτοῖς κατὰ μῆνα αὔγουστον τῆς νῦν τρεχούσης ιβ' ἰνδ. τοῦ ,ς ἑπτακοσιοστοῦ ἐνενηκοστοῦ β' ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ἀνδρόνικος ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ ῥωμαίων δούκας ἄγγελος κομνηνὸς ὁ παλαιολόγος.

NOV. XVIII.

Imp. Andronici senioris privilegium mercatoribus Hispanis concessum[1]. (A. 1290.)

Ἐπεὶ οἱ ἔποικοι τῆς χώρας παρτζαλόνας, τῆς ῥαγούνας[2], τῆς κατελονίας, τῆς μαγιόρκας, τῆς βαλεντζίας,

---

[8] Cod. αἰσῶν. Miller conj. αἷς ὧν. [9] Malim τοιαύτῃ αὐτῶν. [10] Forte ποιῶνται.

[1] Hanc auream bullam praestitit Capmany memorias hist. sobre Barcelona,

τῆς τουρτούζας καὶ τῶν ἑτέρων χωρῶν τοῦ ὑψηλοτάτου ῥηγὸς ῥαγούνας καὶ σικελίας ἐποιήσαντο ἀναφορὰν πρὸς τὴν βασιλείαν μου διὰ τοῦ ἐλθόντος ἐνταῦθα εἰς κωνσταντινούπολιν κουνσούλου τῶν κατελάνων τοῦ συνετοῦ ἀνδρὸς τοῦ σὺρ δαλμάην σουνὴρ[3], ὡς θέλουσίν τινες ἐξ αὐτῶν καταλαμβάνειν εἴς τε τὴν κωνσταντινούπολιν καὶ τὰς ἑτέρας χώρας αὐτῆς καὶ ποιεῖσθαι πραγματείας ἐν αὐταῖς, ἐξητήσαντο δὲ καὶ παρεκλήτευσαν χορηγήθῆναι αὐτοῖς ὑπὲρ τούτου χρυσόβουλλον τῆς βασιλείας μου, ὥστε ἔχειν τὴν ἐπὶ τοῦτο ἄδειαν καὶ ἔρχεσθαι ἀκωλύτως, γενέσθαι δὲ εἰς αὐτοὺς καὶ κυβέρνησίν[4] τινα εἰς τὴν ἀπόδοσιν τοῦ κομμερκίου.

α΄. Τὴν αἴτησιν καὶ παράκλησιν αὐτῶν προσηκαμένη ἡ βασιλεία μου τὸ παρὸν χρυσόβουλλον αὐτῆς ἀπολύει πρὸς αὐτούς, δι' οὗ καὶ διορίζεται ἔχειν ἐπ' ἀδείας τοὺς διαληφθέντας ἐποίκους τῆς εἰρημένης χώρας παρτζαλόνας, τῆς ῥαγούνας, τῆς κατελονίας, τῆς μαγιόρκας, τῆς βαλεντζίας, τῆς τουρτούζας καὶ τῶν περὶ ταύτας ἑτέρων χωρῶν τοῦ ὑψηλοτάτου ῥηγὸς ῥαγούνας καὶ σικελίας, ἐπιδημεῖν ἐν τῇ κωνσταντινουπόλει καὶ ἐν ταῖς ἄλλαις χώραις τῆς βασιλείας μου, ὁσάκις βούλονται καὶ ὅσοι ἐξ αὐτῶν προαιροῦνται τοῦτο, καὶ ποιεῖν ἐν αὐταῖς τὰς δοκούσας αὐτοῖς πραγματείας ἀνενοχλήτως καὶ ἀκαταδυναστεύτως, ἀποδιδόναι ὀφείλοντας χάριν κομμερκίου ὑπὲρ ἐμβολῆς εἰς τὸ ἑκατὸν ὑπέρπερον ὑπέρπερα τρία, καὶ ὑπὲρ ἐκβολῆς ὁμοίως ἕτερα ὑπέρπερα τρία, εἰς πλέον δὲ μὴ καθέλκεσθαι, συντηρεῖσθαι δὲ μᾶλλον ἀβλαβῶς ἔν τε τοῖς σώμασι καὶ τοῖς πράγμασιν αὐτῶν, καὶ μηδεμίαν ἄλλην ζημίαν ἢ καταδυναστείαν καὶ ἁρπαγὴν ὑφίστασθαι παρά τινος τῶν ἀπὸ τοῦ μέρους τῆς βασιλείας μου. ἔτι γε μὴν καθὼς καὶ τὸ περὶ τοῦτο ᾐτήσαντο, ἐὰν συμβῇ κινδυνεῦσαι κατὰ θάλατταν καράβιον αὐτῶν ἀπὸ κλύδωνος καὶ πεσεῖν εἰς ξηρὰν ἐν τῇ χώρᾳ τῆς βασιλείας μου, οὐχ ἕξουσιν ἐπ' ἀδείας οἱ ἔποικοι τῆς τοιαύτης χώρας ἢ ἕτεροί τινες διαρπάζειν καὶ ἀποκερδαίνειν τὶ ἀπὸ τοῦ περισωθέντος αὐτῶν πράγματος, ἀλλὰ διαφυλαχθήσεται τὸ τοιοῦτον πρᾶγμα αὐτῶν ἀκαινοτόμητον τῇ δυνάμει καὶ

To. II (Madrid 1779) p. 467, ex originali in archivo Barcelonensi asservato; idem p. 367 versionem antiquam ejus edidit. Quod illam Andronico seniori et anno 1290 tribuit, ejus rei argumenta satis idonea habet tum titulos horum documentorum, tum historiam regum Arragoniae. [2] i. e. Aragonum, ut est in versione antiqua. [3] In eadem versione est: Dalmatium Segnerium. [4] Ibidem *κυβέρνησις* verbo relaxationis redditur.

ἰσχύϊ τοῦ παρόντος χρυσοβούλλου τῆς βασιλείας μου. τούτου γὰρ τῇ ἐμφανείᾳ διατηρηθήσονται μετὰ τὸ διδόναι τὸ ἀναγεγραμμένον[5] κομμέρκιον ἀνενόχλητοι καὶ ἀζήμιοι, καὶ οὐχ ὑποστήσονται παρά τινος ἀδικίαν ἢ ζημίαν τινὰ ἢ ἐπήρειαν καὶ ἐπίθεσιν οἱανδήτινα.

Διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν χρυσόβουλλον τῆς βασιλείας μου, καὶ ἐπεβραβεύθη καὶ ἐπεχορηγήθη τοῖς διαληφθεῖσιν ἐποίκοις τῆς παρτζαλόνας, τῆς ῥαγούνας, τῆς κατελονίας, τῆς μαγιόρκας, τῆς βαλεντζίας, τῆς τουρτούζας καὶ τῶν περὶ ταύτας ἑτέρων χωρῶν τοῦ ὑψηλοτάτου ῥηγὸς ῥαγούνας καὶ σικελίας εἰς βεβαίωσιν καὶ δεφένδευσιν καὶ ἀσφάλειαν.

NOV. XIX.

Imp. Andronici senioris

aureae bullae de metropolibus Philadelphensi, Thessalonicensi et Litbadorum[1]. (Circa 1292.)

NOV. XX.

Imp. Andronici senioris

aurea bulla de privilegiis metropolitae Monembasiae[1]. (A. 1293.)

Χρυσόβουλλον παρὰ τοῦ γαληνοτάτου ἐν βασιλεῦσι καὶ ἀηττήτου ἀνδρονίκου αὐτοκράτορος ῥωμαίων πρὸς τὸν ἁγιώτατον μητροπολίτην μονεμβασίας καὶ τοὺς αὐτοῦ διαδόχους.

Κἂν εἰ μήπω πρότερον ἔφθη πλεῖστα δὴ παραπλήσια γενέσθαι βασιλεῦσί τε καὶ ἄλλοις, καὶ οὐχ ἧττον ἡμῖν, καὶ νομι-

---

[5] Malim ἄνω γεγραμμ.

[1] Laudantur in Disp. thron. sub Andronico seniore facta in Coll. can. ed. Rhalli et Potli p. 491. 494.

[1] Edita est ex originali, quod Athenis in bibliotheca publica asservatur, in Coll. can. ed. Rhalli et Potli V p. 333. Antea jam typis expressa fuerat in Buchon Recherches hist. sur la principauté française de Morée (Paris 1845) To. I p. LXXXI, et in ephemerid. literar., quae sub Pandorae nomine Athenis prodeunt, a. 1853 to. IV fol. 85. Extat etiam in Cod. Borbon. II, C. 36, ex quo inscriptionem damus. Is varia continet ad res Monembasienses spectantia: praeterea etiam ad historiam ecclesiasticam Monembasiae illustrandam plurimum facit Cod. Taurin. 336,

σθῆναι τοῦ λοιποῦ γίγνεσθαι, ἴσως ἂν ἴσως ἥ γε νῦν αὕτη παροῦσά τε καὶ προτεθειμένη τῇ βασιλείᾳ μου πρᾶξις ἐφεῦρε τὸν τοιοῦτον καλοῦ τύπον· ἀμέλει καὶ ἐφ᾽ ἑαυτῇ κείμενον ἄν, μᾶλλον ἐρεῖν δι᾽ ἑαυτῆς[2] ἐκαίνισε πάντως, ἀρχὴν οὕτω λαβόντα καλλίστην πρὸς τὸν ἑξῆς ἔπειτα χρόνον ἐνεργῆ[3] δείκνυσθαι· οὕτω πολὺ πάντοθεν ἔχει τὸ πεῖθον αὕτη καὶ καταναγκάζειν εὔλογον. τὸ γὰρ δὴ κατὰ τὴν πελοπόννησον περιώνυμον ἄστυ μονεμβασίας ἐστὶ μὲν ὡς ἀληθῶς τῶν κατ᾽ αὐτὴν δὴ πάντων[4] μακρῷ προέχον, καὶ τὰ πρῶτα δὴ σαφῶς ἁπάντων φερόμενον, ὡς μηδένα μηδενὶ τῶν ταύτῃ γε ἄλλων λείπεσθαι ξυγχωροῦν· νέον μὲν ἐπιεικῶς ὄνομα καὶ κλέος, καὶ οὐ πόῤῥωθεν τῶν ὄπισθεν χρόνων ἧκον, μυρίας δὲ ὅμως[5] καὶ παμμήκεις τὰς εὐφημίας καὶ πανταχοῦ πομπεῦον, ὡς εἴ τι[6] καὶ ἄλλο τῶν ἐπιφανῶν καὶ περιδόξων ἀκούειν, οὐκ ἐπὶ μόνης τῆς βασιλικῆς ἡγεμονίας τῆς ἡμετέρας, ἀλλὰ καὶ σχεδὸν τῆς ἀλλοτρίας ἁπάσης. καὶ γὰρ δὴ τά τε ἄλλα κοσμεῖ τὸ ἄστυ, καὶ θέσεως εὐκαιρία, καὶ πρὸς ἀσφάλειαν ἐρυμνότης, καὶ πλῆθος μάλιστα οἰκητόρων καὶ πολυολβία, καὶ πολιτείας εὐγένεια, καὶ τεχνῶν ἀσκήσεις, καὶ ἀγορᾶς δαψίλεια πάντων πᾶσα· εὐεμπορώτατόν τε εἰ δή τι καὶ ἄλλο μάλιστα, πρὸς ἅπαντα πλοῦν καὶ θαλάσσης ἅπαντα μέρη θέσεως[7] εὖ ἔχον. καὶ τοίνυν πολὺ τὸ τῶν οἰκούντων ἐνταῦθα ἱκανόπλοον καὶ θαλαττουργὸν, ῥωμαλαιότης τε καὶ φρόνημα δραστικόν τε καὶ ἔμπρακτον, καὶ (τὸ κάλλιστον τῶν ἄλλων μάλιστα) ἡ πρὸς τὴν βασιλείαν μου ἐνεργός τε καὶ ἄτρεπτος παντάπασιν εὔνοια, καὶ ἡ πρὸς τὸ γένος ἀναφορά τε καὶ κοινωνία πάντων ἀνάλωτος καιρῶν τε καὶ πραγμάτων, εὖ τε καὶ ἄλλως ἐχόντων, ἐν πολλοῖς ἤδη τῶν προλαβόντων χρόνων τὴν πεῖραν δοῦσα, καὶ τὸ πιστὸν καθάπερ ἄλλοτε ἐγνωσμένη[8]. καὶ τὰ μὲν τοῦ ἄστεος, ὡς ἐν ὀλίγοις, οὕτω, φεύγοντι τῷ λόγῳ τὸ μῆκος. ξυλλαγχάνει[9] δ᾽ ἔτι καὶ τοῦτο νῦν εἶναι θαυμάσιον οἷον, ὅτι τῆς κατ᾽ αὐτὸ πάντως ἁγιωτάτης ἐκκλησίας προέστη[10] ἀρτίως πάντων ἄριστος, πολὺς τοῖς κατὰ θεὸν ἐκ νέου πάνυ

---

ex quo complura edidit Pasini in Catalogo. *Πρᾶξιν συνοδικὴν* anno 1397 habitam de ratione inter metropolitam Corinthi et Monembasiae ex Cod. Vindob. gr. 65 (Nesselio 47) nuper edidit Müller in Sitzungsber. d. k. k. Akad. d. Wiss. to. IX (1853) p. 394. [2] Rhallis: *ἑαυτήν.* Buchon: *ἐφ᾽ ἑαυτῆς κεκίνηκεν ἂν ἢ μ. ἐ. δι᾽ ἑαυτῆς.* [3] Buchon: *ἐναργῶς.* [4] Id. *ταύτην.* [5] Buchon: *δεόμενον καὶ παμμήκους τῆς εὐφημίας.* [6] Buchon: *εἴη.* [7] Id. *θέαν.* [8] Id. *καθάπαξ ἀσφαλὲς ἐγγυουμένη.* [9] Id. *ξυλλαγχάνοντα τοῦτο.* [10] Id. *ποιμήν.*

τοι καὶ ἐς γῆρας ἡδ . . .[11]. τοῦτο νῦν ἤδη καμάτοις ἐγκαρτερήσας, καὶ κατακεκοσμημένος εἰς ἄκρον τῆς μακαρίας αὐτῆς βιοτῆς, ἀτρέπτως ἐς τοσοῦτον τῆς ἐξ ἀρχῆς ἐνστάσεως καὶ παντάπασιν ἀνενδότως, καὶ ὥσπερ εἴ τις νέος θερμῶς[12] ἅπτοιτο, καὶ μὴ παρὰ[13] καὶ μὴν πλεῖστον ὅσον ὑπὸ τῆς οὕτω χρονίου καὶ πολυετοῦς καὶ βιαίου σφόδρα τε βιώσεως[14] καὶ σωματικῆς δαπανήσεως, καὶ πρὸς ἅπαντα πόνον καὶ μόχθον[15] σφόδρα ἐκτετηγμένος οὐ τῷ γήρᾳ μᾶλλον, ἢ τοῖς γε τοιούτοις πόνοις, ἔτι θαυμαστῶς ἐμμένει καὶ διακαρτερεῖ τὴν ἐξ ἀρχῆς ἀκλινῆ γνώμην, καὶ ὥσπερ νῦν μᾶλλον ἐπειγόμενος καὶ σπουδάζων δῆλός ἐστιν, ἀλλ' οὐχ ὡς ἂν ἤδη τοσοῦτο προλαβὼν καταστῆναι ἤδη πως ἀσφαλεῖ ἐν λιμένι καὶ γαλήνῃ· ἀμέλει καὶ τῆς περὶ τὸ ἀγαθὸν τοσαύτης ἕξεως, καὶ σφόδρα ὑπ' ἀμφοῖν, τοῦ τε πανσέμνου τοῦδε γήρως ὡς εἴρηται καὶ τῶν τοσούτων καμάτων καὶ ἀσκητικῶν ἱδρώτων, τὸ σῶμα κατακαμπτόμενος, οὐκ ἔπειθ' ὅμως κάμπτεται[16] τὴν καλλίστην ταύτην γνώμην, οὐδὲ χαλᾷ κατὰ βραχὺ καὶ τῶν τόνων οὐκ ἐνδίδωσιν, οὐδὲ νικᾶται τὸ φρόνημα· ἀλλὰ τὸ μὲν σῶμα ἥττηται ἤδη, καὶ νῶτα δίδωσί τε καὶ τρέπεται ἐπὶ τοσούτων τῶν προλαβόντων καὶ πόνων καὶ χρόνων, ὁ λογισμὸς δὲ ἀήττητος, κόρον οὐκ ἔχειν οὐδέπω τῶν καλῶν ἀξιοῖ, οἷα δὴ ἐπὶ πάντων γίγνεται, καὶ μόνον τὸν ἐπὶ τούτοις ἔρον ἀδαπάνητόν τε καὶ παντάπασιν ἀκάματόν τε καὶ ἀνεπίστροφον οἴεται δεῖν εἶναι. ταῦτ' ἄρα, καὶ τοσαύτην καὶ ἐπὶ τοσούτοις ἤδη τοῖς ἔτεσι συλλεξάμενος τὴν πνευματικὴν ὡς ἔφην κατάστασιν, καὶ προειληφὼς οὕτω πάνυ τοι πόῤῥω καὶ καταπεράνας εὖ μάλα τελεσιουργὸν τοῦ βίου τὴν πρόθεσιν ἀσφαλῶς τε καὶ γενικῶς, ὡς καὶ τοῦ βίου τοῦδε καὶ τῆς ὑψηλῆς ταυτησὶ παιδείας παράδειγμα καὶ τύπος ἔμψυχος περιπολεῖν, ὡς ἀληθῶς δὲ καὶ εἶναι, καὶ τοῖς πολλοῖς ὑπειλῆφθαι οὐκ ἀγαπᾷ τοῦ λοιποῦ· ὁ δὲ διὰ παντὸς ἐν τοῖς αὐτοῖς ἔχει, καὶ ὥσπερ οἱ πλείους καὶ βελτίους μὲν οὖν τῶν εἰσαγωγῇ χρωμένων, νῦν εἶναι δὴ καὶ χθὲς καὶ πρότριτα[17] καὶ αὐτὸς ἀεὶ παρασκευάζεται, καὶ ἔοικεν ὥσπερ ἀγωνιζομένῳ καὶ δεδιότι καὶ προσδραμεῖν σπουδάζοντι, καταγυμναζόμενος τὸν ἅπαντα χρόνον, καὶ κατατρύχων ἀπέραντα, κάμνων τὸ σῶμα πόνοις ἀνενδότοις, ἀσιτίαις τε καὶ ἀγρυπνίαις, καὶ στάσεσι συντόνοις,

---

[11] Nonnulla non potuerunt enucleari: et sequentia etiam incerta lectu fuerunt, ut editores notaverunt asteriscis appositis. Buchon: ἤδη. [12] Id. νηὸς ἱερᾶς. [13] Id. καὶ . . . παραδόξου . . . [14] Idem: . . . βιαίας. [15] Rhallis: καὶ πρὸς καί. [16] Rhallis emendat κάμπτεται. [17] Buchon: πρὸ τρίτης.

καὶ τίνι τῶν εἰθισμένων καὶ καλλίστων ἀγώνων οὔ; καὶ νομίμως[18], μᾶλλον δὲ καὶ πλέον ἢ τέως νομίζεται τοῖς καλῶς ἠργμένοις καὶ περὶ τὸν πνευματικὸν δρόμον ἀκμάζουσιν αὐτὸς ἔτι πω καὶ νῦν ἐπὶ τοσούτων τῶν ἐτῶν κατατεινόμενος. καὶ μὴν καὶ τ' ἄλλα κατὰ τὸ ἦθος ἅπαντα τοῦ θαυμασίου τοῦδε ποιμένος ἀναλογεῖ τε καὶ συμβαίνει πρὸς ταὐτά τε καὶ πρὸς ἄλληλα, οἷον ἡ τῆς ἀγάπης πρὸς ἅπαντας ἐλευθεριότης, τὸ ἀόργητον θαυμάσιον οἷον, τὸ φίλοικτον, ἡ τῆς ψυχῆς γαλήνη, τὸ μήτε λογισμοῖς μήτε λόγοις μήτ' οἴεσθαι μήτε λέγειν περὶ ὁτιοῦν φλαῦρον οὐδὲν, ἀλλὰ περὶ πάντων καὶ βούλεσθαι καὶ δοκεῖν καὶ λέγειν πάντ' ἀγαθὰ, ἐκ τῶν οἴκοι θησαυρῶν αὐτοῦ[19] τὸ πιστὸν ἔχοντα. καὶ τ' ἄλλα μὲν, καθόλου συνελεῖν, ἅπαντα, ὧν μεγίστης ὄντως ἐκκλησίας καὶ πολυθρέμμονος ἀρχιερεῖ καὶ ποιμένι δεῖ, καὶ ἐστὶν ἐργωδέστατον ὁμοῦ καὶ σφόδρα σπάνιον ἑνὶ ξυλλαχεῖν, ὥσπερ ἐπ' αὐτῷ δὴ προδήλως περὶ οὗ νῦν ὁ λόγος ἐστίν· καὶ μηκύνειν ὡς ἔοικεν οὐ δεῖ περαιτέρω, πλὴν ὅπερ ἄνωθεν ὁ λόγος ξυνεωραμένος ἀπεφήνατο. τοσαῦτα δὴ τά τε τοῦ ἀνδρὸς κατὰ θεὸν εὐδοκιμήματα, καὶ τὸ τῆς πολιτείας καὶ τοῦ βίου περιφανὲς καὶ ὑπερηρμένον καὶ σχεδὸν ἀπαράμιλλον. καὶ τοῦγε τῆς ὑπ' αὐτὸν ἐκκλησίας ἄστεος αὖθις τὰ προσόντα παντοῖα καλὰ, ὥστε κἂν μόνα δῆτα ἴσως κινῆσαι ταῦτα τὴν βασιλείαν μου πρὸς τὸ μεταποιῆσαι καὶ προβιβάσαι τὴν τοιαύτην ὑπ' αὐτὸν ἁγιωτάτην ἐκκλησίαν εἰς κρείττω τινὰ καὶ ὑψηλοτέραν κατάστασιν καὶ ἀξίαν καὶ βαθμὸν ὑπερκείμενον, κἂν μήπω πρότερον, ὡς εἴρηται, τοιαῦτα παραπλήσια καὶ γε γένητο καὶ νενόμιστο γίγνεσθαι· καὶ ταῦτ' ἴσως, ἧπερ ἔφην, ἱκανῶς ἂν εἶχεν ἀφορμήν τε δοῦναι καὶ ὑποφῆναι τὸν ἐν τούτοις τύπον καὶ νόμον, ὃ δῆτα καὶ παραπλήσι' ἄττα ἴσως ἕτερα πρότερον ὡς ἔοικε καὶ εἴργασται καὶ τὴν ἐν τούτοις ἀρχὴν δέδωκεν. ἐπεὶ δὲ ὅ τε περὶ τούτων βασίλειος νόμος[20] προλαβὼν ὡς ἔφην ἐπαίρει καὶ δίδωσι, καὶ αὐτὰ δὴ ταῦτα ἅπερ εἴρηται σφόδρα κινεῖ, σὺν θεῷ δ' εἰρήσθω, καὶ τὸ τῆς ἡμετέρας βασιλείας φιλόκαλον τὸ πλεῖστον ἐν τούτῳ μάλιστα συναίρεται, καὶ ἡ περὶ τὰ κάλλιστα καὶ θεοφιλῆ τῶν ἔργων χάριτι τοῦ θεοῦ καὶ προμήθεια ταύτης συνιδεῖν τὰ δέοντα καὶ βουλεῦσαι, καὶ προθυμία τε καὶ σπουδὴ μάλα ἐνεργὸς[21] ἐκτελέσαι τε καὶ περάναι· ἐκ πάντων ἄρα τούτων τὸ καινίσαι τὶ[22] πρὸς τὸ κρεῖττον,

[18] Id. νομίμων. [19] Id. ἀληθῶς. [20] Coll. IV Nov. 29. [21] Rhallis: ἐνεργόν. [22] Buchon: τε.

καὶ προβιβάσαι τὰ τῆς ἁγιωτάτης ἐκκλησίας μονεμβασίας ἐδοκιμάσθη τῇ βασιλείᾳ μου. καὶ τοίνυν φθάνει μὲν ἤδη πρότερον προθεσπίσασα καὶ βαθμόν τινα τῶν ὑψηλοτέρων ἔχειν ταύτην δὴ τὴν ἁγιωτάτην μητρόπολιν, καὶ τόπον τινὰ ἐκκλησίας ἑτέρας καὶ τάξιν προεσβεσμένης καὶ ὡσπερεὶ παρελθούσης, οὐ μὴν ἀλλὰ καὶ μεγίστης ἐνορίας[23] ἐξαρχίαν τε καὶ ἐπισκοπὰς ἀναλόγως διαταξαμένη τε καὶ προσηκόντως. ἐπεὶ δὲ αὐτὰ δὴ ταῦτα καὶ χρυσοβούλλῳ βεβαιωθῆναι καὶ τὸ πιστὸν λαβεῖν καὶ ἄτρεπτον ἐξητήσατο ὁ ἀνωτέρω εἰρημένος ἱερώτατος τῆς τοιαύτης ἐκκλησίας ἀρχιερατικῶς προϊστάμενος, ἡ βασιλεία μου καὶ τὰ τῆς τοιαύτης αἰτήσεως προσεδέξατο καὶ πρὸς πέρας ἀγαγεῖν ηὐδόκησε.

α΄. Καὶ τοίνυν τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς[24] ἀπολύει, δι᾽ οὗ καὶ βούλεται σὺν θεῷ καὶ εὐδοκεῖ καὶ θεσπίζει, τόν τε ὡς εἴρηται νῦν προϊστάμενον ἀρχιερατικῶς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως μονεμβασίας καὶ τοὺς καθεξῆς τὸν αὐτῆς διαδεξομένους θρόνον ἐπαπολαύειν τῆς ἀνηκούσης τῷ τοῦ σίδης θρόνῳ τιμῆς ἐν ἅπασι, καθέδραις τε δηλαδὴ καὶ προελεύσεσί[25] τε καὶ στάσεσι, γραφαῖς τε, καὶ ὅλως τοῖς ἐθίμοις[26] ἔργοις ἀρχιερατικοῖς καὶ λειτουργήμασιν ἅπασι· φορεῖν δὲ καὶ σάκκον ἐν ταῖς θείαις ἱεροτελεστίαις, ὁμοίως δὲ καὶ διβάμπουλον, καὶ ἁπλῶς πάντα τὰ ἐκείνης προνόμιά τε καὶ δίκαια ἔχειν· ἔξαρχον τοῦτον μόνον εἶναί τε καὶ λέγεσθαι πάσης δὴ τῆς πελοποννήσου τὸν τῆς τοιαύτης ἁγιωτάτης ἀρχιερατικῶς ἐκκλησίας προϊστάμενον, καὶ τῆς ἐντεῦθεν τιμῆς ἀπολαύοντα, ᾗ δὴ καὶ τοῖς ἄλλοις εἴθισται τῶν ἱερωτάτων ἀρχιερέων τοῖς ἠξιωμένοις διαφόρων[27] ἐξαρχεύειν θεμάτων τε καὶ χωρῶν. ὡσαύτως δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο θεσπίζει καὶ παρακελεύεται, πάντας δηλαδὴ τοὺς ὑπ᾽ αὐτὸν ἐπισκόπους ἔν τε φήμαις καὶ γραφαῖς παναγιώτατον προσαγορεύειν καὶ ὀνομάζεσθαι, αὐτὸν δὲ πάλιν ἐν τοῖς σημειώμασι καὶ γράμμασιν ἰνδικτιῶνα ἐμφαίνειν πρὸς αὐτοὺς καὶ πρὸς πᾶσαν τὴν αὐτοῦ ἐπαρχίαν ἀνθ᾽ ἑτέρας ὑποσημάνσεως. ἐπεὶ δὲ ἔφθασαν προστεθῆναι πρότερον τῇ τοιαύτῃ ἁγιωτάτῃ μητροπόλει καὶ ἐπισκοπαὶ αὗται, ἡ τῆς κυνουρίας[28], ἡ τοῦ ἕλους, ἡ τῆς μαΐνης, ἡ τοῦ ῥέοντος, καὶ ἡ τοῦ ζεμενοῦ, προσβεβαιοῖ μὲν προηγου-

---

[23] Pandora: μεγίστην ἐνορίαν. [24] Buchon: τό γε νῦν pro αὐτῆς. Rhallis: αὐτῆς. [25] Buchon: προεδρεύσεσι. [26] Id. ἐθισμένοις. [27] Rhallis: διαφόρως. [28] Sic Rhallis pro κυθουρίας, quod est in MS. hic et infra.

μένως καὶ προσεδράζει[29] ταύτας αὐτῇ καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς ἡ βασιλεία μου· καὶ θεσπίζει καὶ διατάττεται καὶ εἰς τὸ ἑξῆς ὑπ' αὐτὴν εἶναι, καθὼς εὑρίσκονται μέχρι καὶ ἐς τὸ νῦν. ἔτι μέντοι δι' αὐτοῦ δὴ τούτου τὸ φιλότιμον προσεπαύξουσά τε ταύτῃ καὶ προσεπιτείνουσα εὐδοκεῖ καὶ παρακελεύεται ὑπ' αὐτὴν εἶναι καὶ ἑτέρας ἐπισκοπὰς ταύτας· ἤγουν τὴν τῆς κορώνης, τὴν τῆς μεθώνης, καὶ τὴν τῆς ἀνδρούσης, καὶ ὑποκεῖσθαι ὁμοίως καὶ ταύτας τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς μονεμβασίας, ὡς καὶ τὰς ἄλλας, ὡς ἄρα μητροπόλει αὐτῶν, καὶ δέχεσθαι εἰς ἀρχιερεῖς ἑαυτῶν, οὓς ἂν ὁ ἐν τῇ εἰρημένῃ ἁγιωτάτῃ μητροπόλει εὑρισκόμενος ἀρχιερεὺς χειροτονῆσαι διακρίνοι καὶ ἐγκαταστῆσαι ἐπ' αὐταῖς.

β'. Ἡ δὲ τῆς ἐπαρχίας ταύτης περίοδος ὡς ἐν τύπῳ περιγραφικῷ ἔχει οὕτω. πρῶτον μὲν οὖν ἐπίδαυρος ἀρχαία, ἡ καλουμένη λιμηρά· μετὰ δὲ ταύτην ἐπὶ ἑῴαν προϊόντι ὁ ζάραξ· προελθόντι δὲ ἀπὸ ζάρακος παρὰ τὴν θάλατταν κατιόντι ἡ κυπαρισσία· εἶτα ναὸς τοῦ ἁγίου λεωνίδου· μετὰ δὲ τὸ τοῦ ἁγίου θεῖον τέμενος, τὸ καλούμενον ἄστρος· ἐπαναβάντι δὲ κώμη ἡ καλουμένη καστάνιτζα· μετὰ δὲ ταύτην ἀπέρχεται καὶ εἰς ἑτέραν κώμην λεγόμενα ζίντζινα· εἶτα εἰς ναὸν τῶν ἁγίων ἀναργύρων· ἔπειτα εἰς τὰς ἅλως τὰς ἀρχαίας, καὶ εἰς τὸ ξηρὸν φρέαρ, μεθ' ὃ κατέρχεται εἰς ναὸν τοῦ ἁγίου εὐθυμίου· εἶθ' οὕτως εἰς τὴν σεβασμίαν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ ἁγίου γεωργίου καὶ ἐπικεκλημένην τοῦ λυκοβουνοῦ[30]· ἀπὸ δὲ ταύτης τῆς σεβασμίας μονῆς διέρχεται διὰ τοῦ πεδίου, καὶ καταντᾷ εἰς τὴν ἀπέναντι θείαν μονὴν τῆς ὑπεραγίας θεοτόκου, τὴν εἰς ὄνομα τιμωμένην καὶ αὐτὴν τῆς ἐλεούσης, οὖσαν πλησίον τῆς κώμης τοῦ ἀρκασᾶ· εἶτα ἀπέρχεται εἰς ἑτέραν κώμην ὀνομαζομένην [σοχὰ] πρὸς τοῖς ποσὶ τοῦ ὄρους τοῦ ταϋγέτου· κἀκεῖθεν ἀνέρχεται εἰς τὴν τούτου κορυφὴν, ἔνθα ἦν καὶ εὐκτήριον τοῦ προφήτου ἡλιοῦ, ἐπικεκλημένον πενταδάκτυλον· καὶ πάλιν κατέρχεται κατὰ δεξιὰν εἰς εὐκτήριον ἕτερον τοῦ αὐτοῦ προφήτου ἡλιοῦ, ὃ ἐπίκειται πρὸς τῷ τέλει τῆς κοιλάδος[31] καὶ φάραγγος τῆς σκληρᾶς καὶ δυσβάτου, ἐν ᾧ καὶ ὕδωρ ῥεῖ· μετὰ δὲ τὸ εἰρημένον εὐκτήριον αὖθις κατὰ δεξιὸν μέρος τῷ καταβαίνοντι εἰσὶ ταῦτα τὰ λεχθησόμενα χωρία τε καὶ πολίσματα· δυῤῥάχιον, πόλις[32] ἀρχαία

---

29 Buchon: προσεδράζεται. 30 Id. λυκοβόσῃ. 31 Id. πεδιάδος.
32 Id. που.

οὕτω καλουμένη· μετὰ δὲ τοῦτο κατέρχεται εἰς τὸν σωρὸν τῆς ὀνομαζομένης γραός· εἶτα διέρχεται τῆς βασιλικῆς ὁδοῦ καὶ καταντᾷ εἰς τοὺς χοιρολάκκους· ἔπειτα ἀνέρχεται εἰς τὴν βουλκάνην καὶ διέρχεται εἰς τοῦ βουνοῦ τὴν λεγομένην ὀπήν· εἶθ᾽ οὕτως εἰς τὸ ὄρος τὸ ὄρθιον, καὶ κατέρχεται εἰς τὴν πύλον, τὸν καλούμενον ἀβαρῖνον, ἐν ᾧ καὶ λιμὴν μέγας. πάντα ταῦτα, καὶ ὅσα οἱ εἰρημένοι τόποι πρός γε τὰ νότια μέρη περικυκλοῦσι καὶ διορίζουσιν, οὗτός ἐστιν ὡς εἴρηται ὁ τῆς ἐπαρχίας περιοδικὸς τύπος ὡς ἐν συνόψει τῆς ἁγιωτάτης μητροπόλεως μονεμβασίας, ἄνευ τῶν δύο ἐπισκοπῶν τῆς κυνουρίας, καὶ τῆς ζεμενᾶς. πλὴν εἰ καὶ ἀρτίως εὑρίσκονταί τινες τῶν εἰρημένων ἁγιωτάτων ἐπισκοπῶν εἰς τὸ μέρος τῶν λατίνων, ἀλλ᾽ οὖν καὶ νῦν καὶ ὁπηνίκα θεὸς εὐδοκήσῃ ἐπανελθεῖν καὶ ἀνασωθῆναι αὖθις ταύτας εἰς τὸ μέρος τῆς βασιλείας, ὑπὸ τὴν τοιαύτην ἔσονται ἁγιωτάτην μητρόπολιν μονεμβασίας, ἐπ᾽ ἀδείας τε ἕξει μετὰ τοῦ ἀνήκοντος ἀρχιερεῦσι δικαίου ὁ ταύτης δὴ προϊστάμενος χειροτονεῖν ἐπισκόπους ἐν αὐταῖς, ὡς καὶ ἐν ταῖς εἰρημέναις ἑτέραις ἐπισκοπαῖς.

Οὕτω γὰρ δὴ περὶ τούτων καὶ δεδοκίμακεν ἡ βασιλεία μου, καὶ διὰ τῆς δεδομένης ταύτῃ χάριτι τοῦ χριστοῦ περὶ τῶν τοιούτων ἐννόμου καὶ θείας ὄντως ἀδείας τε καὶ ἐξουσίας παρεκελεύσατο, προηγουμένως μὲν δηλαδὴ, ὡς εἴρηται, τὸν τόπον ἔχειν τῆς πρεσβευμένης καὶ πρὸ χρόνων ἀπολομένης ἐκκλησίας σίδης τὸν ταύτης δὴ τῆς ἁγιωτάτης μητροπόλεως μονεμβασίας ἀρχιερατικῶς προϊστάμενον, καὶ τῆς τῷ τοιούτῳ θρόνῳ ἀνηκούσης ὡς δεδήλωται πάντῃ τε καὶ πάσης καὶ διὰ πάντων ἀπολαύειν τιμῆς· ἔτι γε μὴν καὶ ἐξαρχεύειν ἁπάσης τῆς πελοποννήσου· πρὸς δ᾽ ἄρα τούτῳ ἔχειν καὶ τὰς ἄλλας εὐεργεσίας, ὡς ἀνωτέρω[33] εἴρηται, ὡσαύτως καὶ τὰς ὑπ᾽ αὐτὸν διαληφθείσας ἐπισκοπὰς, ἅς τε δηλαδὴ πρότερον ὑποτεταγμένας εἶχε, καὶ ἃς νῦν ἐπιλοίπους προσεκύρωσεν ἡ βασιλεία μου, καὶ κατ᾽ ὄνομα καὶ περιγραφικῶς πᾶσαι δεδήλωνται. εἰς γὰρ τὴν περὶ τούτων ἁπάντων βεβαίωσιν, ἀσφάλειάν τε καὶ διαμονὴν ἄτρεπτον, ὥστε διὰ παντὸς . . οὕτω στέργειν[34] καὶ μὴ μετὰ βραχὺ μετατραπῆναι καὶ μεταβολὴν ἡντιναοῦν ἐπ᾽ αὐτοῖς συμβῆναι, καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐπεβραβεύθη καὶ ἐπεχορηγήθη τῷ τε νῦν ἱερωτάτῳ μητροπολίτῃ τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας μονεμβασίας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης

---

[33] Buchon: ἄνωθεν. [34] Buchon: διαπαντὸς ... οὕτω φέρει ... καί.

πελοποννήσου καὶ τὸν τόπον ἔχοντι τοῦ σίδης, ἀλλὰ δὴ καὶ τοῖς μετ' αὐτὸν διαδεξομένοις τὸν αὐτὸν θρόνον, ἀπολυθεὶς κατὰ μῆνα ἰούνιον τῆς ἐνισταμένης ἕκτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ[35] ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον θεοσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ἀνδρόνικος ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ ῥωμαίων δούκας ἄγγελος κομνηνὸς ὁ παλαιολόγος.

NOV. XXI.

Imp. Andronici senioris de ordinationibus absque praestatione consuetudinum faciendis[1]. (A. 1295.)

Ὅπως νεαρὰ προβαίνει βασίλειος νομοθεσία περὶ τῶν χειροτονιῶν.

Ἀπρεπὲς καὶ ἄλλως τὸ κατὰ συνήθειαν πραττόμενον διακρίνων· τὸ δ' ἦν τὸ τὸν ἐπὶ ἀρχιερωσύνῃ χειροτονούμενον κανοῖς τισι καὶ δόσει λημμάτων τοὺς χειροτονοῦντας δωρεῖσθαι, καί γε δὴ κληρικῶν ἕκαστον διὰ τὴν προσόντων αὐτοῖς ὀφφικίων δικαιοδοσίαν ὡς εἴθιστο. σιμωνιακὸν γὰρ ἀπεκάλει τὸ πραττόμενον πάθος καὶ ὤνιον χρημάτων κινδυνεύειν τὴν χειροτονίαν ἐντεῦθεν λογίζεσθαι. τοῦτ' εἰς μέσον προτείνων πολὺς ἦν δοκῶν καταιδεῖσθαι καὶ τὸ ἀπερισκέπτως γινόμενον ἐκφαυλίζειν καὶ εἰς κρίμα μεῖζον γίνεσθαι. τινὲς γοῦν, οἷς δὴ καὶ ἦν διευλαβεῖσθαι δοκεῖν, ἀρχιερεῖς ὄντες, καὶ οὗτοι καὶ τὸ κέρδος τοῦ ἀσφαλοῦς ἐν δευτέρῳ δοκοῦντες τίθεσθαι, συνήρουν τὸ τῆς γνώμης τῷ βασιλεῖ καὶ τὰ εἰκότα συνέπραττον. οἱ πλείους δὲ καὶ παρ' ἐκείνους ξύμπαντες καὶ παλαιὰν συνήθειαν προβαλλόμενοι καὶ νόμους περὶ τούτου λέγοντας καὶ δικαιοδοσίας ἐκ παλαιοῦ ὀφφικίων, οὐκ ἐνεδίδοσαν, εἰ δ' οὖν ἀλλὰ παραβασίαν τοῖς κειμένοις ἐφεδρεύουσαν καὶ ὄλισθον ἐντεῦθεν ἀνηρτημένον ὡς εἰκὸς διεγίνωσκον, καὶ ὅτι πόρον ζωῆς ἀναγκαίας τοῖς κλη-

---

[35] Post verbum ὀκτακοσιοστοῦ locus vacuus in MS. relictus est. Addendum est πρώτου, ut cum ind. VI quadret. Buchon indictionis numerum in δευτέρας mutare maluit.

[1] Quae sequuntur, sumta sunt ex Georgii Pachymeris Hist. Andronici III, 3.

ρικοῖς ἀποκεκλεῖσθαι συμβαίνει. καὶ πολλάττα τοιαῦτα λέγοντες τοῖς ἀπεροῦσιν εἰς τέλεον ἐώκεσαν. ἀλλ' οὐκ ἤνυον. διὸ καὶ νεαρὰ προβαίνει νομοθεσία καὶ ἐπ' αὐτοῖς μόνον οὐκ ἀκριβολογουμένη κηροῖς, ὁπόσοι καὶ οἷοι ἔσονται, οἷς ἡμμένοις ἐπὶ τῇ τελετῇ τῆς χειροτονίας χρήσαιντ' ἂν οἱ τῶν παρόντων ἱερωμένοι. ἣν δὴ νεαρὰν ὑποσημαίνεται μὲν πατριάρχης, ὑποσημαίνονται δ' ἱεράρχαι, καὶ πάντες, πλὴν δυοῖν, τοῦ τε σμύρνης καὶ τοῦ περγάμου, συγκάταινοι γίνονται.

NOV. XXII.

Imp. Andronici senioris aurea bulla in gratiam Gregorii Melisseni[1]. (A. 1296.)

---

[1] Buchon Nouvelles recherches hist. sur la princ. franç. de Morée To. I. Paris 1845. p. 245 laudat „*un chrysobulle de l'empereur Andronic Comnène-Paléologue, en langue grecque, en date d'avril* 6804 *du monde* (*ou* 1296 *de J. C.*), *IX indiction, en faveur de la famille Mélissène et en particulier de Grégoire Mélissène, qualifié ici son parent, despote de toute la Chersonnèse, de l'Hellespont, d'Énos, de Xanthos, de Périthéorion, de la ville de Samos, de l'illustre ville de Milet, du golfe Ambracique et du golfe de Messénie dans le Péloponnèse. Andronic Paléologue commence par faire un grand éloge de la famille Mélissène, ancienne, illustre et opulente. Il rappelle que c'est à cette famille qu'appartenait Alexis Stratégopule, qui avait delivré Constantinople des Latins. En considération des mérites de cette famille, il veut établir la bonne harmonie entre elle et la famille impériale. Il mentionne la révolte de Constantin, son frère, contre lui. Il dit qu'il l'avait vaincu et fait emprisonner dans une forteresse avec ses partisans, au nombre desquels se trouvait Michel Mélissène-Comnène-Stratégopule. Depuis ce jour, Grégoire Mélissène, parent de l'empereur et neveu de Michel Mélissène-Comnène-Stratégopule, s'était adressé au fisc pour avoir les biens de son oncle et avait de plus réclamé Thessalonique, comme dot de sa grand'mère Marie Comnène, qui était grand'tante de l'empereur, et de plus Gallipoli et les villes frontières. Pour mettre fin à ces réclamations d'une manière amicale, l'empereur Andronic ordonne que justice soit faite et qu'on rende à Grégoire toutes ses terres de famille: moins Thessalonique et Gallipoli, qu'il était utile au bien public de laisser entre les mains de l'empereur. En compensation de cette perte Andronic lui abandonne la propriété des villes, terres et îles placées en Asie à l'embouchure des fleuves Méandre et Lycée et vers la mer de Myrto jusqu'au golfe de Rhodes: aussitôt qu'elles seront délivrées des mains des infidèles (les Latins), qui les possédaient encore. Andronic, dans ce chrysobulle, donne toujours à Grégoire le titre de despote.*" — Quod autem Buchon l. l. hocce chrysobullum in Cod. Borbon. 94 (II, C, 36) p. 62 extare dicit, hactenus Catalogum Salvatoris Cyrilli (Neapol. 1826. 4) to. II p. 25 sqq. dissentientem habet: is enim in illo Codice p. 62 chrysobullum legi praedicat, quod supra Nov. XX edidimus.

NOV. XXIII.

Imp. Andronici senioris aurea bulla de possessionibus ecclesiae Monembasiae[1]. (A. 1301.)

Ὁ μὲν δὴ μέγας καὶ θεῖος τῆς ἀληθείας κήρυξ καὶ τοῦ κοινοῦ δεσπότου καὶ σωτῆρος ἀπόστολος, μὴ μέγα, φησὶν, εἶναι, εἰ αὐτοί γε δὴ τῆς εὐσεβείας ἡμῖν οἱ ἡγεμόνες καὶ τῶν εὐαγγελικῶν σπερμάτων τε καὶ δογμάτων γεωργοὶ καὶ νομεῖς τὰ πνευματικὰ σπείραντες ἡμῖν παρ' ἡμῶν αὐτοὶ τὰ σωματικὰ θερίσουσι. καὶ γὰρ οὐδ' ἐστὶν οὕτως ἀξιόχρεω τοῖς ἐκείνων ταῦτα δὴ παραβάλλειν, καὶ μέγα πρὸς ταῦτ' οὐδὲν ἦν[2], ὅσα τὶς εὖ μάλ' ἀνύττων[3] καὶ σπουδάζων ἀντιδιδῷ· ὅτι μηδ' ἔχει τὶς ἀντάλλαγμα τῆς ψυχῆς τὰ ἱερὰ λόγιά φασιν ἰσοστάσιον, ἣν ἄρα δὴ χωρὶς τῆς τοῦ πνεύματος γεωργίας προκειμένην εἰς ὄλεθρον καὶ πάντως κινδυνεῦσαι μέλλουσαν καὶ τὴν ἐσχάτην ὑποστῆναι ζημίαν, καὶ ἧς οὐδ' αὐτὸς ὁ κόσμος ὅλως ἀντάξιος, αἱ τῶν ἀποστολικῶν καὶ θείων σπερμάτων ἀρόσεις τε καὶ καταβολαὶ σώζουσί τε καὶ εὔχρηστον κατορθοῦσι καὶ καρποφόρον ἀγαθῶν καὶ ἀζήμιον. τοιγαροῦν κατ'[4] ἄρα δὴ τὸν ἀποστολικὸν τόνδε καὶ θεῖον λόγον οὐ μέγα οὐδὲν, ὅστις ἀντὶ τῆς τοσαύτης εὐποιΐας, ἀντὶ τῶν ψυχικῶν ἀγαθῶν καὶ τῆς τῶν θείων αὐτῶν μεταδόσεώς τε καὶ μεταλήψεως καὶ κοινωνίας καὶ χάριτος, ἧς πορίζεται καὶ τρέφεται καὶ συντηρεῖται καὶ αὔξει καὶ τελειοῦται, μᾶλλον δὲ τελεῖται τὰ κρείττω καὶ εὐαγῆ τε καὶ πάνσεμνα, ἀντισυντελοίη τὶ καὶ αὐτὸς ἀντιδιδοίη ὁτιποτοῦν. πάνυ μὲν οὖν πλεῖστον τῶν κατ' αὐτῶν[5] καὶ σωματικῶν, ὥς γε αὐτῷ δοκοῦν καὶ τοῖς ἄλλοις, μέγα μὴν οὐδὲν τοὐθ' ὡς ἀληθῶς οὕτω, μέγα δὲ ὄντως τοῦτο καὶ εὔδαιμον, ὅτῳ ἔδωκεν ὁ θεὸς πράγμασι[6] ξυλλαχεῖν, ὥστ' ἔχειν παραδεικνῦναι τὴν γνώμην ἐθελόκαλόν τε καὶ πεφυκυῖαν εὖ πρὸς τὰ βελτίω, καὶ τἀγαθὸν κρίνουσάν τε καὶ αἱρουμένην εὖ μάλα τελεσιουργὸν, καὶ μὴ ζημουμένην τὸ περὶ τὴν ὕλην αὐτὴν δραστικὸν μηδ' ἀποστρεφομένην τῶν πραγμάτων ὑπανάγκην[7] ἀργόν τε καὶ ἀνόνητον ἑαυτῆς. μήποτε δ' ἄρα καὶ τοῦτ' ἂν εἴη τῆς σοφῆς καὶ πανταρίστης καὶ παντελείου θεϊκῆς προνοίας. καὶ ὁρᾶν[8] ἔξεστιν ἐπιδήλως ἑκάστοτε

---

[1] Edidit ex Cod. Scorialensi cit. Miller supra Nov. XVII not. 1 laud. p. 61.
[2] Apud Miller ἦν. [3] Ita recte Miller pro *μάλλ' ἀνύτων*, ut est in Cod.
[4] Cod. *καί τ'.* Emendavit Miller. [5] Malim *αὐτόν.* [6] Malim *πράγματα.*
[7] Miller *ὑπ' ἀνάγκην* scribere mavult. [8] Cod. *ὁρὰν*, quod emendavit Miller.

γιγνόμενον, τὰς φιλοκάλους αὐτὰς φύσεις, καὶ αἷς ἄρα πλεῖστος ὁ περὶ τῶν καλῶν καὶ θείων ἔρως ἔνθεν ἐκ ψυχῆς ἀδάπανος φλέγει, ἱστᾶν ἐπὶ τῶν πραγμάτων ἀξίων τῆς γνώμης καὶ ὑποθέσεις διδόναι πρεπούσας καὶ χωρούσας ἀμέλει τὸ φρόνημα, ὡς ἂν ἅμα μὲν ἰσχύϊ τὰ κρείττω καὶ δημιουργεῖσθαι καὶ πολιτεύεσθαι κατ᾽ ἀνθρώπους, ἅμα δὲ καὶ ζῆλον ὡς εἰκὸς προσλαμβάνοντα καὶ προκόπτοντα[9] *καὶ προάγεσθαι τῷ ὄντι. καὶ γὰρ καὶ κάλλιστον οἷον ἔοικεν εἶναι, καὶ οὐ μόνον λυσιτελέστατον αὐτῷ τινι μόνῳ, ἀλλ᾽ ἄρα τό γε δὴ καὶ βιωφελέστατον εἰς αὐτὰ καθόλου τἀνθρώπεια κατὰ τὸν βίον ἅπαντα, ὅστις ἐπὶ πραγμάτων ξυντυχὼν ἀμεινόνων ἢ κατὰ τοὺς πολλοὺς καὶ διδόντων ἐπιεικῶς εὖ μάλα ἀγαθουργὸν ἀφορμὴν οἷός τ᾽ ἂν ἔπειτα γένοιτο αἰσθέσθαι τὴν ἀγαθὴν ξυγκυρίαν καὶ πειρᾶσθαι ἑαυτοῦ καὶ χρῆσθαι ᾗ δοκεῖ βέλτιστον, καὶ ὅστις γνώμης εὖ ἔχων, κρίσεως, εὖ ὁρμῆς καὶ ἔρωτος περὶ τὰ μέγιστα καὶ θεῖα, ἐφ᾽ ἡγεμονίας τινὸς καὶ ἀρχικῆς ἐπιστασίας γενόμενος αὐτοκρατοῦς καὶ ἰσχυούσης, ἔχει πως ἑαυτῷ χρῆσθαι κάλλιστα, ἔχει δεικνῦναι τὴν φύσιν, ἔχει μὴ μένειν ἀργὸς, ἔχει τελεῖν τὰ βελτίω δόγματα, καὶ μὴ μόνον ἀντιδιδόναι πολλῶν καὶ μεγάλων, ὧν προειληφὼς*[10] *ἔχει τῇδε τε κατὰ τὸν βίον ἀμέλει καὶ κατὰ ψυχὴν μάλιστα, τὸ δίκαιόν τε καὶ γιγνόμενον ὄφλημα, βραχὺ μὲν οὖν καὶ ὀλιγαρκὲς ὄντως πρὸς τὴν τοσαύτην εὐποιΐαν, ἀλλὰ καὶ πραγματεύεσθαι περαιτέρω καὶ ἀντωνεῖσθαι σοφῶς διὰ τῶν παρόντων τῶνδε καὶ ῥεόντων τὰ μέλλοντά τε καὶ μένοντα, καὶ διὰ τῆς ἐν τούτοις φιλοθέου καὶ εὐγενοῦς οἰκονομίας καὶ ἐλευθεριότητος τοῖς ἀβεβαίοις μὲν ὡς τὰ πολλὰ, πάντως δὲ μετ᾽ ὀλίγον ἀπολουμένοις, ἅ γε δὴ καὶ αὐτὰ προῖκα προειληφὼς ἔχοι, κατακτᾶσθαι τὰ διαιωνίζοντά τε καὶ ἄτρεπτα.*

α΄. Εἰ δ᾽ ἄρα δὴ καὶ ἡ ἡμετέρα βασιλεία περὶ τούτων οὐ μόνον εὖ τε ξυνεώραται καὶ ἔγνω, ἀλλ᾽ ἀνεκτῶς γε καὶ ἀνεμεσίτως ἐρεῖν καὶ διαπέπρακται, πολλά τε ἄλλα (σὺν θεῷ δ᾽ ὁ λόγος) μαρτύρεται καὶ τὸ νῦν γε ἤδη δηλώσειε· πολλὰ γὰρ δὴ τῇ[11] *κατὰ τὴν πελοπόννησον μονεμβασίας ἁγιωτάτῃ μητροπόλει παρ᾽ αὐτῆς ἐνήργηταί τε καὶ ἐπιδέδεικται λόγου τε ἄξια καὶ ἐπαίνων τῇ τοῦ χριστοῦ χάριτι, τοῦτο*[12] *μὲν ὅσα εἰς τιμήν τινα φέρει καὶ προβάθμιον τάξιν καὶ περιφανὲς ἀξίωμα καὶ*

---

[9] An *προσλαμβάνεσθαι καὶ προκόπτεσθαι.* [10] Miller conj. *προσειλ.* Male. [11] Cod. *τοῖς.* Miller: *τῆς.* [12] Miller: „fort. addendum *καὶ*". Male.

τόπον πλὴν[13] ἢ πρότερον, τοῦτο δὲ καὶ ὅσα εἰς εὐπορίαν τε καὶ φιλοδωρίαν τῶν προσόντων αὐτῇ πραγμάτων τε καὶ κτημάτων· ἃ δὴ καὶ κατὰ μέρος ἕτερα διάφορα ταύτης ὑποδείκνυσι θεσπίσματα[14]. ἐπεὶ δὲ ἀρτίως ᾐτήσατο τὴν βασιλείαν μου ὁ τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως ἀρχιερεὺς, — πάντα ὢν ἄριστος καὶ ἱκανότατος τῇ τοιαύτῃ γε ἀξίᾳ ὡς συνελόντ᾽ ἐρεῖν, καὶ δι᾽ αὐτὸ δὴ τοῦτ᾽ ἄρα καὶ πάντα πείθειν ἱκανὸς ὢν τὴν βασιλείαν μου καὶ περὶ πάντων αἰτούμενος, — ἐπεὶ δ᾽ οὖν οὕτως[15] ὡς εἴρηται ᾐτήσατο καὶ χρυσόβουλλον αὐτῆς προβῆναι περὶ τῶν προσόντων κτημάτων τῇ κατ᾽ αὐτὸν τοιαύτῃ ἁγιωτάτῃ ἐκκλησίᾳ, ἤδη καὶ εἰς τοῦτο ἐπινεύει τῇ αὐτοῦ αἰτήσει καὶ ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τόνδε τὸν χρυσόβουλλον λόγον αὐτῆς, δι᾽ οὗ καὶ εὐδοκεῖ[16] καὶ προστάσσει καὶ διορίζεται, κατέχειν καὶ εἰς τὸ ἑξῆς τὴν διαληφθεῖσαν ἁγιωτάτην μητρόπολιν μονεμβασίας πάντα τὰ προσόντα αὐτῇ κτήματά τε καὶ δίκαια, ἃ καὶ μέχρι τοῦ παρόντος παρ᾽ αὐτῆς εἰσὶ κατεχόμενα, νέμεσθαί τε αὐτὰ ἐκτὸς πάσης ἐπηρείας καὶ ἐνοχλήσεως καὶ παντάπασιν ἀναφαιρέτως, διασεισμοῦ τε παντὸς ἀπηλλαγμένα τε καὶ ἀνώτερα. ἃ δὴ καὶ κατ᾽ ὄνομα οὕτως ἔχουσι· χωρίον ὁ γαγκανέας μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ὑποστατικῶν καὶ πάντων τῶν δικαίων καὶ πάσης νομῆς αὐτοῦ· κτῆμα τὸ εἰς τὸ χωρίον τὰ νόμια[17] μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ τῶν εἰς τὸ αὐτὸ χωρίον καὶ εἰς τὰ ταίρεια αὐτουργίων· ἀγρίδιον τὰ λυρὰ μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ὑποστατικῶν· ἔτι δὲ καὶ τῶν μουντουσῶν, ἀλλὰ δὴ καὶ τὸ εἰς τὴν σιὼν αὐτούργιον· χωρίον εἰς τὸν κάμπον λεγόμενον τὰ ἐπισκοπεῖα μετὰ τῶν ἐν αὐτῷ παροίκων, τῆς διαφερούσης τῇ ἐκκλησίᾳ γῆς καὶ τῶν λοιπῶν ὑποστατικῶν, ἔτι δὲ καὶ τοῦ δρυμῶνος τοῦ ἰδιοπεριορίστως προσόντος μέχρι τοῦ παρόντος τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, ὡς τοῦ λοιποῦ παντὸς δρυμῶνος τοῦ ὑποκειμένου τῷ δημοσίῳ ὀφείλοντος εἶναι αὖθις ὑπὸ τὸν δημόσιον· χωράφια ἐν διαφόροις τόποις τοῦ ἕλους μετὰ τῶν ἐν αὐτοῖς τεσσάρων ὑδρομυλώνων τῶν ἀνεγερθέντων παρὰ τοῦ μέρους τῆς ἐκκλησίας καὶ τοῦ ἀμπελῶνος· ἀγρίδιον λεγόμενον τοῦ ἁγίου κουρνούτου μετὰ τῶν ἐν αὐτῷ παροίκων· ἕτερον ἀγρίδιον τοῦ καμαρᾶ

---

[13] Legerim *πλείω*. [14] Cf. supra Nov. XX. [15] Malim *οὗτος*. [16] Codex (teste Millero) *εὐλογεῖ*. [17] Hunc locum simul cum aliis inferius nominandis hodiedum sub eodem nomine extare, ex mappa majori Gallica et ex libro: *Ἐφετηρὶς τοῦ βασιλείου τῆς Ἑλλάδος διὰ τὸ ἔτος* 1837 a Klado Athenis 1837 in 8vo edito adnotavit Millerus.

μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ὑποστατικῶν· ἡ μονὴ τοῦ ἁγίου γεωργίου ἡ τοῦ πρινίκου μετὰ τῶν ὑπ᾽ αὐτὴν παροίκων καὶ αὐτουργίων, καὶ τῆς λίμνης τῆς προσούσης τῇ τοιαύτῃ μονῇ τοῦ πρινίκου, ἔτι δὲ καὶ τῆς[18] συνεισφορᾶς ἁπάσης τοῦ βαλανιδίου (προκατείχετο μὲν γὰρ πρότερον ἡ ἡμίσεια συνεισφορὰ ταύτης παρὰ τοῦ μέρους τῆς τοιαύτης ἐκκλησίας, ἡ δὲ ἑτέρα ἡμίσεια ταύτης παρὰ τοῦ δημοσίου· ἀρτίως δὲ εὐδοκεῖ ἡ βασιλεία μου καὶ παρακελεύεται τὴν ἅπασαν ταύτην τοῦ βαλανιδίου συνεισφορὰν παρὰ τοῦ μέρους κατέχεσθαι τῆς τοιαύτης ἁγιωτάτης μονῆς ἀνενοχλήτως καὶ ἀδιασείστως)· χωρίον οἱ πεζιάνοι μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ὑποστατικῶν καὶ πάντων τῶν δικαίων καὶ πάσης τῆς νομῆς αὐτοῦ· χωρίον τὸ φιλόδενδρον μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ὑποστατικῶν· ἡ μονὴ τοῦ τιμίου προδρόμου ἡ τοῦ σαραφῶνος μετὰ τῶν ὑπ᾽ αὐτὴν παροίκων καὶ λοιπῶν δικαίων· ὁ εἰς τὰ φῶτα ἀμπελών· ἡ ἐν τῷ χωρίῳ τῶν πολλῶν ξενίων ποσότης τῶν εἰκοσιπέντε ὑπερπέρων· τὰ ἐντὸς τῆς μονεμβασίας ὀσπήτια ἅπερ εἶχέ ποτε ὁ ἀρῆς· ἀγρίδιον αἱ ῥιπίαι σὺν τῷ πλησίῳ τούτου τόπῳ τῷ καλαμίῳ καὶ τῷ τῶν δικαστηρίων· προάστειον τῶν λαιμόνων[19]· ἔτι δὲ καὶ τὰ αὐτούργια ὅσα μέχρι τοῦ νῦν εὑρίσκεται κατέχουσα καὶ νεμομένη ἡ αὐτὴ ἁγιωτάτη ἐκκλησία εἴς τε τὸν σώρακα, τὴν κουλενδίαν, τὴν κουμαραίαν, τὴν βουλκάνην καὶ μέσιν καὶ δωδαίαν, ἀλλὰ δὴ καὶ εἰς τὴν νόδυν καὶ εἰς τὴν λίμνην καὶ τὸν πύργον καὶ τὸ παλαιόκαστρον. ἃ δὴ πάντα, ὅσα ἀνωτέρω[20] διαλαμβάνεται, καθέξει καὶ νεμεθήσεται τὸ μέρος τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας μετὰ τῶν προσηρμοσμένων αὐτοῖς[21] μέχρι τοῦ νῦν ὡς[22] εἴρηται δικαίων, ἤγουν γῆς, ἀμπελώνων, μυλώνων, δένδρων διαφόρων, περιβολίων καὶ λοιπῶν. πρὸς τούτοις δὲ ἕξει ἐπ᾽ ἀδείας τὸ μέρος τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας ἐξωνεῖσθαι καὶ τὸ πρινοκόκκιον, ὅπερ οἱ τῆς ῥηθείσης μονῆς τοῦ σαραφῶνος καὶ οἱ τοῦ δηλωθέντος χωρίου τοῦ γαγκανέα πάροικοι ἐπισυνάγουσιν ἀπὸ τοῦ τόπου τοῦ διαφέροντος τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ· ὅσον μέντοι πρινοκόκκιον ἐπισυνάξουσιν οἱ τοιοῦτοι πάροικοι τῆς ἐκκλησίας ἀπὸ δημοσιακοῦ τόπου, ὀφείλει ἐξωνεῖσθαι τοῦτο ὁ δημόσιος. ταῦτ᾽ ἄρα καὶ τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσο-

---

[18] Codex *τὰς συνεισφορὰς*, unde Miller *ἁπάσας* legi vult. [19] Miller: *λειμόνων* legi vult. [20] Cod. *ἀνώτερα*. Emendavit Miller. [21] Apud Mill. legitur *αὐτῆς*. [22] Ibid. *ὡς* deest.

βούλλου λόγου τῆς βασιλείας μου μενοῦσι, καὶ διατηρηθήσονται τὰ τοιαῦτα ἅπαντα κτήματα καὶ αὐτούργια τῆς διαληφθείσης ἁγιωτάτης ἐκκλησίας μονεμβασίας ἀνενόχλητα πάντη καὶ ἀναφαίρετα κατὰ τὴν νομὴν καὶ κατοχὴν, ἣν εὑρίσκεται κεκτημένη ὡς δεδήλωται μέχρι τοῦ νῦν ἐπ᾽ αὐτοῖς, ἔτι δὲ ἀπηλλαγμένα τε καὶ ἀνώτερα πάσης καὶ παντοίας ἐπηρείας καὶ ἐπιθέσεως. καὶ γὰρ οὐδεὶς τῶν ἁπάντων ὀφείλει ἐπάγειν αὐτοῖς οἱανδήτινα λύμην ἢ ὅλως κατατριβὴν, οὔτε μὴν ἐπὶ διασεισμῷ καὶ ἀδικίᾳ τινὶ κατ᾽ αὐτῶν ἐπιτίθεσθαι καί τινι τρόπῳ δι᾽ ὄχλου[23] γίνεσθαι· ἐπεὶ καὶ πᾶς ὁ τοιοῦτόν τι πειραθησόμενος τούτοις ἐπαγαγεῖν ἀποπεμφθήσεται πάμπαν καὶ ἀποσοβηθήσεται καὶ καθάπαξ ἀποτραπήσεται, ὡς ἄρα ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου διατάττεται[24]· ὃς καὶ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ μονεμβασίας, ἀπολυθεὶς κατὰ μῆνα ἰούνιον τῆς ἐνισταμένης ιδ′ ἰνδ. τοῦ ,ςω′ ἐννάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ἀνδρόνικος ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ ῥωμαίων δούκας ἄγγελος κομνηνὸς ὁ παλαιολόγος.

NOV. XXIV.

Imp. Andronici senioris de metropoli Apro[1]. (A. 1304.)

Τῶν προσηκόντων ἡ βασιλεία μου κρίνει, τοὺς καθοτιοῦν εὐδοκιμοῦντας βασιλικῶν ἀπολαύειν χαρίτων καὶ ἀμοιβῶν. ἐπεὶ γὰρ οἰκειότατον μὲν εἴπερ ἄλλο τὶ τοῖς ἐκ θεοῦ βασιλεύειν λαχοῦσι καὶ τὸ τοὺς ὑπηκόους εὖ ποιεῖν κατὰ μίμησιν τοῦ δε-

---

[23] Sic Miller pro διόχλου, quod habet Codex. [24] Cod. διατάττεσθαι, quod emendavit Miller.

[1] Reperitur in Cod. Vindob. hist. gr. 65 (Nesselio 47) fol. 41. Is Codex et qui sequitur hist. gr. 66 (Nesselio 48) acta patriarchatus Constantinopolitani annorum 1305—1402 continent, iisque constitutiones imperatoriae, quas tanquam Novv. XXIV. XXIX. XXXI. XXXII. XL. XLIV. L et LIV edo, insertae sunt. Haec, quam hoc loco habes, inter media acta anni 1318 reperitur, ut proinde hoc tempore vel paulo ante edita esse videatur. Jam quum ind. II signata sit, quae in annum 1304 incidit, hoc anno latam sed post aliquot annos demum synodo oblatam esse crediderim.

δωκότος τὸ βασιλεύειν, ἂν καὶ τὸ τῶν ὑπηκόων ἔσθ' ὅτε συντρέχῃ καὶ τὴν τῆς εὐποιΐας ῥοπὴν οὐκ ἀνασοβῇ διὰ τῶν ἔργων, ῥᾳδίως ἂν ἑκατέροις ἐκτελοῖτο τὰ δέοντα· τοῖς μὲν δηλαδὴ τὸ εὐεργετεῖν δικαίως, τοῖς δ' αὖ ὑπηκόοις τὸ τῶν εὐεργεσιῶν ἀκωλύτως ἐπιτυγχάνειν· ἔπειτα καὶ τῶν ἀτόπων ἂν εἴη, τοὺς μὲν ἐπὶ τοῖς ὀλυμπικοῖς ἄθλοις νικῶντας ἐπάθλων ἅμα καὶ γερῶν ἀξιοῦσθαι τῶν προσηκόντων, τοὺς δέ γε παρ' ἡμῶν χρησίμους ἀναφαινομένους τοῖς πράγμασι πόῤῥω μένειν τῆς ὀφειλομένης παραχωρεῖσθαι τιμῆς. εἰ οὖν ὡς εἴρηται τῶν προσηκόντων καὶ δικαίων ἐστὶ, τοὺς ἐν τοῖς πράγμασιν εὐδοκιμοῦντας τῶν βασιλικῶν οὐκ ἀμοιρεῖν χαρίτων, ὧν κατ' ἀρετὴν πνευματικὴν ἡ εὐδοκίμησις, ἀξίας ἀντιμετρεῖσθαι τὰς παρὰ βασιλέως τιμάς τε καὶ χάριτας αὐτοῖς, τοῦτο δὲ καὶ τῶν σφόδρα ἀναγκαίων εἴη ἂν, ἐπειδὴ πρὸς ψυχὴν διαβαίνει τὸ τῆς εὐδοκιμήσεως ἐνταῦθα κάλλιστον, καὶ διὰ τοῦτο πλεῖον καὶ τὸ τῆς τιμῆς ὑπερέχον ὀφείλεται τοῖς κατ' ἀρετὴν πνευματικὴν εὐδοκιμοῦσιν ἢ τοῖς καθ' ὅντινα δὴ τρόπον, καὶ τοίνυν καὶ ἄλλα πολλὰ μὲν τυγχάνουσιν, ἅπερ ἡμεῖς διὰ τῆς ἐκ θεοῦ δοθείσης ἡμῖν βασιλείας κεκτήμεθα τὰ προνόμια καὶ δικαιώματα πρὸς τὴν τοῦ θεοῦ ἁγίαν ἐκκλησίαν. ὧν ἁπάντων ἕνεκα ὁπόσην ποιούμεθα τὴν φροντίδα καὶ τὴν σπουδὴν τὸ προσῆκον ἑκάστοις ἐπιτιθέναι τέλος, καὶ ὁποῖον τὸν ζῆλον τρέφομεν τῇ τοῦ θεοῦ χάριτι ὑπὲρ ταύτης δὴ τῆς ἐκκλησίας, ὡς ἂν διασώζοιντο καὶ διατηροῖντο ταύτῃ καλῶς τε καὶ ὡς θεῷ φίλον, ὅσα εἰς σύστασιν, ὅσα εἰς καλλονήν τε καὶ εὐκοσμίαν καὶ ὅσα εἰς τὸ τῆς εὐσεβείας ἀφορᾷ κράτος, ἀγνοεῖν οἶμαι τῶν ἁπάντων οὐδένα. ἓν δ' ὅμως ὡς εἴρηται καὶ τοῦτο, ὧν κέκτηται ἡ βασιλεία ἡμῶν ἐν τοῖς ἐκκλησιαστικοῖς προνομίων, τὸ οὓς ἂν βούλεται τῶν ἱερωτάτων ἀρχιερέων μείζοσιν ἀξίαις τιμᾶν καὶ ἀπὸ ταπεινοτέρων πρὸς ὑψηλοτέρους προβιβάζειν θρόνους διὰ τὸ τῆς ἀρετῆς αἰδέσιμον καὶ σεβάσμιον.

α'. Ἐπειδὴ τοίνυν καὶ τὸν ἱερώτατον μητροπολίτην ἄπρω καὶ ὑπέρτιμον εὗρεν ἡ βασιλεία μου ἄνδρα λόγῳ καὶ ἀρετῇ κεκοσμημένον, πλήρη τε παιδείας καὶ πνευματικῆς συνέσεως, κἀντεῦθεν ὠφέλιμον ὄντα τοῖς ἐντυγχάνουσι τά γε εἰς ψυχὴν, καὶ πρὸς τούτοις εὔνοιαν εἰλικρινῆ δεικνύοντα πρὸς τὴν βασιλείαν μου, τῇ προσηκούσῃ τοῦτον τιμῇ καὶ τῷ τῆς καθέδρας προβιβασμῷ ἀμείβεσθαι δίκαιον ἡ βασιλεία μου κρίνει. τιμᾶσθαι γὰρ τὴν ἀρετὴν καὶ τὴν πρέπουσαν ἐπέχειν τιμὴν, πολλαχῶς ἂν εἴη τῶν καλῶν καὶ ἐπαινουμένων· ἐπίδοσίν τε γὰρ οὐ μικρὰν

τινα καθ' ἑαυτὴν αὕτη λαμβάνει τῆς πρεπούσης τιμῆς ἐπιτυγχάνουσα, καὶ πρός γε μὴν πρὸς τὸν ὅμοιον διανίστησι ζῆλον τοὺς ταύτης ἀποδέοντας. τοίνυν καὶ εὐδοκεῖ καὶ διορίζεται ἡ βασιλεία μου διὰ τοῦ παρόντος προστάγματος, ἐπέχειν τὸν δηλωθέντα ἱερώτατον μητροπολίτην ἄπρω καὶ ὑπέρτιμον τὸν τόπον τοῦ εὐχαΐτων, καὶ ἀπολαύειν τῆς ἀνηκούσης τῷ τοιούτῳ θρόνῳ τιμῆς, ἔν τε ταῖς κατὰ τὴν θείαν καὶ ἱερὰν σύνοδον συνάξεσιν, ἔν τε στάσεσι καὶ καθέδραις καὶ ταῖς λοιπαῖς συνελεύσεσι, καὶ ἁπλῶς εἰπεῖν πάντων τῶν ὁπωσδήποτε ἀνηκόντων ὡς εἴρηται τῷ θρόνῳ τῶν εὐχαΐτων μετὰ πάσης ἀδείας τὸ ἀπὸ τοῦδε μετέχειν καὶ ἀπολαύειν αὐτὸν, ἐφ' ᾧ καὶ ὁ ἁγιώτατός μου δεσπότης ὁ οἰκουμενικὸς πατριάρχης στέρξει καὶ ἀποδέξεται τοῦτο μετὰ τῆς περὶ αὐτὸν θείας καὶ ἱερᾶς ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων, καὶ ἐκθήσει χάριν τούτου καὶ πρᾶξιν συνοδικὴν ταὐτὰ ταῦτα διαλαμβάνουσαν, ἅπερ καὶ ὁ τῆς βασιλείας μου ὁρισμός. διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν τῆς βασιλείας μου ἐγεγόνει αὐτῷ πρόσταγμα.

Εἶχε δὲ ἐρυθρῶν γραμμάτων τῆς θείας καὶ βασιλικῆς χειρὸς τό· μηνὶ νοεμβρίῳ ἰνδ. β'.

NOV. XXV.

Imp. Andronici senioris aurea bulla pro Genuensibus[1]. (A. 1304.)

Cum transmissi fuerint ad Imperium nostrum ex parte illustris Comunis Janue dilecte fraternitatis Imperii nostri Ambazatores et sindici speciales nobiles et prudentes viri, videlicet dominus Guido Embriacus et dominus Acursus Ferrarius, ad exponenda coram nostro Imperio capitula, ex quibus quaedam ad ipsorum Januensium jura videbantur et observari debebant, et quedam de speciali gratia requirebant juxta ea que Imperium nostrum facere consuevit intuitu affectionis, gratie et amoris, quem erga illustre comune Janue Imperium nostrum habet: quibus capitulis per eosdem nuncios expositis et narratis Imperium nostrum annuens ipsa concessit capitula ut inferius distinguetur. Et ecce presens privilegium aurea bulla

---

[1] Ex regio archio „di Corte" edidit Sauli della Col. dei Genov. in Galata II p. 211.

nostrum munitum eidem illustri comuni Janue concedimus et largimur, ad declarationem, robur et firmitatem immobilis et inviolabilis perseverancie eorundem capitulorum, que acceptavimus et illa adimplevimus juxta requisicionem ipsius illustris comunis. Quorum capitulorum talis est tenor.

Primo quidem quod habere debeant Januenses in loco Galathe locum quem requisiverunt in forma quadrangula terminatum et assignatum, secundum quod locus ille ambitus est per factam foveam circum circa[2]. Et volumus et jubemus, quod a circuitu ipsius loci mensurando vacuus locus totaliter resideat absque habitacione aliqua alicujus persone per spatium sexaginta cubitorum. Et a muro Castri Galathe secundum latitudinem ipsius muri usque ad ipsorum Januensium confines etiam sit locus totus vacuus nec alicui liceat habitacionem facere quoquo modo; infra vero locum predictum habitacionis ipsorum Januensium habeant ipsi Januenses libertatem et mandatum faciendi mansiones et structuras et alias firmitates et omnem aliam securitatem ad eorum voluntatem praeter tantum modo murum castri, quod quidem construere in ipso loco volumus non licere.

Item quod habeant in eodem loco Januenses et qui tenentur Januenses libertatem sine aliquo impedimento, et habeant macellum et macellarios Januensium, et messitas Januensium, logiam, balneum, proprias sui ecclesias, sacerdotem vel sacerdotes Januenses et Latinos, stateram et ponderatores Januensium, scribas, mansuras et omnia alia que voluerint ad voluntatem et placitum eorum. Ponderare tamen debeant prefati ponderatores ipsorum presente scriba vel alio nuncio ex parte comercii Imperii nostri. Et ipsi quidem Januenses habere debeant omnimodam libertatem et franchiziam ad ponderandum mercaciones eorum: ceteri vero qui redentes sunt comercio[3] Imperii nostri, dare debeant pro ipsa ponderatura id quod est decens secundum ordinacionem et consuetudinem, ita quod non possit occultare se vel defraudare comercium.

Item cum in eodem loco sint ecclesie tres Grecorum, super quibus habet omnimodam potestatem sanctissimus dominus generalis Patriarcha, debeant ipsas ecclesias habere sacerdotes Greci, et cantare et celebrare in ipsis, quod per ipsum sanctissimum dominum Patriarcham generalem annuatim fuerit ordinatum.

---

[2] Instrumentum, quo limites Galatae definiuntur, mense Majo ind. I a. 6811 (p. Chr. 1302) mandato Imperatoris scriptum, ex eodem archio edidit Sauli I. I. p. 209. [3] Lege: *reddentes* — *commercium.*

Item quod omnes, qui secundum veritatem fuerint Januenses et qui nominabitur et tenebitur Januensis, esse debeat sub examine curie ipsorum Januensium, licet transpositus fuerit ad aliam nationem, sive masculus fuerit sive femina. Si facti essent Greci vel alterius nationis, prout si Grecus vel Greca vel alius qui sub jurisdictione nostra sint vel esse debeant rendabiles imperio nostro, licet efficerentur Januenses, debeant esse sub examine partis Imperii nostri, nec computabuntur in numero et ordinatione franchizie et libertatis Januensium.

Item quod concedimus parti ipsorum Januensium locum habitacionis in terra Smirnarum, et permittimus ipsos habere in eodem loco logiam, balneum, furnum, ecclesiam et alia que specificata sunt particulariter in capitulo de Galata ut dictum est.

Item quod salvabimus tam in mari quam in terra, in portibus et insulis quas habemus et habituri sumus per gratiam Dei et intercessionem ejus sanctissime genitricis, omnes Januenses et de districtu Janue et omnes nominatos Januenses et qui pro Januensibus distinguuntur vel tenebuntur, in personis et rebus omnibus eorum, et hiis[4] qui patientur naufragium et inde evaserint, si testificabuntur per literas Potestatis Janue seu Potestatis vel Consulis[5] Januensium qui in partibus Romanie invenientur eo tempore quo hoc tale contigerit, et demostratum fuerit per hujusmodi testimonium ipsos esse Januenses vel de districtu Janue vel nominatos et appellatos Januenses.

Item quod Januenses, et qui dicti fuerint et nominati fuerint Januenses ut supra, si contigerit fieri eis offensio seu dampnum aliquod in terris Imperii nostri de naufragiis provenientibus ad ipsos cum rebus ipsorum, et dampnum passi fuerint de ipsis rebus per aliquos subjectos Imperii nostri, quod fieri debeat satisfatio ipsius dampni, prout ipsi probaverint in veritate et juraverint in presentia illorum qui potestatem habuerint Januensium presente nuncio Imperii nostri. Probare debeant similiter cum veris juramentis etiam alii qui invenientur in eodem naufragio qui evaserint de ipso periculo presente ipso nuncio Imperii nostri, qui videat ipsos testes jurare ut supra dictum est, et sufficere debeat hoc ad ostensionem et probationem veritatis.

Item quod prestabimus semper parti illustris comunis Janue et singulis Januensibus et de districtu Janue et illorum, qui tenebun-

---

[4] Lege: *hos*. [5] Apud Sauli est: *consules*.

tur ut Januenses, libertatem et franchiziam et immunitatem de cetero semper tam in mari quam in terra, in portibus et insulis nostris quas habemus et habebimus Dei misericordia et per intercessionem sanctissime Dei genitricis, ita quod omnes Januenses et de districtu Janue et qui tenentur Januenses sint franci et liberi, nichil solventes in tota terra Imperii nostri pro comercio nec causa alicujus exactionis, intrantes videlicet per totam terram Imperii nostri vel exeuntes ex ipsa, vendentes et ementes et excambiantes vel aliquod aliud negociantes modis consuetis mercacionis, preter sal et masticem, stantes et de terra in terram exeuntes, per terram vel per mare, cum mercacionibus vel sine mercacionibus, ad loca deferentes vel inde extrahentes ex emptione vel alio lucro et alibi defferentes, personaliter seu realiter.

Item si quis Januensis vel qui tenetur ut Januensis solverit aliquid vel dampnificatus foret in aliqua terra subjecta Imperio nostro, et ablatum esset sibi ratione staliana vel maxerie aut propter aliam causam vel modum operatum fuerit contra dictam franchiziam et libertatem ipsorum Januensium, quod Imperium nostrum facere debeat satisfieri et restitucionem fieri hiis, qui dampnum passi fuerint, totum id quod ipsi tales juraverint in presencia Potestatis seu Consulum Januensium, quod dederint illud tali modo aut ablatum fuerit ab ipsis.

Item quod non recipere debeat de cetero Imperium nostrum aliquem Januensem vel de districtu Janue in vassallum, ita quod eximatur et non esse debeat sub examine et jurisdictione Potestatis vel Consulum Januensium, sed debeat ipse talis judicari per ipsos prout ceteri cives et habitatores Janue.

Item quod non impediemus nec impediri faciemus seu impediri permittemus in tota terra nostri Imperii, quam habemus et de gratia Dei genitricis acquiremus, aliquem Januensem et de districtu Janue propter factum seu delictum vel furtum seu rapinam vel debitum alterum in persona vel re aliqua, sed unusquisque Januensis vel qui tenetur Januensis sub culpa ipsius tali modo examinari debeat sub curia et jurisdictione Potestatis vel Consulis Januensium, et quod puniatur et reddat racionem pro culpa et debito suo, et quod in satisfacionem habeat ille qui injuriam vel dampnum passus fuerit, et quod alius Januensis propter tale factum non consequatur offensionem vel dampnum. Si quis vero de terris nostris vel de parte nostra vel aliquis alter, qui non esset de terris nostri Imperii nec teneretur ut Januensis, offenderet alium ipsorum Janu-

ensium aut esset accusatus de debito vel aliqua alia tali causa, quod fieri debeat super hoc judicium et examen et vindicta et justicia ex parte nostri Imperii summaria et expedita. Similiter fieri debeat ex parte ipsorum Januensium omnibus nostris et omnibus aliis, qui inveniuntur in terris Imperii nostri. Erit nichilominus et operabitur de aliis omnibus, non tantum de illis qui cum juramentis et convencionibus inveniuntur in terris Imperii nostri: nam de illis erit id, quod requiritur per ipsas convenciones ipsorum.

Item quod omnes nefarios et maleffactores Grecos seu Latinos subditos nobis vel non subditos, preter illos qui de parte sunt illorum qui convenciones et sacramentum nobiscum habent, qui contra comune vel homines Januenses vel contra illos qui tenentur ut Januenses dampna inferrent et molestias, persequemur et capientes ipsos puniemus secundum juris ordinem: prout similiter ipsi Januenses debent omnes nefarios Januenses et maleffactores[6] Janue et qui Januenses dicuntur persequi, sapere et punire secundum juris ordinem.

Item quod Januenses et qui Januenses tenentur habere debeant libertatem emendi de terris nostris, quas habemus et habituri sumus, omnia victualia, preter furmentum et alia semina, et extrahere de terris Imperii nostri et sine aliquo impedimento vel dacita comerchii vel alterius exactionis.

Item quod de aliis terris, que sunt in mare majori nec sunt subjecte Imperio nostro, habeant libertatem ipsi Januenses et qui ut Januenses tenentur extrahere et extrahi facere et portare et facere portari mercaciones quascunque voluerint, et furmentum et victualia omnia, ligna, picem et alumen, et omnes alias res sine impedimento aliquo illato eisdem ex parte Imperii nostri: et propter hujusmodi mercaciones non debeant cogi solvere quidquid aliquo modo ratione comercii seu alterius daciti.

Item non detinebimus nec detineri faciemus vel permittemus navem aliquam seu aliquod lignum alicujus Januensium vel qui ut Januenses tenentur, nec Januensem aliquem vel qui tenetur ut Januensis, in persona vel rebus, sed habere debeant omnimodam libertatem et spatium exeundi sine impedimento de omnibus terris nostri Imperii, personaliter et realiter, nisi forte fuerint inculpati de aliquo debito, furto vel rapina, de quo debeat judicari in curia

[6] Legendum: *de districtu.*

Januensi, ita quod per ipsos fieri debeat juxta[7] hujusmodi criminis seu debiti expeditio.

Actum fuit hoc presens privilegium Imperii nostri in nostro sacro palacio Blakernarum, scriptum manu notarii aule nostre Nicolai de Perina, mense martio secunda[e] indictionis ..... sexti milleni octavi centeni duodecimi anni a constitucione mundi secundum numerum Grecorum, secundum vero numerum Latinorum ab incarnacione Domini anno millesimo trecentesimo quarto indictione secunda. — Subsignatum nostra Imperiali rubra subscriptione, et roboratum aurea bulla Imperii inferius appensa, ad eorum omnium particulariter distinctorum capitulorum declarationem et firmitatem et ut ipsa maneant incommutabilia.

NOV. XXVI.

Imp. Andronici senioris constitutio synodalis ab Athanasio Patriarcha proposita de diversis causis[1]. (A. 1306.)

Νεαρὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀθανασίου ἀρχιεπισκόπου κωνσταντινουπόλεως[2].

Εἰ καί τινι τῶν δικαιωθέντων ἀπὸ χριστοῦ ἰθύνειν τὰ σκῆπτρα τῆς βασιλείας ἧς ἔλαβε τῶν ἐθνῶν πρὸς τοῦ θεοῦ καὶ

---

[7] Forte: *justa.*

[1] Hujus constitutionis duae extant recensiones: una, quam edimus ex Cod. Paris. 1351 A; altera, quae ex Cod. Paris. 1357 A edita est in Harm. ed. Heimb. p. XXII sqq. et in Coll. can. ed. Rhalli et Potli V p. 121 sqq. — Hanc Heimbachius genuinam esse judicat, illam manui recentiori deberi. Sed omnino vapulat: recensioni enim, quam edidit, inscribitur *περίληψις τῆς νεαρᾶς,* quo ipso epitomen tantum praestari indicatur: et quae in Cod. Telleriano mox laudando inter ipsa Athanasii opera extat recensio eadem illa est, quam nos pro genuina habemus. — Praeter Paris. 1351 A et 1357 A modo laudatos complures alii, quibus haec constitutio insit, MSS. Codices innotuerunt: veluti Paris. 1263, 1356, 1382, 1388 et alius Tellerianus, quem Boivin. ad Gregor. ed. Paris. p. 755 excitat: Laur. IV, 10: Vatic. 847, 856 et 857: Vindob. jur. gr. 3: *τῶν Ἰβήρων* 23: *τῆς ἁγίας Λαύρας* 12: denique Codex Gerasimi, quo Rhallis et Potlis usi sunt. Quam autem recensionem isti Codices contineant, non aeque de omnibus constat. In Gerasimi Codice epitome tantum habetur, similisque videtur esse Vind. 3; e contrario in Paris. 1382 magna pars recensionis genuinae, eandemque Paris. 1356, 1388, Vatic. 847, 856 videntur continere; in Laur. IV, 10 dumtaxat *ὁ πίναξ* constitutionis nostrae mentionem facit, textus autem

πατρὸς κληρονομίαν ποτὲ μόνην, εἴπερ τι ἄλλο τῶν ὅσα ταύτην κατακοσμεῖ ἐξόχως πάντων ὑπερτερεῖν, ὀρθῶς καὶ φρονεῖν καὶ κρίνειν καὶ ἐγκολποῦσθαι τὴν εὐσέβειαν ἐξεγένετο, ἀσύγκριτα οἶμαι τοῦτο καταπλουτῆσαι καὶ ταύτην μόνην κλέος ἡγεῖσθαι καὶ ἐντρύφημα καὶ γαυρίημα καὶ δόξης ἀδιαδόχου καὶ βασιλείου φρενὸς ἐμπόρευμα μεγαλοφυὲς τὴν ἐκ θεοῦ βασιλείαν σου· καὶ γένοιτο ταύτῃ πρὸς τοῦ παμβασιλέως ἡμῶν καὶ θεοῦ τῶν ὅσοι ταύτης ἠξίωνται ὑπεραρθῆναι μειζόνως, δι' ἧς ἐγγύτης σοὶ πρὸς θεὸν καὶ οἰκείωσις καὶ δόξα τῇ ἐκκλησίᾳ καὶ παντὸς ἀγαθοῦ τῷ ὑπηκόῳ ἐπίδοσις, ὡς ἡμεῖς λογιζόμεθα καὶ εὐχόμεθα καὶ ἐλπίζομεν. οἷς καὶ θαῤῥοῦσα ἡ σήμερον ὧδε εὑρισκομένη πληθὺς σὺν ἡμῖν τῶν ἱερωτάτων ἀρχιερέων, μηδὲν ἄλλο πνεόντων καὶ δι' εὐχῆς τιθεμένων ἢ τὸ ἐπιβιῶναι πᾶσαν τὴν ποίμνην χριστοῦ εἰρηναίως καὶ θεαρέστως ἰθυνομένην πρὸς ἅπαν λυσιτελοῦν καὶ σωτήριον, ὁ ἡρακλείας φημί, ὁ ἀγκύρας, ὁ σάρδεων, ὁ χαλκηδόνος, ὁ πισσιδίας, ὁ ἀπαμείας, ὁ κρήτης, ὁ διδυμοτείχου, ὁ φιλιππουπόλεως, ὁ χερσῶνος, ὁ προικονήσου, ὁ κίου, ὁ βεῤῥοίας [ὁ ἀχυράους, ὁ περγάμου, ὁ βιζύης][3], ὁ μεσήνης, ὁ δέρκους, ὁ καρπάθου, οἱ ὑποψήφιοι δυῤῥαχίου καὶ λοπαδίου τὰ τῆδε κρατῆσαι εἰς νεαρὰν ἀναφορὰν πεποιήμεθα τῇ μὲν πολιτείᾳ ἀδιστάκτως ἐπωφελῆ, ἁρμόδιά τε ποιμέσι, καὶ τῷ ζήλῳ καὶ τρόπῳ τῆς ἀγαθῆς σου καὶ βασιλικωτάτης ψυχῆς περὶ βέλτιστα πρεπωδεστάτην, καὶ συνετὴν καὶ πρὸς τὸ εὐνομεῖν τὸ ὑπήκοον, καὶ δήπουθεν καὶ αὐτοῖς τοῖς ἀποιχομένοις ἀπονέμησιν πρόσφορον, ἐξ ὧν ἀποκείσεται πλουτισμὸς καὶ θεΐκῆς μισθαποδοσίας ἐκεῖθεν πρεπωδεστάτης τῇ ἐκ θεοῦ βασιλείᾳ σου

---

injuria temporum interiit. — Allegatur constitutio nostra a Blast. *K*, 12 et *Φ*, 8 (ed. Bevereg. II p. 156 et 258), et ab Harm. V, 8, 9. 95. VI, 3, 8 et 6, 6. Ex Harmenopulo hausit Bonefid. II p. 112 sqq. [2] Ita inscriptio est in Paris. 1351 A et 1388, nisi quod hic *πατριάρχου κωνστ.* scribat. In Paris. 1356 sic est: *Ζήτησις τοῦ πατριάρχου κυροῦ ἀθανασίου καὶ τῆς περὶ αὐτὸν ἁγίας συνόδου πρὸς τὸν εὐσεβέστατον βασιλέα ἀνδρόνικον τὸν παλαιολόγον περί τινων κεφαλαίων νομίμων, τύπον ἔχουσα νεαρᾶς, ἥτις καὶ ἐστέρχθη τότε παρὰ τοῦ εὐσεβεστάτου βασιλέως.* In Vatic. 847 sic: *Ἡ γεγονυῖα νεαρὰ ἐπὶ βασιλείας τῶν ὀρθοδοξοτάτων βασιλέων τοῦ κυροῦ ἀνδρονίκου καὶ τοῦ κυροῦ μιχαὴλ τοῦ υἱοῦ αὐτοῦ κυροῦ ἀνδρονίκου* (forte *παλαιολόγου*). Vind. 3: *Νεαρὰ ἐκτεθεῖσα παρὰ τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ ἀθανασίου κατὰ μῆνα ὀκτώβριον τῆς γ' ἰνδ. τοῦ ͵ϛωιγ' ἔτους, ἔχουσα οὕτως.*

[3] Quae uncis inclusa sunt, in Paris. 1351 A desiderantur, addita a me ex epitome hujus constitutionis.

καὶ εἰς μνημόσυνον ταύτης ὑπάρξει ἐπαινετὸν καὶ αἰώνιον. περιεχούσης οὕτω τῆς αἰτήσεως·

α΄. Τοὺς μὴ ἐπὶ παιδὶ τελευτῆσαι φθάσαντας ἄνδρας τε καὶ γυναῖκας μὴ ἁρπαγὴν παντελῆ τὸ μέρος ὑπέχειν τῶν ὑπαρχόντων τὸ ἐναπολειφθὲν εὑρισκόμενον ζῆν συμφορὰν ἀπάνθρωπον καὶ διπλῆν καὶ πάντη ἀβίωτον, ὡς ἐστὶ καὶ ἁρμοζόντως κοινολεκτούμενον, μὴ παρὰ τῶν τὰ δημόσια διενεργούντων, μὴ παρὰ τῶν εἰς παροικίαν αὐτοὺς ἐχουσῶν ἐκκλησιῶν ἢ μονῶν, ἀλλὰ τὸ τρίτον τοῦ βίου ἐκείνου τῇ δεσποτείᾳ, τὸ τρίτον τῷ ἀπελθόντι, καὶ τὸ τῷ ζῶντι τὸ ἕτερον. εἰ δὲ καὶ οὗτος ἀπέλθοι, πατρὶ ἢ μητρὶ ἢ ὁμαίμονι ἢ ὅσοις προσώποις ἐστὶ τὸ ἀπὸ νόμου κληρονομεῖν. εἰ δέ γε μηδεὶς τῶν ῥηθέντων προσῇ τῷ ἀποιχομένῳ, τῷ δημοσίῳ τότε ἥμισυ καὶ μνημοσύνοις ἐκείνου τὸ ἥμισυ.

β΄. Καὶ ἵνα πάσαις ταῖς ἡμετέραις πόλεσι κηρυχθῇ, μηδένα κατατολμᾶν ἀναίδην ὅσα εἰς χόλον θεοῦ καὶ βλάβην ψυχῶν διαπράττεσθαι, πορνείαν φημὶ καὶ μοιχείαν, ἀῤῥενομανίαν, αἱμομιξίαν ἢ ἀδικίαν ἢ γοήτειαν καὶ ὅσα τοιαῦτα τελεῖν, ἀλλ' ἐκδικεῖσθαι νομίμως καὶ μὴ καταφρονήσει, μὴ λήμματι, μὴ προσώπῳ τὸν κρίνειν λαχόντα τὰ τοιαῦτα ἐᾶν, ἀφιλανθρώπου μενούσης τοῦτον δίκης ἐκεῖ, ὅτι μὴ διὰ φόβου τῆς ἀπωλείας ἀνθρώπους ἀνέσπασεν, οὐδὲ θεοῦ ἐφάνη διάκονος ἔκδικος εἰς δικαίαν ὀργὴν τοῖς πράττουσι κακὰ, φορεῖν τῇ ἀνενεργησίᾳ εἰκῇ κακῶς προκρίνας τὴν μάχαιραν ἢ θεοῦ χρηματίσαι διάκονος.

γ΄. Καὶ ἵνα προκηρυχθῇ καὶ στερχθῇ, γυναῖκα μὴ ἐπιῤῥίπτειν αὐτῆς τὴν τιμὴν καὶ μᾶλλον παρθένον τῷ βουλομένῳ. ἀλλ' εἰ βιάσεταί τις ἐν ἐρημίᾳ αὐτὴν, ἐκδικεῖσθαι καθὰ τοῖς νόμοις δοκεῖ· εἰ δὲ ἐκδῷ ἑαυτὴν ἀβιάστως, κουρᾷ καὶ πομπῇ σωφρονίζεσθαι[1]. καὶ μηδὲ τῷ φθορεῖ κατ' ἄμφω προσῇ τὸ ἀζήμιον, ἀλλὰ καὶ μάλα ἀποπληροῦν τῷ δημοσίῳ τὸ ἔννομον· εἰ δὲ μὴ ἔχῃ, καὶ πάλιν τὸ ἔννομον.

δ΄. Καὶ ἵνα καὶ νόμος ἀκυρωθῇ ὁ ἐπὶ παιδὶ ἀπελθούσῃ διοριζόμενος γυναικὶ ἢ ἀνδρὶ τοῦ παιδὸς ἀπελθόντος κληρονομεῖσθαι ὑπὸ τοῦ ζῶντος τὰ τοῦ παιδὸς πάντα πατρῷα, εἰ τύχοι, ἢ μητρικὰ, τοῖς δὲ τοῦ τεθνεῶτος γονεῦσι πρὸς τῇ τοῦ τέκνου ἀποβολῇ καὶ τὴν περιουσίαν στερίσκεσθαι ἀδικώτατα, ἀλλὰ τηρεῖσθαι τὸ τρίτον μὲν τῆς προικὸς εἰς μνημόσυνα,

---

[1] Epitome addit: ὅτι μὴ τὴν νικῶσαν τῇ σωφροσύνῃ ἀπεχαρίσατο.

τὸ τρίτον δὲ τοῖς γονεῦσι, καὶ τῷ μνηστῆρι τὸ τρίτον ἢ τῇ μνηστῇ[5].

ε΄. Ἵνα καὶ ὁ φόνῳ ἁλοὺς τιμωρῆται ἐννόμως εἰς ἑαυτὸν, ἀλλὰ μὴ δημεύηται παντελῶς τῶν τέκνων μὴ συνειδότων· μεριζομένης αὐτοῦ τῆς οὐσίας κατὰ ψυχὴν, ἐξ ἧς καὶ διδόσθω καὶ τῷ παθόντι τὸν φόνον μία μερὶς, μόνην δὲ τοῦ φονέως προσκληροῦσθαι τῷ δημοσίῳ. ποῖον γὰρ δίκαιον μηδὲν λαμβάνειν τὸν φονευθέντα, καὶ μάλιστα εἰ ἐπὶ πενίᾳ καὶ γυναικὶ καὶ παισὶν ἀπεβίωσε[6];

ϛ΄. Πρὸς τούτοις καὶ μοναχοὶ καὶ μονάστριαι μὴ διάγειν ἀτάκτως ἐν πόλεσι, ἀλλ᾽ ὡς τοῖς νόμοις καὶ τοῖς κανόσι περὶ τούτων ἐξεφωνήθη· καὶ τοὺς εἰς πάθη κειμένους, εἰ μὴ βλέψουσιν εἰς μετάνοιαν ἀποκλείεσθαι ἄκοντας τρεφομένους ἄρτῳ μόνῳ καὶ ὕδατι, εἴπερ καὶ μέλει ἡμῖν τοῦ καὶ βλέπειν θεὸν καὶ συντηρεῖν τὰ ἡμέτερα.

ζ΄. Τὰς ἑορτασίμους τῶν ἡμερῶν καὶ μᾶλλον τὴν ἁγίαν κυριακὴν ἐν ἀργίᾳ διατελεῖν τοὺς πιστοὺς, σχολάζοντας θείοις ναοῖς, ἀλλὰ μὴ κώμαις καὶ μέθαις, καπηλεῖα καὶ βαλανεῖα μὴ ἀνοιγνύντας ἀπ᾽ ἐννάτης αὐτῆς τοῦ σαββάτου μέχρις ἐννάτης κυριακῆς, ἀλλὰ μηδ᾽ ἐν ἄλλῃ νυκτὶ μετὰ δύσιν ἡλίου ἐν καπηλείοις, οὐ λέγω μὴ ἐξωνεῖσθαι, ἀλλὰ μὴ εὑρίσκεσθαι τοὺς συμπίνοντας. ἀρκεῖ γὰρ ἡ τῆς ἡμέρας αὕτη κακία τοῦ πότου τοῖς οἰνοπώλοις.

η΄. Εἰ δὲ καὶ γύναια φαῦλα τούτων τὶς φωραθῇ ἐπ᾽ ὀλίσθῳ ἔχειν ψυχῶν, τοῦ κανόνος μὴ φρίττων τὸ ἐπιτίμιον, ὑποκείσθω δημεύσει. ἀδεῶς γὰρ ἔργα σκότους τελεῖν τοὺς δοκοῦντας πιστοὺς καὶ κλεπτῶν καὶ πορνῶν προφανῶς ἐργαστήρια πῶς τὴν ἄνωθεν μῆνιν καὶ τοῖς ὁρῶσι καὶ σιωπῶσι μὴ ἐπισπάσονται; ὅπου γὰρ καὶ τὸ μόνον οἶνον ὕδατι μίσγειν ἐξελέγχειν ἴσμεν θεὸν ἐν ὀργῇ.

---

[5] In Paris. 1351 A adscriptum est hoc *σχόλιον*. *Διὰ τοῦ παρόντος κεφαλαίου ἀθετεῖται ὁ νόμος ὁ λέγων, ὡς ἐὰν ἀποθάνῃ ὁ πατὴρ καὶ καταλείψῃ παιδίον, εἶτα τελευτήσῃ καὶ αὐτὸ, εἶναι κληρονόμον τὴν γυναῖκα πάντων τῶν τοῦ ἀνδρὸς πραγμάτων, ἢ τυχὸν τὸν ἄνδρα εἶνα κληρονόμον τῆς προικὸς προαπελθούσης κατὰ τὸν ὅμοιον τρόπον τῆς γυναικὸς, εἶτα καὶ τοῦ παιδός. νομοθετεῖται δὲ, ὡς εἴπερ ποτὲ τὸ τοιοῦτον τύχοι γενέσθαι, ἵνα μερίζηται ἡ προῖξ ἐπὶ τρισὶ μέρεσι, καὶ ἡ μὲν μία μερὶς διδῷται εἰς μνημόσυνα τοῦ τελευτήσαντος, ἡ δ᾽ ἑτέρα τοῖς τούτου γονεῦσιν, ἡ δὲ τρίτη τῷ καταλειφθέντι μέρει ἢ τοῦ ἀνδρὸς ἢ τῆς γυναικός.* [6] Verbum *ἀπεβίωσε*, quod in Paris. 1351 A deest, ex Paris. 1356 addidi.

θ'. Τὰ τιθέμενα πρόστιμα συμβολαίοις καὶ συμφωνίαις παραβαινόμενα ἐκδικείσθωσαν, ἵνα μὴ ὦμεν ὑπόδικοι ψεύδους ἐγγράφου, καὶ ἵνα καὶ τὰ συμπεφωνημένα κρατύνωνται ἀδιάλυτα.

ι'. Τὰς ταχθείσας ἱλαστηρίους ἡμέρας τῶν ἱερῶν νηστειῶν πάσας φυλάττεσθαι καὶ μάλιστα τὴν τοῦ πάσχα χρεὼν, καὶ ξηροφαγεῖν καὶ γονυκλιτεῖν, ἐπιπλέον καὶ ἐλεημοσύναις προσκεῖσθαι, κατ' ἐξαίρετον δὲ τὴν τῶν ἁγίων καὶ σωτηριωδῶν παθῶν ἑβδομάδα ἐν κατανύξει καὶ συντριβῇ διάγειν πάντα ὀρθόδοξον, ὡς μὴ καπηλείων μόνον καὶ βαλανείων ἀπέχεσθαι, ἀλλὰ πάσης σωματικῆς ἀνέσεως.

ια'. Τοὺς συνιστάναι θέλοντας συνοικέσια μὴ τῆς βουλῆς ἄνευ τοῦ ἱερέως, παρ' ᾧ καὶ ἐκκλησιάζονται. ὁ γὰρ μὴ οὕτω ποιῶν ὀφείλει τῷ δημοσίῳ ὅσον εὑρίσκεται καὶ ἡ προῖξ.

Ὡς γὰρ διὰ τὴν τῶν πόλεων εὐταξίαν ἴσμεν παντὸς ἀγαθοῦ χορηγίαν ἀπὸ θεοῦ καὶ πίστεως, οὕτως διὰ τὴν ἀταξίαν τὰ ἀντικείμενα, ὅθεν δεῖ τὴν ἐν νόμῳ ζωὴν τοὺς πιστοὺς καὶ αὐτῆς προτιμᾶν τῆς ζωῆς. τοῦτο φίλον εἰδότες θεῷ καὶ οἱ ὀρθόδοξοι βασιλεῖς ἐπισημήνασθαι τὰ τοιαῦτα καὶ γράμμασιν ἐρυθροῖς οὐ κατώκνησαν, ὡς τὰ τῇδε καὶ νῦν ἡ ἐκ θεοῦ βασιλεία σου ὑποχρέους κἂν τούτῳ ποιοῦσα ἡμᾶς ἐπιπλέον καὶ ἀγάπης ἀφύκτοις δεσμοῦσα δεσμοῖς τοῦ αὐτῆς ὑπερεύχεσθαι εὔθυμον πρὸς θεοῦ δωρηθῆναι ὑγείαν αὐτῇ μακραίωνά τε καὶ νικηφόρον ζωὴν κατά τε τῶν νοουμένων καὶ ὁρωμένων ἐχθρῶν, πρὸς δέ γε πίονι γήρᾳ σὺν τῷ κράτει τῷ ἐπιγείῳ καὶ τὴν βασιλείαν οὐράνιον. εἶχε καὶ ὑπογραφὴν πατριαρχικήν[7].

---

[7] Vind. 3 subscriptionem habet: *εἶχε καὶ τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. γ' διὰ τῆς πατριαρχικῆς καὶ θείας χειρός.* In Paris. 1357 A recentior manus adscripsit: *ἐκυρώθη μηνὶ μαΐῳ ἰνδ. δ' ἔτους ͵ϛωιδ'.* Quo significatur, constitutionem nostram a Patriarcha anno 1305 propositam ab imperatore anno 1306 confirmatam esse.

NOV. XXVII.

Imp. Andronici senioris ne civiles magistratus defunctorum metropolitarum vel episcoporum bona invadant[1]. (A. 1312.)

Πρόσταγμα τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως κυροῦ ἀνδρονίκου τοῦ παλαιολόγου.

Ἐπεὶ ὁ μακαριώτατος ἀρχιεπίσκοπος τῆς πρώτης ἰουστινιανῆς καὶ πάσης βουλγαρίας ἀνήνεγκε τῇ βασιλείᾳ μου, ὡς, ὁπόταν τὶς τῶν κατ᾽ αὐτοὺς ἀρχιερατευόντων ἐν τῇ κατ᾽ αὐτὸν τοιαύτῃ ἁγιωτάτῃ ἐκκλησίᾳ ἢ ἕτερός τις τῶν ὑπ᾽ αὐτὸν τελούντων θεοφιλεστάτων ἐπισκόπων τῷ τοῦ βίου χρήσηται τέλει, διανίστανταί τινες τὰ δημόσια διενεργοῦντες εἰς τὰς ἐκεῖσε χώρας καὶ κρατοῦσι τοὺς ὑπηρετοῦντας αὐτῷ, εἴτε μοναχοί εἰσιν εἴτε κοσμικοὶ, καὶ ἐπάγουσιν εἰς αὐτοὺς κακωτικὰ καὶ λυπηρὰ οὐκ ὀλίγα, καὶ ἀναλαμβάνουσιν ἐξ αὐτῶν εἴ τι ἄρα καὶ εὑρίσκονται κατέχοντες ἴδιον αὐτῶν, κατακρατοῦσι δὲ ὁμοίως καὶ τὰ κτήματα καὶ εἰσοδήματα αὐτῆς τῆς ἁγιωτάτης ἐκκλησίας τῆς χηρευσάσης δηλονότι· κἀντεῦθεν ἐξῃτήσατο ἀπολυθῆναι τούτου χάριν πρόσταγμα τῆς βασιλείας μου εἰς τὸ μὴ ἐνεργεῖσθαι τοῦτο παρά τινος τῶν τοῦ μέρους τοῦ δημοσίου· ἡ βασιλεία μου ἄδικον παντελῶς καὶ ἀνόσιον τὸ τοιοῦτον ἔργον λογίζεται, καὶ εἴπερ ἔφθασεν ἐνεργηθῆναι τοῦτο παρά τινος, οὐ κατὰ γνώμην καὶ προαίρησιν τῆς βασιλείας μου γέγονεν, ἀλλ᾽ ἐκτὸς ὁρισμοῦ καὶ εἰδήσεως καὶ θελήσεως αὐτῆς· καὶ ἐὰν ἤκουε τοῦτο, ἔμελλεν ἐκ τοῦ παραντίκα καὶ ὀργὴν μεγάλην ἐπενεγκεῖν πρὸς τὸν ἐνεργήσαντα τὴν τοιαύτην πρᾶξιν, καὶ οὐδὲν ἔμελλεν ἐᾶσαι ἀνεκδίκητον καὶ ἀνεύθυνον τοῦτο. ἔφθασε γὰρ γνωρίσασα, ὅτι καὶ τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου κυροῦ γερμανοῦ ἐκείνου πρὸ χρόνων περὶ τῆς τοιαύτης ὑποθέσεως αἰτησαμένου πρὸς τὸν μακαρίτην καὶ ἀοίδιμον βασιλέα κῦριν ἰωάννην τὸν δούκαν τὸν θεῖον τῆς βασιλείας μου, λόγος χρυσοβούλλειος[2] ἐξετάθη καὶ προέβη αὐτοῦ διακελευόμενος καὶ ἀποφαινόμενος καὶ καθόλου κωλύων καὶ ἀνακόπτων, ὡς μηδόλως παρ᾽ οὑτινοσοῦν τῶν ἁπάντων ἐνεργεῖσθαι τὸ εἰρημένον ἔργον καὶ διαπράττεσθαι. τῷ τοιούτῳ δὲ χρυσοβούλλῳ ἀκολούθως καὶ τίμιον

---

[1] Hanc primus edidi in Delin. Hist. JGR. p. 134 ex Cod. Paris. 1263. Eadem extat in Vatic. 640. [2] Supra Nov. III.

γράμμα τοῦ ῥηθέντος πανᾳγιωτάτου ἀπολέλυται πατριάρχου[3], τὴν τοιαύτην διάταξιν βεβαίαν μένειν καὶ ἀμετάτρεπτον εἰς τὸ διηνεκὲς παρεγγυώμενον καὶ ἀποφαινόμενον, καὶ φρικώδεις καὶ βαρυτάτους ἀφορισμοὺς ἐπιτιθέμενον τοῖς ἀθετοῦσι ταύτην καὶ μὴ φυλάττουσι. διά τοι τοῦτο καὶ βέβαια ταῦτα καὶ ἀμετάθετα συντηρεῖσθαι καὶ φυλάττεσθαι παρὰ πάντων ἡ βασιλεία μου βούλεται, ἐπείπερ καὶ ὅπως σπεύδει αὕτη μετὰ πολλοῦ τοῦ ζήλου καὶ τῆς ἐφέσεως εἰς τὴν τῶν ἐκκλησιαστικῶν θεσμῶν τε καὶ διατάξεων τήρησιν καὶ ἀσφάλειαν, οἶδε μὲν προηγουμένως ὁ τὰ πάντα εἰδὼς θεός, ἴσασι δὲ καθεξῆς καὶ ὅσοι τῶν εὖ φρονούντων ἀνθρώπων τυγχάνουσιν. ὅθεν καὶ ὅστις ἂν τοὺς δηλωθέντας ἐκκλησιαστικοὺς καὶ φρικώδεις ἀφορισμοὺς ἀθετῆσαι τολμήσειε, προδήλως ὑπεύθυνος μεγάλων καὶ ἀφορήτων ἐπιτιμίων γενήσεται· ἀλλὰ καὶ ἀπὸ τῆς βασιλείας μου ὡς πρόξενος αὐτῇ γινόμενος προκριματισμοῦ καὶ τὸν παρόντα ὁρισμὸν αὐτῆς ἀθετῶν μεγάλην ὑποστήσεται τὴν ὀργὴν καὶ τὴν κάκωσιν. τοίνυν καὶ προστάσσει καὶ διορίζεται ἡ βασιλεία μου, ὃ καὶ πρὸ πολλῶν ἤδη τῶν χρόνων ἐκύρωσέ τε καὶ ἐβεβαίωσεν, ὡς ἂν μὴ ἔχῃ τὶς τῶν τοῦ μέρους τοῦ δημοσίου ἢ τῶν κεφαλαττικευόντων ἢ τῶν λοιπῶν ἁπάντων ἄδειαν κατακρατεῖν ἄνθρωπόν τινα τοῦ κατὰ καιροὺς ἀρχιερατεύοντος εἰς τὴν εἰρημένην ἁγιωτάτην ἀρχιεπισκοπὴν ἤ τινος ἑτέρου τῶν ὑπ' αὐτὸν θεοφιλεστάτων ἐπισκόπων ἤ τινος ὅλως τῶν ἀρχιερέων, μετὰ τὴν αὐτοῦ δηλονότι ἀποβίωσιν, καὶ ἐπάγειν εἰς αὐτὸν κάκωσιν ἢ παραλύπησίν τινα καὶ διενόχλησιν, καὶ ἀφαιρεῖσθαι τὸ τυχὸν ἀπὸ τοῦ ἰδίου πράγματος αὐτοῦ, ἀλλὰ ἀπέχωσι τελείως ἐξ αὐτοῦ· ἐκτὸς δὲ τούτου εἴ τι ἕτερον πρᾶγμα ἐκκλησιαστικὸν εὑρεθῇ, ὀφείλουσιν ἀναδέχεσθαι καὶ κρατεῖν καὶ φυλάσσειν τοῦτο οἱ τοῦ μέρους τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας, ὥσπερ καὶ τὰ λοιπὰ εἰσοδήματα αὐτῆς διὰ καταστίχων βεβαίων καὶ ἀληθινῶν καὶ ὁμολογουμένων, μέχρις ἂν πάλιν ἐγκαταστῇ ἐν αὐτῇ ἕτερος ἀρχιερεὺς καὶ παραδοθῶσι ταῦτα πρὸς αὐτὸν κατὰ τὴν ἐπὶ τούτῳ κανονικὴν καὶ νομικὴν παρατήρησιν. τούτου γὰρ χάριν ἐγένετο καὶ ἀπελύθη καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα. πάλιν δὲ τὸ αὐτὸ διορίζεται ἡ βασιλεία μου, ὅτι ὃς ἂν μὴ συντηρήσῃ ἀμετάθετον τὸν τοιοῦτον ὁρισμὸν αὐτῆς, γινωσκέτω ὅτι καὶ ἀφωρισμένος μέλλει εἶναι, καὶ οὔτε εἰς θεῖον ναὸν οὔτε εἰς τὴν

[3] Ineditum est. Vide Mortreuil III in ima p. 391. Habetur etiam in Cod. Paris. 1263.

αὐλὴν τῆς βασιλείας μου μέλλει εἰσελθεῖν· καὶ μὴ μόνον τοῦτο, ἀλλὰ καὶ μεγάλην καὶ ἀσυμπάθητον ὀργὴν εὑρήσῃ ἀπὸ τῆς βασιλείας μου.

Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς, τό· μηνὶ ἰουνίῳ, ἰνδ. ι', ἐν ἔτει ,ςωκ'.

NOV. XXVIII.

Imp. Andronici senioris aurea bulla Monembasiotis concessa[1]. (A. 1317.)

Ἐπεὶ οἱ μονεμβασιῶται, οἵ τε ἀπὸ τῆς θεοσώστου πόλεως μονεμβασίας καὶ ἀπὸ τῶν πηγῶν εὑρισκόμενοι, καὶ κατοικοῦντες ἀρτίως εἴς τε τὴν θεοδόξαστον καὶ θεοφύλακτον καὶ θεομεγάλυντον κωνσταντινούπολιν, ἀλλὰ δὴ καὶ εἰς ἄλλας πόλεις καὶ χώρας τῆς βασιλείας μου, εἰσὶν ἀποτεταγμένοι διὰ χρυσοβούλλων καὶ προσταγμάτων τῶν ἁγίων ἀοιδίμων καὶ μακαρίων μου αὐθεντῶν καὶ βασιλέων, τοῦ τε πατρὸς καὶ πάππου καὶ προπάππου[2] τῆς βασιλείας μου, ἵνα ἐφ' αἷς ἂν ποιῶσι πραγματείαις εἰς τὴν θεοδόξαστον κωνσταντινούπολιν, τὴν σηλυμβρίαν, τὴν ἡρακλείαν, τὸ ῥοδοστὸ, τὴν καλιούπολιν καὶ τὰς ἄλλας τῆς μακεδονίας καὶ [θράκης] διδῶσι χάριν κομμερκίου εἰς ποσότητα νομισμάτων ρ' νομίσματα β', εἰς δὲ τοὺς λοιποὺς πάντας τόπους καὶ χώρας καὶ σκάλας τῆς βασιλείας μου διαμένωσιν ἀνώτεροι ἀπαιτήσεως κομμερκίου παντελῶς, διατηρῶνται δὲ καὶ ἔνθα ἂν εὑρίσκωνται καὶ κατοικῶσιν ἀνενόχλητοι καὶ ἀπὸ πασῶν ἄλλων δόσεων καὶ ἀπαιτήσεων· παρεκάλεσαν δὲ, ἵνα τύχωσι καὶ ἐκ νέου εὐεργεσίας ἰδίας παρὰ τῆς βασιλείας μου δι' ἣν ἔχει αὐτοῖς τῆς χάριτος ἔφεσιν[3] καὶ ὄρεξιν εὐεργετεῖν πάντας τοὺς εἰς αὐτὴν ἀναφερομένους πιστοὺς καὶ εὐϋπολήπτους·

α'. Προστάσσει καὶ διορίζεται ἤδη ἡ βασιλεία μου ἀπολύουσα τὸν παρόντα χρυσόβουλλον λόγον αὐτοῖς, ἵνα πάντες οἱ

---

[1] Hanc servavit Georgius Phrantzes ed. Venet. p. 175. Plurima, quae emendanda viderentur esse, tacite correximus. [2] Quinam Imperatores praeter patrem Michaelem Palaeologum indicentur, dubium est. Avus quidem Andronici senioris nullo tempore imperavit: proinde avi et proavi nomine anteriores Imperatores per euphemismum vocari videntur, nisi *προστάγματα* illa ab avo et proavo Andronici senioris quamquam non imperatoribus data esse dicas. [3] Editus liber: *αὐτῇ τῇ χάριτι τοῦ ἐφ.*

μονεμβασιῶται, οἵ τε ἐν τῇ θεοσώστῳ πόλει μονεμβασίας κατοικοῦντες, ἀλλὰ δὴ καὶ ἐκ τῶν πηγῶν, καὶ ὅπου ἄρα εὑρίσκωνται καὶ κατοικῶσιν, εἴς τε τὴν θεοδόξαστον κωνσταντινούπολιν εἴτε καὶ ἀλλαχοῦ, ἀπολαύωσι μὲν τῆς ἧς εἶχον προτέρας ἐξουσίας[4] καὶ δεφενδεύσεως διὰ τῶν ῥηθέντων χρυσοβούλλων καὶ προσταγμάτων ὧν εἶχον οἱ ἀπὸ τῶν πηγῶν ῥηθέντες μονεμβασιῶται· καὶ ἐπέκεινα[5] δὲ τῆς τοιαύτης ἐξουσίας εὐεργετεῖ ἡ βασιλεία μου αὐτοῖς κοινῶς, ὅλους τοὺς μονεμβασιώτας, τούς τε ἐκ τῶν πηγῶν καὶ τοὺς ἐκ μονεμβασίας, ἵνα ἐφ᾽ αἷς ἂν ποιῶσι πραγματείαις διδῶσιν εἰς τὸ κομμέρκιον τῆς θεοδοξάστου κωνσταντινουπόλεως ὑπὲρ ἐκβολῆς ποσότητος νομισμάτων ρ' νόμισμα α', καὶ ὑπὲρ ἐκβολῆς ἀγορᾶς ἑτέρας πραγματείας ποσότητος νομισμάτων ρ' νόμισμα α', εἴτε δηλονότι διὰ σίτου ἐν τῷ προφορίῳ[6] καὶ ἀλλαχοῦ ἔνθα βούλωνται, εἴτε διὰ οἴνου ἐὰν ἐξ οἱασδήποτε χώρας διακομίσωσι τούτοις[7], ἢ διὰ προσφαγίων παστῶν ἤτοι μερίων ἢ πετζίων ἢ πανίου ἢ λινοκόκκου ἢ τζοχαρικῆς ἢ τετραπόδων ἢ ἑτέρων εἰδῶν ὧν ἂν βούλωνται· μηδ᾽ ὅλως παρὰ μηδενὸς κωλυόμενοι ἐπὶ ταῖς διαπράσεσι τῶν τοιούτων πραγματειῶν αὐτῶν, ἢ καθελκόμενοι εἰς ἀπαιτήσεις καμπανιστικοῦ, μεσιτικοῦ, ζυγαστικοῦ, μετριατικοῦ, παχιατικοῦ, γομεριατικοῦ, ὀψωνίου, σκαλιατικοῦ, βιγλιατικοῦ, δεκατίας, ἁλιευτικῆς, τετραμοιρίας, ξυλαχύρου ὀρειμῆς[8] τῆς ἐνιάδος εἰς τὰς[9] περὶ αὐτὴν ἁπάσας σκάλας, ἀλλὰ δὴ [καὶ] καστροκτισίας, κατεργοκτισίας, μαγειρίας, ἀντιναύλου, ἐξοπρασίας κοσμιατικοῦ[10], καπηλιατικοῦ, μηνιατικοῦ, ἐργαστηριακοῦ, μεταξιατικοῦ, τῆς ἀπαιτήσεως τοῦ πανίου τοῦ ἐν τῷ φόρῳ πωλουμένου, ἔτι δὲ καὶ τοῦ κεφαλαίου τοῦ σιταρίου τοῦ εἰσαποταχθέντος ἀπαιτεῖσθαι ἀπὸ τῶν καραβίων, ἢ ἑτέρου τινὸς κεφαλαίου τῶν νῦν ἐνεργουμένων ἢ καὶ εἰς τὸ ἑξῆς μελλόντων ἐπινοηθήσεσθαι· ἀλλὰ διατηρῶνται ἁπάντων τούτων ἀνενόχλητοι καὶ ἀδιάσειστοι παντελῶς. ὡσαύτως οὐδὲ οἱ πωλοῦντες πρὸς αὐτοὺς ἢ ἐξωνούμενοι ἀπὸ τῶν πραγματειῶν αὐτῶν, εἴτε ζῶά εἰσιν εἴτε γεννηματικὰ εἴδη ἢ καὶ ἄλλο τὶ, ἢ ἐν τῇ θεοδοξάστῳ κωνσταντινουπόλει ἢ ἐν ἑτέροις τόποις τῆς βασιλείας μου ἀπαιτοῦνται χάριν κομμερκίου, ἕνεκεν δηλονότι τῆς δεφενδεύσεως τῶν τοιούτων μονεμβασιωτῶν. ἔτι[11]

[4] Forte: ἐξκουσίας. [5] Id. κατεπίκοινα. [6] Ducange idem valere putat, quod alias προσφορίῳ. [7] An τοῦτον? [8] Forte: ὀρεινῆς. [9] Editus liber: ὡς τὰς εἰς αὐτοὺς περὶ κτλ. Corruptelam utut potui sanare studui. [10] Meursius vult legi κορμιατικοῦ. [11] Editus liber ἔσται.

δὲ καὶ ὅταν διακομίζωσι διὰ καραβίων τὰς τούτων πραγματείας εἴτε ἀπὸ τῆς ἄνω θαλάσσης εἴτε καὶ ἀπὸ τῆς κάτω εἴτε ἀπὸ [τῶν] τῆς θεομεγαλύντου κωνσταντινουπόλεως κόλπων, εἴτε σῖτος ἔνι εἴτε οἶνος εἴτε ἕτερόν τι εἶδος, ἰσάζονται μὲν οἱ δηλωθέντες μονεμβασιῶται ἐν τῷ [κομ]μερκίῳ τῆς θεοφυλάκτου κωνσταντινουπόλεως καὶ ἵνα διδῶσιν ὅσον ἀνωτέρω διορίζεται ἡ βασιλεία μου, οἱ δὲ ἔχοντες τὰ καράβια διαμένωσιν ἀνενόχλητοι χάριν τῶν τοιούτων πραγματειῶν αὐτῶν, μήτε τετραμοιρίου ἢ ἄλλην ἀπαίτησίν τινα χάριν τῆς τοιούτων ἐξουσίας παρά τινος ἀπαιτούμενοι. ἐὰν δὲ διέρχωνται μετὰ πραγματειῶν αὐτῶν ἢ ἀπὸ δύσεως εἰς ἀνατολὴν ἢ ἀπὸ ἀνατολῆς εἰς δύσιν, ἢ ἀπὸ μέρους τῆς ἀγορᾶς διαβιβάζοντες ζῶα ἢ ἄλλο τὶ εἴτε εἰς τὴν σωζόπολιν ἢ εἰς τὴν ἀγαθόπολιν ἢ εἰς τὴν μηδίαν[12] καὶ τὰς λοιπὰς χώρας τῆς βασιλείας μου, ὀφείλουσι διατηρεῖσθαι ἀνενόχλητοι καὶ ἀδιάσειστοι παντελῶς ἀπό τε τῆς ἀπαιτήσεως τοῦ κομμερκίου, τοῦ διαβατικοῦ καὶ τοῦ ποριατικοῦ[13] παρά τε τῶν κατὰ καιροὺς εὑρισκομένων εἰς κεφαλὴν τῶν εἰρημένων κάστρων καὶ παρὰ τῶν ἐκεῖσε τὰ δημόσια διενεργούντων[14], ἐφ᾽ αἷς δ᾽ ἂν ποιῶσι πραγματείαις, ἐν ἑτέροις τόποις τῆς βασιλείας μου γεννηματικαῖς τε καὶ λοιπαῖς, εἴτε κατὰ ἀνατολὴν εἴτε κατὰ δύσιν, εἴτε ἐν νήσοις εἴτε κατ᾽ ἤπειρον, εἴτε [ἐν] κάστροις καὶ πανηγύρεσιν εἴτε ἐν ἄλλοις τόποις. ἔτι δὲ καὶ εἰς τὰς τῆς πελοποννήσου ἁπάσας χώρας καὶ κάστρα τῆς βασιλείας μου γινωσκομένας πανηγύρεις ὀφείλουσι διατηρεῖσθαι μὲν καὶ ἀπὸ τῶν κεφαλαίων πάντων ἀνώτεροι, διατηρεῖσθαι δὲ καὶ παντελῶς ἀνενόχλητοι καὶ χάριν δόσεως κομμερκίου, μηδὲ ἕνεκεν πορατικοῦ διδόντες τὸ τυχόν. ὅθεν ὀφείλουσι διατηρεῖν αὐτοὺς εἰς τὴν τοιαύτην ἀνενόχλησιν καὶ δεφένδευσιν οἵ τε[15] εἰς τὸ κομμέρκιον τῆς θεομεγαλύντου κωνσταντινουπόλεως καὶ οἱ εἰς τὰς ἄλλας σκάλας καὶ χώρας καὶ κάστρα τῆς βασιλείας μου ἐνοχοποιούμενοι κατὰ καιρούς· ἀλλὰ δὴ καὶ πάντες ὅσοι ἐπικρατῶσι κτήματα ἢ ζευγηλάτια ἢ κάστρα ὁρισμῷ τῆς βασιλείας μου, εἴτε τῆς περιποθήτου μου αὐγούστης εἰσὶν οὗτοι εἴτε τοῦ ἐρασμιωτάτου υἱοῦ τῆς βασιλείας μου [καὶ] βασιλέως εἴτε τῶν προσγενῶν[16] ἀρχόντων τῆς βασιλείας μου καὶ τῶν λοιπῶν ἀρχόντων καὶ ἀρ-

[12] Forte: νικομηδ. [13] Forte: πορτ. [14] Editus liber: ἀδιενεργ. ἐφ᾽ οἷς δεῖν π. πραγματείας — γεννηματικός τε καὶ λοιπάς. [15] Idem: δεφενδεύουσιν εἴς τε τό. [16] Idem: πρὸ μενῶν.

χοντοπούλων αὐτῆς, οὐδὲ αὐτοὶ ὀφείλουσι χάριν μαγειρείας ἢ ὀψωνίου ἢ ἄλλου τινὸς ζητήματος ἀπαιτεῖν τι ἐξ αὐτῶν ἢ ἄλλο τὶ ἐπάγειν αὐτοῖς ἐπιτίμιον καὶ ἐπιβλαβές. ἀλλὰ καὶ αὐτοὶ οἱ κατὰ καιρὸν μέλλοντες ἔχειν τὴν ἐνοχὴν τῆς θεοδοξάστου κωνσταντινουπόλεως ἀφέξονται τελείως τοῦ ἐπάγειν ἐπηρείας αὐτοῖς καὶ ἀπαίτησιν τὴν τυχοῦσαν ἢ ὀψωνίου ἢ μαγειρείας, ἢ συγκαταλέγειν αὐτοὺς τοῖς λοιποῖς ἐποίκοις ταύτης ἐπὶ ταῖς κατὰ καιροὺς γινομέναις [διὰ] κοινωφελεῖς ἴσως χρείας συγκροτήσεσιν ἢ ἰδίως ὅλως ἀπαιτεῖν τούτους τῆς τοιαύτης συγκροτήσεως ἕνεκα· ἀλλ᾿ οὐδὲ εἰς ἃς ἔχουσιν οὗτοι ὑποθέσεις ἢ μετ᾿ ἀλλήλων ἢ μεθ᾿ ἑτέρων τινῶν κριθήσωνται παρ᾿ αὐτῶν, ἀλλ᾿ ἐν τῷ σεκρέτῳ τῆς βασιλείας μου. τῇ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου τὰ κατὰ μέρος περὶ αὐτῶν[17] διορίζεται. ἀπολαύσωσι ταύτης κατὰ τὸν ἴσον καὶ ὅμοιον τρόπον καὶ οἱ ἐξ ὀσφύος παῖδες καὶ ἀπόγονοι τούτων, μέχρι ἂν ἡ τοῦ γένους αὐτῶν διαρκήσει σειρά[18]. εἰς γὰρ τῆς περὶ τούτων ἁπάντων βεβαίωσιν ἀσφαλείας ἐγένετο καὶ ἐπεβραβεύθη καὶ ἐπεχορηγήθη αὐτοῖς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα νοέμβριον τῆς ἐνισταμένης ἰνδ. ιε΄ ἔτους ͵ςωκε΄, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ἀνδρόνικος ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς αὐτοκράτωρ ῥωμαίων δούκας ἄγγελος κομνηνὸς ὁ παλαιολόγος[19].

NOV. XXIX.

Imp. Andronici senioris de metropoli Joanninorum[1]. (A. 1318.)

Τὰ γὰρ ἰωάννινα πρότερον μὲν ἐπισκοπὴ τῶν ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν ναυπάκτου τελοῦσα, νῦν δ᾿ ὑπὸ τῷ γνησίῳ δεσπότῃ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι καὶ τῇ

---

[17] Idem: αὐτῆς. [18] Idem: διαρκῇ ἡ σορά. [19] Idem addit: τὸ παρὸν ἴσον ἀντιβληθὲν καὶ εὑρεθὲν κατὰ πάντα ἰσάζον τῷ πρωτοτύπῳ καὶ ἐγράφη δι᾿ ἀσφάλειαν.

[1] Haec sumta est ex actis synodalibus anni 1318 in Cod. Vind. hist. gr. 65 fol. 46. Cf. Nov. XXIV not. 1.

καθόλου ἁγιωτάτῃ καὶ φυλακτικῇ μάνδρᾳ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ὡσπερεὶ πλανηθὲν πρόβατον ἐνσηκασθεῖσα, καὶ γενομένη τῶν ὀρέων οἷς διέτριβε καὶ τῶν ἐρημιῶν ἀποστᾶσα, ὅτε κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ ἀποδεξάμενος αὐτὴν τῆς ἐπὶ τὸ κρεῖττον ἐπιστροφῆς καὶ προνοίας σεπτῷ προστάγματι αὐτοῦ εἰς μητρόπολιν τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς εἶναί τε καὶ ὀνομάζεσθαι προήγαγε καὶ τετίμηκε, καὶ τὸν ἀρχιερατικῶς αὐτῆς προστησόμενον τῆς τοῦ μητροπολίτου καὶ ὑπερτίμου κλήσεως καὶ τιμῆς ἀπολαύειν ἀεί. πρὸς γὰρ τοῖς ἄλλοις προνομίοις, ἅπερ ἡ βασιλικὴ περιωπὴ κέκτηται, καὶ τοῦτ' ἔχει, ἃς ἂν βούληται δηλονότι τῶν ἐκκλησιῶν τιμᾶν καὶ ἀπὸ ἐλάττονος προβιβάζειν εἰς κρεῖττον ἀξίωμα.

NOV. XXX.

Imp. Andronici senioris privilegium secundum mercatoribus Hispanis concessum [1].

(A. 1320.)

Ἐπεὶ ὁ ὑψηλότατος ῥὴξ ῥαγούνας, βαλεντζίας, σαρδενίας, κόρσικας, κόντος μπαρτζελόνας, καὶ περιπόθητος θεῖος τῆς βασιλείας μου, κὺρ ἰάκωβος, ἀπέστειλεν εἰς τὴν βασιλείαν μου γραφὴν αὐτοῦ μετὰ τῶν κατελάνων πραγματευτῶν, τοῦ τε μπερεγκαρίου καρμπονέλω, τοῦ μπονάτου ῥεντζῆ, τοῦ γουλγουλλέλμου μπερτουλίνη καὶ τοῦ τομαζίου ντε ποδίο, δηλοποιοῦσαν πρὸς τὴν βασιλείαν μου, ἵνα διὰ τὴν πρὸς αὐτὸν ἀγάπην καὶ γνησίαν στοργὴν τῆς βασιλείας μου τύχωσι μὲν οἱ τοιοῦτοι πραγματευταὶ ὁρισμῷ τῆς βασιλείας μου εἰς τὴν χώραν αὐτῆς ἀνενοχλησίας εἰς τὸ ἐνεργῆσαι τὰς δοκούσας αὐτοῖς πραγματείας, σὺν τούτοις δὲ τάξῃ ἡ βασιλεία μου, ἵνα καὶ αὐτοὶ καὶ οἱ ἄλλοι οἱ ἀπὸ τοῦ τόπου αὐτῶν μέλλοντες ἔρχεσθαι καὶ εἰς τὸ ἔμπροσθεν εἰς τὰς χώρας τῆς βασιλείας μου διὰ πραγματείας τυγχάνωσι τῆς αὐτῆς ἀνενοχλησίας· ἡ βασιλεία μου μὴ μόνον τοῦτο προσεδέξατο ἡδέως τε καὶ ἑτοίμως, ἀλλὰ σὺν τούτῳ διὰ τὴν

---

[1] Editum est ex archivo Barcelonensi in Capmany memorias hist. sobre Barcelona. To. II p. 468. Ex historia regis Aragoniae Jacobi II. editor hoc privilegium Andronico seniori et quidem anno 1320 vindicandum esse censuit.

ἀγάπην καὶ γνησίαν στοργὴν, ἣν εἰς τὸν αὐτὸν ὑψηλότατον ῥῆγα καὶ περιπόθητον θεῖον τῆς βασιλείας μου κέκτηται, διέκρινε καὶ ἔταξε καὶ πλείονα κυβέρνησιν ἔχειν αὐτοὺς εἰς τὴν ἀπόδοσιν τοῦ ὀφειλομένου δίδοσθαι παρ' αὐτῶν κομμερκίου ἐπὶ ταῖς πραγματείαις αὐτῶν, παρ' ὃ εἶχον πρότερον, καὶ ἐκκοπὴν ἤδη ποιοῦνται[2] καὶ ἀπ' αὐτοῦ τοῦ κομμερκίου, οὗπερ εἶχον συνήθειαν καὶ ἐδίδουν ὡς εἴρηται πρότερον.

Ἀπολύει γὰρ τὸ παρὸν χρυσόβουλλον αὐτῆς, δι' οὗ καὶ διορίζεται ἐπιδημεῖν ἀκωλύτως τοὺς ἀνωτέρω εἰρημένους πραγματευτὰς καὶ τοὺς ἑτέρους, ὅσοι ἀπὸ τῆς εἰρημένης χώρας τοῦ αὐτοῦ ὑψηλοτάτου ῥηγὸς καὶ περιποθήτου θείου τῆς βασιλείας [μου] θέλουσιν ἔρχεσθαι ἐνταῦθα εἴς τε τὴν θεοδόξαστον, θεομεγάλυντον καὶ θεοφύλακτον κωνσταντινούπολιν καὶ εἰς τὰς ἄλλας χώρας τῆς βασιλείας μου, ὁσάκις βούλονται, καὶ ποιεῖν ἐν αὐταῖς τὰς πραγματείας αὐτῶν ἀνενοχλήτως καὶ ἀκαταδυναστεύτως, ἀποδιδόναι ὀφείλοντας χάριν κομμερκίου ὑπὲρ ἐμβολῆς εἰς τὰ ἑκατὸν ὑπέρπερα δύο καὶ ὑπὲρ ἐκβολῆς ὁμοίως ἕτερα ὑπέρπερα δύο, εἰς πλείονα δὲ δόσιν μὴ καθέλκεσθαι, συντηρεῖσθαι δὲ μᾶλλον ἀβλαβῶς ἔν τε τοῖς σώμασι καὶ τοῖς πράγμασιν αὐτῶν καὶ μηδεμίαν ἄλλην ζημίαν καὶ καταδυναστείαν καὶ ἁρπαγὴν ὑφίστασθαι παρά τινος τῶν ἁπάντων τῶν ἀπὸ τοῦ μέρους τῆς βασιλείας μου. ἔτι γε μὴν καθὼς καὶ τὰ περὶ τούτου ᾐτήσαντο οἱ τοιοῦτοι πραγματευταὶ, ἐὰν συμβῇ κινδυνεῦσαι κατὰ θάλατταν καράβιον αὐτῶν ἀπὸ κλύδωνος καὶ πεσεῖν εἰς ξηρὰν ἐν τῇ χώρᾳ τῆς βασιλείας μου, οὐχ ἕξουσιν ἐπ' ἀδείας οἱ ἔποικοι τῆς τοιαύτης χώρας ἢ ἕτεροί τινες διαρπάζειν καὶ ἀποκερδαίνειν τὶ ἀπὸ τοῦ περισωθέντος αὐτῶν πράγματος, ἀλλὰ διαφυλαχθήσεται τὸ τοιοῦτον πρᾶγμα αὐτῶν ἀκαινοτόμητον· ἐπειδὴ οἵτινες ἂν τολμήσωσι προξενῆσαι ζημίαν εἰς αὐτοὺς ναυαγήσαντας πραγματευτὰς καὶ ἀφελέσθαι τινὰ ἀπὸ τῶν πραγμάτων αὐτῶν, ἀποδιδόναι μέλλουσι καὶ ἱκανοποιεῖν καὶ ἀντιστρέφειν κατὰ τὸ ἀκέραιον εἴ τι ἂν ἀφέλωνται, παιδεύεσθαι δὲ καὶ ὡς ἀθετῆται τοῦ παρόντος χρυσοβούλλου τῆς βασιλείας μου· τούτου γὰρ τῇ ἐμφανείᾳ διατηρηθήσονται μετὰ τὸ διδόναι τὸ ἀναγεγραμμένον[3] κομμέρκιον ἅπαντες οἱ ἀπὸ τῆς εἰρημένης χώρας κατελονίας πραγματευταὶ ἀνενόχλητοι καὶ οὐχ ὑποστήσονται παρά τινος ἀδικίαν ἢ ζημίαν τινὰ ἢ ἐπήρειαν καὶ ἐπίθεσιν οἱανδήτινα.

---

[2] Legerim: ποιεῖσθαι. [3] Malim ἄνω γεγρ.

Διὰ γὰρ τοῦτο ἐγένετο αὐτοῖς καὶ τὸ παρὸν χρυσόβουλλον τῆς βασιλείας μου καὶ ἐπεβραβεύθη καὶ ἐπεχορηγήθη τοῖς διαληφθεῖσι πραγματευταῖς καὶ τοῖς ἑτέροις ὅσοι ἀπὸ τῆς εἰρημένης χώρας τοῦ δηλωθέντος περιποθήτου θείου τῆς βασιλείας μου, τοῦ ὑψηλοτάτου ῥηγὸς, θελήσουσιν ἔρχεσθαι ἐνταῦθα καὶ εἰς τὰς ἑτέρας χώρας τῆς βασιλείας μου, εἰς βεβαίωσιν καὶ δεφένδευσιν καὶ ἀσφάλειαν.

NOV. XXXI.

Imp. Andronici senioris de metropoli Bryseos[1]. (A. 1324.)

Ἡ βασιλεία μου διὰ τῆς τοῦ θεοῦ χάριτος ἄνωθεν λαβοῦσα ἄδειαν καὶ ἔνδοσιν ἀπὸ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, εἰς πλείονα τιμὴν ἐπαίρειν καὶ προβιβάζειν ὅσας ἂν τῶν ἁγίων ἐκκλησιῶν διακρίνοι ἁρμοζούσας πρὸς τοῦτο, θεσπίζει καὶ νῦν διὰ τοῦ παρόντος προστάγματος, εἶναι καὶ εὑρίσκεσθαι τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν βρύσεως εἰς μητρόπολιν, καὶ συναπολαύειν τὸν ἐν αὐτῇ εὑρισκόμενον ἱερώτατον ἀρχιερέα τοῖς λοιποῖς ἱερωτάτοις μητροπολίταις τῆς θείας καὶ ἱερᾶς μεγάλης συνόδου τῆς αὐτῆς κλήσεώς τε καὶ τιμῆς κατὰ πάντα τρόπον ἧς καὶ οὗτοι μετέχουσιν. ὅθεν καὶ νῦν μὲν ὀφείλει τυγχάνειν τῆς τοιαύτης τάξεώς τε καὶ τιμῆς ὁ ἱερώτατος μητροπολίτης βρύσεως καὶ ὑπέρτιμος· καθεξῆς δὲ ἔσται τοῦτο κατὰ τὸν ἴσον τρόπον καὶ εἰς τοὺς μετ᾽ αὐτὸν μέλλοντας εὑρίσκεσθαι κατὰ καιροὺς εἰς γνησίους ἀρχιερεῖς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως βρύσεως, ἅτε δὴ καὶ τὸ ἑδραῖον καὶ ἀμετακίνητον ὀφείλοντος ἔχειν τοῦ παρὰ τῆς βασιλείας μου γεγονότος ἐπὶ τῇ τοιαύτῃ ἁγιωτάτῃ ἐκκλησίᾳ προβιβασμοῦ. τούτου γὰρ χάριν ἐγένετο καὶ ἀπελύθη καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα.

Εἶχε τό· μηνὶ δεκεμβρίῳ ἰνδ. ζ΄, δι᾽ ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

---

[1] Extat in Cod. Vind. hist. gr. 65 fol. 49. Cf. Nov. XXIV not. 1.

NOV. XXXII.

Imp. Andronici senioris
de metropoli Bryseos[1]. (A. 1325.)

Ἔχει μὲν ἐκ μακρῶν τῶν χρόνων, μᾶλλον δὲ ἐξ ἀρχῆς καὶ ἀνέκαθεν, ἡ βασιλικὴ καὶ αὐτοκρατορικὴ ἰσχὺς πρὸς τοῖς ἄλλοις καὶ τοῦτο δίκαιον, καὶ δεδομένον κατὰ λόγον αὐτῇ ἐπὶ προκοπῇ τῶν καλῶν καὶ συνάρσει τῆς διὰ πάντων εὖ ἀγομένης καταστάσεως, τὸ προβιβάζειν ἐξ ἐπισκόπων εἰς ἀρχιεπισκοπικὴν τιμὴν ἐκκλησίας, καὶ ἐξ ἀρχιεπισκοπῆς εἰς μητρόπολιν, ἔστι δ' ὅτε καὶ μητρόπολιν προάγειν εἰς βαθμὸν μείζονα, ἔτι γε μὴν καὶ καινίζειν ἐκκλησίας καὶ καθιστάνειν ἀρχιερατικοὺς ἐν αὐταῖς θρόνους· καὶ πάντα ταῦτα μετὰ τοῦ προσήκοντος καὶ γνώμης εὐλόγου ποιητέον πάντως αὐτῇ, ἀλλ' οὐχ ὡς ἔτυχε καὶ ἀλογίστοις ὁρμαῖς. εἰ δ' ἄρα καὶ ἡμῖν τοῦθ' οὕτως ἐσπουδάσθη διὰ πάντων τῶν τῆς ἡμετέρας μοναρχίας οὐκ ὀλίγων ὄντων ἐτῶν, ἄλλοι λεγόντων, μᾶλλον δὲ αὐτὰ βοᾷ τὰ πράγματα τοῖς εὐγνώμοσιν ἐπόπταις. καὶ θαῤῥούντως τοῦτό φαμεν· οὐδὲν δ' ἧττον καὶ τὸ νῦν παραστήσῃ γινόμενον.

α΄. Κατὰ γὰρ τὴν τοιαύτην δεδομένην ἡμῖν ἄδειαν δεῖν ἐγνώκαμεν ἐξ ἀρχιεπισκοπῆς προβιβάσαι τὴν ἁγιωτάτην ἐκκλησίαν Βρύσεως εἰς μητρόπολιν, τοῦτο μὲν διὰ τὸ πολυάνθρωπον τῆς τοιαύτης ἐκκλησίας καὶ πολυτρόπως ἔχον τὸ εὔλογον εἰς τὴν τοιαύτην τιμήν, τοῦτο δὲ καὶ διὰ τὸν νῦν ἀρχιερατικῶς αὐτῇ προϊστάμενον, ἄνδρα μεγάλης ἀρετῆς κάλλεσι κοσμούμενον, κἀντεῦθεν αἰδέσιμον τῇ ἐκκλησίᾳ, αἰδέσιμον τῇ βασιλείᾳ, καὶ πολλῆς τιμῆς ἀξιούμενον καὶ σεβάσματος παρ' ἡμῶν. ταῦτ' ἄρα καὶ θεσπίζει νῦν διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς ἡ βασιλεία μου, εἶναι καὶ εὑρίσκεσθαι τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Βρύσεως εἰς μητρόπολιν, καὶ συναπολαύειν τὸν ἐν αὐτῇ εὑρισκόμενον ἱερώτατον ἀρχιερέα τοῖς λοιποῖς ἱερωτάτοις μητροπολίταις τῆς θείας καὶ ἱερᾶς μεγάλης συνόδου τῆς αὐτῆς κλήσεώς τε καὶ τιμῆς κατὰ πάντα τρόπον ἧς καὶ οὗτοι μετέχουσιν· ἀλλὰ δὴ καὶ ἐν τάξει ὑπερτίμων αὐτὸν συντάττεσθαι. ὅθεν καὶ νῦν μὲν ὀφείλει τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου τυγχάνειν τῆς τοιαύτης τάξεώς τε καὶ τιμῆς ὁ ἱερώτατος μητροπολίτης Βρύσεως καὶ ὑπέρτιμος· καθεξῆς δὲ ἔσται τοῦτο κατὰ τὸν ἴσον τρόπον καὶ

[1] Legitur in Cod. Vind. hist. gr. 65 fol. 50. Cf. Nov. XXIV not. 1.

εἰς τοὺς μετ᾽ αὐτὸν μέλλοντας εὑρίσκεσθαι κατὰ καιροὺς εἰς γνησίους ἀρχιερεῖς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Βρύσεως. ἔχειν δὲ καὶ καθέδραν καὶ τόπον ἐν τῇ συναριθμήσει τῶν ἱερωτάτων μητροπολιτῶν μετὰ τὸν ἱερώτατον μητροπολίτην Αἴνου καὶ ὑπέρτιμον, ἅτε δὴ καὶ τὸ ἑδραῖον καὶ ἀμετακίνητον ὀφείλοντος ἔχειν τοῦ παρὰ τῆς βασιλείας μου γεγονότος ἐπὶ τῇ τοιαύτῃ ἁγιωτάτῃ ἐκκλησίᾳ προβιβασμοῦ. τούτου γὰρ χάριν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα νοέμβριον τῆς νῦν τρεχούσης η′ ἰνδ. τοῦ ,ϛωλγ′ ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

NOV. XXXIII.

Imp. Andronici senioris pacta cum Venetis inita[1]. (A. 1285. 1302. 1310. 1324 et 1325.)

[1] Ejusmodi complura pacta insunt tam Libro albo, quam Pactorum libris. Index Libri albi: „Treugua quarta facta per dominum Hugolinum Justinum, nuncium domini ducis et communis Veneciarum, cum Andronico imperatore Romeorum. carta 140.“ — Index Pactorum libri tertii: „1310. Pactum firmatum inter Andronicum Palaeologum Imperatorem Constantinopolitanum et commune nostrum Venetiarum super treugua annorum duodecim et super negotiis hinc inde fiendis caeterisque capitibus contentis in pacto observandis. cart. 112.“ Et: „1324. Treugua ad quinque a. servanda cum Paleologo Imperatore Constantinopolis, cum diversis conventionibus et pactis ibi expressis. cart. 158.“ Et: „1325. Pactum cum Imperatore Graecorum Palaeologo super treugua quinque annorum, cum diversis aliis capitibus contentis in pacto observandis cum sacramento. cart. 215.“ — Index Pactorum libri quarti: „Constantinopolis. Pactum, sive initium cujusdam pacti facti inter Imperatorem Paleologum et nostrum commune super quibusdam treuguis roboratis et firmatis cum Sacramento, ut in fol. 36.“ Et: „Constantinopolis 1302. Pactum factum Venetiis cum nuntiis Imperatoris Constantinopolitani super treuguis prius habitis cum sequentibus capitulis juramento observandis. Primo, quod Capitula contenta in treuguis ante habitis firma habemus. Si Graecus intulerit damnum Veneto, corrigatur de Vestiario Imperatoris. Si autem Venetus damnum intulerit alicui Greco, emendatio fiat per Baiulum nostrum, aut Venetiis de bonis malefactoris, cum recta probatione tamen illorum, qui hincinde damnum passi fuerint, nisi damnum esset manifestum, et si esset dubitatio, fiat probatio per juramentum damnum passi, aut testium. Quod omnes se abstineant negotiari salem, et masticam in suo Imperio. Remittantur damna illata inter Venetos et Januenses, nec teneatur Imperator aliquid satisfacere de his, quae commissa essent in Imperio suo, nec ipse nobis aliquid petere possit. Praeterea remittet omnia damna per stolum nostrum illata, in quo erat Capitaneus Nobilis Vir

NOV. XXXIV.

Imp. Andronici senioris aurea bulla, qua praedia nonnulla Irenae Augustae donantur[1].

Λόγος χρυσόβουλλος ἐπί τινι δεσποινικῷ βουλήματι.

Σπουδάζειν μὲν ἀποδεικνύναι τὸ νῦν ἡμῖν κείμενον κατὰ σκοπὸν καὶ γνώμην ὡς εὔλογον καὶ οὐχ ὑπερβαῖνον τὸ δίκαιον οὐδ' ἔξω τῶν τοῖς βασιλεῦσιν ἐξ ἔθους καὶ δεδογμένων καὶ πεπραγμένων, περισσὸν οἶμαι καὶ παντελῶς ἄκαιρον, καὶ μηδὲ σχεδὸν εἰδότος περὶ τίνων μὲν αἱ κατασκευαὶ καὶ ἀποδείξεις καὶ ἡ περὶ ταύτας περιουσία καὶ δύναμις τῶν λόγων, ὅτι περὶ τῶν μηδὲν ἐκδήλων καὶ δικαίων παντάπασιν ἀνωμολογημένων δικαίων ὄντων ἢ καὶ ἰσχυρῶς ἀντιλεγομένων, καὶ τότε δὴ τότε καὶ χωρῆσαι δεῖ πρὸς ἀγῶνα καὶ βοηθῆσαι τοῖς δικαίοις[2] πολεμουμένοις. ὅπου δὲ μὴ μόνον πᾶς τις συνομολογεῖ περὶ τοῦ

Rogerius Mauroceno, et reddat septuaginta novem millia yperperorum cum aliis quatuordecim millibus, computato damno navis per nostros captae et ductae Nigropontum. Restituet nobis etiam septem millia yperperorum pro derobatione rerum aliquarum navium euntium Constantinopolim, quando Baiulus detentus fuit, et fiet per nos inquisitio veritatis de hujusmodi facto. De damnis vero per nos aut nostros illatis fiet ratio et satisfactio. E contra de damnis nobis per illos illatis fiet ab Imperatore similiter ratio. Insulae captae per nos tempore belli pariter per nos tenebuntur, exceptis aliquibus, quas Imperatori dimittemus. Et hanc treuguam observabimus per decennium, et tantum plus, quantum placuerit Imperatori. Si vero post dictum tempus aliqua pars vellet renuntiare dictis treuguis, denuntiabit alteri, addito sex mensium termino, ut quisquis hincinde possit ad Patriam suam reverti. Quae omnia supradicta debeant juramento firmari a partibus, ut clarius est in fol. 40.“ Et: „Constantinopolis 1285. Pactum cum Imperatore Constantinopolitano subscriptum per dom. Joannem Dandulo Ducem pro firmanda et roboranda treugua decem annorum, cum renovatione conventionum et Capitulorum in elapsis treuguis contentorum et cum addictione aliquorum, ut apparet in fol. 282.“ Et: „Pactum sive treugua praedicta dom. Imperatoris Constantinopolis per ipsum firmata, ut jacet in fol. 291.“ Et: „Constantinopolis 1310. Treugua duodecim annorum cum Imperatore Constantinopolitano sub eisdem conventionibus et capitulis immutabilibus contentis in praecedentibus treuguis. fol. 343.“ — Haec omnia propediem lucem videbunt in Tafelii et Thomae Urkunden z. ält. Handels- u. Staatsgesch. Venedigs.

[1] Hanc, et quae sequuntur quinque aureae bullae, edidit Boissonade Anecd. graeca, vol. II p. 57 ex Cod. Paris. reg. gr. 2105, qui Nicephori Chumni opera continet. Chrysobullum illud, ut et quae deinceps exhibentur, Nicephorus composuit, quum sub Andronico seniore a canicleo esset. Cf. Cantacuzen. Hist. I p. 45. Videntur autem haec chrysobulla initio imperii Andronici vindicanda esse. [2] Malim *δικαίως*.

προκειμένου, ἀλλὰ καὶ πλέον ἐπιζητεῖ ἵνα περισώσηται τὸ εἰκὸς, ὡς ἐλάττονος ὄντος τοῦ γιγνομένου καὶ μηδὲ σχεδὸν ἥκοντος εἰς λόγον πρὸς τὴν ἀξίαν τοῦ δεδεγμένου[3], τί χρὴ περιττῶν λόγων καὶ ζητεῖν εὑρέσεις ἐπιχειρημάτων καὶ ποικίλλειν καὶ τεχνουργεῖν καὶ μέγα τὶ δοκεῖν ἀνύτειν, ἑαυτοὺς δῆθεν μέμψεως ἐξαιρουμένους, μή ποτε δόξωσι παρὰ τὸ εἰκός τι πεπραχότες καὶ ὑπερδραμόντες τὸ δίκαιον; δέον ὂν παντὸς μᾶλλον πρὸς τοὐναντίον ἀπιδεῖν, καὶ σπουδάσαι δεῖξαι ὅτι μὴ ἐνέχονται τῇ αἰτίᾳ, ὡς μεγάλα μὲν ὀφείλοντες διδόναι, μικροῖς δ' ἀμειβόμενοι καὶ τὸ κατ' ἀξίαν ἐλαττονοῦντες. φιλοτιμεῖσθαι μὲν γὰρ ἐπὶ δωρεαῖς.τοὺς βασιλεύοντας καὶ ταύτας διαιρεῖν καὶ ἀπονέμειν τοῖς κατὰ λόγον ὑποδεχομένοις, τοῦτο καὶ βασιλεῖς αὐτοὶ ἐν γράμμασι ῥητορεύουσι καὶ τοὺς λόγους τῆς περὶ τὰ τοιαῦτα πληροῦσι φιλοτιμίας. εἰ δὲ τοῦτο περὶ πάντας ἁπλῶς ἐξητασμένον εὖ ἔχον ἐστὶ, τί τις ἂν φαίη περὶ τῶν γνησίως συνημμένων καὶ ἡκόντων κατὰ γένος εἰς βασιλεῖς, καὶ πανταχόθεν λαμπρὰς καὶ μεγάλας ἐπιδεικνυμένων καὶ προβαλλομένων τὰς ἀφορμὰς, ὥστε σφᾶς αὐτοὺς βασιλέας, τρόπον ὃν ἔφημεν προτεθυμημένους καὶ βουλομένους χαρίζεσθαι, εὐθὺς στρέφειν ὅλους καὶ μεθέλκειν εἰς ἑαυτούς; ἢ τοῦτο καὶ παντί που δῆλον.

α'. Εἰ δὲ τοῦθ' οὕτως, τὴν κοινωνὸν ἐμοὶ τοῦ κράτους, τὴν περιπόθητόν μοι αὐγούσταν, πότερον βουληθεῖσαν μᾶλλον καὶ αἰτησαμένην πᾶς τις ἂν ἐκ παντὸς ἐρεῖ τρόπου δίκαιον αὐτοῖς δὴ τούτοις, οἷς ἂν καὶ βουληθείη, εὐθὺς καὶ χρήσασθαι τετελεσμένοις; ἢ ὅτι μὴ βεβούληται μᾶλλον μηδὲ τῶν δικαίων μεταποιεῖσθαι καὶ εὐλογωτάτων, ὀλίγην δὲ τούτοις ἀπονέμει καὶ μικρὰν τὴν φροντίδα, καὶ ὅσον μὴ καθάπτεσθαι μᾶλλον τῶν τοιούτων ἢ δοκεῖν ἀμυδρῶς ἅπτεσθαι, διὰ τοῦτο καὶ μάλιστα εἴ τι γνοίημεν ἡμεῖς κατὰ ταύτην δὴ τὴν αὐτῆς γνώμην πρᾶξαι πράττοιμεν ἂν μηδὲν βιασαμένης; ἐγὼ μὲν οἶμαι τοῦτο. ἀλλὰ πρὶν ἢ τοῦτο, βοηθεῖ μὲν αὕτη τοῖς καθ' ἡμᾶς πράγμασι χρήματα ταῖς κοιναῖς χρείαις εἰσενεγκοῦσα, καὶ ὑπερορᾷ μὲν χρήσεων ἰδίων καὶ ἐφ' οἷς εἶχεν οἰκείοις ἀναγκαίοις οὖσιν ἀναλῶσαι καὶ δαπανῆσαι, προτιμᾷ δὲ τὸ τῶν πολλῶν καὶ ἐπαρκεῖ αὐτοῖς τοῦτον τὸν τρόπον πάντα τὰ δυνατὰ παρασχοῦσα, μεγαλοψύχως εἰς μέσον καταθεμένη καὶ μηδὲν ὑπολογισαμένη τοῦ καιροῦ καὶ τῶν ἐφεστηκότων πραγμάτων. ὥστε δὴ καὶ τοῖς ὀρθῶς ἐντεῦθεν λογιζομένοις οὐδὲ χάριτος ἂν ἐν μέρει νομι-

---

[3] Forte δεδογμ.

σθείη ὃ νῦν ἡμεῖς δρῶμεν, μηδὲν μὲν νέον ἀποδόντες, ἐκ δὲ τῶν προσόντων αὐτῇ τὰ δόξαντα πράξαντες καὶ κατ' ἐξουσίαν αὐτῆς πᾶσαν εἰς τὸ διηνεκὲς παραμένειν, οὐ κατὰ χάριν μᾶλλον ἢ τρόπον ὃν εἴπομεν ἐωνημένα. ταῦτα δ' εἰσὶ τάδε[4]·

. . . . ὧν δὴ χάριν καὶ τοῦ παρόντος ἡμῖν ἐδέησε λόγου, καὶ ἐκτιθέμεθα τοῦτον, πάγιον καὶ ἀσάλευτον καὶ ἀμετακίνητον καθιστῶντες. καὶ ἡμεῖς μὲν οὕτως. τί δὲ ὑμεῖς, οἱ νῦν τε παρόντες τῷ πεπραγμένῳ καὶ χρόνῳ ὕστερον τῷ παντὶ συνεσόμενοι, οἱ κληρονόμοι τῆς ἐκ θεοῦ δεδομένης ἡμῖν ταύτης ἀρχῆς καὶ βασιλείας[5], τί φατε καὶ τί ὑμῖν δοκεῖ; μέγα τὶ τὸ πρᾶγμα καὶ ἐπαχθὲς καὶ οὐχ οἷον ἂν καὶ ὑμᾶς ὑποστῆναι καὶ περισῶσαι θελῆσαι; ἢ τοῦτο μὲν οὐδαμῶς οὐδ' ἂν εἷς εἴποι, μικρὸν δὲ μᾶλλον καὶ κατηυτελισμένον καὶ ἀποδέον παρὰ πολὺ τοῦ εἰκότος, ἀγαπητὸν δὲ καὶ ὑμῖν, πάντα ὅσα εἴρηται λογιζομένοις καὶ ἅμα συλλογιζομένοις τὸ λαμπρὸν ἄνωθεν καὶ περιφανὲς καὶ ὑπερύψηλον τοῦ γένους, ἐξ ὧν αὕτη τίκτεται καὶ ἡμῖν ἐπιδημεῖ[6] τῆς ἀρχῆς ἐν μεθέξει οὕτω τοῦ θεοῦ βουληθέντος καὶ ἐν εὐδοκίᾳ θεμένου. καὶ μὴν εἰ μὴ τὸν τρόπον τοῦτον, ἀλλὰ κατὰ τύχην ἑτέραν πρὸς ἡμᾶς ἧκε, τί ἂν ἐπράξαμεν; οὐ μετεδώκαμεν ἂν τῶν ἀξίων, μεγάλων δή τινων ἁρμοζόντων; καὶ πῶς οὐκ ἂν ἐδόξαμεν τοῦ ἀμέμπτου καὶ τῆς τοῦ καλοῦ ἐπιγνώσεως ἀναισθήτως ἔχειν; καὶ τοίνυν φυλάττετέ μοι τὸν χρυσόβουλλον τοῦτον λόγον ἀκατάλυτον παντελῶς, καὶ ὅσον ἐν τούτῳ βουλόμεθα ἐς ἀεὶ παραμένειν.

β'. Βουλόμεθα δὲ τὰ εἰρημένα κατὰ κλῆσιν χωρία τῇ περιποθήτῳ μοι ταύτῃ αὐγούστῃ ἐν διηνεκεῖ τῷ χρόνῳ διὰ παντὸς ἀνεῖσθαι ἀνενόχλητα παντελῶς, ἀναπόσπαστα, ἀπαράθραυστα, καὶ κατὰ τὴν περιοχὴν μὲν αὐτῶν καὶ νομὴν πᾶσαν, οὐ μὴν ἀλλὰ καὶ ἐπὶ πᾶσιν οἷς ἂν καὶ γένοιτο ταῦτα βελτιωθέντα προελθεῖν εἰς ἐπίδοσιν πόῤῥω που πάσης ἀπεληλαμένης καὶ ἀπωσμένης ἄλλης τε διασειούσης καὶ μετασαλεύειν πειρωμένης δυνάμεως, καὶ δὴ καὶ ψηλαφώσης ἁπάσης καὶ περιεργαζομένης καὶ ἀπογραφούσης χειρός. οὔτε γὰρ ἕτερός τις τῶν ἁπάντων οὐδεὶς ἐπεγνωκὼς ἔσται καὶ πράξας ἐξ ἐναντίας τῶν νῦν ἡμῖν ἐγνωσμένων οὐδὲν, ἀλλὰ καὶ ἀπογράφων πᾶς ἀπὸ μακρόθεν στήσεται, καὶ οὐκ ἐγγιεῖ οὐδ' ἐπιμίξει τοῖς τοιούτοις, παρεγχει-

[4] Excidit hic catalogus praediorum Irenes Augustae gratia emtorum eique donatorum, ut recte observavit Boissonade. [5] Filii scilicet et nepos Imperatoris. [6] Irene neptis erat Marchionis Montisferrati et e Longobardia Byzantium venerat.

ρεῖν τολμῶν καὶ ὑποτέμνειν καὶ παραλύειν καὶ ἀλλοτριοῦν, εἴτε τὶ τῶν ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν ἡρμοσμένων εἴτε τῶν ἐς ὕστερον ἀμεινόνων καὶ βελτιόνων γε καθεστηκότων. οὐ μὴν ἀλλὰ καὶ ἐσεῖται ταῦτα παντάπασιν οὕτως ἔχοντα καὶ μηδὲν ὑπανέντα μηδὲ περιτραπέντα καὶ εἰς ἧττον ὀλισθήσαντα καὶ ὑπαχθέντα, μηδ᾽ αὐτοῖς οἷς ἂν καὶ γνοίη ἡ αὐτή μοι περιπόθητος αὐγούστα πρυτανεῦσαι καὶ νεῖμαι τῶν ἐξ ἐμοῦ καὶ ταύτης δηλονότι γεγεννημένων ἢ τρόπον ἕτερον ἐν μοίρᾳ παίδων ἡμῖν γνησίως ἀφιγμένων[7], οἳ δὴ καὶ αὐτοὶ καθέξουσι δεσπόζοντες κατ᾽ ἴσον ὥσπερ ἄλλο τὶ χρῆμα τῶν ἰδίων αὐτῆς δικαίοις ἅπασι καὶ ταῦτα ἐξ αὐτῆς κατὰ δωρεὰν καὶ χάριν, εἰ δὲ βούλει κλῆρον εἰπεῖν δίκαιον, θαῤῥούντως εἰληφότες. οὐ μὴν ἀλλὰ καὶ οὗτοι πρὸς τοὺς ἐξ αὐτῶν, κἀκεῖνοι πρὸς τοὺς ἐξ ἐκείνων, καὶ οἱ ἐφεξῆς πρὸς τοὺς καθεξῆς σφισιν αὐτοῖς εἰς γέννησιν ἰόντας, οὕτω δὴ καὶ κατὰ βούλησιν πᾶσαν ἀπονενεμηκότες κληρώσουσιν, ὡς αὐτοὶ τρόπον ὃν ἔφημεν μεθ᾽ οὕτω μεγίστου καὶ κρατίστου τοῦ δικαιώματος ἔλαχον.

Καὶ οἶδα μὲν ὅτι πᾶν ὅσον ἤδη καὶ λέλεκται καὶ ἡμεῖς παρεγγυώμεθα, δίκαιον ὂν παντὸς μᾶλλον, οὐδ᾽ ὑμῶν τις τῶν μεθ᾽ ἡμᾶς βασιλευσόντων παρόψεται, εἰ μή τι ἄλλο θεοῦ νέμεσιν δικαίαν καὶ ἀγανάκτησιν θέμενος ἐν φόβῳ· εἰ δέ τις καὶ βουληθείη (εἴη δὲ μηδεὶς), ἀλλ᾽ οὖν τῷ βουληθέντι καὶ ἡμεῖς εὐθὺς ἐπαρώμεθα αὐτὸ δὴ τοῦτο ὅ γε πάντως καὶ πείσεται, κίνησιν θεοῦ ἐνδίκως μετιοῦσαν τὴν ἀδικίαν.

NOV. XXXV.

Imp. Andronici senioris aurea bulla, qua praedium Cutzi monasterio Serbico in monte Atho ad instantiam Cralis Serbiae conceditur[1].

Λόγος χρυσόβουλλος ἀποδοθεὶς πρὸς τὸν ὑψηλότατον κράλην σερβίας.

Ἡ μὲν δὴ τοῦ παρόντος λόγου πρόθεσις πρὸς αἴτησιν ἀπαντᾷ καὶ ταύτην εὐθὺς συμπεραίνει, ἣν ὁ τῶν σέρβων

---

[7] Boissonade notat: Innuit puto Andronicum nepotem, forsan etiam Michaelem Catharum, Constantini filii ex pellice filium.

[1] Edita a Boissonade Anecd. Graeca II p. 63 ex Cod. Paris. reg. 2105. Editor notat: Crales ille Serviae, qui infra imperatori dicitur ὁ ἐμὸς οὗτος φίλτατος

ὑψηλότατος κράλης καὶ φίλτατος ἐμοὶ οὐχὶ δικαίαν μόνον καὶ πάνυ τὶ δικαίαν, ἀλλὰ καὶ μικρὰν δή τινα ταύτην ἐπὶ μεγάλῳ καὶ μεγίστῳ προὐβάλετο πράγματι. καὶ μὴ ὅτι γε παραιτησαμένους ἡμᾶς οὐδεὶς ἂν οὐκ ἂν ἀφῆκεν αἰτίας ὀρθῶς λογιζόμενος, ἀλλ' ἤδη καὶ τετελεσμένην ταύτην πάντες ἂν φαῖεν μηδὲν ἄξιον εἶναι, μήτε πρὸς χάριν τοῦ προβαλομένου καὶ δεδεγμένου, μήτ' αὐτῆς εἵνεκα τῆς ὑποθέσεως, ὑφ' ἧς αὐτῷ καὶ δέδοκται προβαλέσθαι τὴν ζήτησιν. καὶ τοίνυν οὐ τοῦτό γε σπουδαστέον ἡμῖν ἂν εἴη, δεῖξαι δηλονότι ὡς εὔλογον τὸ πεπραγμένον καὶ οὐχ ὑπερβαῖνον τὸ δίκαιον, ἀλλ' ὅτι γε μὴ τοσοῦτον μόνον ἡμεῖς εἰκὸς εἶναι νομίσαντες τοσοῦτον καὶ ἀποδεδώκαμεν, ἀλλ' ὅσον ἔδοξε τῷ εἰληφότι τοῦτ' αὐτῷ καὶ παρ' ἡμῶν κατὰ γνώμην γεγένηται. ἀλλὰ πρὶν ἢ τοῦτο, βούλομαι μικρὸν προδιαλαβεῖν καὶ τῷ μέλλοντι χρόνῳ θαῦμα θεοῦ μέγα περὶ ἐμὲ καὶ τὴν ἐκείνου τεταγμένην ὑπ' ἐμοὶ κληρονομίαν διήγημα θέσθαι πρὸς ἀνθομολόγησιν αὐτοῦ, κοινὴν δὴ λέγω παρὰ πάντων ἀνθρώπων τῶν εὐσεβεῖν ἑλομένων. ἐντεῦθεν γὰρ καὶ ὁ πᾶς σκοπὸς τοῦ παρόντος λόγου σαφὴς γένοιτο καὶ δῆλος τοῖς μαθεῖν βουλομένοις. ἀθροίζεται μὲν γὰρ ἐξ ἑῴας στρατιᾶς περσικῆς πλῆθος καὶ εἰς μέγα καὶ πλεῖστον ἀθροίζεται, εἶτ' εἰς Θρᾴκην διαβαίνει, ταύτην δὴ τὴν ὑφ' ἡμῖν λέγω καὶ ἡμετέραν, καὶ πανταχόθεν αὐτοῖς δύναμις συγκροτεῖται, καὶ γίνονται πολέμιοι κατὰ τῶν ἡμετέρων, μεγάλα δή τινα καὶ φρονοῦντες καὶ μελετῶντες· καὶ συχνοὶ τούτοις ἐκ τῶν ὁμογενῶν προσρέουσιν αὖθις καὶ μάλα αὖθις, καὶ ἄλλων ἐπ' ἄλλοις ἀεὶ γιγνομένων καὶ πλειόνων ἐπὶ πολλοῖς ἐς μέγα ἦρτο τὸ κατ' αὐτούς, καὶ δεινὸν οἷον καὶ χαλεπὸν ἐνενόμιστο, μήπω τῶν ἡμετέρων συντεταγμένων καὶ αὐτοῖς δὴ τούτοις ἀντεπεξιόντων. καὶ γοῦν ἀδείας ἐπειλημμένοι καὶ θράσους ὑπ' αὐτῆς πλησθέντες ἐδόκουν ἀνυπόστατοί τινες εἶναι καὶ ἀκατάσχετοι ταῖς ὁρμαῖς· καὶ ἦσαν πολλῷ τινι τῷ φρυάγματι ἐπηρμένοι καὶ ῥέοντες πανταχόθι ταῖς ἐκδρομαῖς. εἶτ' αὖθις εἰς ἓν συνιόντες ἐπὶ τοῖς πλήθεσιν ὑπερφρονοῦσι, καὶ δεινὸν μὲν παθεῖν οὐδὲν εἰς νοῦν βάλλουσιν οὐδ' ἔσεσθαι ποθὲν αὐτοῖς οὐδ' ἀπαντῆσαι, πάντα δ' αὐτοὺς δρᾶσαι μᾶλλον καὶ καταπράξασθαι δεδυνῆσθαι. καὶ οἱ μὲν οὕτως· ἡμεῖς δ' αὖθις ἐπὶ θεὸν βλέποντες καὶ τὴν αὐτοῦ μητέρα παρεταττό-

---

παῖς, duxerat Simonidam, Irenes et Andronici filiam. Vide Nic. Greg. VI, 9, 3; Cantacuz. Hist. I, 7. Cf. Nov. XXXIV not. 1. [2] Ad haec, quae hoc loco narrantur, Boissonade locum Cantacuz. I, 7 refert.

μεθα ἐξ ἐναντίας. καὶ τοίνυν τῶν ἡμετέρων συνιόντων ὑπὸ θεῷ στρατευμάτων, καὶ λαμπρῶν δὴ καὶ τούτων καὶ γενναίων ὄντων καὶ σφόδρ᾽ ἀμύνεσθαι δεδυνημένων, οὐκ ἐπὶ τούτοις ἡμεῖς δεῖν ἔγνωμεν τεθαῤῥηκέναι, οὐδ᾽ ἐπὶ τῇ ῥομφαίᾳ[3] καὶ τοῖς τόξοις, ἀλλ᾽ ἐξ οὐρανοῦ τὰ βάλλοντα τοὺς ἐχθροὺς ἀνεμένομεν βέλη. καὶ τὸ ἐκεῖ μὲν ἐντεινόμενον τόξον μόνον οὐχ ἑωρῶμεν καὶ τὰ ἐν αὐτῷ ἑτοιμαζόμενα σκεύη θανάτου[4]· ἐλπίζοντες δ᾽ ἦμεν καὶ μάλα τι ἐπὶ τούτοις ἐλπίζοντες καὶ θαῤῥοῦντες, καὶ ἥκιστα οὐδαμῇ ἐψεύσθημεν τῶν ἐλπίδων. ἀλλὰ τί δὴ καὶ γίνεται; σφάττει μὲν τοὺς πολεμοῦντας ἡ τοῦ θεοῦ μάχαιρα, καὶ μεθύεται πλησθεῖσα τῶν ἐξ αὐτῶν αἱμάτων[5]· συντρίβεται δ᾽ αὐτῶν πάντα τόξα, καὶ ἣν ῥομφαίαν ἀνέσεισαν καὶ ἠπείλησαν καθ᾽ ἡμῶν στρέφεται καὶ εἰσελαύνει τὰς αὐτῶν καρδίας[6], καὶ πίπτουσι μὲν πάντες, οὐκ ἐν ταὐτῷ, πάντες δ᾽ ὅμως· φεύγει δὲ τούτων οὐδεὶς καὶ σέσωσται οὐδαμῇ οὔτε γῆς οὔτε θαλάσσης. καὶ τοίνυν ἵσταται τοῦτο περιφανὲς καὶ μέγα καὶ παμμέγεθες τρόπαιον καθ᾽ ἧς ἔφημεν τῶν ἀσεβούντων ἐπάρσεως. καὶ πολλοὶ δή τινες καὶ παμπληθεῖς ὄντες κτεινόμενοι καὶ ἁλισκόμενοι πλείους ἔδοξαν ἢ τῆς σφαγῆς καὶ τῆς πληγῆς ἐκτὸς ὄντες. καὶ γοῦν πάνθ᾽ ὅσα νομίσαντες καὶ θαῤῥήσαντες καθ᾽ ἡμῶν ἦσαν, πάντ᾽ ἐπὶ τὰς σφῶν αὐτῶν κεφαλὰς θεὸς τρέπει, ὃς καὶ ἐν ἰσχύϊ δεδόξασται καὶ τῷ βραχίονι αὐτοῦ οὔτ᾽ ἀντερίζει οὔτ᾽ ἐστὶν ἀντέχων οὐδείς. καὶ τὸ μὲν τῶν ἀσεβῶν καὶ πολεμίων τέλος τοιοῦτον, τοιοῦτον καὶ τὸ κατ᾽ αὐτῶν ὑπὲρ τῶν εὐσεβούντων ἡμῶν τρόπαιον ὑπὸ θεῷ πολεμούντων καὶ παρατασσομένων. τοῖς δ᾽ ἡμετέροις τότε στρατεύμασιν οὐ μικρὰ δήπουθεν ἐστὶν ἐν οἷς καὶ συνήρατο καὶ συνέπραξε καὶ ἡ σερβικὴ δύναμις, ἰσχυρά τις καὶ αὕτη καὶ γενναία, ὁμόσε τοῖς πολεμίοις χωροῦσα καὶ κατ᾽ αὐτῶν προθύμως ἐς ὅ τι πλεῖστον συῤῥηγνυμένη. ἐκλέγει γὰρ ταύτην ἐκ τῶν ἑαυτοῦ ὁ ἐμὸς οὗτος φίλτατος παῖς, καὶ καθοπλίζει οὐ τὰ σώματα μόνον αὐτῶν ὅπλοις χαλκοῖς, ἀλλ᾽ ἤδη καὶ τὰς ψυχὰς προτρεπτικοῖς λόγοις θήξας καὶ παρακλητικοῖς· καὶ τοῦτον δὴ τὸν τρόπον καὶ ταῖς τοιαύταις παρασκευαῖς ἐνεὶς θάρσος αὐτοῖς, ἐῤῥωμένως ἀντεπεξιέναι τοῖς ἐπιοῦσιν ἐχθροῖς καὶ συμπλέκεσθαι τούτοις καὶ καρτερεῖν πείθει καὶ παρασκευάζει. καὶ ἦσαν τῶν ἐντολῶν αὐτοῦ μεμνημένοι, καὶ οὐκ ἐπελάθοντο οὐδ᾽ ἠμνημό-

---

[3] Boiss. laudat Psalm. 43, 6. [4] Idem laudat Psalm. 7, 12. [5] Idem allegat Esai. 34. [6] Idem adducit Psalm. 36, 15.

νησαν ἐπὶ τῶν ἀγώνων καὶ τῆς ἐπὶ τοὺς πολεμίους παρεμβολῆς. εἶτα τί; τῶν ἐχθρῶν ἐκείνων ὁμοῦ πάντων παντάπασι καὶ πεσόντων καὶ ἀπολωλότων, καὶ θορύβου δή τινος μεγάλου κατὰ τῆς περσίδος πάσης καταῤῥαγέντος ἁπανταχοῦ, διαβαίνει τὰ ἡμέτερα στρατεύματα καὶ κατ᾽ ἐκείνων ἐν αὐτῇ γέ που τῇ πολεμίᾳ, συνδιαβαίνει καὶ τῶν σερβῶν αὐτῶν σύμμαχος αὖθις ἑτέρα δύναμις οὐκ ἀγεννής. καὶ οὐκ ἀνέχεται ὁ φίλτατος οὗτος ἐμοὶ καὶ τὴν ἀρχὴν ἔχων αὐτῶν, μὴ, ὅποι δὴ πολέμιοι, ὅποι δὲ καὶ παρατάξεις ἡμέτεραι κατ᾽ αὐτῶν, μὴ καὶ αὐτὸς ἀνταίρειν καὶ συμβάλλειν κατὰ ταὐτόν. καὶ βούλεται μὲν δὴ καὶ τῷ σώματι παρεῖναι, καὶ μάλα βούλεται καὶ προτεθύμηται· ἐπεὶ δὲ τοῦτο μὴ ἔστιν αὐτῷ (οὐδὲ γὰρ ἀπαίρειν μηδὲ μεθίστασθαι τῶν οἰκείων οὐ μὲν οὖν ἀσφαλὲς σφίσιν αὐτοῖς), ὃ δὴ δεύτερον οὐκ ἀναίνεται, ἀλλὰ καὶ τοῦτο δίδωσι προθύμως ἐς ὅσον δυνατὸν ἐς πλεῖστον.

α΄. Καὶ τοίνυν ἀντὶ τούτων — ἀλλ᾽ οἷόν γε καὶ τοῦτο! καὶ πάρεστιν ἤδη σκοπεῖν βουλομένοις τὸ τῆς γνώμης αὐτοῦ — ὑπὲρ γὰρ τῶν εἰρημένων πράξεων τῶν ἐκ θεοῦ καθ᾽ ὧν ἔφημεν ἐχθρῶν δεδωρημένων ἡμῖν βούλεται αὐτῷ[7] θεῷ ἀνάθημά τι προσαναθεῖναι καὶ χαριστήριον, καὶ τῇ ἐν τῷ ὄρει τοῦ ἄθω σεβασμίᾳ μονῇ τῆς παννπεράγνου μητρὸς αὐτοῦ χριστοῦ τοῦ θεοῦ[8] προσενεγκεῖν καὶ προσαρμόσαι, διὰ παντὸς δήπου παραμένον καὶ μήποτε ταύτης μήτ᾽ ἐκπίπτον μήτ᾽ ἐκλυόμενον. καὶ πρῶτον γοῦν αἰτεῖται καὶ παρὰ τῆς ἐμῆς βασιλείας λαμβάνει τὸ περὶ τὸν στρυμόνα[9] χωρίον τὸ καὶ ὠνομασμένον τοῦ κοῦτζι, καὶ ἀνατίθησι τῇ σεβασμίᾳ ταύτῃ μονῇ. νῦν δὲ καὶ χρήματα μελετᾷ καταθέσθαι, καὶ ἀντὶ τούτων εἶναι τὸ χωρίον ἐωνημένον ὥσπερ καὶ ἀποδεδομένον τῇ μονῇ. καὶ ὁ μὲν οὕτως. ποῦ δ᾽ ἦν εἰκὸς ἡμᾶς ἐπὶ χρήματα μὲν ἰδεῖν ταῦτα, παριδεῖν δ᾽ ἅπερ ἔφημεν ὑπὲρ τῶν ἡμετέρων τούτου σπουδάσματα, καὶ τὴν ἄγαν βούλησιν καὶ προθυμίαν αὐτοῦ; μὴ ὅτι γε ἐφ᾽ οὕτω σμικρᾷ χάριτι καὶ ἀντιδόσει, ἀλλ᾽ εἴ τί γε καὶ οἷον πολλοῦ τινος ἦν ἄξιον καὶ πλείστου, εἶτ᾽ ἦν αὐτῷ βουλομένῳ τόνδε δὴ τὸν τρόπον ἢ ἕτερον ἡμᾶς ἐπὶ τούτῳ τὸ δοκοῦν αὐτῷ πρᾶξαι. τοίνυν καὶ ὃ δὴ μᾶλλον ἡμεῖς δεῖν ἔγνωμεν πεπραχέναι, τοῦτ᾽ ἤδη καὶ πράττομεν. ἐστὶ δὲ τί; τὸν παρόντα χρυσόβουλλον λόγον ἐκθέντες αὐτῇ δὴ ταύτῃ τῇ παννπεράγνῳ μητρὶ τοῦ θεοῦ καὶ διὰ

---

[7] Malim *αὐτός*. [8] *Χιλανταρίου* monasterium indicari putat Boissonade.
[9] Cod. *στρυμμόνα*.

ταύτην τῇ ῥηθείσῃ σεβασμίᾳ ἀπονέμομεν μονῇ, δι᾽ οὗ δῆτα καὶ καθέξει μὲν διὰ παντὸς ἐς ἀεὶ τὸ λεχθὲν χωρίον, καθέξει δ᾽ ὀχλήσεως μηδεμιᾶς οὐδαμόθεν προσγιγνομένης αὐτῇ, οὔτ᾽ ἐξ οὐδενὸς τῶν τὰ δημόσια πραττόντων οὔτ᾽ ἐκ χειρὸς ἀπογραφούσης καὶ ψηλαφώσης τὰ κατ᾽ αὐτὴν, ἀλλ᾽ ἀκέραιον ἐσεῖται τουτὶ τὸ κτῆμα κατὰ πᾶν ὅριον τὸ καὶ νῦν μέρος ὂν καὶ ἡρμοσμένον αὐτῷ· καὶ εἴ τι δ᾽ ἐν τούτῳ παρὰ τῶν μοναχῶν βελτιωθὲν ἐπὶ τὸ κρεῖττον ἥξει, τὸν αὐτὸν ἔσται τρόπον κατεχόμενον ὑπὸ τῆς μονῆς, μηδενὸς τῶν δικαίων ὄντων αὐτῷ μήθ᾽ ὑποτεμνομένου μήτ᾽ ἀπαλλοτριουμένου καὶ μεταπίπτοντος μηδαμῶς ἥκιστα ὑπ᾽ οὐδενός.

Καὶ τοίνυν τῇ δυνάμει τοῦ χρυσοβούλλου τοῦδε λόγου ταῦθ᾽ οὕτως ἔσται, καθὼς ἤδη καὶ προστάσσων ἐστὶ καὶ διοριζόμενος, ἐπεὶ καὶ τούτου χάριν γεγονὼς ἐβραβεύθη τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ.

NOV. XXXVI.

Imp. Andronici senioris aurea bulla pro componendo dissidio inter monachos[1].

Λόγος χρυσόβουλλος ἐπὶ τῇ ἑνώσει τῶν διαστάντων μοναχῶν, εἶτα συνιόντων εἰς ταὐτὸν τῷ τῆς ἐκκλησίας πληρώματι, λύσιν εἰληφότων τῶν προσισταμένων αὐτοῖς.

Εἰρήνη καὶ ὁμοφροσύνη, καὶ κοινὴ γνώμη διαφορᾶς ἁπάσης καὶ ἔριδος καὶ φιλονεικίας ἀπηλλαγμένη, ἄριστον δή που πανταχῇ τοῖς ἐξετάζουσι καὶ σκοπουμένοις καί γε τελεώτατον ἀγαθόν. οὐ μὴν ἀλλὰ καὶ ἐν κλήρῳ χριστοῦ καὶ τοῦδε τῇ ἐκκλησίᾳ, ἐπὶ ὀρθῶν καὶ ἀπταίστων τῶν ἑαυτῆς δογμάτων ἱσταμένῃ καὶ τὰ λοιπὰ πάντα εὖ ἐχούσῃ καὶ ἀσφαλῶς, τί ἂν μᾶλλον ὅ γε φιλόθεος καὶ φιλόχριστος ὑπὸ θεῷ συμπράττοντι καὶ τὴν κατόρθωσιν ἐμπαρεχομένῳ ἐπιμελῶς σπουδάσῃ, ἢ τοὺς ταὐτὰ περὶ θεοῦ φρονοῦντας καὶ περὶ τῆς ἀληθοῦς συμβαίνοντας καὶ συμφωνοῦντας ὁμολογίας καὶ τἄλλα δὴ πάντα μιᾶς γνώμης ἐξῆφθαι, καὶ μηδὲν διαφέρεσθαι μηδ᾽ ἀντικεῖσθαι τούτους, καὶ οἱονεί πως ἑαυτοῖς ἀντικαθεστάναι μηδαμῶς, ἀλλά γε παντὶ

---

[1] Ex Cod. Paris. reg. gr. 2105 edidit Boissonade Anecd. gr. II p. 70. Cf. Nov. XXXIV not. 1.

δὴ τρόπῳ φέροντι πρὸς ἓν συμβαίνειν πρὸς ἀλλήλους καὶ συναρμόζεσθαι, καὶ καθ' ἓν οἱονεὶ χεῖλος καὶ γλῶσσαν μίαν κηρύττειν ἐπ' αὐτῆς ἐκκλησίας ὁμοῦ τὰς αὐτὰς φωνὰς ἀφιέντας θεῷ, καί γε ὡς ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς πίστεως ἀσφαλῶς ἵδρυνται, οὕτω δὴ καὶ μίαν εἰδέναι τὴν τοῦ χριστοῦ ἐκκλησίαν πᾶσαν καὶ συνομολογοῦσαν ἑαυτῇ καὶ συμβαίνουσαν καὶ ἀδιάῤῥηκτον ὅλον φοροῦσαν τὸν ἑαυτῆς χιτῶνα, ἄνωθεν ὑφασμένον[2] καὶ μή τι σχίσμα καταδεχόμενον μηδὲ τομὴν καὶ ῥῆξιν καὶ εἰς μέρη διαίρεσιν. ἐπεὶ καὶ τῷ διαιροῦντι παντὶ καὶ τέμνοντι ὅσον παρὰ τοῦ ἐξυφάναντος καὶ τῷ οἰκείῳ ἐμβάψαντος καὶ ἐπιχρώσαντος αἵματι ἡτοίμασται καὶ κεῖται πρὸς βασάνους καὶ κόλασιν δῆλον δήπου τοῖς γε σκοπουμένοις καὶ βαθέως συνιεῖσι τὸ τόλμημα· καὶ γὰρ πλέον καὶ μεῖζον καὶ ἀναιδέστερον ὁμοῦ καὶ θρασύτερον ἢ ὡς οἱ σταυρώσαντες τετολμήκασιν· οὐ γὰρ διείλοντο ἐκεῖνοι ἀλλ' ἐφείσαντο βαλόντες κλῆρον, τὰ ἱερά φασιν εὐαγγέλια. ταύτῃ τοι καὶ ἵνα τοῦτον ἀκέραιον καὶ ἄτμητον δι' ὅλου καὶ ἀμέριστον ἡ τοῦ χριστοῦ φορῇ ἐκκλησία, αὐτὸς χριστὸς οὐ τοῖς τότε μαθηταῖς μόνον, ἀλλὰ καὶ τοῖς μετ' ἐκείνους καὶ πᾶσιν οἷς συνεῖναι μέχρι τέλους αἰῶνος καθυπισχνεῖται, ἐμβοᾷ καὶ διακελεύεται καὶ ἀγάπην μὲν ἔχειν πρὸς ἀλλήλους, οὐ μὴν ἀλλὰ καὶ εἰρήνην τὴν ἑαυτοῦ καὶ δίδωσι καὶ ἀφίησιν[3], ὅτι μηδ' ἔστιν ἄλλως οὐ μὲν οὖν ἡνῶσθαι τοὺς ἑαυτοῦ καὶ πρὸς μίαν οὖσαν τὴν ἐκκλησίαν, ἧς αὐτὸς κεφαλὴ, συναρμολογεῖσθαι καὶ συνάγεσθαι, τῆς εἰρήνης μὴ συναπτούσης καὶ συσφιγγούσης πρὸς ἕν, ἀκαταλύτου δή τινος συνδέσμου δίκην καὶ πανταχόθεν συνέχοντος. καὶ τοίνυν ὅτι τοῦθ' οὕτως ἔχει, καὶ ἡμᾶς δεῖ καθυπείκειν προστάγμασι θεοῦ προθυμουμένους καθ' ὅσον οἷόν τε διακονεῖν καὶ ἐξυπηρετεῖσθαι αὐτῷ, εἰ μὲν καὶ προεθυμήθημεν ὡς εἰκὸς καὶ ἐξυπηρετήσαμεν καὶ τῶν ὑπὲρ τῆς ἐκκλησίας αὐτοῦ σπουδασμάτων ἐνελίπομεν οὐδὲν, τί χρὴ καὶ λέγειν ἄνωθεν ἡμᾶς ἀρξαμένους καὶ διεξιόντας καθεξῆς πρὸς πάντ' εἰδότας ὑμᾶς καὶ τούτων ἀγνοοῦντας μηδέν; ἴστε πάντες πάντως καὶ τὸν ἐπενεχθέντα ταύτῃ τραχὺν σάλον καὶ τάραχον[4] καὶ σφίσιν αὐτοῖς ἐμβαλόντα τοῖς ἄνωθεν ὀρθῶς ἱσταμένοις καὶ πεπηγμένοις περὶ τῆς ὁμολογίας δόγμασι καὶ κατασεῖσαι δυνηθέντα καὶ μετασαλεῦσαι καὶ παρασῦραι καὶ μετενεγκεῖν·

---

[2] Allusio ad Joann. XIX, 23. [3] Joann. XIII, 34. XIV, 27. [4] Boiss. notat: Innuit turbas theologicas de processione S. Spiritus, quas ipse sedare ac componere sedula opera studuit.... Sed fuit illa compositio novorum dissidiorum origo.

ἴστε καὶ ὅπως ἡμεῖς αὖθις καὶ μεθ' ὅσου πλείστου θερμοῦ καὶ διαπύρου τοῦ ζήλου τοῖς ἐπηρεασταῖς ἢ μᾶλλον εἰπεῖν ἀτόποις δογματισταῖς ἀντικαταστάντες ἀντέβημεν καὶ προέστημεν τῆς ἀληθείας, καὶ αὖθις ἀκραιφνῆ ἐπὶ τῶν ὀρθῶς αὐτῇ καὶ καλῶς ἐγνωσμένων τὴν ἐκκλησίαν ἀνασεσωκότες φέροντες ἀποδεδώκαμεν τῷ θεῷ, τοῦτο δὴ πρῶτον τῶν ἄλλων πάντων περὶ πάσης θέμενοι σπουδῆς, ἅτε δὴ καὶ πάντων τῶν ἄλλων πρᾶγμα πρὸς τοῦτο τελούντων μικρὸν ἢ οὐδέν. καὶ τοίνυν νόθον πᾶν καὶ ἐπείσακτον αὐτῇ δόγμα τελέως ἀνελόντες ἀπηλάσαμεν ἐκ μέσου. καὶ ἔδει μὲν πάντας εὐθὺς τοὺς ὀρθὰ φρονοῦντας καὶ ἐπὶ τοῦ ὑγιαίνοντος ἀνέχοντας καὶ τῆς ἀληθείας, λαμπρῶς οὕτω τῆς ἐκκλησίας ἀνεῳγμένης, ἐντὸς αὐτῆς σπουδάσαι γενέσθαι μεθ' ὑψηλοῦ τοῦ κηρύγματος συγκαλουμένης, καί γε καθαρὸν μὲν καὶ ἀκίβδηλον τὸν ἑαυτῆς ἄρτον φαγεῖν καὶ προτεινούσης καὶ παρεχομένης μή τινος μετέχοντα πονηρᾶς ζύμης καὶ ἀλλοκότου, καθαρὸν δὲ πιεῖν προτεινούσης καὶ τὸν κρατῆρα παντὸς παντάπασιν ἀπωσμένον καὶ ἀπεληλαμένου τοῦ γε συνθολοῦντος. οὐ μὴν ἀλλ' ἐνέμειναν στάντες ἐκτὸς, ὅσοις δὴ καὶ τοῦτο καὶ ὅπως ποτὲ παρέστη δόξαν αὐτοῖς[5]. καὶ ἡμεῖς ἐφεξῆς σπουδὴν αὖθις ἐποιησάμεθα πάντας ἐκ παντὸς τρόπου ἰσχύσαι εἰσελάσαι καί γε τοὺς ἴσα ταῖς θεολογίαις φρονοῦντας ἴσους καὶ τὴν γνώμην γενέσθαι, αὐτῆς δὴ ταύτης ἕνεκεν τῆς πρὸς ἀλλήλους ὁμονοίας, διαφορᾶς ἁπάσης περιαιρεθείσης. καὶ γίνεται δὴ τοῦτο καὶ πρὸς τὴν ἐμὴν ἀπαντᾷ καὶ σπουδὴν καὶ γνώμην. γίνεται δὲ πῶς; ἥκουσι παρ' ἡμᾶς, καὶ τό γε θορυβοῦν αὐτοὺς πᾶν καὶ ταράττον καὶ βάλλον εἰς δειλίαν προτείνουσιν εἰς μέσον, καί γ' ἐπὶ τούτοις ἡμῶν πραξάντων παῦσαι ζητοῦσι δειλιῶντας τοὺς ἑαυτῶν λογισμούς. καὶ πράττομεν δὴ αὐτὸ τὸ τῆς εἰρήνης ὅπερ ἔφημεν μέγιστον καὶ παρὰ θεοῦ ἡμῖν ἐντεταλμένον κράτιστον ἀγαθὸν παντὸς ἑτέρου προτετιμηκότες.

α'. Τί δὲ πράττομεν; φθάνει[6] μὲν ὁ πολὺς ἐκεῖνος τοὺς ὑπὲρ τῆς ἀληθείας καὶ τῶν ὀρθῶν δογμάτων ἀγῶνας, πολὺς καὶ τὴν ἔνστασιν καὶ τὴν καρτερίαν καὶ μηδὲν τῆς ὁμολογίας καθυφεὶς μηδὲ καθυπείξας καὶ ὑπενδοὺς τοῖς ἐπὶ μακρῶν τῶν χρόνων βιαζομένοις καὶ ἀποπειρωμένοις αὐτοῦ παραίτησιν τοῦ πατριαρχικοῦ ποιήσασθαι θρόνου, ἐκείνων ὑπεκστάντων δη-

---

[5] Innuit Arsenitas, qui Josepho Patriarchae adversabantur. Cf. Nic. Greg. VI, 1, 4. [6] Boivinius ad Nic. Greg. VI, 4 ed. Paris. p. 753 verba φθάνει — θρόνου ex Cod. Paris. reg. jam olim adposuit.

λονότι καὶ τοῦδε μέχρι τέλους νενικηκότος. καὶ γοῦν ὡς εἶδε λαμπρὸν οὕτω κατὰ τῶν πολεμούντων ὑπὸ θεῷ πρύτανι παρ' ἡμῶν τὸ τρόπαιον ἀναστὰν, ἅμα τε ἀνέπνευσεν ἡδέως Ἰωσὴφ[7] ἐκεῖνος, ὁ πάνυ καὶ μέγας ἀθλητὴς, καὶ περιβόητος μὲν τὰ πρῶτα τῆς ἀρετῆς καὶ τῶν ἐκείνῳ πεπολιτευμένων, περιβόητος δὲ μᾶλλον τὰ τελευταῖα τῶν παλαισμάτων καὶ τῶν διηγωνισμένων αὐτῷ, καὶ παραιτεῖται τἄλλα πάντα τρόπον ὃν ἔφημεν, μηδενὸς τῶν ἐνταῦθα καὶ μεγάλων δή τινων ἀνθρώποις νομιζομένων ἐπιστροφὴν καὶ λόγον ποιούμενος. καὶ ὁ μὲν οὕτως· ἡ[8] δὲ τοῦ θεοῦ ἐκκλησία, ἐκεῖνον ὥσπερ ἀμειβομένη τῶν πόνων καὶ τῶν ὑπὲρ αὐτῆς καμάτων, ἀνακηρύττει ἐξ ὀνόματος κατ' ἴσον τοῖς ἄλλοις τοῖς μηδὲν παραιτησαμένοις, ἀλλ' ὁμοῦ μὲν ἐπ' εὐσεβείας ὁμοῦ δ' ἐπὶ τοῦ θρόνου ἐν ὁμοίοις ἀγωνίσμασι καὶ καιροῖς καταλύσασι τὸν βίον. καὶ τοίνυν ἓν δὴ τοῦτο τοῖς διαφερομένοις αὐτοῖς ἀφορμή τις γίνεται σκανδάλου καὶ πρόφασις ἡ ἀνακήρυξις, καὶ ζητοῦσι κατασιγασθῆναι[9] ταύτην καὶ παύσασθαι. καὶ παύσομεν σεσιωπηκότες, φίλα κἂν τούτῳ πράττοντες ἐκείνῳ καὶ οἱονεὶ κατὰ γνώμην ἃ παρῃτήσατο παραιτούμενοι, καὶ μηδὲν περαιτέρω τῶν αὐτῷ δεδογμένων μήτε πράττοντες μήτ' ἐπινοοῦντες.

β'. Δεύτερον ὅρκους φασί τινας καὶ ἐπιτιμήσεις, ἅμα δὲ καὶ ὑπερφρονήσεις καὶ ἀθετήσεις αὐτῶν πάλαι ποτὲ γεγενημένας, καὶ ἐπεγκαλοῦσι τοῖς ἐνεχομένοις. ὅμως μή τι ἐξ ἐκείνων καθήκοι καὶ εἰς τοὺς ἐφεξῆς, ἐμφανῆ γενέσθαι βούλονται τὴν ἄφεσιν καὶ λύσιν, καὶ πείθονται ἀφιέναι θεὸν, τοῦ πατριάρχου καταδεηθέντος καὶ ταῖς ἱκεσίαις ἱλεωσαμένου. καὶ στήσεται δὴ οὗτος καὶ ἐξιλάσεται πρεσβεύων, καὶ τὰς ἀφέσεις ἐκεῖθεν τοῖς χρῄζουσιν οἷς ἔφημεν ἐνεχομένοις παρέξει.

γ'. Καὶ τοίνυν τοῦ Βέκκου κακῶς ἐπιφυέντος τῇ ἐκκλησίᾳ, καὶ ὅλον κατὰ ταύτης καὶ τῶν ὀρθῶς αὐτῇ δεδογμένων τὸν τῆς θολερᾶς ἀνατροπῆς καὶ συγχύσεως ἰὸν ἐξεμέσαντος, ἀπηλάθησαν μὲν εὐθὺς τοῦ βήματος ἐξωσθέντες, ὅσοι καὶ ταῖς ἐκείνου χερσὶ χρησάμενοι καὶ ὑπὸ ταύταις τελεσθῆναι νομίσαντες ἐντὸς αὐτοῦ παρεισέδυσαν· εἰ δέ τις τῶν τοιούτων καὶ λαθὼν ἐναπέμεινεν ἐς δεῦρο κρυπτόμενος, καὶ ἡμεῖς μέν φαμεν πρῶτοι, φασὶ δ' ὁμοίως ἡμῖν καὶ οἱ νῦν γενόμενοι μεθ' ἡμῶν,

---

[7] Josephus Patriarcha a. 1282 restitutus, insequenti anno diem supremum obiit. [8] Etiam haec verba ἡ δὲ — ἐπινοοῦντες Boivin. l. l. praestitit. [9] Boivin: κατασιγηθῆναι.

ἐξωσθῆναι καὶ ἀποῤῥιφῆναι τούτους καὶ παντὸς ἐκπεσεῖν θείου καὶ ἱεροῦ λειτουργήματος, καὶ ἐξωσθήσεται δῆλος γεγονὼς καὶ ἀποῤῥιφήσεται. οὐ μὴν ἀλλὰ καὶ εἴ τις ἐν διακόνοις, εἴ τις ἐν ἱερεῦσιν, ἐν ἐπισκόποις εἴ τις ἐγκλήμασιν ἐλεγχθείη ἐπ' ἀληθείας ἐνισχημένος ὁπωσδήποτε, καθαιροῦσιν αὐτὸν καὶ τοῦ βαθμοῦ καὶ τῆς τάξεως ἐφ' ἧς ἕστηκεν ἐξελαύνουσιν, ἢ βίου χάριν βεβήλου καὶ μή τί γε τῇ θείᾳ καὶ ἱερᾷ τραπέζῃ καὶ τοῖς ἐν ταύτῃ φρικτοῖς μυστηρίοις προσήκοντος, ἢ χειροτονίας ἕνεκεν καθάπαξ ἀπηγορευμένης ταῖς ἀποστολικαῖς καὶ πατρικαῖς παραδόσεσι· καὶ οὗτος ἥκιστα οὐδαμῶς ἐκφεύξεται τὴν δίκην, ἣν αὐτοὶ κατ' αὐτοῦ ἀπόστολοί τε ἅμα καὶ πατέρες καθαιροῦντες ἐξήνεγκαν.

δ'. Ἔσονται καὶ οἱ τοῦ πατριαρχικοῦ μὲν ἐν μεθέξει γενόμενοι θρόνου, εἶτα τοῦτον παραιτησάμενοι, μηκέτ' ἐπ' αὐτὸν αὖθις οὐ μὲν οὖν ἀναβεβηκότες, ὅτι μηδ' ἔξεστι τοῦ λοιποῦ ὅρκοις αὐτῶν ἀκαταλύτοις τὰς παραιτήσεις κατασφαλισαμένων· καὶ διαμενοῦσι τοίνυν μέχρι παντὸς αὐτὸ δὴ τοῦτο τὸ δόξαν οὕτως αὐτοῖς τηροῦντες καὶ περισώζοντες.

Τὰ δέ γε τῆς καθ' ἡμᾶς ἐκκλησίας, αὐτῆς δὴ λέγω ταύτης τῆς καθολικῆς τε καὶ ἀποστολικῆς, ἀκραιφνῆ δόγματα, ὡς ἐν εὐαγγελίοις δηλαδὴ παρελάβομεν καὶ οἱ ἀπόστολοι παρέδοσαν ἡμῖν καὶ οἱ πατέρες ἐκήρυξαν, καὶ ἀνεκηρύξαμεν μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ καὶ ἐκραταιώσαμεν ἀσφαλῶς, πᾶν νόθον παρεισφθαρὲν αὐτοῖς ἐπίβουλον δόγμα καὶ ἐχθρὸν καὶ πολέμιον καταβαλόντες γενναίως καὶ ἀπωσάμενοι, καὶ νῦν αὖθις τὸν ἴσον τρόπον καὶ κραταιώσομεν καὶ ἀνακηρύξομεν. καὶ τὸ γεγονὸς ἐσεῖται πάλιν γεγενημένον, καὶ πάντ' ἔσται καθὰ δὴ καὶ λέλεκται, τὰ μὲν καὶ ἐξ ἀρχῆς εὐθὺς καὶ πρὶν ἢ ὑμᾶς ἐκζητῆσαι ὀρθῶς καὶ καλῶς πραξάντων ἡμῶν καὶ τελεσάντων, τὰ δὲ καὶ νῦν ὑμῶν χάριν καὶ τῆς κοινῆς ἕνεκεν εἰρήνης δεῖν ἐπεγνωκότων καὶ ὑποστῆναι καὶ πρᾶξαι.

NOV. XXXVII.

Imp. Andronici senioris aurea bulla de conjungendis monasteriis Galesii et S. Resurrectionis[1].

Λόγος χρυσόβουλλος ἐπὶ τῇ ἑνώσει τῆς ἐν τῷ γαλησίῳ μονῆς καὶ τῆς ἁγίας ἀναστάσεως, ὥστε τοῦ λοιποῦ μὴ δύο ἀλλὰ μίαν ταύτας εἶναι καὶ ὑφ' ἑνὶ τετάχθαι καὶ ἄγεσθαι καθηγουμένῳ.

Βασιλικῆς δὲ ἄρα καὶ σπουδῆς ἐπαινουμένης καὶ καλῶς ἐχούσης προθέσεως, κἀκεῖνα μὲν ἐν ὅτι πλείστοις τίθεσθαι τῇ μελέτῃ, στρατευμάτων δηλονότι καταλόγους ἐξετάζειν καὶ παρασκευὰς ἐπινοεῖν ὅπλων, καὶ πολλὰς δή τινας καὶ μεγάλας ἀπαριθμεῖν ἔχειν τὰς δυνάμεις ἐν τοῖς κατ' ἐχθρῶν ἀγῶσι (καὶ γὰρ ἂν οὕτω βασιλεὺς τοῖς μὲν πολεμοῦσιν ἀντικατασταίη, φοβερὸς αὐτοῖς πρὸς ἄμυναν ἥκων, τοῖς δ' ὑπηκόοις δώσει πάνυ τὶ θαῤῥεῖν, μεγάλ' ἅττα ταῦτα ἐπιδεικνύμενος οἷς ὑπὲρ αὐτῶν ἔχει μετὰ θεοῦ χρῆσθαι)· βασιλικῆς δ' ὁμοίως καὶ φιλανθρώπου γνώμης, μηδ' ὀλιγώρως τῶν πολιτικῶν ἔχειν μηδ' ἐᾶν ὡς ἔτυχε ταῦτα φέρεσθαι, μηδ' οἴεσθαι τουτὶ πρᾶγμα σπουδῆς ἥττονος ἄξιον, ἀλλὰ καὶ περὶ αὐτῶν δεῖν εἶναι νομίζειν πολλὰς ἐκδαπανᾶν φροντίδας ὡς ἂν καὶ ἄριστά πως διοικοῖτο, εὐνομίας πανταχοῦ καθισταμένης καὶ τοῦ γε ἴσου καὶ δικαίου καλῶς τοῖς πᾶσιν ἀπονενεμημένου. δύο γὰρ τούτων καιρῶν ὄντων, εἰρήνης δηλαδὴ καὶ πολέμου, καί γε τῶν πραγμάτων περὶ ταῦτα σαφῶς διαιρουμένων, ἀμφοτέροις βασιλεὺς ἀξίως ἀπαντήσει, καλῶς διελὼν καὶ παρασχὼν τὸ ἐπιβάλλον ἑκατέροις καὶ πρόσφορον, εἰρήνῃ μὲν εὖ ἔχοντα τὰ πολιτικὰ δεικνὺς, τοῖς δὲ πολέμοις κράτος πόῤῥωθεν μελετήσας. οὐ μὴν ἀλλὰ περὶ μὲν τούτων οὕτως· ποιεῖσθαι δὲ καὶ πρόνοιαν ψυχῶν, πᾶσαν τὴν σπουδὴν πρὸς οὐρανοὺς θεμένων καὶ ζῆν κατὰ θεὸν καθάπαξ ἑλομένων, φημὶ χρῆναι τὸν ἐκ θεοῦ βασιλεύοντα μηδὲν ἔλαττον ἑαυτῷ προσῆκον εἶναι νομίζειν, ὅτι μὴ καὶ μᾶλλον φροντιστήρια τούτων καὶ σεμνὰ καταγώγια ἐν ἐπιμελείαις τιθέναι, συνίστασθαί τε ταῦτα τὴν ἀρχὴν καὶ συνιστάμενα βεβαίως καὶ ἀσφα-

[1] Edidit Boissonade Anecd. gr. II p. 77 ex Cod. Paris. reg. gr. 2105. Cf. Nov. XXXIV not. 1. Fragmenta olim protulerat Boivin. ad Nic. Greg. IV, 8 ed. Paris. p. 751.

λῶς παραμένειν. τίνος δὴ χάριν; ὅτι δὴ καὶ οἱ ἐν τοῖς τούτοις[2] τρόπον ὃν ἔφημεν κόσμῳ καὶ τοῖς ἐν κόσμῳ πᾶσιν ἀποταξάμενοι καὶ θεῷ μόνῳ διὰ βίου παντὸς προσανέχειν ἐπεγνωκότες ἐξευμενίζουσι μὲν αὐτὸν καὶ ἵλεων ἡμῖν ἀπεργάζονται ταῖς ἱκεσίαις, παρασκευάζουσι δὲ καὶ χεῖρα βοηθείας τὴν κραταιὰν ὀρέγειν ἐπὶ τοῖς καθ' ἡμᾶς πᾶσι πράγμασι. καὶ γοῦν ἔστι παντὶ τῷ καλῶς σκοπουμένῳ καὶ τῷ γε δυναμένῳ συνετῶς κρίνειν ἐκεῖνο δὴ καὶ λέγειν, ὡς ὅσα τὶς φέρων αὐτοῖς σεμνείοις θεοφιλῶς ἀνατίθησι, τῶν ταύτῃ τοι βιοῦν αἱρουμένων τὰς σωματικὰς ἀνάγκας ὡσανεὶ τὸν τρόπον τοῦτον παραμυθούμενος καί γε χορηγῶν πράγματα [καὶ] κτήματα, ὧν καὶ σφίσιν αὐτοῖς διὰ τὴν φθειρομένην ζωὴν ἀπαραίτητος χρεία, πλέον συμβάλλεται καὶ ῥοπὴν ἐπὶ τὸ κρεῖττον ταῖς κοιναῖς δίδωσι συντελείαις, ἢ ἐπὶ τοῖς κατὰ κόσμον λυσιτελεῖν δοκοῦσιν, εἰ ταῦτα ἐτύγχανε συνεισφέρων καὶ προστιθείς. χωρὶς δὲ τούτων ἔχει τὶ καὶ κέρδος βασιλεὺς ἴδιον τῆς καλῆς ταύτης προαιρέσεως ἕνεκεν. εἰ γὰρ αὐτοῖς δὴ τούτοις τοῖς ὑπὲρ τὴν κάτω γενομένοις ὕλην καὶ τῶν χαμαὶ πραγμάτων συρομένων ἀποσπάσασιν ἑαυτοὺς καὶ ὅλοις ἄνω γε πορευομένοις συναίροιτο καὶ συνεφάπτοιτο σπουδῆς καὶ τὸν καλὸν αὐτοῖς ἐξομαλίζοι δρόμον, γίγνοιτο ἂν πάντως τούτοις καὶ μέτοχος τῶν ἀποκειμένων ἐκ θεοῦ βραβείων, πρὸς ὃν καὶ δι' ὃν οἵ τε ἱδρῶτες καὶ τὰ σπουδάσματα καὶ ἡ τοῦ σώματος αὐτοῖς τυραννὶς, αἴσθησιν μὲν καὶ τὴν κατ' αὐτὴν πᾶσαν ἡδονὴν φυγοῦσιν, ἐς δὲ ψυχὴν στραφεῖσι καὶ ὁλικῶς αὐτῇ προσθεμένοις. οὐ μὴν ἀλλὰ ταῦτα μὲν οὕτως, καὶ ἀμφιβάλλει τῶν ἁπάντων ὅστις οὐδεὶς, οὐδέ γε διπλῆν ἴσχει γνώμην ὡς ἐστὶν ἄλλως ἢ ὡς εἴρηται ταῦτ' ἔχειν, ἢ περὶ αὐτῶν ἐρεῖν ἄλλως τόν γε καλῶς ἐπεσκεμμένον καὶ τἀληθῆ βουλόμενον λέγειν.

α'. Ὅτου δὲ ταῦτα χάριν, καὶ πρὸς ὃν δὴ τείνει σκοπὸν ὁ λόγος; ἡ πρὸς ἕω τῷ τοῦ γαλησίου[3] τόπῳ σεβασμία μονὴ τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος, διαβόητος οὖσα ἐξότου δὴ καὶ τὴν ἀρχὴν συνέστη, καὶ σφόδρα γε θαυμαζομένη, οἷς καὶ πάνυ τὶ δεδύνηται ψυχὰς βελτιοῦν ζῆν κατὰ θεὸν αἱρουμένας, καὶ νῦν ἐς δεῦρο περισώζει τοῦτο δὴ τὸ καλὸν, καὶ τοῖς ἐν αὐτῇ τὴν πολιτείαν τήνδε μετιέναι προθυμουμένοις πρὸς αὐτὸ δὴ τοῦτο μάλα συναίρεται καὶ δεξιά τις ἐστὶ πληροῦν τὸν πόθον. ἵδρυται γὰρ ἐν ἀοικήτῳ τινὶ, πόῤῥω που

---

[2] Malim: τοιούτοις. [3] Boissonade montem in confinio Byzantii ad orientem situm esse dicit.

τῶν κοσμικῶν θορύβων ἀνῳκισμένη. ἱδρύει δ' αὐτὴν καὶ συνίστησι πρώτως ὁ περιβόητος τὴν ἄσκησιν καὶ μέγας τὴν κατὰ θεὸν πολιτείαν λάζαρος, ἀπολεξάμενος τόνδε τὸν τόπον καὶ τὴν θαυμασίαν ταύτην ἐν αὐτῷ τῇ θεομήτορι καθοσιώσας μονὴν, καίγε δειμάμενος καὶ πήξας ἀρετῆς ὡς εἰπεῖν ἐργαστήριον· ἢ μᾶλλον χῶρον δή τινα ζητῶν, αὐτόθεν ὥσπερ φύσιν ἔχοντα ψυχῶν βελτιώσεις, ἐνταῦθα δὴ καὶ παύει τὸ ζητούμενον εὑρηκώς. ὄρος γάρ ἐστιν ὁ τόπος ἄναντες καὶ τραχὺ, τῶν ἐς ψυχαγωγίαν καὶ παραμυθίαν σωματικὴν μηδενὸς ἥκιστα μετέχον· οὔτε γὰρ σκιάζεται δένδροις, οὔτε βοτάνης, ἀλλ' οὐδὲ χλόης ἀπογεννᾷ βλάστησιν, οὐ μὲν οὖν οὐδὲ τῶν ἄλλων ἀπὸ γῆς χρησίμων οὐδὲν οὐδόλως καρποφορεῖ, ξηρὸν δ' ἐστὶν ὅλον καὶ πρὸς τοιαύτας γονὰς παντάπασιν ἀφυὲς, εἰ καὶ ἄλλως γόνιμον ἀρετῆς, τὰ μὲν ὡς ἂν εἴποι τὶς ταύτην αὐτοφυῆ γεννῶν, τὰ δὲ δεχόμενον σπέρματα καὶ οὕτω συλλαμβάνον καὶ ἀποτίκτον καὶ τρέφον καὶ αὖξον ἐς πολλαπλάσιον. καὶ γοῦν τὴν αἴσθησιν ἀνιῶν θέλγει ψυχήν. σὺ δέ μοι βλέπε καὶ τὴν ἐς αὐτὴν φέρουσαν τὴν μονὴν οὐ στενὴν μόνον καὶ τεθλιμμένην ἅτε καὶ σαφῶς πρὸς ζωὴν ἄγουσαν, ἀλλὰ καὶ πλέον ἔχουσαν τὸ ἐπίπονον ἀκροτόμων λίθων προσκόμματα καὶ πολυέλικτον τὴν πορείαν, οὐ κατ' εὐθεῖαν ἄγουσαν, κατ' εὐθεῖαν δὲ πρὸς θεόν. βλέπε δὴ καὶ τὴν ἐπάνω τοῦ ὄρους ταύτην τοῦ θεοῦ πόλιν κειμένην, δι' ἀρετὴν μᾶλλον ἥκιστα κρυπτομένην, καὶ τὸν δρόμον ὅρα τῶν μοναχῶν, μᾶλλον δὲ τῶν ἀγωνιστῶν προθυμουμένων τὴν ἄνοδον καί γε σπουδαζόντων εἰς τέλος ἱκέσθαι καὶ νικῆσαι βελιὰρ καὶ ἀπολαβεῖν οὐ φθειρόμενον στέφανον, ἀλλ' ἀκήρατον καὶ εἰς αἰῶνας ἀνθοῦντα, ὃν χριστὸς ἄνωθεν προτείνει τοῖς ἐς αὐτὸν τρέχουσιν, ὁ καὶ μέγας ἀγωνοθέτης καὶ βραβευτὴς δίκαιος. ἔστι σοι πάντως θαυμάζειν καὶ τὴν τῶν ἀνδρῶν τῶνδε καρτερίαν· καὶ μάλα τὶ θαύμαζε, ὅπως θέρους μὲν οὐχ ὑπείκουσι καυσῶνι οὐδ' αὖ ἡττῶνται φλογμοῦ ἐν ἀνύδρῳ καὶ ἀσκίῳ ἐτάζοντος, χειμῶνος δ' αὖθις κρύει καὶ παγετοῖς προσπαλαίουσι, τοῖς ἐκ διαμέτρου κατάκρως ὡς ἄν τις εἴποι κακοῖς καὶ ὧν οὐδὲ πρὸς ἕτερον ἔστιν ἀντιβῆναι γενναίας ἄνευ ψυχῆς καὶ πάσης ἀποῤῥαγείσης προσπαθείας τοῦ σώματος. οὐ μὴν ἀλλ' ὁ λόγος οὐκ ἐθέλει τόδε τὸ θέατρον ἐν ᾧ οἱ ἀγῶνες ῥᾳδίως ἀπολιπεῖν, οὐδ' ὥσπερ σκιάσαι μόνον τοὺς ἀκάμαντας, ἀμυδρὰ περὶ αὐτῶν εἰρηκὼς καὶ τοῖς μὴ διὰ πείρας εἰδόσιν οὔπω γε γνώριμα· τοίνυν καὶ τὰ τῆς ἀγωνίας ὡς ἔχει διεξέλθοι σαφέστερον. βάλλει μὲν ἐκεῖ θέρους ἥλιος φλέγων πέτρας οὐκ ἔλαττον ἢ πῦρ ἐν

ἀκάνθαις πεσὸν, συμφλέγει δ' ἀέρα καὶ τοῦτον ὡς ἐκ καμίνου κατὰ πρόσωπον βάλλων λύει σώματα τῶν τῇ φλογὶ προσπιπτόντων· οἱ δὲ διακαρτεροῦσι μακάριοι τῶν παλαισμάτων, ὅτι σωμάτων καταφρονήσαντες οὐδενὶ δή τινι καλύπτονται διὰ τὰς ἀφθάρτους ἐλπίδας. τοίνυν οὐδὲ πρὸς ὅπερ ἔφην μόνον πῦρ αὐτοὺς δοκιμάζον ἰσχυρῶς παρατάττονται καὶ διὰ τέλους νικῶσιν, ἀλλὰ καὶ νιφετοῖς καὶ ψύχει προσταλαιπωροῦσι, πολεμίῳ δή τινι σώματος ἀφορήτῳ καὶ φθαρτικῷ. καί γε διὰ πυρὸς ἐρχόμενοι δοκιμασίας μεγάλης, μικρὸν ὕδωρ νομίσαντες, διὰ κρύους καὶ πήξεως εἰς ἀναψυχὴν χωροῦσι, θαυμαστοί τινες τῶν ἀγώνων καὶ τῆς καρτερίας, πολλῷ δὲ πλέον τῆς πρὸς τὸν πολεμοῦντα μάχης καὶ τῶν κατ' αὐτοῦ τροπαίων, καὶ ὅτι δὴ πρὸς τοῦτον καὶ τὴν κτίσιν ὥσπερ πολεμωθεῖσαν αὐτοῖς ἀντικαταστάντες οὐχ ἡττήθησαν, οὐδ' ὑπεχώρησαν ὡς δή τινες κάμνοντες, ἀλλ' ἀνένδοτον μέχρι παντὸς φυλάττουσι τὸν τόνον. ταῦτ' ἄρα καὶ πάντες μὲν ἄλλοι διὰ πολλοῦ τοὺς ἄνδρας ποιοῦνται τοῦ θαύματος, καὶ ὅσοι περὶ αὐτῶν λέγουσιν εὐφήμοις λέγουσι ταῖς γλώτταις· ἡ δ' ἡμετέρα βασιλεία καὶ πάνυ τὶ εὐμενῶς περὶ τὴν σεβασμίαν τήνδε τῶν οὕτω θεοφιλῶς βιούντων ἢ μᾶλλον διαθλούντων μονὴν διατιθεμένη, ἄλλα τε ταύτῃ ἐναργῆ δείγματα τῆς εὐμενείας παρέσχετο, καὶ πάντα ὅσαπερ φθάσας χρόνος ἐκ διαφόρων ἀφορμῶν αὐτῇ περιεποιήσατο, χρυσοβούλλοις καὶ λοιποῖς στηρίγμασιν ἀμετακινήτως ἔχειν ἐβεβαίωσεν. ἐπὶ δὲ τούτοις ἐστὶ καὶ τὸ νῦν γιγνόμενον, ἅμα μὲν ὑπὲρ αὐτῆς ἅμα δὲ τῆς ἐν τῇ μεγαλοπόλει τῇδε σεβασμίας μονῆς, τῆς τοῦ θεοῦ φημι καὶ σωτῆρος ἡμῶν ἀναστάσεως[4]. ἐπισυνάπτει γὰρ ἀμφοτέρας καὶ εἰς ἓν ἄγει, καὶ μίαν ἐκ δύο τῶν προτέρων αὐτὰς δείκνυσι, πάντα κοινὰ εἶναι τοῦ λοιποῦ ὅσα δὴ ταύταις ἀνὰ μέρος ἦσαν προστάξασα, καί γε ὑφ' ἕνα καὶ τὸν αὐτὸν πνευματικὸν ἄγεσθαι διδάσκαλον, τῶν ἐν ἀμφοτέραις μοναστῶν κατ' ἴσον καὶ τὸν αὐτὸν ἐξηγούμενον τρόπον, καὶ τῶν κατ' αὐτὰς πραγμάτων ἐπιμελούμενον ὁμοίως καὶ ταῦτα διοικοῦντα καλῶς, καλῶς προμηθευσαμένη. οὕτω περὶ αὐτῶν ἔγνω, καὶ τὴν αὐτὴν ἕνωσιν οὕτως ἔχειν ἡ ἡμετέρα βασιλεία προσέταξε[5].

---

[4] De hoc coenobio videatur Ducange Constantinop. Christ. ed. Paris. p. 253.
[5] In Codice additur: *καὶ ἔσχεν οὕτως*. Quae verba non ad chrysobullum pertinere, sed scriptoris notam continere videntur.

NOV. XXXVIII.

Imp. Andronici senioris de judicibus[1].

Ἐκ βασιλέως θέσπισμα κατὰ τῶν ἀδικούντων, ἄγον εἰς ὅρκους τοὺς δικαστὰς καὶ ἅπαντι τρόπῳ βοήθειαν παρέχον τοῖς ἀδικουμένοις.

Ὁ μὲν παρὼν πρὸς ὑμᾶς λόγος τοὺς ὑπὸ τὴν ἡμετέραν τελοῦντας ἀρχὴν καὶ τὴν ἐκ θεοῦ δοθεῖσαν ἡμῖν ἐξουσίαν καὶ βασιλείαν νῦν ἔσται κράτιστος εἰπεῖν καὶ λυσιτελὴς τοῖς πᾶσιν εἰρημένος, εἴπερ δὴ κράτιστον ἁπάντων καὶ λυσιτελέστατον δικαιοσύνη· τῷ δὲ πρόθεσις βοήθειαν ἐκ παντὸς τρόπου ταύτῃ σπουδάσαι πρᾶξαι, καὶ μηδένα τοῦ λοιποῦ παρὰ μηδενὸς ἠδικημένον ἐγκαρτερεῖν ὡς ἀκαταλύτοις δή τισιν οἷς κακῶς πάσχει μηδεμιᾶς μηδαμόθεν λύσεως φαινομένης. Θαυμάσοιτε δ' ἂν ἴσως, εἰ πάλαι τοῦτο, τοσοῦτον ὂν ἄριστον εὐδαίμονος εἰς πολιτείας λόγον καὶ χρήσιμον κρατῆσαι, οὐχ ἡμῖν δέδοκται ἢ σφό-

---

[1] Hanc (a Nicephoro Chumno conceptam) ex Cod. Paris. reg. gr. 2105, qui Chumni opera continet, exhibuit Boissonade Anecd. Gr. II p. 85. Cf. Nov. XXXIV not. 1. Georgius Pachymeres in Andronico seniore III, 16 imperatorem narrat terrae motu admonitum concionem habuisse, et promisisse „*συντάττειν λόγον χρυσοβούλλειον περὶ κρίσεως, καὶ δικαστὰς ἐκλέξασθαι ἔκ τ' ἀρχιερέων, ἔκ τ' ἄλλως ἱερωμένων καὶ ἐκ τῶν συγκλητικῶν, ὡς συμποσοῦσθαι τοὺς πάντας εἰς δώδεκα, οἷς δὴ καὶ ὁρκωμοτήσασιν ἦ μὴν ἀδωροδοκήτως καὶ ἀπροσωπολήπτως τὰς κρίσεις ἐκφέρειν, ἀπ' αὐτῆς τῆς αὐτοῦ μητρὸς καὶ δεσποίνης ἄχρι καὶ εἰς αὐτὸν τὸν τυχόντα, πιστοῖς χρήσαιτ' ἂν κριταῖς κατὰ τὰ ἀνάκτορα*". Deinde c. 17 (*περὶ τοῦ χρυσοβουλλείου λόγου διὰ τοὺς κριτὰς καὶ κρίσεις*) sic pergit auctor: „*Ὀλίγαις δ' ὕστερον ἡμέραις καὶ ὁ χρυσοβούλλειος μὲν συντάττεται λόγος, οἱ δ' ἐκλέγονται πρόσφοροι, καὶ σύναξις πάλιν αὖθις κατὰ τὰ τῆς δεσποίνης ἀνάκτορα γίνεται, τῇδε τότε τοῦ κρατοῦντος σκηνοῦντος, καὶ δημηγορεῖ βασιλεὺς τὰ εἰκότα, καὶ ὁ χρυσοβούλλειος λόγος ἀναγινώσκεται· προέβη δὲ καί τισιν ὅρκος τῶν δικαστῶν. ὅσοι δὲ καὶ ἐκ τῆς συγκλήτου πείρᾳ νομικῇ καὶ συνέσει προφέροντες ἐκλελέχατο· καὶ φοβερὸν καθίστατο δικαστήριον, μεγάλῳ τε καὶ μικρῷ ἐπίσης τὰς κρίσεις ἐκφέρον· εἰ καὶ μὴ ἐς μακρὰν διετέλεσεν, ἀλλὰ κατ' ὀλίγον κατὰ τὰς τῶν μουσικῶν χορδῶν κρούσεις ἐξησθενηκὸς διαπεφωνήκει*". Istum terrae motum Kal. Juniis anni 1296 accidisse existimat P. Possinus in Obss. Pachym. Lib. III ed. Rom. p. 613: ut proinde huic anno *θέσπισμα* nostrum vindicandum sit. Quamquam qui eundem terrae motum commemorat Niceph. Gregoras VI, 9 ed. Paris. p. 124, reformationis judiciorum, quae illum subsequuta fuerit, mentionem nullam facit. Caeterum dubitaverit aliquis, utrum *ἐκ βασιλέως θέσπισμα*, quod jam editur, *δημηγορίαν* an *χρυσόβουλλον λόγον* Imperatoris contineat.

δρα δεδογμένον οὐχὶ καὶ σπουδάσαντες εὐθὺς ἠγάγομεν εἰς μέσον, ἀλλὰ βραδέως οὕτως ἐπὶ ταῦθ᾽ ἥκομεν ἐξ ἀρχῆς τὰ κάλλιστα καὶ λυσιτελῆ δεδογμένα. τούτου δὴ τὰς αἰτίας ἐροῦμεν ἤδη, μηδ᾽ ὑμῶν ἴσως τῶν πάντων παντελῶς ἀγνοούντων. ἔσται δὲ μικρὸν ἄνωθεν ὁ λόγος ἠργμένος. ἐμὲ θεὸς οἰκτιρμοῖς αὐτοῦ μόνοις (οὐ γὰρ παρ᾽ ἐμαυτοῦ προσέφερον οὐδέν· τί γὰρ ὁ καὶ πρὶν γενέσθαι δικαιωθεὶς ἄρχειν ὑπ᾽ αὐτῷ καὶ βασιλεύειν;), ἐμὲ τοιγαροῦν ἐκ κοιλίας μητρὸς θεὸς αὐτὸς φέρων ἐπὶ τὸν ὑψηλὸν τόνδε καὶ μέγαν τῆς ἀρχῆς ἐνέθηκε θρόνον· εἰ μὲν δὴ καὶ τοῦ σχήματος τοῦδε καὶ τοῦ μεγέθους δύναμιν ἀνάλογον πρότερον ἐναρμόσας, ὡς καὶ τὰ πάντα προσήκειν με τῷ γιγνομένῳ, ἄλλοι λεγόντων καὶ ὑμεῖς λέγετε οἱ περὶ θεὸν εὐγνωμονοῦντες καὶ τῶν ἐξ ἐκείνου γιγνομένων ὑμῖν ἀγαθῶν εὖ μάλα καὶ καλῶς ᾐσθημένοι. ἐγὼ δ᾽ ἐπεὶ πρὸς γένεσιν ἅμα καὶ βασιλείαν ἧκον, τὰ μὲν πρῶτα τῆς ἡλικίας ἐξ ἀνάγκης ἤμην καθυπείκων τῇ φύσει, διὰ σωματικὴν ἁπαλότητα μήτι λογισμοὺς μήτ᾽ αὖ ἐνεργείας χωρούσῃ καὶ ἀντιλήψεις πραγμάτων· ὅτε δ᾽ ὁ νοῦς ἀνέκυπτεν ἤδη καὶ τὸ ἀτελὲς οἱονεὶ τοῦ σώματος ὑπεραναβαίνων ἐπὶ πλέον ἦγε παντὸς τοῦ τῷ χρόνῳ προσήκοντος, τότ᾽ εὐθὺς ἐμοὶ γενναίους ἐπὶ λογισμοὺς ἐρχομένῳ δόγμα βέβαιον καὶ ἀσφαλῶς ἔχον γίγνεται, μηδ᾽ ἂν μήτ᾽ αὐτὴν βασιλείαν πρᾶγμα τοσοῦτον ὑψηλὸν καὶ μέγα καὶ μέγιστον οὖσαν, μήτ᾽ ἄλλο μηδὲν μηδὲ τὸ σμικρότατον γοῦν, ἀγαθὸν δ᾽ ὅμως, οὔτε συστῆναι τὴν ἀρχὴν οὔτ᾽ αὖ οἰκονομηθῆναι δυνατὸν εἶναι, μὴ καὶ τοῦ θεοῦ συνεφαπτομένου καὶ ῥᾴστην μὲν τὴν ἐγχείρισιν, ῥᾴστην δ᾽ ὁμοῦ καὶ τὴν εἰς τέλος ἔκβασιν ἐγκαθιστῶντος. τούτου δ᾽ ἵνα καλῶς ἡμεῖς ἐπιτυγχάνοιμεν, τὸ μὲν αὐτοῦ θεοῦ δεῖσθαι δεῖν ἔγνων καὶ πάνυ τὶ θερμῶς δεῖσθαι συνεργὸν ἐφ᾽ ἅπασιν ἔχειν, τὸ δὲ οἷς ἂν θεραπεύοιτο ἐπιμελῶς χρῆσθαι, ὡς ἂν μὴ ταῖς φωναῖς μόνον, ἀλλὰ καὶ αὐτοῖς ἕλκοιμεν πράγμασι, πρὸς ἃ δὴ καὶ μᾶλλον θεὸς βλέπει, καὶ ταῖς ἱκεσίαις οὕτω γε προσέχει τὰς πράξεις δηλονότι πρότερον δοκιμάζων. αὐτίκα γοῦν ἐνῆγόν με πάντες μὲν σχεδὸν προφητῶν λόγοι, πάντες δ᾽ ἀποστόλων, εἰσηγήσεις πᾶσαι θείων πατέρων, καὶ πρὸ πάντων αὐτοῦ χριστοῦ τὰ σωτήρια καὶ ἱερὰ εὐαγγέλια εὖ μάλα καὶ καλῶς εἰδέναι δικαιοσύνης τοὺς ἐπιμελομένους οὐ μικράν τινα ταύτην οὐδὲ φαύλην θεῷ πράττειν τὴν θεραπείαν, μᾶλλον μὲν οὖν καὶ ἱκανὴν αὐτοῦ σπλάγχνα διανοίγειν, καὶ θαῤῥεῖν ἡμᾶς ἐπὶ τῇσδε τῆς ἀρετῆς ἱσταμένους μὴ ἀποπεσεῖν ἐκείνου μήτε τῶν μεγάλων οἰκτιρμῶν μήτε τῆς κραταιᾶς χειρὸς μετὰ δικαιο-

σύνης πρὸς αὐτὸν ἡμῖν ἥκουσι προτεινομένης, ὡς καὶ τοὐναντίον αὖθις τοὺς ἀδικίαις ἐπιτιθεμένους ἀπὸ πάσης πίπτειν τῆς ἐς αὐτὸν ἐλπίδος καὶ δυσχερείαις πάσαις εἰκότως περιπίπτειν, ὅτι μὴ τὸν θεὸν σφίσιν αὐτοῖς μήτε καταφυγὴν καὶ κραταίωμα μήτ' αὖθις βοηθόν (φησιν)[2] ἔθεντο, ἀλλά τοι πλῆθος πλούτου τῆς πλεονεξίας κατακτησαμένης ψευδεῖς ἔσχον ἐπὶ τούτῳ τὰς ἐλπίδας. καὶ γοῦν ἰσχύσαντες τῇ ἑαυτῶν ματαιότητι λαμπρῶς (εἰπεῖν) ἠπατήθησαν, ὡς τοῦτον δὴ τὸν τρόπον καλῶς ἐνδυναμωθέντες. ἐπὶ τούτοις ἐμὲ τοῖς λογισμοῖς ἔτι σὺν πατρὶ βασιλεύοντα ζῆλος εἶχε τῶν δικαίων. ἐξεφάνη δὲ πλέον τὰ τῆς γνώμης, τοῦ κράτους ὅλου μετ' ἐκεῖνον ἐπ' ἐμοὶ καθαρῶς γεγονότος. καὶ γὰρ ἔγωγε νόμου παντὸς ὑπερκείμενος καὶ βίας ἁπάσης, πάντα δ' ἐξὸν ἐμοὶ πράττειν ὅσα δὴ καὶ βασιλεῖς οἱ τῷ μακρῷ πρὸ ἡμῶν χρόνῳ νόμον ἕνα μόνον καὶ παντὸς ἰσχυρότερον αὐτὴν τὴν βούλησιν ἔχοντες, παρεῖδον αὐτὸς τὴν κατὰ τοῦτο δυναστείαν, καὶ ταύτην δικαίαν ἐξ ὅτι πλείστης τῆς συνηθείας, πλείστων καὶ τῶν ὑποδειγμάτων καταφαινομένην. καὶ δὴ πρώτως ἐμαυτῷ δικαιοσύνην· νομοθετῶ δὲ δυοῖν ἕνεκεν, τὸ μὲν, ἵν' αὐτὸς τὰ μεγάλα κερδαίνω· — τίνα δὴ ταῦτα; δαυὶδ ἄκουσον σαφῶς λέγοντος[3]· „δίκαιος κύριος καὶ δικαιοσύνας ἠγάπησε“, καὶ „οὐκ εἶδόν (φησι) δίκαιον ἐγκαταλελειμμένον“ καὶ „δίκαιος ὡς φοῖνιξ ἀνθήσει“ καὶ „φῶς ἀνέτειλε τῷ δικαίῳ“· καὶ πολλὰ λέγει φιλοπόνως οἱονεὶ τοῖς ᾄσμασι προσκαθήμενος καὶ ψάλλων εἰς δικαιοσύνην. εἰ δὲ ταῦθ' οὕτως ἔχει (ἔχει δὲ πάντως οὕτως), ἔστιν ἄλλο τὶ τῶν ἁπάντων ἢ μᾶλλον αὐτὰ δὴ τὰ πάντα συλλαβεῖν εἰς ἓν καὶ τῆς ἀγάπης τοῦ θεοῦ κέρδος προτιμότερον θεῖναι; καὶ μὴν οὐδεὶς οἶμαι τῶν ἁπάντων ἐς τοσοῦτον οὔτ' ἀπονοίας οὔτε περὶ θεὸν ἀγνωμοσύνης οὐδέποτ' ἔσται κακῶς ἀφιγμένος, ὥστε τούτων δὴ πρὸς αἵρεσιν ἀμφοῖν κειμένων, ἀγάπης δηλονότι θεοῦ καὶ πάσης εἴπερ οἷόν τ' ἦν τῆς κτίσεως ἐν ἐξουσίᾳ γενέσθαι, διπλῆν ἔσχε γνώμην, καὶ οὐκ εὐθὺς ἐπὶ θεὸν ἔδραμεν ἀγαπητικῶς προκαλούμενον καὶ προσιόντα δὴ τοῦτον βουλόμενον εἰσποιεῖσθαι. ὅσον δὲ καὶ τοῦτ' αὖθις παντὶ μὲν ἀνθρώπῳ, βασιλεῖ δ' ἐπὶ μᾶλλον μὴ ἀπὸ θεοῦ ἐγκαταλελεῖφθαι, ἐκεῖθεν δ' ἐφ' ἅπασιν ἐξηρτημένον ἀσφαλῶς εἰδέναι συναιρόμενον θεὸν ἔχειν! εἰ δὲ καὶ ἀνθεῖ μόνος δίκαιος τῶν ἄλλων πάντων ἀπομαραινομένων, ἔχεις ὅ τι

---

[2] Psalm. XXX, 3. LI, 7. [3] Psalm. X, 8 et XXXVI, 25 ut XCI, 12 et XCVI, 11.

μᾶλλον αὐτὸς συμφερόντως πρὸ τοῦδε τοῦ καλοῦ τιμήσεις ἢ ὅ γε πλέον τοῦ φωτὸς ἀγαπήσεις ἄνωθεν ἐξ ἀνατολῶν μήποτε λυομένων τοῖς δικαίοις ἐγγιγνομένου; ἀλλ' οὐκ ἂν εἴποις! — ἀλλ' ὅπερ ἐλέγομεν, τὸ μὲν αὐτῶν δὴ τούτων τῶν εἰρημένων ἕνεκεν καὶ πολλῶν αὖθις καὶ μεγάλων ἑτέρων ἔν τε τοῖς παροῦσι καὶ τοῖς αἰωνίως οὖσιν εἰς κέρδος μέγιστον ἐρχομένων, τῆς καθ' ἡμᾶς ἀρχῆς καὶ βασιλείας προΐστημι δικαιοσύνην. καὶ παρῆκα καθ' ἕκαστον ἐπεξιέναι καί γε ταῖς ἱεραῖς γραφαῖς προσμαρτυρούσαις χρῆσθαι, ὅτι δὴ καὶ περιττὸν ἴσως ποικίλλειν περὶ τὰς ἀποδείξεις τῶν σαφῶς τοῖς πᾶσιν ἀνωμολογημένων. οὐ μὴν ἀλλὰ καὶ δι' ὑμᾶς ταύτην ἐπιτηδεύειν τὴν ἀρετὴν δεῖν ἔγνων. τίνος χάριν; ἵνα δὴ βλέποντες ὑμεῖς ἐς βασιλέα καὶ τύπον οἱονεὶ τοῦτον ἔχοντες τοῦ καλοῦ καὶ ὑπόδειγμα, φεύγοιτε μὲν τὴν ἀδικίαν, μεταδιώκητε δὲ δικαιοσύνην, ἐκεῖνό γε καλῶς εἰδότες, ὡς ὅσῳπερ ἂν πλέον μετέχοιτε τοῦ τρόπου, τοσούτῳ καὶ τῷ ἡμετέρῳ κράτει πράξοιτε κεχαρισμένα, εἴπερ ἄλλο τὶ τῶν πάντων τοῦτο πρὸ παντὸς ἑτέρου παρ' ὑμῶν ἀπαιτοῦντι, τὴν εὐνομίαν. ὁρᾶτε γὰρ πάντως, οἷος ἐγὼ περὶ ὑμᾶς (σὺν θεῷ δ' εἰρήσθω) πάντας, καὶ τοὺς πώποτε γεγενημένους βασιλεῖς, τοὺς αὐτοὺς καὶ δικαιοσύνης ἐραστὰς, εἴπερ τὶς τὴν γνώμην ταύτην ὑπερβαλόμενος. οὐ γὰρ ἐπεθύμησά ποτε, — ἀλλὰ τὶ χρὴ λέγειν περὶ ἐπιθυμίας; οὐ μὲν οὖν ἠνεσχόμην οὐδ' ἐπὶ νοῦν βαλέσθαι, — ἀλλὰ καὶ τοῦτ' ἐρεῖν ὁ λόγος ἥκιστα καταδέχεται, οὐδ' ὡς οὐκ ἐγένετό μοι λογισμός τις οὐδεὶς ἀδικίαις ὁπωσοῦν χαριζόμενος· ἐκεῖνο δὲ μᾶλλον ἀληθέστερον φᾶναι ἅτε δὴ καὶ παραπλησίως ἔχον· ποῖον δὴ τοῦτο; ὅτι γε καθάπερ ἐπὶ τοῦ πυρὸς ἢ φωτὸς οὐκ ἔστιν εὑρεῖν τῷ μέν τινος ἀποψυχούσης δυνάμεως, τῷ δὲ σκότους μετουσίαν, οὕτως οὐδ' ἐν ἐμοὶ γνώμην ἐνοχλοῦσαν ἄδικον. εἰ δέ ποτε τυχὸν καὶ ἠδίκησα ἐμαυτοῦ τι τῶν δικαίων προδοὺς, τοῦτο μόνον ἠδίκησα· οὐδ' ἐνταῦθα μὲν οἶδα καλῶς, ἐπεί τοι καὶ πανταχοῦ κακὸν βλάπτεσθαι δικαιοσύνην, καθυφῆκα δ' οὖν ἐν τοῖς τοιούτοις, ἵν' ἐκ τοῦ περιόντος ὑμᾶς ἐπὶ τὸ τὰ δίκαια τιμᾶν ἕλξω, καὶ ἀπέχοιτε παντάπασι τῶν ἀλλοτρίων, ὅταν καὶ περὶ τὰ οἰκεῖα μὴ παντελῶς ἀκριβολογεῖσθαι, ἀλλ' εἰδέναι τὶ καὶ συγχωρεῖν ἐξ αὐτῶν γε τῶν καθ' ἡμᾶς πραγμάτων ἔχοιτε τὴν διδασκαλίαν.

α'. Καὶ τοίνυν οὕτως ἐγὼ περὶ δικαιοσύνης γνοὺς οὕτω καὶ κρατεῖν αὐτὴν ἐν πᾶσι τὸν εἰρημένον τρόπον ἐνόμισα, ζήλου δηλονότι πρὸς τὴν ὑπὲρ ταύτης σπουδὴν ἐν ὑμῖν οὔ τι φαύλου δὴ γενομένου. καὶ εἶχον οὕτω γε τῶν ἐλπίδων. ἀπήντησε δὲ

κατὰ ταύτας οὐδὲν, ὅτι μὴ καὶ σαφῶς ἡ πεῖρα διέδειξεν, ὡς πάντ' ἂν πρότερον καὶ τῶν ἀμηχάνων ῥᾷστα τοῖς προθυμουμένοις γένοιτο, ἢ δικαιοσύνη δρᾶν ἕξει τὸ ἑαυτῆς τύποις μόνοις καὶ ὑποδείγμασι καὶ μὴ δυναστείᾳ βοηθουμένη. τί λοιπὸν ἐντεῦθεν; πρὸς δικαστήριον εἶδον, καὶ δικαστὰς καθίσαι προστάτας τοῦ δικαίου καὶ κράτος δοῦναι νόμοις καλῶς πάλαι τεθειμένοις, ἕτερός με λογισμὸς εἰσῄει. καὶ τίθεμαι δὴ τούτῳ, καὶ τὴν ἰσχὺν λαμπρὰν τοῖς δικασταῖς βραβεύω, καινὸν μὲν οὐδὲ τοῦτο τοῖς ἀδικουμένοις οὐδέ γε πρόσφατον ἐφευρηκὼς βοήθημα, καινὸν δὲ τὸ τὰ πάντ' εἰπεῖν δύνασθαι καὶ πρὸς τοῦτ' εἴκειν[4] πάντας καὶ μὴ βουλομένους, μικροὺς καὶ μείζους, ὑψηλοτέρους καὶ ταπεινοτέρους, τοὺς τῆς ἄνω γε καὶ πρώτης μοίρας, τοὺς καθεξῆς ἅπαντας, ἴσον λόγον ἔχοντας τοῖς ἡμετέροις προσανέχειν ἀσφαλῶς προστάγμασι, καὶ μὴ δοκεῖν τινος ὀλιγωρεῖν ὧν ἂν ἐπὶ τὰς κρίσεις ἀγομένων τούτων οἱ δικασταὶ ψηφίσαιντο, ἢ καθαρῶς ἐπ' αὐτὰ δὴ ταῦτα τὰ παρ' ἡμῶν ἐντάλματα φέρειν τὴν περιφρόνησιν, εἴ τις τοῦ δικαστηρίου καταφρονήσειεν. ὡς ἂν δὲ καὶ πάσης ὑπονοίας χωρὶς ὡς περὶ ἀδεκάστων τῶν ψήφων μὴ διπλῆν ἔχοι τις γνῶσιν, ἔδει καὶ ταῦτα προνοηθῆναι, καὶ προνενόηται. διττῆς γὰρ οὔσης τῆς αἰτίας ἐξ ἧς περὶ δικαιοσύνην ἁμαρτάνουσιν οἱ τὴν αὐτῆς ζήτησιν ἐπιτετραμμένοι (ἢ γὰρ ἀγνοίᾳ τῶν δικαίων τοῦ εἰκότος ἐνέλιπον, ἢ γνώμῃ φαύλῃ τὸ καλῶς παραστὰν προδεδωκότες ἀπῄεσαν), εἰκότως ἡμεῖς καὶ ἀμφοτέρωθεν μὴ πλημμελεῖς εἶναι τοὺς δικαστὰς πάνυ μὲν οὖν ἀσφαλεῖς[5] ἐτηρήσαμεν. οὕτω γὰρ αὐτοὺς ἀρίστους ἐπὶ πᾶσι συνιέναι τὰ δίκαια ἐκλέξαντες προὐβαλόμεθα, ὡς μηδ' ἂν ἔτι μηδ' αὐτοῖς τοῖς σφόδρα κατακρινομένοις μηδένα μηδαμῶς λείπεσθαι λόγον ἠδικῆσθαι παρενοχλοῦντα, ὅτι περ ἀμαθεῖς οἱ δικάσαντες. ἀλλ' εἰ μὲν εἰδότες ὅποι φέρει τὸ δίκαιον εἶθ' ἑκόντες ἡμάρτανον, στέρξουσι τοὺς ἐλέγχους ἀπογυμνοῦντας αὐτῶν τὴν προαίρεσιν, καὶ οὐκ ἂν ὡς ἠδικημένοι διϊσχυρίσαιντο τῷ συνειδότι καλῶς πεπεισμένοι· εἰ δ' ἀγνοοῦντες ἡλίσκοντο, καὶ οὕτω τοῖς δικασταῖς πειθαρχήσουσιν, αὐτόθεν ἔχοντες περὶ τῆς καταδίκης ὡς δικαίας τὰς πίστεις, ὅτι δὴ τοιούτοις οὖσι τοῖς δικασταῖς οὕτως ἔδοξε. καὶ μὴν ἐπομοσάμενοι κάθηνται, κατὰ τὸ ἐπιβάλλον ἑκάστῳ τὰς ἐγγύας παρασχόντες πρότερον. καὶ γὰρ ὡς τὸν μέγαν ἐν ἰσότητι κρινοῦσι καὶ τὸν μικρὸν, καὶ οὐ λήψονται δῶρον, οὐ λήψονται πρόσωπον, οὐ χαριοῦνται τῇ

---

[4] Boiss. conj. ἥκειν. [5] Boiss. mavult ἀσφαλῶς.

φιλίᾳ, οὐδὲν οὐ μὲν οὖν προτιμότερόν ποτε τῆς δικαιοσύνης ποιήσονται, τοῦτο καλῶς ἠσφαλίσαντο. καίτοιγε καὶ τῶν ὅρκων χωρὶς ἱκανὸς ὁ τρόπος τὸ παρ᾽ αὐτῶν ὅλον ὡς ὀρθῶς ἔχον πιστώσασθαι· ἀλλ᾽ ὀμωμοκότες δικάζουσιν, ἵν᾽ ὑμῖν τοῖς ἀδικεῖν βουλομένοις (εἴη δὲ μηδεὶς, ὡς ἂν μὴ καὶ ὄνειδος ἐπὶ τοιούτου γε τοῦ δικαστηρίου καταισχυνόμενος ὄφλοι, καὶ οὐδὲν αὐτῷ πλέον ἐπὶ τέλους ὑπάρξοι τῆς πονηρᾶς γνώμης), ἵνα γοῦν ὑμῖν μηδεμία λείποιτο πρόφασις, ὡς οὐκ ἐν δίκῃ τὰ τῆς καταδίκης ἐνήρμοσται, τούτου χάριν παλαιὸν ἔθος ἡμεῖς ἐκαινίσαμεν, τοὺς δικάζειν λαχόντας ἐπὶ τοὺς ὅρκους πρότερον ἐμβιβάσαντες. καὶ τίς λοιπὸν ἔτι τοσοῦτον ἀναιδὴς καὶ πάνυ γε τοῖς νόμοις ὁμόσε καὶ τοῖς δικαίοις ἰὼν, ὃς αὐτόθεν ἀπὸ τοῦ δικαστηρίου τοῦδε κατάκριτος ἐξιὼν, οὐκ εὐπειθήσει τοῖς δόξασιν; ἢ πρὸς τί βλέπων ἔτι γενναῖον αὐτῷ περιὸν τὴν καταδίκην ἀποσκευάσασθαι τὰς ψήφους ἀτιμάσει, τῶν πρότερον ἐχόμενος; ἐμοὶ γὰρ οὗτος ἔσται παντελῶς ἀποτρόπαιος, καὶ οὐδὲν αὐτὸν οὐδαμῶς ὀνήσει, κἂν πάντα προβάλοιτο· μηδὲν δ᾽ οἷον τοὺς δικαστὰς ἐκμειλίξασθαι καταφαινόμενον δίκαιον. καὶ γὰρ οὕτως ἔχει. ἠβουλόμην μὲν αὐτὸς ἐξεταστὴς εἶναι τοῖς δικαζομένοις, καί γε τὰς λύσεις οὐκ ἄλλοθεν ἢ παρ᾽ ἐμαυτοῦ τοῖς τὰς δίκας ἔχουσι γίγνεσθαι· ἐπεὶ δὲ τοῦτο βασιλεῖ παντὸς μᾶλλον ἀδύνατον, μυρίων ἄλλων περικεχυμένων πραγμάτων καὶ στρεφόντων πρὸς ἑαυτὰ, αὐτὴν δὴ ταύτην διὰ τοῦ δικαστηρίου τοῦδε πληρῶ μοι τὴν βούλησιν. καὶ σὺ δὲ πᾶς ὁ κρινόμενος ὡς ἀπὸ γνώμης καὶ φωνῆς ἡμετέρας μηδὲν ἀντιτείνων πρόσου τὴν ψῆφον οὐδὲν ἔλαττον τῶν ἡμετέρων προσταγμάτων εἰς ἰσχὺν ἔχουσαν. οὐδὲ γὰρ δυνήσῃ ταύτην οὐ μὲν οὖν ποτε καταλῦσαι, κἂν πάντα φέροις τῶν ἀξιωμάτων, κἂν πρὸς γένος ἡμῖν ἥκοις ἔγγιστα βασιλεύουσι, κἂν ὁ πρῴην χρόνος ἐφ᾽ οἷς μὴ μετεῖχες ἐνδυναστεύοντί σοι παρεχώρει τὸ παρὸν ἴσως ἀναμένων πρὸς τὴν διόρθωσιν.

β΄. Ἐγὼ καὶ τοῦτο βασιλικῶς διαγορεύω, εἰ δὲ βούλεσθε κοινῇ πᾶσι μεθ᾽ ἡσαΐου[6] συμβουλεύω· „μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν". κἀκεῖνος μὲν ἴσως καὶ ὑφ᾽ ἑτέρων τοὺς ἀδικουμένους δυναμένους ὑμᾶς ῥύσασθαι βούλεται· ἐγὼ δὲ μὴ ἀδικεῖν ὑμᾶς λέγω, εἰ δ᾽ οὖν, ἀλλ᾽ αὐτὸς τὸν ἀδικούμενον ῥύσομαι, πρὸς ἐμὲ μᾶλλον φέρειν τὴν τοῦ προφήτου φωνὴν λογιζόμενος. „ἵνα τί ἀγαπᾶτε ματαιότητα", δαυὶδ[7] ὑμᾶς ἐντρέπων

---

[6] Esaias I, 17. [7] Psalm. IV, 2.

λέγει, „καὶ ψεῦδος ζητεῖτε“, κέρδη μὴ παραμένοντα, πλὴν ὅσον μόνον ἁμαρτίαν συστῆσαι καὶ πῦρ ὑμῖν συμφλέξαι κολάζον ἀπέραντα; „ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου“, ὁ αὐτὸς[8] αὖθις λέγει, „μὴ εἰσακουσάτω μου κύριος“· καὶ πῶς ὑμῶν θεὸς εἰσακούσεται, ἐνταυθοῖ μὲν ἐπικαλουμένων περιστάσεώς τινος σκυθρωπῆς ἐγκατειληφυίας, ἐκεῖσε δ᾽ εἰς κόλασιν ἐνδίκως ἐκπεμπομένων; ἀλλὰ καὶ „ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους καὶ ὦτά“ φησιν[9] „αὐτοῦ εἰς δέησιν αὐτῶν“· σὺ δ᾽ οὐκ ἀγαπήσεις μᾶλλον ἐν ἐπισκοπῇ θεοῦ εἶναι καὶ θέαμα καλὸν τοῖς ὀφθαλμοῖς ἐκείνου ἐργαζόμενος δικαιοσύνην; ἀλλ᾽ ὡς ἀποστρέψει τὸ πρόσωπον ἀπό σου θλιβομένου, τὰς δίκας ἴσως ἀποτιννύντος τῶν ἐξ ἀδικίας ἡμαρτημένων, ἀλλ᾽ ὡς οὐκ ἐπακούσεται μήτε ταχὺ μήτ᾽ ὀψὲ γοῦν μηδ᾽ ὁπωσοῦν πολλὰ βοῶντος καὶ ὀδυνωμένου, τοῦτο μᾶλλον ἐν σπουδῇ θήσεις; εἶτα σεαυτὸν εὐδαιμονίσεις, ὅτι δὴ πολλὰ κρατήσας ἐναπέθου ὀργῆς (εἰπεῖν) θεοῦ θησαυροὺς μεγάλους καὶ ὕλην χόρτον καὶ καλάμην τῇ μελλούσῃ κρίσει δοκιμαζομένην καὶ πυρὶ ἀσβέστῳ κατακαιομένην; καὶ πειθέτω σὲ ταῦτα μὲν παῦλος[10], πειθέτω δὲ καὶ πέτρος[11] „οἶδε“ λέγων „κύριος εὐσεβεῖς μὲν πειρασμῶν ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν τηρεῖν κρίσεως κολαζομένους“. πρὸς ἐκεῖνο δὲ τί λέγεις, ὅταν ὁ αὐτὸς ἀπόστολος[12] ἐν τούτῳ φανερὰ εἶναι τὰ τοῦ θεοῦ διϊσχυρίζεται τέκνα, καὶ αὖθις τὰ τέκνα τοῦ διαβόλου, „πᾶς ὁ τὴν δικαιοσύνην ποιῶν ἐκ τοῦ θεοῦ γεγέννηται“ λέγων „καὶ πᾶς ὁ μὴ ποιῶν τὴν δικαιοσύνην ἐκ τοῦ θεοῦ οὐκ ἐστί“; πῶς δὲ καὶ οὐ φρίττεις, ὅταν ἐν εὐαγγελίοις νῦν μὲν κατὰ φαρισαίων ἀκούῃς ἀγανακτοῦντος τοῦ κυρίου, καὶ „οὐαὶ ὑμῖν“ λέγοντος[13] „ὅτι ἔσωθεν γέμετε πάσης ἁρπαγῆς καὶ πονηρίας, καὶ ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, παρέρχεσθε δὲ τὴν κρίσιν“, νῦν δ᾽ ὑμᾶς τοὺς ἀδικοῦντας ἀποστρεφομένου, καὶ „οὐκ οἶδα πόθεν ἐστὶ“ διϊσχυριζομένου[14], καὶ ἔτι μετὰ μείζονος οἱονεὶ καὶ βαρυτέρας τῆς ὀργῆς πληκτικώτερον ἐμβοῶντος „ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας“; κἀπὶ τούτοις ἡ ἀπειλὴ ὡς φοβερὰ καὶ μεγάλη! „ἐκεῖ ἔσται“ φησὶν[15] „ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων“. καὶ χριστὸς μὲν οὕτω ταῦτα, θεὸς ὢν ἀψευδὴς καὶ κριτὴς τοῦ μέλλοντος αἰῶνος, ὃς καὶ τοὺς μὲν ἐκ δεξιῶν στήσει καί γε καλέσει τοῦ πατρὸς εὐλογημένους καὶ κληρονόμους

---

[8] Psalm. LXV, 18. [9] Psalm. XXXIII, 15. [10] 1 Cor. 3, 12. 13. [11] 2 Petri 2, 9. [12] Imo 1 Joann. 3. [13] Luc. XI, 39. 42. [14] Luc. XIII, 27. [15] Luc. XIII, 28.

μετακαλέσεται τῆς τῶν οὐρανῶν γενέσθαι βασιλείας ἡτοιμασμένης ἀπὸ καταβολῆς κόσμου, τοὺς δὲ μετὰ τῶν ἐρίφων ἐν τῇ ἀριστερᾷ καταδικάσει μερίδι καὶ πρὸς τὸ ἐξώτερον ἀποπέμψει πῦρ, οὐχ ὅτι τῶν ἀλλοτρίων τινὸς ἐπιθυμήσαντες (τοῦτο δὴ τὸ καθ᾽ ὑμᾶς) ἁρπαγαῖς ἐπέθεντο καὶ ἀδικίαις (οὐ γὰρ ἁρπαγὴν αὐτοῖς οὐδὲ πλεονεξίαν οὐδεμίαν οὐ μὲν οὖν ἐγκαλεῖ), ἀλλ᾽ ὃ πολλῷ τούτου μετριώτερον, ὅτι μὴ τροφὴν (φησιν) ὤρεξαν πεινῶσιν οὐδὲ διψῶσιν ἔδωκαν πιεῖν, οὐ γυμνοὺς περιέβαλον, οὐ συνεισήγαγον ξένους, οὐκ ἀσθενεῖς ἐπεσκέψαντο, οὐ πρὸς δεσμίους ἀπῆλθον, οὔτ᾽ οὐδὲν αὐτῷ διηκόνησαν οὐ κατὰ τὸν εἰρημένον πάντα τρόπον οὐκ ἐν μέρει τῶν ἀπηριθμημένων. καὶ γὰρ καὶ τὸ πᾶν ἀπαιτεῖ, κἂν βραχὺ νέμοις, φιλανθρώπως προσίεται, καὶ μάλισθ᾽ ὅταν ᾖ κατὰ δύναμιν, καὶ πᾶν ὅ τι ἂν προθυμούμενος καλῶς πράξῃς εἰς ἕνα τῶν μικρῶν τούτων καὶ ἀδελφῶν αὐτοῦ, εἰς ἑαυτὸν ἀκραιφνῶς καταδέχεται. καὶ ὁ μὲν ταῦτα. σὺ δ᾽ ἀντὶ τοῦ χορηγῆσαι τροφὴν καὶ πιεῖν δοῦναι καὶ μεταδοῦναι φιλοξενίας καὶ ἀγαγεῖν εἰς οἴκους, ἀγρὸν ἐγγίσεις πρὸς ἀγρὸν καὶ ἀμπελῶνα πρὸς ἀμπελῶνα καί γε πρὸς οἰκίαν συνάψεις οἰκίαν; ἵνα τί γένηται; ἵνα τοῦ πλησίον ἀφέλῃς, καὶ τὸ μὲν αὐτὸν πεινάσαι, τὸ δ᾽ ἴσως διψῆσαι, τὸ δ᾽ ἔξω μεῖναι ποιήσῃς, ξένον τῶν οἰκείων γενόμενον ἢ καὶ πρὸ τῶν σῶν πυλώνων τάχα βεβλημένον, καὶ πολλὰ δεόμενον οὐχ ἵνα τινὸς τῶν σεαυτοῦ διὰ τὴν ἐντολὴν μεταδῷς, ἀλλ᾽ ἵνα μόνον αὐτῶν αὐτῷ παραχωρήσῃς τῶν οἰκείων καὶ ὧν κακῶς ἀπεστέρησας. καὶ μὴν ἐκεῖθεν μὲν ἡσαΐας[16], ὁ καὶ τὰ χείλη καὶ τὴν γλῶσσαν ὑπὸ τοῦ θείου καθαρθεὶς ἄνθρακος καὶ τοῦ λοιποῦ κελευσθεὶς τοῖς ὀργάνοις τούτοις χρῆσθαι τοῦ πνεύματος, „οὐαί σοι“ λέγει, καὶ πολλὰ καταθρηνεῖ καὶ ταλανίζει πόῤῥωθεν ὥσπερ προορῶν ὅποι τελευταῖον ἀφίξῃ κολάσεως· ἐνταῦθα δὲ χριστὸς αὐτὸς ἐπὶ τὴν κρίσιν ἄγει. καὶ βλέπε δὴ τοὺς δικαίους εἰς ζωὴν πορευομένους, καὶ τρυφῆς τίνος εἰς μετουσίαν μηδαμῶς μήποτε παυομένης. σὺ δὲ ποῖ πορεύσῃ; ἐπὶ βασάνους ἕλξῃ καί σε παραλαβόντες ἄγγελοι ἐκεῖσε δήπου καὶ ἄξουσιν, ὅποι δὴ καὶ τίσεις αἰωνίως τὰς δίκας· καὶ οὐδὲν τότε σε τῶν παρόντων, οὐχ ὁ πολὺς ἐξ ἀδικίας συμφορηθεὶς πλοῦτος, οὐδ᾽ ὁπωσοῦν οὐ μὲν οὖν ὀνήσει. πῶς γάρ; ὅς γε κἀνταῦθα πολλάκις διεκπεσὼν αὐτῶν δὴ τούτων ἐξ ὧν εἰλήφεις ἢ καὶ ἑτέρων αὖθις ἐγένετο. ἄνθρωπε, ἢ τοῦ μέλλοντος ἐν συναισθήσει γενοῦ, ἢ ἔν γε τοῖς

[16] Esai. VI, 6.

παροῦσι περὶ σεαυτοῦ σκέψαι κάλλιον. τί γὰρ καὶ βούλει; μάλιστα μὲν τὰ ἀγαθὰ τῆς γῆς φαγεῖν καί σοι εὐφροσύνην ἐγχρονίσαι, τὸ δὲ σὸν σπέρμα εἰς εὐλογίαν καὶ μὴ ἐπιδεὲς εἶναι μήτε μὴν εἰς ζήτησιν ἐλθεῖν ἄρτων; ἀλλὰ ταῦτα τοῖς δικαίοις ἐστὶν ὡς εἰκὸς ἀπονενεμημένα. καὶ πειθέτω μὲν ἡσαΐας, πειθέτω δὲ καὶ δαυὶδ, καὶ σολομῶν ἅμα σε πειθέτω, οἳ καὶ ταῦτα βεβαίως διεγγυῶνται καὶ γενεᾶς ἀδίκου χαλεπά τινα τὰ τέλη καὶ τὴν αὐτῶν ῥίζαν ὡσεὶ χνοῦν ἔσεσθαι, καὶ σπέρμα μὲν ἀσεβῶν ἐξολοθρευθῆναι, δικαίους δέ φασι[17] γῆν κληρονομῆσαι. καὶ μὴν εἰ μηδέν σοι μέλει μήτε τῶν ἐπηγγελμένων μεγάλων ὅσων τοῖς δικαίοις μήτε τῶν τοῖς ἀδικοῦσι φοβερῶν ἠπειλημένων, ἀλλὰ τοῦτο (δεύτερόν φασι λόγον) μὴ παραδραμεῖν θελήσῃς. ποῖον δὴ λέγω; μήποτε τὴν ἁμαρτίαν προελόμενος ἡδονῆς χάριν φαύλης ἀπὸ πλεονεξίας ἐγγιγνομένης οὐδέν σοι πλέον ἐπὶ τέλους ἔσται τῆς κακῆς προαιρέσεως, καὶ προσέσται δὴ τὸ μᾶλλον ἀνιᾶσθαι γεγενημένῳ μὲν τῶν ἀλλοτρίων ἐν πείρᾳ καὶ ὧν μὴ προσῆκεν, εἶτ' αὐτῶν δὴ τούτων ὑποστάντι τὴν δικαίαν ἀφαίρεσιν. οὐδὲ γὰρ ὑποσκελίσεις, οὐ παραλογίσῃ κατ' οὐδένα τρόπον τοὺς δικαστὰς, κἂν μετίῃς πάντα νόμων καὶ δικαιοσύνης οὐκ ἔσῃ κρείττων, ὧν οὗτοι προστάται παρὰ θεοῦ μὲν τὸ πρῶτον, παρ' ἐμοῦ δὲ τὸ δεύτερον, καὶ σύμμαχοι κάθηνται, κενὸς δ' ἀπελεύσῃ τοῦ δικαστηρίου πάντων ἀποτυχὼν, ὧν τε δηλονότι πλεονεκτικῶς μετεῖχες καὶ ὧν κακῶς ἤλπισας μετὰ σοῦ δηλαδὴ γενέσθαι τὰς ψήφους καθαιρούσας το δίκαιον. σκόπει γὰρ οὕτως· ἰσχυρὸς εἶ καὶ μέγας, ἀλλ' οὐ δήπου καὶ τοσοῦτος, ὅσον „φοβερὸν εἰς χεῖρας ἐμπεσεῖν θεοῦ ζῶντος“· παῦλος[18] λέγει, καὶ τῶν δικαστῶν αὐτῶν οὐδεὶς ἀμφιβάλλει. οὐ μὴν ἀλλ' οὐδὲ τῆς σῆς ἀξίας πλείονα λόγον ἢ ἐμοῦ ποιήσονται βασιλέως, τὴν δικαιοσύνην ἐξ αὐτῶν ἀπαιτοῦντος καὶ ταύτης (ὁρᾷς ὁπόσον) προϊσταμένου. ἀλλ' ὑποσυλήσεις δώροις; ἀλλ' οὐδὲν τοσοῦτον δώσεις, ὅσον γε θεὸς ὑπισχνεῖται „κρίνατε“ λέγων[19] „ὀρφανῷ καὶ δικαιώσατε χήραν“, πάντα δηλονότι τὸν ἐξ ἀδικίας καταπονούμενον, „καὶ δεῦτε καὶ διαλεχθῶμεν“· εἶτα τί; δωρεὰς ἐπιλέγει, καὶ ταύτας οἵας, ὡς ὑψηλὰς καὶ μεγάλας, καὶ ὧν οὐδὲν ἐπιγνώμοσι θεοῦ τιμιώτερον· „ἂν μὲν ὦσί“ φησιν „αἱ αἱμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χίονα λευκανῶ, ἐὰν δὲ ὡς κόκκινον ὦσι, λευκανῶ ὥσπερ ἔριον“. ταῦτα θεὸς δῶρα μεγάλα τοῖς ὀρθῶς δικάζουσιν ἀπονέμει καὶ

---

[17] Esai. V, 24. Psalm. XXXVI, 29. [18] Hebr. X, 31. [19] Esai. I, 17. 18.

δίδωσι· τούτοις οἱ ἐμοὶ προσέχουσι δικασταὶ καὶ διὰ παντὸς προσέξουσι· σοὶ δ᾽ οὐ μεθέξουσι πονηροῦ κέρδους, οὐδὲ κοινωνήσουσι τῶν ἁρπαγμάτων, οὐδὲ θαυμάσονταί σε μετὰ δώρων ἐρχόμενον, οὐδ᾽ ἀγαπήσουσιν οὐδὲν τῶν σῶν ἐπὶ προδοσίᾳ δικαιοσύνης, οὐδ᾽ ἔσται μερὶς αὐτοῖς οὐδεμία μετὰ σοῦ κλέπτοντος τὰς ψήφους. ἀλλ᾽ ἐκεῖνο δὴ κἀνταῦθα μᾶλλον τὸ τῆς γραφῆς „μίσθωμά“ φησι[20] „πόρνης ἁγνὸς οὐ μερίζεται“. οὐ μὴν ἀλλ᾽ οὐδ᾽ ἀββακοὺμ οὐδὲν αὐτοὺς ἐσεῖται[21] καθὰ δὴ τοὺς κριτὰς δυσχεραίνων τῆς ἀδικίας, ὧν χάριν καὶ πρὸς θεὸν αὐτὸν ἀποδυσπετεῖ καὶ θερμοτέρων ἅπτεται λόγων καὶ οἱονεὶ καταβοᾷ τῆς πολλῆς αὐτοῦ μακροθυμίας, „ἕως πότε κύριε κεκράξομαι“ λέγων[22] „καὶ οὐ μὴ εἰσακούσῃ; βοήσομαι πρὸς σὲ ἀδικούμενος καὶ οὐ σώσεις; ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους ἐπιβλέπειν ἐπὶ ταλαιπωρίαν καὶ ἀσέβειαν; ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει“. καὶ τὰ ἐπὶ τούτοις τὴν ἀπειλὴν ἐπάγει· „ἴδετέ“ φησιν „οἱ καταφρονηταὶ καὶ ἐπιβλέψατε, καὶ θαυμάσετε θαυμάσια καὶ ἀφανίσθητε“. ἐκεῖνα κατὰ τῶν κριτῶν τῶν ἀνομούντων· ταῦτα σαφῶς καθ᾽ ὑμῶν τῶν ἀδικούντων, ὑμῶν ὧν δηλονότι καὶ περὶ τοὺς ἀσθενεστέρους τούσδε τοὺς μικροὺς ἡ λαμπρὰ περιφρόνησις; μηδὲ τῆς τοῦ χριστοῦ φωνῆς ἐπαϊόντων, μηδ᾽ ὅσον ἀπειλεῖ πεφοβημένων· „ὁρᾶτε[23] μὴ καταφρονήσητε μηδενὸς τῶν μικρῶν τούτων.“ διὰ τοῦτο καὶ ἀπελαθήσεσθε μὲν κἀκεῖσε κατάκριτοι τοῦ παγκοσμίου δικαστηρίου, διωθούντων ὑμᾶς τῶν ἀγγέλων καὶ ἀποπεμπόντων, τῶν τοῦ θεοῦ μὲν διὰ παντὸς τὸ πρόσωπον ἐν οὐρανοῖς βλεπόντων, φυλάκων δὲ τρόπον ἐπιστατούντων τοῖς νῦν ἀδικουμένοις καί γε συνανιωμένων ταῖς σφῶν κακοπραγίαις· ἀπελαθήσεσθε δὲ κἀνταῦθα, καὶ οὐδεὶς ὑμῖν ἔσται μηχανῆς τρόπος, ὑφ᾽ ἧς θηρεῦσαι βουλόμενοι θηρεύσετε τοὺς κριτάς. ἀνάλωτον γὰρ σύμπαν τὸ κατ᾽ αὐτοὺς καὶ πάσης ἐπιβουλῆς κρεῖττον ἐπιχειρούσης κατὰ τῆς ἀληθείας. καὶ ὑμεῖς μὲν οὕτως· ὑμεῖς δὲ οἱ τὰ δεινὰ πεπονθότες, εἶτα κατεπτηχότες καὶ τρέμοντες, καὶ μηδ᾽ ὅσον ἀποδύρασθαι τὰς συμφορὰς, μηδὲ φωνήν τινα προϊέναι, μηδ᾽ ἐκλαλῆσαι τὸ συνενεχθὲν ὑμῖν ὅλως, μηδ᾽ ἐπικουρίαν ποθὲν ἐκζητῆσαι, μηδὲ τοσοῦτον γοῦν ὑπὸ τῶν ἐπηρεαζόντων ἀφειμένοι, δεῦτε, καὶ τοῖς δικασταῖς πρὸς ἄμυναν ἐνδίκως χρησάμενοι στῆτε κατὰ πρόσωπον τῶν ἀδικούντων, ἐλέγχοντες μετὰ παῤῥησίας καὶ μηδένα τοῦ λοιποῦ

---

[20] Prov. XIX, 13. [21] Boiss. notat: loci lacunosi scripturam, quam Cod. exhibet, exhibui. [22] Habac. I, 2. [23] Matth. XVIII, 10.

μηδαμῶς δεδιότες, μηδ' ἂν ὅτι μάλιστα πολύς τις ᾖ ταῖς ὕβρεσι καὶ δύναμιν περιττὴν κακῶς περιβεβλημένος. „ἰδοὺ ἐγὼ ἐπὶ πάντα ὑβριστήν“ λέγει κύριος[24]· καὶ ἰδοὺ ἐγὼ ἐπὶ πάντα δικαιοσύνης ὑβριστὴν ἀκούων τοῦ κυρίου, καὶ ἐπὶ πάντα κατὰ τῶν ἐμπυριζομένων πτωχῶν ὑπερήφανον, καὶ ἐπὶ πάντα νόμους ἀτιμάζοντα καὶ τῆς ἰσότητος ἐξενηνεγμένον· καὶ πεσεῖται κάτω πᾶν φρόνημα φυσώμενον ἐξ ἀδικίας. δι' ὑμᾶς τοῦτο τὸ δικαστήριον καὶ λαμπρῶς ὑμῖν (ὁρᾶτε πάντως οἷον σωστικὸν) ἀνέῳκται βουλομένοις ἐς αὐτὸ τρέχειν· καί γε πανταχόθεν ἡμεῖς ὑμᾶς ἐπὶ τοῦτο συγκαλοῦμεν, καὶ πανταχῇ τὸ κήρυγμα διαπέμπομεν ἐπὶ πάσας πόλεις καὶ χώρας καὶ τοὺς ἑκασταχοῦ τῆς καθ' ἡμᾶς οἰκουμένης ὑπὸ χειρὸς βιαίας καταπονουμένους καί γε διὰ τοῦτο βοηθείας ἐπιδεομένους, καὶ χεῖρα κραταιὰν ὑμῖν ὑπὸ θεῷ προτείνομεν ἀνιστῶσαν αὖθις πίπτουσαν δικαιοσύνην. τί ἔτι; πρὸς ὑμᾶς τοὺς δικαστὰς ὁ λόγος, οὐχ ὡς ξυμβουλεύσων ἢ διδάξων τὰ δίκαια, καὶ τίνων μὲν ἀφέξεσθε πονηρῶν ὄντων, τίσι δ' ὑμᾶς αὐτοὺς ὅλους ἐφ' οἷς ἂν ἥκωσι βοηθοὺς παρέξετε δικαίοις οὖσιν ὑμῶν ἐπιτυγχάνειν, οὐδ' ὡς χρὴ τηρεῖν ὑμᾶς καὶ περισώζειν ἀσφαλεῖς τοὺς νόμους, οὐδ' ὅτι τοῦ θεοῦ βλέποντος ὑμεῖς ἐξετασταὶ καὶ διαιτηταὶ κάθησθε τῶν τὰς δίκας ἐχόντων, καὶ ἀναμένει πάλιν ὑμᾶς ἐξέτασις ἄλλη καὶ κρίσις ἀδέκαστος, καὶ κριθήσεσθε ᾧ ἐκρίνατε κρίματι, ἀντιμετρηθήσετε δὲ πάλιν ὑμῖν ᾧ μέτρῳ ἐμετρήσατε· συνελόντι δ' εἰπεῖν οὐ τούτου δὴ χάριν πρὸς ὑμᾶς ὁ λόγος αἰωνίων ἀγαθῶν ὑπόμνησιν φέρων μετὰ δικαιοσύνης ἀπιοῦσιν ὑμῖν ἀποκειμένων, οὐδέ γε κόλασιν ἀπαραίτητον ἐπανατεινόμενος αὖθις κριτὰς ἀδίκους ἀϊδίως μεταδεξομένην. ταῦτα γὰρ οὐδὲν πρὸς ὑμᾶς, δικαιοσύνην τετιμηκότας καὶ τὰ τοιαῦτα τῶν ἄλλων πάντων μᾶλλον εἰδότας, καὶ πλέον ἢ καθ' ὅσον ἄν τις ἕτερος ἑτοίμους ὄντας τοὺς ἀμαθεῖς ἐκδιδάσκειν, εἰ δὴ καὶ ἀμαθεῖς εἰσί τινες τῶν τοιούτων, ἀλλὰ μὴ ταῦτα μόνον[25] πάντες σαφῶς ἐπεγνωκότες, ἵνα δὴ τάχα καὶ πολλὰς οἱ μὴ τὴν ἐντολὴν ποιήσαντες δαρῶσι καὶ συγγνώμης οὐδεμιᾶς ἥκιστα τύχωσι ὡς δι' ἄγνοιαν ἡμαρτηκότες. ἃ δὲ μᾶλλόν φημι· δικαιοσύνην ἔθνος ὑψοῦν σολομῶν λέγει[26], κἀγὼ πείθομαι. καὶ δή μοι συνάρασθε λοιπὸν ὑμεῖς τῆς ὑψοποιοῦ ταύτης ἐπιμελείας τοῦ γένους, ἐξέλησθε πένητα καὶ πτωχὸν ἀπὸ τῶν διαρπαζόντων αὐτὸν, μᾶλλον δὲ ἐξελώμεθα, ὑμεῖς τό γε εἰς ὑμᾶς ἧκον, ἐγὼ δ' αὖθις ὅσον τὸ ἐξ ἐμοῦ. ὑμεῖς

---

[24] Jeremias L, 31. [25] Boiss. conj. *μονονοῦ*. [26] Prov. XIV, 34.

δότε τὰς ψήφους, ἐγὼ δ' αὐταῖς ἐνθήσω πολὺ τὸ κράτος, μηκέτι παρὰ μηδενὸς μήτ' ἀντιλεγόμενον αὖθις μήτε μὴν μηδόλως καταλυόμενον, μόνον ἂν ὑμῖν ὁμοῦ πᾶσι τοῖς δικασταῖς δοκῇ καὶ χεὶρ ἑκάστου τὴν γνώμην πιστώσηται. δικαιώσατε ταπεινὸν καὶ κατανενυγμένον, καὶ δικαιωθήσεται πᾶς ὃς ἂν ἐξ ὑμῶν δίκαιος ἐν διαδικασίαις ἀκούσῃ· „καὶ τὰ τῆς δικαιοσύνης ἔργα“ φησὶν ἡσαΐας[27] „ἔσται εἰρήνη· οἱ δὲ θησαυροὶ ταύτης ἰδοὺ ἐν τῷ φόβῳ ὑμῶν λέγει κύριος· οὓς ἐφοβεῖσθε φοβηθήσονται, βοήσονται ἀφ' ὑμῶν· ἄγγελοι ἀποσταλήσονται πικρῶς κλαίοντες καὶ παρακαλοῦντες εἰρήνην.“ οὐδὲν γὰρ ὑμῖν ἐπιτηδεύουσι δικαιοσύνην καὶ καλῶς ὑπ' αὐτῆς πεφραγμένοις, οὔθ' ὅπλων δεῖ καὶ παρασκευῆς ἁρμάτων οὔθ' ἵππων, οὐ σωρείας χρημάτων, οὐ παμπληθοῦς στρατιᾶς, οὐδενὸς οὐ μὲν οὖν τῶν τοιούτων· ἀρκεῖ γὰρ ἀντὶ πάντων δικαιοσύνη, φοβεροὺς μὲν ὑμᾶς τοῖς ἐχθροῖς ἐπιόντας, αὐτοὺς δ' ἀφ' ὑμῶν φεύγοντας τοῦ θεοῦ διώκοντος δεῖξαι. καὶ τοίνυν ὑμεῖς γίγνεσθέ μοι θεοῦ μὲν συνεργοὶ, θεοῦ διάκονοι, συνασπισταὶ δ' ἐμοὶ μετὰ δικαιοσύνης ὑπὸ θεῷ προμάχῳ πρὸς τοὺς ἐχθροὺς παραταττομένῳ. καὶ καλῶς ὑμῖν οὐ διὰ ταῦτ' ἔσται μόνον, ἀλλὰ καὶ τῶν λοιπῶν χάριν. ἑνὶ γὰρ τούτῳ τρόπῳ τῆς ὑπὲρ δικαιοσύνης σπουδῆς τίνος οὐχὶ τῶν καλλίστων δείγματα περιφανῆ; φιλοθεΐας μὲν οὖν, φιλανθρωπίας, συμπαθείας, ἀγάπης, ζήλου τῶν ἀρίστων παντός. τὸ μὲν γὰρ πρῶτον, ὅτι δὴ θεοῦ καὶ τῶν αὐτοῦ προσταγμάτων, ἑτέρου δ' οὐδενὸς κέρδους ἕνεκεν ἡ προθυμία, φιλοθεΐας ἂν εἰκότως δόξαν ὑμεῖς ἀποφέροισθε· περὶ δέ γε τοὺς ἀδικουμένους ὡς εἰκὸς χρηστευόμενοι καὶ πρὸς ὑμᾶς καταφεύγουσιν ἀντὶ προστατῶν αὐτοῖς γιγνόμενοι καὶ συμμάχων, φιλανθρωπίας. καὶ μὴν συμπαθεῖς τίνες μᾶλλον τῶν τοῖς αὐτοῖς ἐπικαμπτομένων, ὑπὸ δυναστείας καὶ βίας ἀτόπου περιωθουμένοις, ἐλαυνομένοις, κτήματα περιῃρημένοις καὶ πράγματα, καὶ τοῦτον δὴ τὸν τρόπον ἀθλίως ζῆν καὶ πικρῶς κατηναγκασμένοις; ἀγάπης δ' ἐντελοῦς τοῦτ' ἄν τις θεῖτο μέγα τεκμήριον, ἐπικοινωνεῖν ὥσπερ ἐθέλειν τοῖς ἐν δυσχερείαις τῶν ἐπαχθῶν, καὶ κακῶς σφᾶς αὐτοὺς νομίζειν διακεῖσθαι τῶν ἄλλων ἐξ ἀδικίας κακῶς πασχόντων, καί γε τὴν ἀπαλλαγὴν ἐκζητεῖν μεθ' ὁμοίας αὐτοῖς καὶ ἴσης τῆς γνώμης. ἀλλὰ μὴν καὶ ζῆλος εἰ μὴ ὁ κατεσθίων, εὐνομίας ἀθετουμένης καὶ δικαιοσύνης μὲν ὑποχωρούσης, κατακρατούσης δὲ πλεονεξίας, ἐπ' ἄλλῳ τῷ τῶν

---

[27] Esai. XXXII, 17. XXX, 6.

ἁπάντων γιγνόμενος ἂν δίκαιος νομισθείη, καὶ θερμός τις οἷος ἐπεγειρόμενος ἔσται βελτίων; οὕτως ὑμῖν δικαιοσύνη πάντα σχεδὸν ὁμοῦ τὰ καλὰ μαρτυρεῖ, περὶ ταύτην ἐπιμελῶς ἔχουσι καὶ πάσῃ τῇ σπουδῇ κεχρημένοις. καὶ γοῦν ὅτι τῶν ἐξ αὐτῆς ἀγαθῶν κέρδος ἕτερον οὐδὲν ἄμεινον, οὔτ' αὖθις τῆς ἀπὸ ταύτης δόξης οὐδέν ἐστιν ἄλλο φέρον πλέον εἰς εὐδοξίαν, καὶ δίδωσι μὲν κἀνταῦθα θαῤῥεῖν μᾶλλον περὶ τῶν παρόντων, δίδωσι δ' ἐν τοῖς ἐς ὕστερον θαῤῥεῖν μᾶλλον περὶ τῶν μελλόντων, ἐμοί τε τῶν ἁπάντων οὐδὲν αὐτῆς ἔσται πρᾶγμά ποτε τιμιώτερον· καὶ ὑμῖν, εἴ τί μοι ταύτης μετέχετε τῆς γνώμης (μετέχετε δὲ), καιρὸς ἐπιδείξασθαι.

NOV. XXXIX.

Imp. Andronici senioris de festo assumtionis per totum mensem Augustum celebrando[1].

Θέσπισμα ἐπὶ τῇ μεγάλῃ καὶ τελευταίᾳ ἑορτῇ τοῦ κατὰ χριστὸν παντὸς μυστηρίου, αὐτοῦ μὲν ὅθεν καὶ κατῆλθεν ἐς οὐρανοὺς αὖθις μετὰ σαρκὸς ἀναβεβηκότος ἐξ ἁγνῆς παρθένου προσληφθείσης αὐτῷ, τῆς δὲ παναγίας ταύτης μητρὸς αὐτοῦ (τὸ νῦν δηλονότι τελούμενον) τρόπον ὃν ηὐδόκησεν ἐς αὐτὸν μεταστάσης.

Καὶ γοῦν τὸ θέσπισμα βούλεται μὴ κατὰ μίαν μόνην ἡμέραν κατὰ τὸ πάλαι κρατῆσαν ἔθος τὴν ἑορτὴν ταύτην τελεῖσθαι, ἀλλ' ἐξ ἀρχῆς τῆς καὶ πρώτης τοῦ μηνὸς ἐν ᾧ τὸ μυστήριον ἀρξαμένην μέχρις αὐτοῦ παντὸς ἐξήκειν, κἀκεῖ δὴ συμπεραίνειν ὅποι καὶ ὁ μὴν περαίνει.

Ἃ μὲν ἡ τοῦ θεοῦ μήτηρ εὖ διὰ παντὸς τὸ τῶν ἀνθρώπων ποιοῦσα γένος θαυμαστὰ οἷα καὶ ὑπερφυῆ παντὶ τῷ βίῳ παρέσχετο, πάντες εἰσὶν ἄνθρωποι σαφῶς εἰδότες, καὶ γνώμης εὖ εἰσὶ πάντες ἔχοντες ἀνομολογεῖν καὶ κηρύττειν· καί γε τῶν ἁπάντων ἐστὶν οὐδεὶς, αἰσθήσεως γοῦν καὶ λογισμῶν μετέχων, μὴ τοῦτο σφόδρα βεβουλημένος. οὐ μὴν ἀλλὰ καὶ πάντες εὖ εἰσὶ καὶ καλῶς εἰδότες, ὡς ἐστὶν ἀληθῶς ὑπὲρ πᾶσαν λόγου

---

[1] Extat inter opera Nicephori Chumni, utpote a quo Imperatori Andronico suggesta fuit, in Codd. Pariss. reg. gr. 2105 et 3010. Inde edidit Boissonade Anecd. Gr. II p. 107, ibidemque notat, in Cod. 3010 rubricam, quam edimus, a librario lineola transversa inductam, et in indice novam rubricam substitutam esse hanc: *τοῦ αὐτοῦ λόγος ὅπως δεῖ ἑορτάζειν τὴν ἑορτὴν τῆς κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου ἀπὸ τῆς πρώτης τοῦ αὐγούστου μηνὸς μέχρι τῆς ἐσχάτης.*

καὶ δύναμιν καὶ φύσιν ἐφ' ἱκανὸν ταῦτα ἐξισχύσαι λαλῆσαι, ἢ τὴν ἀνάλογον καὶ πάνυ τὶ προτεθυμημένους εὐχαριστίαν πρᾶξαι, μὴ ὅτι γε καθ' ἕνα φθεγγομένους καὶ κατὰ μίαν γλῶσσαν ἕκαστον ἐπιχειροῦντας ἀπονέμειν, ἀλλ' οὐδ' εἰ πάντες εἰς ταὐτὸν συνιόντες, ὅσοι τε νῦν εἰσὶ καὶ ὅσοι πάλαι γεγόνασιν· οὐ μὲν οὖν οὐδ' εἰ χεῖλος ἓν καὶ ἓν στόμα πρὸς φωνὴν μίαν γενόμενοι, οὐδ' οὕτως ἂν οὐδὲ κατὰ μικρὸν ἔσχον ἐγγὺς ἰέναι τοῦ τινα ταύτην συμφωνίαν παγκόσμιον πρὸς ἀνθομολόγησιν ἆραι, τοῦ τῶν θαυμάτων μεγαλείου μὴ κάτω πίπτουσαν καὶ τοῦ παντὸς ἀπολειπομένην. ἀλλ' ἐστὶ μὲν ὄντως μικρὰ πᾶσα φύσις ἀνθρώπων καὶ ἀσθενὴς πρὸς τοῦτό γε δυνάμεως ἐξεταζομένη, ὥστ' ἔχειν ἄξιόν τι τῶν τοσούτων καὶ τοιούτων εὐεργετημάτων ἐρεῖν· ἐστὶ δὲ καὶ αὖθις ἀσθενής, εἰ καὶ τὰς ἀγγελικὰς αὐτὰς ἢ καὶ ἀρχαγγελικάς, εἴ τινές εἰσιν ἀΰλων γλῶσσαι πρὸς διηνεκεῖς ὕμνους εἰθισμέναι θεοῦ, βουληθείη προσλαβεῖν καὶ προσλάβοι, ἔπειτα συνεργάζοιτο τοὺς εὐχαριστηρίους ἀποπληροῦσα· οὐ γὰρ ἀνθρώπους μόνον καὶ τὴν καθ' ἡμᾶς πᾶσαν λογικὴν φύσιν, ἀλλὰ καὶ τὰς ἐπουρανίους δυνάμεις, ὑπερβαῖνον ἐκπλήττει τῶν θαυμασίων τῶνδε τὸ μέγεθος, ὑπὲρ ἡμῶν ἀπείρων ὅσων καταπραχθέντων καὶ νῦν ἐνεργουμένων. οὐ μὴν ἀλλὰ καὶ καθεξῆς ἀεὶ ταῦτα τελεῖσθαι βεβαίας ἡμεῖς τὰς πίστεις καὶ ἀσφαλεῖς ἔχομεν τὰς ἐλπίδας. καὶ ἵν' ἡμῖν ὁ λόγος ὥσπερ εἰς ἀρχὴν ἀνελθὼν ἐκεῖθεν καθ' ὁδὸν προΐοι, ἐπλάσθη μὲν ἄνθρωπος χειρὶ θεοῦ, καὶ μετέσχε θείας εἰκόνος καὶ τούτῳ πλείω τετίμηται πάντων τῶν ὁρωμένων· εἶχε δ' ἂν καὶ πλέον ἀπειληφέναι τιμῆς καὶ δόξης, πρὸς ὃ καὶ μᾶλλον ὁ τῆς κατ' αὐτὸν δημιουργίας ἔφερε λόγος, καὶ ἀπέλαβεν ἄν, εἰ τὴν εἰκόνα περισώσας μετὰ τῆς ἐντολῆς ἐφυλάχθη. ἐπεὶ δ' ὑφ' ἡδονῆς ἐκλάπη, καὶ τῶν προσταχθέντων ὀλιγωρήσας ἐνεπίστευσε τοῖς ἀπατῶσι, πίπτει μὲν εὐθὺς ἐκεῖθεν ὅπῃ καὶ τρυφῆς ἐτάχθη καὶ πολλῶν καὶ μεγάλων ἀγαθῶν μετουσίας· ἀποπίπτει δ' ὁμοῦ καὶ ἧς ἀξίας ἔμελλεν ἀμείνονος πειραθῆναι, καὶ στρέφει πάλιν εἰς γῆν συντριβεὶς τῇ ἁμαρτίᾳ, μήθ' ὅπερ ἦν φυλάξας, μήτε γενόμενος πρὸς ὃ δὴ κρεῖττον καὶ ὑψηλότερον παιδαγωγούμενος ἐκαλεῖτο. καὶ ὁ μὲν οὕτως ὤλισθε, θεοῦ καὶ τῆς θείας ἀποπεσὼν μοίρας· ὁ δ' αὖθις βούλεται πρὸς ἑαυτὸν ἑλκῦσαι. βούλεται τοῦτο, καὶ σκόπει τῆς φιλανθρωπίας τὸ μέγεθος. ἑαυτὸν ὅλον εἰς ἡμᾶς οὐκ ἀπαξιοῖ κενῶσαι, καί γε βαστάσαι πεπτωκότας καὶ προσλαβεῖν κειμένους, οὐκ εἰς ὅπερ ἦμεν μόνον, ἀλλὰ καὶ πρὸς ὃ παρήγαγε πλάσας αὖθις ἀνασώζων, μηκέτι μήτε παρὰ τοῦ

φθονοῦντος ἐπιβουλευομένους, μήτε πίπτοντας μήτ᾽ αὖθις ἀχρειουμένους. ταῦτα θεὸς βούλεται καὶ πρὸς αὐτὴν εὐθὺς βλέπει τὴν ἐπ᾽ ἐσχάτων τῶν χρόνων ἑαυτοῦ μητέρα, πρὶν ἢ καὶ τὸν ὅλον παραγαγεῖν κόσμον ἀπὸ πασῶν ἑαυτῷ γενεῶν ἐκλέξας. καὶ γίνεται δὴ τοῦτο θεοῦ μυστήριον πρὸ πάσης κτίσεως εἰπεῖν ἀποκεκρυμμένον· εἶτα, κατὰ γενεὰς τυπούμενον καὶ σκιὰς λαμβάνον σώζει κἀνταῦθα, ὅποι δηλονότι ὁ τύπος αὐτοῦ ἢ σκιὰ παρεδείχθη. καὶ δῆλον τοῦτο πανταχῆ σκοπουμένῳ. δουλοῦται μὲν γὰρ εἰς αἴγυπτον ἰσραὴλ καὶ ὑπὸ φαραὼ τυραννεῖται πικροῖς ἐκπιεσμοῖς προσταλαιπωρῶν, καὶ καταπονούμενος ὑπὸ βαρύτητος ἔργων, καί γε πρὸς αὐτὰ δὴ ταῦτα κατασυρόμενος, ὅσα καὶ βίβλοι φέρουσι καὶ ἱστορίαι παλαιῶν περὶ ἐκείνου διηγημάτων· ἐγείρεται δὲ μωσῆς ζηλῶν ὑπὲρ τῶν πασχόντων, καὶ φεύγει μὲν αἴγυπτον, προσχωρεῖ δὲ θεῷ. κἀκεῖνο βλέπει τὸ μέγα καὶ θαυμαστὸν ὅραμα, πῦρ ἐν τῇ βάτῳ, πῦρ καῖον καὶ μηδαμῶς κατακαῖον ὅτι, μηδ᾽ ὕστερον ὁ ἐκ ταύτης καλέσας αὐτὸν εἰσιὼν τὴν παρθένον οὔτε κατέφλεξεν οὔτ᾽ οὐδὲν οὐδαμῶς ἐλυμήνατο. ταῦτα μωσῆς τότε, καὶ πατεῖν γῆν ἁγίαν εὐθὺς ἀκούει, καὶ τὰ ὑποδήματα τῶν ποδῶν λῦσαι· καὶ λύει καὶ ἀποτίθεται. τίνος χάριν; ὅτι μηδὲ θέμις ἴσως νεκρὸν οὐδὲν ἐκεῖ ψαύειν, ὅποι θεοῦ παρουσία καὶ τύπος ἐδὲμ τῆς ἀφθάρτου, πρὸς ἣν ὁ τότε φανεὶς ἡμᾶς αὖθις εἰσοικίσαι προμηνύει καὶ τὰ σύμβολα δίδωσιν· ἢ τάχα καὶ ἀπεῤῥίφθαι προστάσσει πᾶν ὅσον ἐξ ἁμαρτίας βοήθημα τῆς ἀσθενοῦς σαρκὸς ἥρμοσε, καὶ τοὺς γυμνοὺς τοῦ λοιποῦ θαῤῥεῖν ἡμᾶς πόδας ἐπὶ τῶν ὄφεων βησομένους καὶ τῆς κεφαλῆς τοῦ δράκοντος, ὃς αὐτοὺς ἀπατήσας ὑπέδησεν. εἶδε ταῦτα μωσῆς καὶ τὴν ἐλευθερίαν ἐντεῦθεν ἰσραὴλ πιστοῦται, καὶ ἀπέρχεται θαῤῥῶν τῇ δυνάμει τῆς ὄψεως, καταμαθὼν ἐκεῖθεν καὶ τὴν κοινὴν πάντων ἐλευθερίαν ἀνθρώπων, ὡς ἀπὸ φαραὼ τυραννίδος τότε τὸν ἰσραὴλ, οὕτως ἡμᾶς ἐφ᾽ ἡμερῶν ἐσχάτων τοῦ πικροῦ σατὰν ῥύσασθαι τυράννου θεὸν ἐκ μητρὸς παρθένου καθ᾽ ἡμᾶς γεγονότα. καὶ γοῦν, ὅπερ ἔφην, σώζει κἀκεῖ τοὺς τυραννουμένους καὶ τῆς βαρείας αἰγυπτίων χειρὸς ἀπολύει ὁ τοῦ σωτηρίου τοῦδε μυστηρίου τύπος καὶ τὰ σύμβολα τῶν ὕστερον σωζομένων· οὐ μὴν ἀλλὰ πειρῶνται πάλιν αἰγύπτιοι τῶν τὴν δουλείαν φευγόντων καταδιώκειν ὀπίσω, καὶ κατεδίωκον ἅρμασιν ὅλοις, ἵπποις[2] ἐλαύνοντες ἐπ᾽ αὐτούς. καὶ τάχ᾽ ἂν κατέλαβον καὶ

[2] Boiss. conj. ἵππους vel ἱππεῖς.

εἶλον ἂν αὖθις ἄγοντες ἐπὶ πικρὰν δουλείαν, εἰ μὴ κἀνταῦθα περιφανῶς ἡ τοῦ μέλλοντος σκιὰ περιέσωζε, νεφέλη τῆς ἡμέρας ὅλης ἐπισκιάζουσα καὶ συγκρύπτουσα, νεφέλη σύμβολον ἐναργὲς, ὡς ὁ τοῦ γεδεὼν αὖθις πόκος. τὸν γὰρ ζωτικὸν οὗτος ὄμβρον πρὸς ξηροὺς ἡμᾶς ἅτε καὶ νεκροὺς ὅλους καταβάντα, ἡ δὲ νεφέλη τὴν παρθένον σαφῶς προγράφει, τοῦ κόσμου πάντως σκέπην καὶ πάντων φανεῖσαν οὐρανῶν πλατυτέραν. οὐ μὴν ἀλλὰ τοῦτο μὲν δὴ τοσοῦτον. ἐρυθρὰ δὲ τερατουργοῦσα καὶ διασώζουσα μὲν τῷ θεῷ λαὸν περιούσιον, βυθίζουσα δὲ δύναμιν φαραὼ καὶ τριστάτας αἰγυπτίους, πόθεν ἄλλοθεν τὰ μεγάλα ταῦτα δεδύνηται, ἢ πρὸς αὐτὴν δὴ ταύτην καθαρῶς ἀναφέρουσα, πρὸς ἣν καὶ τὸ τέλος τῶν ἀβραὰμ ἐπηγγελμένων καὶ ὁ πληθυσμὸς τοῦ σπέρματος τοῦ ἐξ αὐτῆς γεννηθέντος, κόσμον ὅλον ἀναγεννήσαντος καὶ οἰκειωσαμένου μὲν ἑαυτῷ, οἰκειωσαμένου δὲ γνησίους τῷ ἀβραάμ; εἶτα πέτρα πηγάζει καὶ τὸ πλέον τοῦ θαύματος, ὅτι μεταφερομένη ῥεῖθρα προβάλλει κατὰ ποταμοὺς ἀενάους· οἱ δὲ πίνουσιν εἰς κόρον, δίψει κάμνοντες ἐν ἀνύδρῳ. καὶ ἡ πέτρα πάντως ἐξ ὄρους τύπον ἔχοντος τὴν παρθένον, ἐξ ἧς χριστὸς ἀκρόγωνος λίθος καὶ ζωῆς πέτρα, τὸ μὲν συνάπτων ἡμᾶς ἀπὸ θεοῦ μακρυνθέντας καὶ συνέχων εἰς ἀῤῥαγῆ σύνδεσμον, τὸ δὲ ποτίζων ὕδωρ ἀϊδίως ἐκβλύζον καὶ μή ποτε λήγουσαν ζωὴν ἐμπαρέχον. τί ἔτι; πεινῶσιν ἐν ἐρημίαις, καὶ πάθος τὸ χαλεπώτατον λιμὸς αὐτοὺς καταλαμβάνει· οἱ δὲ πάλιν φέρονται κατὰ μωσέως, μηδεμιᾶς μηδαμῶς μηδ' ἐν ἐλπίσι μηχανῆς φαινομένης· „εἰ γὰρ ἐπάταξε“ φασι[3] „πέτραν καὶ ὕδωρ ἐῤῥύη, μὴ καὶ ἄρτον δύναται δοῦναι“; ὁ δ' ἀπὸ γῆς μὲν αὐτοῖς τροφὴν οὐκ ἤνεγκε, καὶ ταῦτ' ἐξὸν ἄρτους καὶ τοὺς λίθους γενέσθαι, τῆς αὐτῆς τῷ προτέρῳ θαύματι μεταποιούσης δυνάμεως· ψωμίζει δὲ πόθεν; ἐξ οὐρανῶν τρέφει, ἐκεῖθεν εἶναι δεικνὺς καὶ τὰ πρῴην τελούμενα. καὶ οἱ τῶν ἄρτων ἀπεγνωκότες τρώγουσι μάννα, καινήν τινα τροφὴν καὶ πολλῷ τοῦ ζητουμένου τιμιωτέραν, ἅμα δὲ καὶ ἄφθονον, καὶ ῥᾳδίαν πᾶσι τοῖς κομίζεσθαι βουλομένοις. ἀνεῖτο γὰρ ἀπολαμβάνειν μὴ καθ' ὅσον μόνον ἐπαρκέσαι τῇ χρείᾳ, ἀλλὰ καὶ περιττὸν ἔχειν κτᾶσθαι, εἰ καὶ ἄλλως ἦν τὸ περιττεῦον ἀνόνητον· ἕτερον δηλονότι θαῦμα καταργοῦν τὴν ἀπληστίαν, ἅμα δὲ καὶ τὴν ἀπιστίαν διορθούμενον, εἰ τούτου χάριν τὸ πλέον ἀπετίθουν, ὥστ' αὖθις ἔχειν ἐπιλείποντος τοῦ διδομένου τῷ προ-

[3] Psalm. LXXVII, 20.

λαβόντι χρῆσθαι, καὶ μὴ τῷ χορηγοῦντι θαῤῥοῦντες ἦσαν ἀεὶ καὶ πλουσίως παρέχειν δεδυνημένῳ. τοῖς μὲν οὖν ἡ βρῶσις ἐπεστήριξε τὴν καρδίαν μηκέτι διαπιστεῖν ἐπ' οὐδενὶ τῶν ἀπόρων, ὡς οὐχὶ γενήσεται τούτοις ἐπιστρέφουσι πρὸς θεὸν καὶ γνησίως ἐπικαλουμένοις, καθὰ δηλονότι καὶ μωσῆς ὁ μέγας ἐκείνου θεράπων γνήσιος αὐτῷ γενόμενος μετὰ παῤῥησίας ἐπεκαλεῖτο, καὶ πάντ' εἶχεν εὐθὺς ἀπαντῶντα πρὸς τὰς αἰτήσεις· ἐπεστήριξε δ' ὁμοίως οὐ τοὺς τότε μόνους τῶν ἀνθρώπων, ἀλλὰ καὶ τοὺς καθεξῆς ἅπαντας, μὴ διαπιστεῖν οὐ μὲν οὖν ὡς οὐ καταβήσεται πρὸς ἡμᾶς ἐξ οὐρανῶν ἄρτος ζωῆς καὶ τρυφῆς τῶν αἰωνίων παρεκτικός. καὶ δὴ λοιπὸν ἡ χρυσῆ καθίσταται στάμνος καὶ δέχεται τὸ μάννα, καὶ τὴν εἰκόνα τοῦ μέλλοντος ἐν ἑαυτῇ λαμπρῶς φέρει. σὺ δέ μοι καὶ τὰς πλάκας βλέπε καὶ τὸν ἐν αὐταῖς θεόγραφον νόμον μὴ τοῖς ἐκτὸς μόνον βοηθοῦντα, σωμάτων ὡσανεὶ κινδυνευόντων σωστικὸν ὄντα, ἀλλά τοι καὶ ψυχῶν ἐφικνούμενον καὶ παιδαγωγοῦντα ταύτας, καί γε σφαλερᾶς πάσης ἐξαιρούμενον περὶ θεοῦ δόξης. βλέπε δὴ ταῦτα, καὶ τὸν νοῦν τοῖς ὁρωμένοις καλῶς προσέχων μάνθανε τὸν ἐνυπόστατον λόγον δακτύλῳ θεοῦ πνεύματι θείῳ τῇ παρθένῳ γραφέντα, καὶ τῶν πατρικῶν κόλπων κενωθέντα μὲν, οὐκ ἀποστάντα δὲ, μένοντα δ' ἐν αὐτοῖς καὶ πληροῦντα πάντα, χωρητὸν γενέσθαι τοῖς μητρὸς κόλποις, καὶ τοῦτον δὴ τὸν τρόπον ἐπανασῶσαι κόσμον ὅλον, καὶ ψυχὰς ῥύσασθαι ἀγνοίας σκότει καὶ σκιᾷ θανάτου κατεχομένας. οὐ μὴν ἀλλὰ ταῦτα μὲν οὕτω· καὶ οὕτως ἄνωθεν τὰ κατὰ τὴν παρθένον θεοῦ μητέρα διὰ πολλῶν καὶ μεγάλων ἥκοντα τῶν συμβόλων πανταχῇ παρέχοντα δύναμιν θαυμάτων ὑπερφυῶν εὑρήσεις, ἅμα δὲ καὶ σωτηρίαν τῶν ἐσχάτως κινδυνευόντων. καὶ τὰ πλείω διεξιέναι παρῆκεν ὁ λόγος, ὅτι μηδὲ πέφυκε μὴ ὅτι γε διὰ πάντων (τοῦτο γὰρ παντὸς μᾶλλον ἀδύνατον), ἀλλὰ μηδ' ἐφ' ἱκανὸν αὐτῶν ἱκέσθαι δυνηθῆναι· πῶς γάρ; ὅπου γε καὶ ταῦτα ὧν ἀρτίως ἐμνήσθημεν, οὐχ ὥστε καὶ ὀλίγα ἐκ πολλῶν ἡμᾶς ἀπολεξαμένους ἐρεῖν, τούτου χάριν ἐμνήσθημεν, ἀλλ' ὥστε μόνον ἅψασθαι, καὶ τὸ λεχθὲν ὑποδεῖξαι, σώζοντας εἶναι δηλονότι πανταχοῦ τοὺς τύπους καὶ τὰς σκιὰς τῶν ὕστερον ἐπὶ τῆς παρθένου δίχα παντὸς ἐπικαλύμματος λαμπρῶς ἐκφανθέντων. ἐπεὶ δ' οἱ τύποι παρῆλθον καὶ ὑπεχώρησαν αἱ σκιαὶ, καὶ καθαρῶς ἡ ἀλήθεια γέγονεν ἐν ἀνθρώποις, δόξαν φέρουσα τῇ παρθένῳ πάντας οὐρανοὺς ἀποκρύπτουσαν καὶ ὑπεραναβαίνουσαν μὲν τὰς ἄνω λαμπρότητας, αὐτὰ δὲ κάτωθεν ἑαυτῆς σεραφὶμ καὶ χερουβὶμ ἀφιεῖσαν,

τίς ἂν λόγος ἢ ποία γλῶσσα τῶν τοσούτων καὶ τοιούτων ἀπείρων καὶ φρικτῶν θαυμάτων ἐκδιηγεῖσθαι κατισχύσοι τὰ πλήθη; ἐγὼ μὲν οὖν δέδοικα μή ποτέ μοι καὶ τοῦτο κατάκριμα γένοιτο φέρον εὐθύνην, εἰ μὴ χερσὶ μόνον, ἀλλὰ καὶ χείλεσιν ἀνάγνοις τῇ θεοδόχῳ πρόσειμι κιβωτῷ, πόῤῥωθεν αὖθις ἑτέρου θαύματος ἀπειλοῦντος, ἅμα δὲ καὶ ἀπείργοντος τῶν μὴ καθαρῶν μηδένα τολμᾶν προσάπτεσθαι μηδὲ τῆς ἐν ταῖς σκιαῖς κιβωτοῦ· κἀκεῖνο τοῦ θεοῦ δικαίως ἀκούσαιμι λέγοντος· „ἵνα τί „σὺ, μήτε καθαρσίῳ τῶν ῥύπων χρησάμενος ἄνθρακι, καθ' „ἡσαΐαν[1] ἴσως, μήτε τὴν γλῶτταν ἀνεὶς τοῦ ἐπικειμένου βάρους τῶν πεδούντων κακῶν, ἐκδιηγῇ θαυμάσια, πρὸς ἃ μηδ' „ἀγγέλων ἐξαρκεῖ φύσις; ἀπορεῖ καὶ γὰρ αὕτη κατανοοῦσα το „μέγεθος.“ τούτων με φοβούντων τῶν λογισμῶν, οὐκ ἔχω προσβῆναι τοῖς ἐφεξῆς. πλὴν, ὅτι διὰ σοῦ σέσωσμαι, μῆτερ θεοῦ, καὶ πεσὼν ἀνωρθώθην, καὶ συντριβεὶς ἀναπέπλασμαι, πῶς ἂν ὅλως λόγου δύναμιν ἔχων καὶ φωνήν τινα δυνάμενος ἀφιέναι, ἄλλο τὶ σπουδάσαιμι πρὸ τοῦ ταῦτα κηρύττειν; οὔκουν οὐδὲ τὸν τῆς σωτηρίας σιωπήσομαι τρόπον, ἀλλ', ὡς ἐνὸν, ὑμνήσω. εἶχε μὲν ἡμᾶς δουλωσάμενος ὁ καὶ τὴν ἀρχὴν πλανήσας καὶ ἀποστήσας θεοῦ, καὶ δόξης μὲν ἐκείνης ὅθεν αὐτὸς ἐκβληθεὶς ἀπεῤῥίφη κληρονομεῖν μέλλοντας ἐν μηχαναῖς ἀπωσάμενος, πρὸς δ' ἐσχάτης ἀτιμίας πάθη κατενεγκὼν, καὶ εἶχεν ἀφύκτοις ὡσανεὶ πέδαις δεσμεύσας, ὡς μηδ' ἔχειν αὖθις ἡμᾶς ἐκλυθέντας τῆς αὐτοῦ τυραννίδος πρὸς τὸν δεσπότην ἀναδραμεῖν, καὶ θάνατον ἡμῖν ἐπέστησε φύλακα, καὶ καθεῖρξεν ἐν ᾅδου καὶ πύλαις σκότους κατησφαλίσατο. καὶ ἡμεῖς ἦμεν τῇ τούτου δυναστείᾳ καὶ τυραννίδι δουλεύοντες, μηδ' αὐτῶν δὴ τούτων ἐν οἷς ἐσμὲν δηλονότι κακοῖς αἰσθανόμενοι, τῇ δ' ἀπωλείᾳ συνευφραινόμενοι πάθη τιμῶντες ἦμεν ἐξ ὧν ἐπ' αὐτὸν ἐτρέχομεν θάνατον, ἐλεεινοὶ τῆς ἀπάτης καὶ τῆς τοσαύτης ἀδοξίας· καὶ ταῦτα τίνες; οἱ τῆς εἰκόνος θεοῦ, ἐλεεινότεροι τῆς δουλείας καὶ τῆς τοῦ ἐχθροῦ τυραννίδος, πολλῷ δὲ πλέον ἄθλιοι τῆς ἀναισθησίας, ὅτι τὸν δημιουργὸν ἐγκαταλιπόντες φέροντες ἑαυτοὺς τῷ πολεμίῳ παραδεδώκαμεν· ὁ δὲ χειρωσάμενος ὅλους εἷλκεν ἀκολουθοῦντας προθύμως εἰς βάραθρα τὸ ἑαυτοῦ καταγώγιον. οὐ μὴν ἀλλὰ παριδεῖν μέχρι παντὸς οὐκ ἦν τοῦ ταῖς χερσὶ πλάσαντος καὶ τῆς ἰδίας μεταδόντος εἰκόνος καὶ τῆς τιμῆς· οὔκουν οὐδὲ παρεῖδεν, οὐδ' ἀφῆκε τρόπον ὃν ἔφημεν δούλους

[1] Esai. VI, 6. 7.

ἀγομένους, οὓς μὴ μόνον ἐλευθέρους, ἀλλὰ καὶ τῶν ἐπὶ γῆς ἁπάντων ἄρχειν πρὸέκρινε· χωρεῖ δ' ἐς αὐτοὺς καὶ τοῦ κρατοῦντος ἐξαιρεῖται, καταλύσας τὴν δυναστείαν, ἅμα δὲ καὶ τὸ τῆς ἀγνοίας διαλύσας σκότος ὑφ' ᾧ κατεῖχε πλανωμένους ἡμᾶς· χωρεῖ δὲ πῶς; — ἀλλ' ἐνταῦθά μοι καὶ ὁ πᾶς λόγος, ἐπειδὴ καὶ πάντες τύποι καὶ σύμβολα καὶ οἱ προκηρύττοντες πόῤῥωθεν ἐνταῦθα πληροῦσι, τέλος ἔχοντες τὴν παρθένον. αὐτὸς καὶ γὰρ ὁ προαιώνιος τοῦ θεοῦ λόγος καταβὰς ἐν αὐτῇ, καθαρᾷ οὔσῃ καὶ ἀμώμῳ, καὶ τί δ' ἄλλο ἢ τοῦ κατελθόντος ἀξίᾳ, σὰρξ γίνεται δι' ἡμᾶς, φορέσας ταύτην ἐκ τῶν αὐτῆς ἀχράντων καὶ πανάγνων αἱμάτων, καὶ τὴν κατ' εἰκόνα προλαβὼν φύσιν ὅλην φθαρεῖσαν μίγνυται ταύτῃ καὶ ἀναπλάττει τῇ κοινωνίᾳ, τοὺς ἰδίους αὖθις ἐπανασώζων πρὸς ἑαυτὸν καὶ οἰκειούμενος τοὺς ἀπωσθέντας τῇ ἁμαρτίᾳ. οὗτος ὁ τῆς ἡμετέρας σωτηρίας τρόπος· τοῦτο τὸ πάλαι καὶ προτυπούμενον καὶ προμηνυόμενον, καὶ τοῖς προφήταις λαλούμενον φρικτὸν καὶ μέγα μυστήριον, θεὸς γενόμενος ἄνθρωπος, ἵνα σώσῃ τὸν ἄνθρωπον, θεὸς ἐν μήτρᾳ παρθένου καὶ σωματούμενος καὶ πλαττόμενος, καὶ χρονικὴν καταδεχόμενος γέννησιν, καὶ ὡς βρέφος ὁρώμενος καὶ βασταζόμενος ἀγκάλαις μητρὸς, ὁ τὰ πάντα πληρῶν καὶ μηδαμοῦ μηδόλως χωρούμενος. πρὸς ταῦτα τίνες ἀγγέλων, τίνες ἀρχαγγέλων οὐ κατεπλάγησαν; ποῖα σεραφὶμ, ποῖα χερουβὶμ οὐκ ἐθαύμασεν ὁρῶντα τὴν τοσαύτην τοῦ θεοῦ κένωσιν καὶ τὸν τοσοῦτον αὖθις ὄγκον τῆς περὶ ἡμᾶς φιλανθρωπίας καὶ τῆς ἐπέκεινα πάσης ὑπερβολῆς ἀγαθότητος; τοιγαροῦν καὶ πᾶσαι τῶν οὐρανῶν δυνάμεις εὐθὺς ἀνύμνησαν, καὶ μεθ' ἡμῶν δεῖν ἔγνωσαν στῆναι γενεαῖς ἁπάσαις τὴν παρθένον μακαριζόντων, καὶ μακαριζόντων ὁμοῦ μὲν αὐτῶν δὴ τούτων ἕνεκεν τῶν οὕτως ὑπερφυῶν αὐτῇ μεγαλείων γεγενημένων, ὁμοῦ δ' ὅτι καὶ τὴν κοινὴν ἐλευθερίαν δι' αὐτῆς ἡμῖν ὑπῆρξεν ἀπολαβεῖν, ἅμα δὲ καὶ τῶν καθεξῆς εὐεργεσιῶν χάριν, ἃς οὐ διέλιπεν οὐδ' οὐ μήποτε λίπῃ διὰ παντὸς κατεργαζομένη. παραλαβοῦσα καὶ γὰρ ἡμᾶς ἰδίαν ὡσανεὶ κληρονομίαν, τοῖς τοῦ υἱοῦ αὐτῆς αἵμασιν ἀπὸ τῆς μοχθηρᾶς καὶ φαύλης δουλείας ἐξηγορασμένους, ἐκεῖνα καὶ πεποίηκεν ὑπὲρ ἡμῶν καὶ ποιεῖ, ὧν καὶ γέμει σύμπας ὁ βίος, ἐξαισίων ἀεὶ τελουμένων. ἐπειδὴ γὰρ ὁ κατὰ τῆς πρώτης ἡμῶν ἐπιχειρήσας ἐλευθερίας καὶ κακῶς αὐτὴν ἀφελόμενος τὴν ὅλην ἡμῶν καθύβρισεν ἀξίαν, ἀπαλλάττεται δ' οὐδ' αὖθις καὶ κατὰ τῶν δευτέρων ἀεὶ μηχανώμενος ἀμεινόνων ἐπὶ πολλῷ πρὸς δόξαν γεγενημένων, οὐδαμόθεν ἄλλοθεν ἡμεῖς ἐξάντεις τῶν αὐτοῦ

ποικίλων μηχανημάτων, ἢ σὲ, παρθένε, πρόμαχον καὶ προστάτιν κραταιὰν κεκτημένοι, πανταχόθεν αὐτῷ περιτρέπουσαν τὰς ὁρμάς. ὁ μὲν γὰρ διπλοῦν ἐγείρει τὸν πόλεμον, τὸν μὲν ψυχῶν αὐτῶν καθικνούμενος καὶ ἀφανῶς ταύταις ἐπιβουλεύων, τὸν δὲ βάλλων πρὸς τὰ ἐκτὸς καὶ φανερὰν ἐν τούτοις πληρῶν τὴν ἀπέχθειαν· σὺ δ' ἀλλ' ἀπαντᾷς ἀμφοτέρωθεν ἐπίκουρος κραταιὰ, πάντα βοηθεῖν μὴ μόνον γε βουλομένη, ἀλλὰ καὶ ῥᾳδίως δεδυνημένη. ταύτῃ τοι καὶ βοηθεῖς προϊσταμένη καὶ προμαχοῦσα, καὶ πρὶν ἢ καθαρῶς ἡμᾶς αἰσθέσθαι τῶν ἐπιόντων κακῶν, τρέπεις, ταῦτα καὶ καταργεῖς. οὐ τοῦτο δὲ μόνον· ἀλλὰ καὶ πρὸς τὰς ἐπιβουλὰς ἐκείνου εἴ γε μηδὲν ἡμεῖς ἀντιπράττομεν, συμμαχοῦμεν δὲ μᾶλλον, αὐθαιρέτοις ὡσανεὶ κακοῖς περιπίπτοντες (ὁ δὲ παρειληφὼς ἑκόντας φθειρομένους ἄγει κατ' ἐξουσίαν πρὸς ὅ τι καὶ βούλοιτο· βούλεται δὲ καὶ ἄγει πάντως ἐπὶ τὰ χείριστα), νεμεσᾷ μὲν θεὸς ἡμῖν, καὶ πρὸς ὀργὴν δικαίαν κεκινημένος βούλεται τὰς εὐθύνας ἐνδίκους εἰσπράττεσθαι· σὺ δὲ φθάνεις κἀνταῦθα γιγνομένη μεσῖτις, ταῖς μητρικαῖς καταδυσωποῦσα παῤῥησίαις, καὶ ὡς ὑπὲρ ἰδίων κατατείνεις τοὺς ἱκετηρίους, τὸ τῆς φύσεως συγγενὲς προβαλλομένη, ἅμα δ' ἴσως κἀκεῖνα προβαλλομένη, ὡς αὐτὸν σπλάγχνοις ἐνεδέξω καὶ μαζοῖς ἔθρεψας καὶ γάλα ἐπότισας, καὶ πάθος αὐτοῦ τὸ τελευταῖον κατιδεῖν καὶ σταυρὸν ἠνέσχου, καὶ θάνατον καὶ πάνθ' ὅσα ἑκὼν ἐκεῖνος δι' ἡμᾶς τοὺς κατακρίτους ὑπέμεινε τῆς καταδίκης ἀπολυτρούμενος. τοίνυν καὶ κάμπτεις πρεσβεύουσα· εἶτα δίδως ἡμῖν ἀντ' ὀργιζομένου φιλανθρωπευομένου πειρᾶσθαι θεοῦ· δίδως καὶ πάσχειν εὖ παρ' αὐτοῦ καὶ δωρεὰς λαμβάνειν ἀνθ' ὧν ἐμέλλομεν κακῶς πάσχειν καὶ δίκας δικαίας ἀποτιννύναι. οὐδὲ γάρ ἐστιν οὐδὲν οὐ μὲν οὖν, ὅ γε σὺ βουλομένη μή τι καὶ δεδύνησαι πρὸς εὐεργεσίαν ἡμῶν ἐκ θεοῦ κατατίθεσθαι· ἀλλ' ἰσχύεις πάντα παντάπασι, καὶ νέμεις πολλῷ μᾶλλον καὶ ῥᾷον ἢ ὡς ἂν ἡμεῖς ἐπευξάμεθα. διὰ τοῦτο καὶ χορηγεῖς προκαταλαμβάνουσα τὰς αἰτήσεις, καὶ ἡμεῖς οἱονεὶ κατόπιν τῶν δωρεῶν ἥκομεν αἰτοῦντες, πάντων ὧν ἂν ἐν χρείᾳ γενοίμεθα καὶ πρὸ τῶν αἰτήσεων ἡμῖν διὰ σοῦ γιγνομένων. καὶ τοίνυν περὶ τῶν συμφερόντων ἐστὶν ὅτε κακῶς ἡμῶν βουλευομένων, ἅτε καὶ κακῶς ἐπεγνωκότων καὶ πραγματευομένων, αὐτὴ ταῦτα πράττεις ἀρίστως οἰκονομοῦσα, καί γε τὸν πλοῦτον τῆς φιλανθρωπίας ἐν τούτῳ πλέον ἀποφαίνεις, ὅτι περὶ ὧν ἡμεῖς οὔτ' οἴδαμεν οὔτ' οὐδὲν αἰτοῦμεν, ἐστὶ μὲν οὖν ὅτε καὶ βουλόμεθα τὰ χείρω, σὺ τούτοις ἡμᾶς βιάζῃ καὶ πάνυ τὶ ποιεῖς κεχρῆσθαι,

λυσιτελέσιν οὖσιν ὡς ἀληθῶς κεχρῆσθαι, ἄκοντας ὡσπερεὶ τον τρόπον τοῦτον εὐεργετοῦσα, εἰ καὶ μετὰ τὴν αἴσθησιν ἡμεῖς ἀγαπῶμεν ἐν πείρᾳ τοῦ καλοῦ γεγονότες. καὶ νοσημάτων τοίνυν ἀπαλλάττεις, τὰ μὲν πόῤῥωθεν ἀναιροῦσα ὡς μηδ᾽ ἐν αὐτοῖς ἡμᾶς μηδέ γε τὴν ἀρχὴν ἁλῶναι, μέλλοντας ἤδη ἀπροόπτως ἁλῶναι· τῶν δὲ καὶ συμπεσόντων τὸ βλαβερὸν ἐκτρέπεις· εἰ δέ τινα τούτων καὶ κατίσχυσεν ἐν δυναστείᾳ, σοῦ τάχα τὴν πίστιν ἡμῶν δοκιμαζούσης, καὶ ὁ κίνδυνος καταφανὴς ἧκε πάσης ἐπινοίας καὶ ἰατρῶν τέχνης κρείττων καὶ τῶν δοκούντων ἰσχυρῶς ἐν τοῖς τοιούτοις βοηθεῖν δύνασθαι, ἀλλ᾽ ἡμεῖς ὡς ἐπὶ σὲ μόνην ὅλαις ἐλπίσιν, ὅλοις ὀφθαλμοῖς καθαρῶς εἴδομεν, εὐθὺς (ὢ πολλῆς καὶ μεγάλης καὶ πάντα δυναμένης ἰσχύος! ὢ θερμῆς ἐπικουρίας! ὢ ταχίστης τῶν κακούντων ἀπαλλαγῆς!) ἀνιστᾷς μὲν ἡμᾶς νεκροὺς κειμένους καὶ πλὴν ἀναπνοῶν ὀλίγων ἀμυδρῶν τινων καὶ τούτων τὸ ζῆν ὅλον ἐκλελοιπότας, φυγαδεύεις δὲ νόσους ἀνηκέστους, καὶ πάθη κραταιὰ διαλύεις μηδενί τινι τῶν ἄλλων μηδαμῶς εἴκοντα. ὅθεν καὶ οἱ τῆς ἑσπέρας ἐν κλαυθμῶνος ἡμεῖς σκηνοῦντες πρωϊνοί τινες αὖθις ἥκομεν ἐν ἀγαλλιάσει τρυφῶντες, καὶ διπλᾶ χαίρομεν, ὅτι τε μηδὲν οἷον ἐκ τῶν συνενεχθέντων εἰκὸς ἐπὶ τέλους κεκράτηκε, καὶ ὅτι διὰ σοῦ τὴν σωτηρίαν εἰλήφαμεν, ἔχοντες κἀπὶ τοῖς ἑξῆς οὐχ ἥκιστα θαῤῥεῖν ὡς οὐδὲν ἡμᾶς οὐδ᾽ αὖθις οὐδαμῶς βλάψει, σοὶ διὰ παντὸς προσανέχοντας. καὶ μὴν ταῦτα μὲν κοινὰ πᾶσι καθ᾽ ἕνα καὶ κατὰ καιρὸν ὡς εἰπεῖν ἐνεργούμενα· ἃ δ᾽ ἐν ἐμοὶ διαφερόντως, πῶς ἂν εἰπὼν ἀποχρώντως ἂν εἴποιμι; ἐπιλείψει με διηγούμενον ὁ χρόνος, καὶ μὴ ὅτι γε κατὰ μίαν γλῶσσαν, ἀλλ᾽ οὐδ᾽ ἂν μυρίαις ὅσαις ἀπομερισαίμην, ὥστ᾽ ἄλλην ἔχειν ἄλλα διεξιέναι. πλὴν ὅτι καὶ τὰ πρὸς ἕκαστον ἐμοὶ σαφῶς διαφέρει, ἐστὶν οἶμαι τῶν ἁπάντων οὐδεὶς ὃς ἐπὶ τούτῳ διπλῆν ἔχει γνώμην. καὶ γὰρ τό τε σχῆμα καὶ ὁ τῆς ἀρχῆς λόγος εἰσποιεῖται πάντας, ὅ τ᾽ ἐμὸς τρόπος, καὶ ὑμεῖς ἴστε πάντως ὡς ἐπὶ παντὶ κάμπτομαι συμφοραῖς κεχρημένῳ, καὶ τοὐναντίον αὖθις εἰσποιοῦμαι τὴν χάριν, εἴ τις εὖ ἔχων ἀπαλλάττοιτο θείας προμηθείας ἠξιωμένος. διά τοι τοῦτο καὶ πλέον τῶν ἄλλων ἁπάντων αὐτὸς ἀνθομολογεῖσθαι τῇ μητρὶ τοῦ θεοῦ δίκαιος, ἢ μᾶλλον, ὅσον εὐχαριστίας ἀνθ᾽ ὧν ἔφημεν καὶ πολλῶν ἑτέρων (οὐ μὲν οὖν εἴποι τὶς ἂν ἡλίκων καὶ ὅσων) κοινῇ πᾶσιν εἰς ἀναγκαίαν ὀφειλὴν ἔρχεται, τοῦτ᾽ ἔμοιγε μὴ τὸ πᾶν μόνον, ἀλλὰ καὶ πολλῷ πλείονος ἐν προσθήκῃ προσόντος κατὰ τὸν ἴσον ἔρχεται λόγον, καὶ εἰ μὴ πρὸς ἀξίαν, ἀλλ᾽ οὖν ἀπο-

τιννύναι τὰ δυνατὰ, τοῦτ᾽ αὐτὸς οὐκ ἂν ἀγνωμονήσαιμι. πλατυνομένῳ μοι δὲ τὴν καρδίαν εἰκότως πλατυνθήσεται καὶ τὸ στόμα, τοῖς εὐχαριστηρίοις ὡς γοῦν ἐφικτὸν ἐπιθέμενον, ἐπεὶ καὶ τοῦτο πόσον ἐν ὁπόσοις εὗρον ἐγὼ στενοῦσιν ἀνιαροῖς, εὐρυχωρίαν δηλονότι ψυχῆς καὶ καρδίας πλατυσμόν. ἐμεγάλυνας μὲν ἡμᾶς καὶ εἰς θρόνον τοῦτον, καὶ μοῖραν ταύτην τὴν ὑψηλὴν καὶ πασῶν τῶν ἄλλων κρατοῦσαν ἐξ αὐτῶν σπαργάνων ἐνεβίβασας φέρουσα, καί γε διὰ τῶν εὐθυμοτέρων ἀεὶ τὸν βίον ἰθύνειν, τοῦτο σὸν ἐξ ἀρχῆς βούλημα, καὶ εἴχομεν ἂν οὕτω τοῖς δεξιοῖς συνόντες καὶ τῶν ἀριστερῶν ὑπ᾽ οὐδενὸς ἂν οὐδ᾽ ὁπωσοῦν ἠνωχλήθημεν, εἴ γε τοῦ σοῦ θελήματος ὀπίσω καὶ μὴ τῶν καρδιῶν ἡμῶν ἐπορεύθημεν· ἐπεὶ δὲ τῆς τῶν καλῶν εὐθείας ἐκτραπέντες πρὸς ἃ μὴ προσῆκον ἐστράφημεν, ἧκεν εἰκότως ἐνοχλοῦντα τὰ λυπηρά· καὶ γοῦν ἡμεῖς ἐν ἀθυμίαις ὑπὸ τῶν ἰδίων ὡσανεὶ σειρῶν συσφιγγόμενοι, καὶ ταῖς δυσχερείαις ἐπιστυγνάζοντες, ὧν τῆς λύσεως οὐδ᾽ ἐν ἐλπίσιν οὐδαμοῦ φαινομένης, αὐτὴ πρὸς τὰς δυσκολίας ἀπαντᾷς, καὶ διωσαμένη τὰς ἀνάγκας, ἐπειδὴ καὶ πᾶς εἴκει σοι τῶν τοιούτων θεσμὸς, ῥᾳοσίν ἡμᾶς ποιεῖς κεχρῆσθαι τοῖς πράγμασι, καί γε βελτιόνων αὐτῶν δὴ τούτων ἀποπειρᾶσθαι τῶν πρὸ τοῦ δυσχερῶν. οὐ μὴν ἀλλ᾽ ὁ λόγος ἐνταυθοῖ γενόμενος ἐπ᾽ αὐτὰ σαφῶς ἧκε τὰ καθ᾽ ἑκάστην ἐναργῆ τελούμενα θαύματα, πρὸς ἐπικουρίαν μὲν ἡμῶν, θραῦσιν δὲ τῶν ἐπιόντων (πόσων ἂν εἴποιμι;) πάνυ μὲν οὖν πλείστων καὶ πανταχόθεν βαλλόντων ἐχθρῶν. κινοῦνται μὲν γὰρ ἀπὸ πάσης σχεδὸν ἀνιστάμενοι γῆς· καὶ κινοῦνται οἱ μὲν τὴν ἰδίαν ἀσέβειαν πρόφασιν ἔχοντες, οἱ δὲ μηδὲν ἕτερον ἐγκαλοῦντες ἢ ὅτι χρηστά τινα τὰ ἡμέτερα (χορηγίαι ταῦτα πάντως καὶ δῶρα σῶν χαρίτων) καὶ πλήττει τούτους ἡ τῶν ἀγαθῶν εὐθηνία. εἰ μὲν οὖν ἀπὸ μέρους ἡμῖν ἐπήεσαν, τὰ μὲν ὡσανεὶ διενοχλοῦντες, τοῖς δ᾽ ἧττον ἐπιβουλεύοντες, τάχ᾽ ἂν καὶ μικρὸν ἢ οὐδὲν ἡμῖν ἦσαν πρᾶγμα πρὸς ἄμυναν ἀντεπιοῦσι· νῦν δ᾽ ὅτι πάντες κύκλῳ κατὰ ταὐτὸν περιῤῥέουσι καὶ πᾶσι προσπαλαίουσι μέρεσι καὶ δεινὰ μελετῶσιν, ἅμα δὲ καὶ πρὸς ταυτὶ παρεσκευασμένοις οὐδέν ἐστιν αὐτοῖς πλέον τῆς παρασκευῆς καὶ μελέτης, περιτρέπονται δὲ μᾶλλον αὐτοῖς βουλεύμασι καὶ ταῖς παρασκευαῖς συμφθειρόμενοι, τίς ἐστιν ὁ ταῦτα δρῶν καὶ πρὸς τὸ κρεῖττον ἡμῖν μετασκευάζων; τίς ὁ τὴν ἡσυχίαν ἡμῶν ἐν τοῖς πλείστοις ἀγόντων προπολεμῶν, καὶ τρόπον τὸν εἰρημένον τοὺς ἐχθροὺς ἀμυνόμενος; τίς ὁ καὶ καθεύδουσιν ἡμῖν ἐφιστάμενος φύλαξ διὰ παντὸς ἄγρυπνος, καὶ ταῖς ἐμ-

μόνοις ἐπιστασίαις τὰς ἐπερχομένας βλάβας ἀπείργων; τίς ὁ σιδηροῦν περιτιθεὶς τεῖχος, καὶ τόξα τεινόμενα καὶ ῥομφαίαν ἐρχομένην ἐν αὐτῷ συντρίβων καὶ πάσας μηχανὰς ἀπωθούμενος; τίς ὁ πάλιν αἴγυπτον μαστίζων καὶ πατάσσων πρωτότοκα, καὶ πληγὰς ἐπάγων ἀριθμουμένας, καὶ βυθίζων φαραώ, καὶ καθαιρῶν ἐθνῶν ἔπαρσιν, καὶ περισώζων ἰσραὴλ κλῆρον ἴδιον; τίς (ἵνα μὴ μηκύνω καθ᾽ ἕκαστον λέγων) ὁ τὰς πολλὰς ταύτας καὶ μεγάλας ἐνεργῶν δυνάμεις; καὶ τίνες ἡμεῖς, ὅτι τὰ τοσαῦτα καὶ τοιαῦτα δι᾽ ἡμᾶς θαύματα; ἐγὼ μὲν εἶπον εἰς ἐμαυτὸν βλέψας· ἀπέστρεψας ἐξ ἡμῶν καὶ οὐκ ἔτι οὐ μὴ προσθῇς εἰς οἰκτιρμοὺς βλέψαι· σὺ δ᾽ εἶπας· οὐ μὴ ἀνῶ, οὐδ᾽ οὐ μή ποτε ὑμᾶς ἐγκαταλίπω, οὐδ᾽ ἀποστήσω τὸ ἔλεός μου ἀφ᾽ ὑμῶν, διὰ μητέρα καὶ παρθένον ἐν ἱκεσίαις ἀεὶ τὸ συμπαθὲς θερμῶς ἐκκαλουμένην. τοίνυν οὐδ᾽ ἀφιστᾷς· ἀλλ᾽ ἐκεῖνα κἀνταῦθα πάντα σχεδὸν ὁμοῦ τὰ πάλαι θρυλλούμενα, ὧν καὶ ὁ λόγος προλαβὼν ἐμνήσθη, καὶ καθεξῆς πλείω προστίθης, ὡς καὶ μηδὲν ἔλαττον ἐκ τῶν νῦν ἢ τῶν πάλαι, πολλῷ δὲ μᾶλλον, τὴν σὴν θαυμάζεσθαι κραταιὰν χεῖρα. καὶ γοῦν ἐσμὲν ἡμεῖς λαὸς ἠλεημένος, χορηγὸν τῶν οἰκτιρμῶν αὐτὴν ἔχοντες τὴν παρθένον. ἐπεὶ δὲ τοῦτ᾽ ἐσμὲν, ἔδει μὲν ὑμᾶς, ὦ νῦν τε παρόντες καὶ τοῖς χρόνοις ὕστερον συνεσόμενοι τῷ λόγῳ (πάντως γὰρ οὐδ᾽ ὑμᾶς τοὺς μεθ᾽ ἡμᾶς ἀνθρώπους ἐπιλείψει τὰ θαύματα) καὶ χρήματα πάντα προσφέρειν καὶ καρποφορεῖν πάντα πράγματα, φειδομένους μηδενὸς ὧν ἔχομεν, ὅτι μηδ᾽ ἡμῶν οὐδὲν ἴδιον, ἀλλ᾽ ὅσον ἂν προσενέγκωμεν ἀπειληφότες κομίζομεν. καὶ ἀπόδοτε πᾶς εἰ καὶ μὴ τὸ πᾶν, ἀλλ᾽ ὅσον μὴ τῆς προσηκούσης εὐγνωμοσύνης δοκεῖν καθάπαξ ἀπολελεῖφθαι. ὁ δὲ παρὼν οὐ τοῦτο βούλεται λόγος, ἀλλ᾽ ἕτερον τρόπον τὴν προσαγωγὴν εἶναι· τίνα δὴ τοῦτον; ὕμνους, εὐχαριστίαν, τὰ δυνατὰ πᾶσι, πάντας ἀποτιννύναι, μάλιστα μὲν καὶ κατὰ πάντα χρόνον, ἅτε καὶ τὰς εὐεργεσίας κατὰ πάντα τοῦτον κομιζομένους· εἰ δ᾽ οὖν (ἀλλὰ τοῦτο μὲν εἰς γνώμην ὑμῶν ἀνεῖται), ἀλλ᾽ ὅ γε νῦν ἡμεῖς θεσπίσαι δεῖν ἔγνωμεν.

α΄. Μὴν μὲν οὗτος ἤδη προσάγει, καθ᾽ ὃν τὸ τῆς κοιμήσεως εἴτουν μεταστάσεως ἢ πρὸς τὸν υἱὸν ἐν οὐρανοῖς ἐνδημίας ἢ ὅ τι τοιοῦτό τις ἕτερον τὴν ἑορτὴν βούλοιτο λέγειν, ἐνεργηθὲν φαίνεται τῇ παρθένῳ· καὶ ἡμεῖς κατ᾽ ἔθος πάλαι κρατῆσαν ἐν μιᾷ δή τινι τῶν ἡμερῶν μέσῃ τοῦ μηνὸς πανηγυρίζομεν, νηστείᾳ τὰς πρὸ αὐτῆς πρότερον ἁγνισθέντες[5]. κἀγὼ τὸν τῆς

---

[5] Boiss. allegat Anastasium Sinaitam de tribus quadragesimis in fine et Nomo-

νηστείας ἐπαινῶν νόμον, οὐ πάνυ τι τὸ λοιπὸν ἀποδέχομαι, μίαν μόνην ἀποκεκληροῦσθαι τῇ πανηγύρει πρὸς τὰς παννύχους ὑμνῳδίας ἡμέραν. ἀλλά τοι μίαν εἶναι τὴν ἑορτὴν, ἐφ' ὅλας μεριζομένην τὰς ἀπ' ἀρχῆς τοῦ μηνὸς μέχρι τῆς νῦν διαφερόντως γε τιμωμένης καὶ δὴ τῆς τελευταίας, τοῦτο δεῖν οἶμαι κἂν τῷ παρόντι βούλομαι νομοθετῆσαι. καὶ πᾶς τις πάντως τὸν νόμον ἐρεῖ δίκαιον, ὁ καὶ ποσῶς γοῦν ᾐσθημένος ὢν αὐτοὶ ἀκαταπαύστων ὕμνων διὰ παντὸς ὀφείλομεν τῇ παρθένῳ, ἅμα δὲ καὶ τοῦ μεγέθους τῆς ἑορτῆς ᾐσθημένος. τοιγαροῦν, ὅπερ ἔφην, οὐκ ἄλλη μὲν ἀρχὴ τοῦ μηνὸς, ἄλλη δ' ἔσται τῆς πανηγύρεως, οὐδὲ νηστεύσομεν πλέον ἢ τοῖς ὕμνοις τρυφήσομεν· ἀλλ' ὁμοῦ ταῦτα, καί γ' ἐπὶ πλέον τὰ τῆς ἑορτῆς ἔσται καὶ πορρωτέρω, κἀκεῖ δήπου καὶ παύσεται ὅπου καὶ μὴν ὁ πᾶς ἰὼν παύσεται, ὡς εἶναι δὴ τοῦτον εἰπεῖν ὅλον ἱερομηνίαν, καὶ μίαν δῆτα καὶ τὴν αὐτήν. ἅμα τε πρώτην τοῦ μηνὸς καὶ δυοῖν τῶν ἄλλων, τῆς ἑορτῆς, τῆς νηστείας, πρώτην εἰσόμεθα, οὐδὲν ἀποφερομένην τῶν ἐφεξῆς ἔλαττον, οὐδ' αὖ τῆς ἐν ᾗ τὸ μυστήριον οὐδέ γε τῆς ἐσχάτης, ὕμνων χάριν καὶ τῶν ἄλλων τῶν προσηκόντων τῇ πανηγύρει, ἀλλ' ὁμοτίμως ταύτῃ πάντα τετελεσμένην. ὃ δέ φημι περὶ τῆς πρώτης, τοῦτ' ἐσεῖται καὶ ταῖς λοιπαῖς κατ' ἴσον τρόπον ἀπονενεμημένον, μηδὲν τῶν γιγνομένων μηδ' αὐτῶν ἐλλειπουσῶν, μήτε τῆς μέσης καὶ κυρίας, μήτε τῆς ἧς εἰρηκότες ἐσμὲν ἐσχάτης τῶν ἑορταζόντων[6]. οὐδὲ γὰρ μᾶλλον πολλάς τινας ταύτας τὴν ἑορτὴν διαιρούσας, ἢ μίαν εἶναι τῆς ἑορτῆς συναπτούσης ὁ ἐμὸς βούλεται νόμος, ὃν ἡ βασιλὶς αὕτη καὶ τῶν ἄλλων ἁπασῶν κρατοῦσα τιμήσασα πόλις τῇ πολιούχῳ κράτιστον ἐν χρόνῳ τῷ παντὶ φυλάξει, καί γε κατὰ χορείας τὴν ἑορτὴν διελομένη, τῶν μὲν μοναστῶν, τῶν δ' ἱερέων, μηδὲ τῶν λοιπῶν τῶν ἐξ ἁπάσης μοίρας ἀπολιμπανομένων (ὑπὲρ γὰρ κοινῶν τῶν εὐεργετημάτων κοινὴν εἶναι δεῖ πάντως καὶ τὴν εὐχαριστίαν), τὴν μὲν ἐν τῷδε τῶν νεῶν διανυκτερεύουσα ταῖς προσευχαῖς καὶ τοῖς ὕμνοις, πρώτῳ δὴ τῶν ἄλλων, ὅποι καὶ ἡ τῶν θαυμάτων αὐτουργὸς ἀφ' ἑτέρου πάλιν θαύματος ἐξ ὁ δ η γ ῶ ν[7] καλεῖται, τὴν δ' ἐν ἑτέρῳ καὶ καθεξῆς ἐν ἄλλοις· ἣν δὲ μέσην ἔφημεν καὶ τοῦ γε μυστηρίου ἐνταῦθα

---

canonem apud Coteler. Monum. Eccl. I p. 138. Sed ne orthodoxos quidem de hoc jejunio consensisse auctor est. [6] Cod. Paris. 3010: *ἐλλειπουσῶν, τῆς μέσης μὲν τοῦ μηνὸς, ἐσχάτης δὲ τῶν ἑορταζόντων.* [7] i. e. in aede Virginis Hodegetriae, ubi hoc *θέσπισμα* ab imperatore lectum esse, ex verbis *ἐν τῷδε τῶν νεῶν* colligere voluit Boissonade.

δὴ τελέσει, ἔνθα δὴ καὶ ὡς ἐν ἐπιγείῳ δή τινι στερεώματι ἢ οὐρανῷ δευτέρῳ, ἢ ὅ τί τις τοιοῦτον ὑψηλὸν καὶ μέγα καὶ μέγιστον ἀγαπᾷ λέγειν οὐκ ἔξω που τῆς ἀληθείας λέγων, ἔνοικός ἐστιν ἡ τοῦ θεοῦ σοφία[8]· τὴν δ' εἰς τέλος ἰοῦσαν καὶ τελευταίαν τοῦ μηνὸς ὁ ἐν βλαχέρναις φαιδρὸς φαιδρῶς ὑποδέξεται νεώς.

Ἀλλὰ μὴν ἡμῶν οὕτως ἐπεγνωκότων τὴν ἑορτὴν τιμῆσαι, ἢ μᾶλλον τὸν τρόπον τοῦτον ἐν πλείοσι τῶν ἡμερῶν ἡμᾶς καθαγιάσαι, ἐστὶν ὅστις οὐκ ἀσπάζεται τὸ δεδογμένον, οὐδέ γε κράτιστον εἶναι βούλεται, καὶ πρὸς τὴν ἀκοὴν εὐθὺς ἀνίσταται τὴν ψυχὴν, πρόθυμος ὢν τρέχειν καὶ συντελεῖν πᾶν τῇ πανηγύρει, τό γε αὐτῷ προσῆκον; ἐγὼ μὲν οὐκ οἶμαι· ἀλλά τοι καὶ τοὐναντίον ὑπὲρ πολλῶν δηλονότι τῶν ὀφλημάτων μικρὰν ἢ οὐδεμίαν εἶναι τὴν ἔκτισιν ὅ γε φιλέορτος ἐρεῖ καὶ περὶ τοῦ παρόντος εὖ ἐσκεμμένος· ἅμα δὲ καὶ οὐδὲ προσάγειν μᾶλλον ἡμᾶς εἶναι φήσει τόνδε τὸν τρόπον ἢ μεγάλων δή τινων ἀξιουμένους εἶναι· ποίων δὴ τούτων; ὁμιλίας θεοῦ, κοινωνίας ἀγγέλων σὺν ἡμῖν ὑμνούντων, ἀποστόλων συμφωνίας μεθ' ἡμῶν ἑορταζόντων, πάντων τῶν καλλίστων, ὅσα δὴ τοῖς τοιούτοις εἰς ταὐτὸν ἥκειν ὁ πνευματικὸς οἶδε λόγος. καὶ ἵνα τί μὴ μακρότερον, ἴσως ἂν εἴποι τὶς, καὶ διὰ παντὸς εἴπερ ἐφικτὸν ἦν τοῦ βίου τῶν καλῶν τῶνδε μεθέξομεν, στενοχωρήσομεν δ' ἐν οὕτω βραχεῖ χρόνῳ τὸν τῆς ἑορτῆς χρόνον, φθονοῦντες ὥσπερ ἑαυτοῖς τῆς πλείονος ἀπολαύσεως; τοῦτ' οἴδαμεν καὶ ἡμεῖς, καί γε τὴν πανήγυριν ἐς μήκιστον ἀποτεῖναι πολὺς ἡμῖν ἐγένετο λογισμὸς, καθυφήκαμεν δ' αὖθις τῶν πολλῶν χάριν, ὡς ἂν δὴ πάντες ἴσης ὡσανεὶ τῆς προθυμίας ἐξημμένοι καὶ εἰσοίσουσι κατ' ἴσον, τοῦ ῥᾴστου πᾶσι νενομοθετημένου. εἰ μὲν γὰρ χρημάτων θησαυροὺς κενοῦν ἔδει ἢ πόνους ἀνηρῆσθαι, μεγάλης δή τινος ἰσχύος ἔργα τῆς ἐνούσης μικρᾶς οὔσης, ἐξέκλινεν ἄν τις ἴσως, τὸ μὴ δεδυνῆσθαι πρόφασιν ἔχων· νῦν δ' οὐδὲν τῶν τοιούτων· ἀλλ' ὅπερ ἔφημεν, ἁγιασμοῦ καὶ τρυφῆς μετουσία καὶ φαιδρᾶς πανηγύρεως, ἧς ἀπολειφθῆναι μὴ ὅτι γε ῥᾳθυμίας, ἀλλ' οὐδ' αἰσθήσεως ὑγιοῦς, οὐδ' αὖ εἰδότος ἐν οἷς ἐστιν ἀπόνως μετὰ τοῦ καλοῦ γίγνεσθαι. καὶ τοί γε καὶ πόνων εἴπερ ἔδει καὶ συχνῶν καμάτων ὑπὲρ τίνος ἂν μᾶλλον δικαιότερον ἢ καὶ λυσιτελέστερόν τις ἐνίδρωσεν, ἢ ἐν τῷδε καὶ ὑπὲρ ὃ πέφυκε προθύμως ἐπεκτεινόμενος; εἰ γὰρ καὶ μικρῶν ἕνεκεν καὶ φαύ-

---

[8] Ecclesia S. Sophiae.

λων ἐστὶν ὅτε πραγμάτων ὑπερμοχθοῦντας κατιδεῖν ἔστιν ἐνίους, καὶ κλέπτει τὸ δοκοῦν κέρδος τῆς ταλαιπωρίας τὴν αἴσθησιν, ποίας οὐχὶ μέμψεως ἄξιοι, οὓς τὸ μὴ θελῆσαι μόνον τὸ τῆς πανηγύρεως λαμπρὸν ἐζημίωσε. καὶ οὐ τοῦτο λέγω μηδένα μὴ δεῖν ἀπὸ πάσης τῆς ἑορτῆς ἐκ πάνυ τὶ πίπτειν ῥαθύμου ψυχῆς, ὅτι μηδ' οἶμαί τινα τῶν ἁπάντων ἐς τοσοῦτον ἀγνωμοσύνης ἐλθεῖν, οὐδ' αὖ ὥσπερ ἐν νεκρότητι ζῆν αἱρεῖσθαι καὶ ἀναισθήτως ἔχειν πρὸς ἅπαν καλὸν, ὥσθ' ὅλην ἀπὸ νάρκης καὶ παντελοῦς ἀκινησίας φυγεῖν τὴν πανήγυριν· ἀλλὰ τὸ μὴ διὰ πάσης ἢ, τό γε δεύτερον, μὴ διὰ τῆς πλείονος ἱκέσθαι σπουδάσαι, τοῦτ' ἐν αἰτίᾳ καὶ ὡς ἔγκλημα τοῦ λοιποῦ τοῖς κατοκνήσασι γίγνεσθαι τὸ παρὸν βούλεται ψήφισμα. τάχα δὲ καὶ ἀγανάκτησιν ἐπανατείνεται, οὐχ ἧττω δὴ τούτοις ἢ τοῖς ἐπὶ τὸ δεῖπνον ἐν εὐαγγελίοις κληθεῖσιν, εἶτα παραιτησαμένοις ἐπὶ προφάσεσιν, ἀγροῦ θεωρίᾳ καὶ γάμῳ γυναικὸς καὶ ζευγῶν πέντε νεωνήτων δοκιμασίᾳ. καὶ γὰρ ὥσπερ ἐν ἐκείνοις οὐκ εὔλογος ἡ παραίτησις, οὐδ' ἐνταῦθ' εὔλογος, κἂν ὁποίαν τὶς ὡς ἐξαρκοῦσαν ἐξαιρεῖσθαι προβάλλοιτο, οὐδενὸς ὄντος μήτε λυσιτελεστέρου, μήθ' οἷον μεθέλκειν ἰσχυροτέρου καὶ πρὸς ἑαυτὸ στρέφειν τὸν γοῦν μετ' αἰσθήσεως εἰς τὴν ἑορτὴν ἐπειγόμενον. τί γὰρ ἂν ταύτης καὶ γένοιτό ποτε τιμιώτερον; ἢ τί πλείω τὴν ὄνησιν φέρον, ἢ τῷ τῶν ὅλων κατ' ἴσον μετὰ τοῦ λυσιτελοῦντος ἅμα προσέσται πολὺ καὶ τὸ χάριεν; ὥστ' ἢ τὸ κέρδος ἑλκέτω σε πάντων ὂν μεῖζον καὶ πολλῷ μεῖζον τῶν ἐφ' ἃ σπουδάσεις ἐνασχολούμενος, ἢ μὴ δυνάμενος πρὸς τοῦτο καθαρῶς βλέψαι ἀοράτως ἐρχόμενον, γενοῦ τῆς τρυφῆς καὶ τοῦ κάλλους τῶν ὁρωμένων, χοροὺς ἱερέων βλέπων, χοροὺς μοναστῶν, ὁμηγύρεις ἄλλας τὴν παρθένον ὑμνούντων, πάντων τὴν εὐταξίαν, τὸ σεμνὸν πάντων καὶ τὴν πρὸς τὰ οὐράνια μίμησιν. ἃ δὲ καὶ θεῖα καὶ ἱερὰ μέλη καὶ ᾄσματα τὰς αἰνέσεις πληροῦντα κοσμοῦσι τὴν ἑορτὴν, ποίαν ἡδονῆς ὑπερβολὴν ἀπολείπει; ἢ τίς ἀπὸ τῶν τοιούτων ἀκουσμάτων ἅμα καὶ θεαμάτων στραφεὶς, ἑτέροις ἀγαπήσει μᾶλλον ὡς δή τισι λαμπροῖς ἡδέως προσανέχειν, ἢ τούτῳ[9]; τῶν ἁπάντων οὐδείς. καὶ δή μοι λοιπὸν δεῦρο πᾶς τῆς ἑορτῆς μετέχων ἐν αὐτῇ τὰ εἰκότα τελέσθητι, ἁγνίσθητι τῇ νηστείᾳ, δι' ἐγκρατείας καθάρθητι, ταῖς προσευχαῖς ἁγιάσθητι· πάντ' ἔστω σοι πνευματικὰ, πνευματικῆς οὔσης τῆς πανηγύρεως. εἰ βούλει δὲ, καὶ προσκίρτησον τῆς κιβωτοῦ, καὶ

---

[9] Uterque Codex: ἢ τοῦτο. Emendavit Boissonade.

χόρευσον ἐν ἀγαλλιάσει, καθηγεμόνι τῶν ἀλμάτων τῷ δαυὶδ χρώμενος. κἂν τελῇς εἰς ἔσχατα γῆς, μετὰ τῶν ἀποστόλων δράμε· πείθομαι γὰρ αὐτοὺς καὶ πάλιν, μόνον μὴ φαινομένους, ἀθρόους ἀφῖχθαι καὶ συνεργάζεσθαι τοὺς ὕμνους, ὡς πάλαι ποτ᾽ αἴφνης ἐκ περάτων γῆς συνελθόντες ἦσαν τοὺς ἐξοδίους. μὴ γοῦν ἀπολειφθῇς τῶν κορυφαίων, μηδὲ κατόπιν τῆς χορείας μηδὲ κλεισθέντος τοῦ νυμφῶνος ἔλθῃς, ἐν ᾧ δηλονότι ταῦτα τῶν ἱερῶν τελεῖται, μὴ μείνῃς ἔξωθεν κρούων, εἶτα σεαυτὸν ταλανίζων ὅτι τῆς χαρᾶς ἀπεκλείσθης. ἴθι σπουδαῖος τὴν καλὴν ἅμιλλαν ἁμιλλώμενος καὶ προτρέχων τῶν ἄλλων, καὶ ζημίαν εὖ εἰδὼς τῇ τοῦ θεοῦ μητρὶ δεύτερος ὀφθῆναι. εἴ τι τῶν ἑτέρως λαμπρῶν, μηδὲν δ᾽ οἵων ἀπόνασθαι χρησίμων, ἅτε καὶ ταχὺ φθειρομένων, ἀπατώντων δ᾽ ὅμως ὡς δή τινων τιμίων, προὔκειτο μεταλαγχάνειν, οὐκ ἂν ἠνέσχου μὴ πρότερος τῶν ἄλλων δοκεῖν μεταλαγχάνειν· νῦν δὲ τοσοῦτον ὄντος πολλῷ τιμιωτέρου τοῦ γιγνομένου κέρδους, ἄλλῳ τινὶ παραχωρήσεις ἔμπροσθεν καταλαμβάνειν; μὴ σύ γε πάντως ὁ φιλόθεος καὶ φιλέορτος καὶ τῶν καλῶν ἐπιγνώμων· ἀλλ᾽ ἐν αἰσθήσει τῶν παρόντων γενόμενος ταχὺς σύνεσο τοῖς τελουμένοις. νῦν κοινὴ πανήγυρις ἐπουρανίων καὶ τῶν ἐπιγείων. νῦν ἄνωθεν ἄγγελοι κατιόντες μεθ᾽ ἡμῶν μίγνυνται τῶν ἀνθρώπων· νῦν ἄνθρωποι προσιόντες εἰς ταὐτὸν ἥκουσι τοῖς ἀγγέλοις, καὶ μιᾶς δή τινος ὡς ἐπὶ χορείας ἓν ᾄδουσι μέλος τὴν παρθένον ὑμνοῦντες. νῦν καὶ χριστὸς μέσον τῶν ἑορταζόντων γενόμενος, ὧν οὐδὲν οὐκ ἐστὶν οὐ μὲν οὖν εἰπεῖν μεῖζον, εὐλογίαις ἀμείβεται τὴν παρθένον. νῦν αὐτὸς ὁ θεὸς ἐπιστὰς τὴν μητέρα μετακαλεῖται, καὶ τὴν παναγίαν ταύτης ψυχὴν ἐν τοῖς κόλποις ὑποδεξάμενος εἰς οὐρανοὺς ἀναφέρει, προπεμπόντων ἀγγέλων καὶ τὰς αἰνέσεις πληρούντων. νῦν ἡ παρθένος καὶ τῷ σώματι μεθίσταται μὲν ἡμῶν, οὐκ ἀφίσταται δέ, φρουρεῖ δ᾽ ἄνωθεν ἐποπτεύουσα δι᾽ αἰῶνος. νῦν δεῖ καὶ ἡμᾶς τῶν ἄλλων πάντων ἀφεμένους αὐτῆς ὅλους τῆς ἑορτῆς γενέσθαι, εὐφημοῦντας, ψάλλοντας, εὐχαριστοῦντας, πάνθ᾽ ὅσα πρὸς χρέος ἡμῖν ἥκει κατὰ τὸ δυνατὸν πληροῦντας. καὶ γοῦν οὕτως ἔσται. σὺ δ᾽, ὦ θεοῦ μῆτερ, εὐμενῶς δέχου, καὶ τοῖς ἐξ ἔθους οἰκτιρμοῖς χρωμένη τρέπε μὲν ἐχθροὺς ἀφανῶς βάλλοντας, ὥστε μηδὲν ἡμᾶς ἐξ ἐπιβουλῆς αὐτῶν μηδαμῶς βλάπτεσθαι· τρέπε δὲ τοὺς ἐν τῷ φανερῷ πολεμοῦντας, καὶ διὰ παντὸς δείκνυε κενὰ σκευάζοντας καὶ μελετῶντας πάνθ᾽ ὅσα δηλονότι καθ᾽ ἡμῶν σκευάζουσι καὶ μελετῶσι. σύντριβε καὶ τόξον πᾶν καθ᾽ ἡμῶν ἐντεινόμενον καὶ ῥομφαίαν

κινουμένην ἐπὶ τοὺς κινοῦντας στρέφε. πρόστηθι διηνεκὴς πρόμαχος, τὴν σὴν ἐκτείνασα κραταιὰν χεῖρα, καὶ βάλλε κάτω κεφαλὰς δυσμενῶν, μεθ' ὅσης τῆς ὕβρεως ὁρᾷς ὁπόσον ἐπαιρομένας. ἰδού σοι πρόσιμεν ἡμεῖς οὐκ ἐφ' ἅρμασιν, οὐδ' ἵπποις, οὐδ' ἐπὶ ῥομφαίᾳ καὶ τόξοις, ἐπ' οὐδενὶ τῶν τοιούτων ἥκιστα θαῤῥοῦντες· ἐπεὶ καὶ μικρὰ πάντα καὶ φαῦλα, κἂν ὁποῖά τις, κἂν ὁπόσα τὶς εἴποι, καὶ εἰς οὐδὲν οὐδαμῶς ὄφελος τοῖς μὴ ταῖς πρὸς σὲ μᾶλλον στεῤῥαῖς ἐλπίσι καθωπλισμένοις, ἃς ἡμεῖς πάσας ἐπὶ σὲ καλῶς θέμενοι μὴ πέσοιμεν ἐξ αὐτῶν, μηδὲ φανείημεν κατησχυμένοι· δίδου δὲ κρατοῦντας ἐν παντὶ χρόνῳ φαιδρῶς πανηγυρίζειν, καὶ τήνδε τὴν ἑορτὴν ἀκατάλυτον εἶναι δίδου διὰ παντὸς αἰῶνος.

NOV. XL.
Imp. Andronici junioris de metropoli Serrarum[1]. (A. 1329.)

Βασιλικὸν ἄρα καὶ τοῦτο προνόμιον τὸ τὰς εἰς ἐπισκοπὰς τελούσας τῶν ἐκκλησιῶν τῶν ὑφ' ἃς τὸ πρότερον ἐτύγχανον ὑποκείμενοι ἀποσπᾶν καὶ τιμῆς ἀξιοῦν μείζονος. ἀμέλει καὶ τὴν τῶν ζιχνῶν ἐκκλησίαν, εἰς ἐπισκοπὴν τελοῦσαν τὸ ἀπ' ἀρχῆς τῆς ἁγιωτάτης μητροπόλεως τῶν σερρῶν, εἰς μητρόπολιν ἤδη προενήνοχε καὶ τετίμηκεν ὁ ἐκ θεοῦ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, πρόνοιαν μέντοι ποιούμενος καὶ τῆς τῶν σερρῶν, ὅπως ἂν σχοίη καὶ αὕτη τρόπον ἕτερον ἀναπληρωθὲν τὸ ἐνδέον, ἀνθετέραν ἐπισκοπὴν ἀντικαθίστησι ταύτῃ ἐκ τῶν τῆς φιλίππου, σεπτῷ προστάγματι τῆς ἁγίας βασιλείας αὐτοῦ περιέχοντι τάδε·

Ἐπεὶ ἀπεσπάσθη ἡ πρότερον ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν τῶν σεῤῥῶν τελοῦσα ἁγιωτάτη ἐπισκοπὴ τῶν ζιχνῶν καὶ ἐτιμήθη εἰς μητρόπολιν παρὰ τῆς βασιλείας μου, ἐδέησε δὲ καὶ διέκρινε τοῦτο καὶ ἡ βασιλεία μου, ἵνα ἀντικαταστῇ ἑτέρα ἐπισκοπὴ εἰς τὴν τοιαύτην τῶν σεῤῥῶν μητρόπολιν, θεσπίζει καὶ διορίζεται ἡ βασιλεία μου διὰ τοῦ παρόντος προστάγματος, εἶναι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑποκειμένην τῇ τοιαύτῃ ἁγιωτάτῃ μητροπόλει σεῤῥῶν τὴν ἁγιωτάτην ἐπισκοπὴν νικοπόλεως, ἥτις ἐτέλει πρότερον ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν φιλίππων, καὶ κατέχεσθαι καὶ διεξάγεσθαι ταύτην παρὰ τοῦ ἱερωτάτου μητροπολίτου σεῤῥῶν καὶ ὑπερτίμου ὡς ἰδίαν ἐπι-

---

[1] Ex Cod. Vind. hist. gr. 65 fol. 75 (cf. Nov. XXIV not. 1), ubi inter acta synodalia anni 1329 legitur.

σκοπήν· οὐ μόνον δὲ παρὰ τούτου, ἀλλὰ καὶ παρὰ τῶν καθεξῆς ἀρχιερατευσόντων εἰς τὴν τοιαύτην ἁγιωτάτην ἐκκλησίαν. ὅθεν ὀφείλει καὶ ὁ γενησόμενος μητροπολίτης φιλίππων στέρξαι τοῦτο, ὅσον θεσπίζει καὶ διορίζεται ἡ βασιλεία μου, καὶ ἀρκεῖσθαι εἰς τὰς προσούσας τῇ τοιαύτῃ μητροπόλει ἑτέρας ἐπισκοπὰς, ἀνενόχλητον παντάπασιν ἐῶν τὸ μέρος τῆς εἰρημένης ἁγιωτάτης τῶν σ[ερ]ρῶν μητροπόλεως ἐπὶ τῇ κατοχῇ καὶ διεξαγωγῇ τῆς δηλωθείσης ἁγιωτάτης ἐπισκοπῆς νικοπόλεως καὶ πάσης τῆς ἀνέκαθεν προσούσης αὐτῇ ἐνορίας. εἰς τὴν περὶ τούτου γὰρ ἀσφάλειαν ἐγένετο καὶ ἀπελύθη καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα. εἶχε τό· μηνὶ φεβρουαρίῳ ἰνδ. ιβ', δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

NOV. XLI.

Imp. Andronici iunioris de judicibus universalibus[1]. (A. 1329.)

Πρόσταγμα ὁρκωμοτικόν.

Ἡ βασιλεία μου τὸ παρὸν αὐτῆς ἀπολύει ὁρκωμοτικὸν πρόσταγμα, δι' οὗ καὶ ὀμνύει εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐνώπιον τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου τῆς ὁδηγητρίας, ὡς ἂν, ἐπεὶ

---

[1] Tria *προστάγματα*, quae sequuntur, reperiuntur in Codicibus MSS. Prochiri aucti subjecta *ὁρκωμοτικοῖς* sive *ὑποσχετικοῖς γράμμασι* judicum electorum. Haec et illa pridem edidi ex Cod. Paris. 1343 in Heidelb. Jahrb. 1836 p. 867 sqq.: duo autem ultima *προστάγματα* ex Cod. Taurin. 300 edidit Giraud in Wolowski Revue III p. 460 et IV p. 147. *Ὁρκωμοτικὰ* illa in Cod. Paris. 1356 dicuntur esse alterum *τῶν καθολικῶν κριτῶν τῶν γενομένων παρὰ τοῦ εὐσεβοῦς βασιλέως κυροῦ ἀνδρονίκου τοῦ παλαιολόγου*, alterum *τοῦ δικαιοφύλακος καὶ ἀρχιδιακόνου τοῦ κλειδᾶ*, quem c. annum 1329 ab Andronico seniore ad juniorem missum esse legatum auctor est Jo. Cantacuzenus Histor. I, 44 et 46. Proinde *ὁρκωμοτικὰ* illa, et quae cum iis conjuncta sunt tria *προστάγματα*, in promtu est referre ad quatuor illos *καθολικοὺς κριτάς*, quos ab Andronico juniore institutos esse narrat Niceph. Gregoras IX, 9 ed. Paris. p. 269 et XI, 3 ed. Paris. p. 330. Obstat quidem, quod Gregoras totam rem ad annum 1329 narrat, *προστάγματα* autem duo ultima indictione II, quae in annum 1319 vel 1334 incidit, signata esse dicuntur: unde vel *ἰνδ. ιβ'* pro *ἰνδ. β'* legendum, vel cum Mortreuil III p. 97 sqq. statuendum est, *προστάγματα* illa quatuor judicibus anno 1329 electis anno demum 1334 promulgata esse.

οἱ ἐκλεγέντες καὶ ἀποταχθέντες παρά τε τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ τῆς βασιλείας μου καθολικοὶ κριταὶ τῶν ῥωμαίων ἔταξαν καὶ ὑπεσχέθησαν ὅσον κατὰ μέρος τὰ ὑποσχετικὰ αὐτῶν γράμματα διαλαμβάνουσιν, ἵνα συντηρῶνται ἕνεκεν δικαίας καὶ ἀπαρεγγράπτου κρίσεως, ἵνα δεφενδεύῃ καὶ αὐτοὺς ἡ βασιλεία μου παρ' ὅλον τῆς ζωῆς αὐτῆς χρόνον ἀπὸ παντὸς προσώπου τοῦ μέλλοντος ἴσως ἐπιτεθῆναι καὶ μαχεσθῆναι κατ' αὐτῶν ἕνεκεν τῆς καταδίκης, ἧς μέλλουσιν ἀποφήνασθαι κατ' αὐτοῦ διά τινα κινηθεῖσαν καὶ κριθεῖσαν παρ' αὐτῶν ὑπόθεσιν· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ μετὰ θάνατον αὐτῶν ἐὰν βουληθῇ κἂν εἷς ἵνα μαχεσθῇ καὶ ἀμύνηται κατὰ τῶν παίδων αὐτῶν, ἵνα ἐνέχηται ἡ βασιλεία μου καὶ εἰς τὴν περὶ τούτου δεφένδευσιν καὶ ἀνενοχλησίαν αὐτῶν. τούτου γὰρ [χάριν] ἐγένετο καὶ ἀπελύθη τὸ παρὸν ὁρκωμοτικὸν πρόσταγμα τῆς βασιλείας μου, καὶ ἁπλῶς εἰπεῖν τοσαύτην ἰσχὺν καὶ ἄδειαν δέδωκε πρὸς αὐτοὺς ἡ βασιλεία μου μετὰ ὁλοψύχου καὶ προαιρέσεως καὶ μετὰ ἐμφύτου καὶ καρδιακῆς ζέσεως καὶ προθυμίας καὶ ὑποσχέσεως ἐνόρκου, ὅτι καὶ αὐτὸν ἐμὲ, ἐὰν καταλάβωσι καὶ διακρίνωσιν ἀδικοῦντα, ἐλέγχωσι μετὰ παῤῥησίας καὶ παντὶ τρόπῳ βιάζωσιν εἰς τὸ ποιεῖν διόρθωσιν ἐντελεστάτην τῆς τοιαύτης ἀδικίας· καὶ ἐὰν ἴσως οὐδέν με εὕρωσιν ἕτοιμον εἰς τοῦτο, ὅπερ οὐδὲν μέλλει γίνεσθαι ὡς θαῤῥεῖ καὶ ἐλπίζει ἡ βασιλεία μου εἰς τὸ ἔλεος τοῦ θεοῦ, ἀποβάλλωνται ὅλῃ ψυχῇ καὶ λέγωσι καὶ παριστῶσι καὶ θριαμβεύωσι πρὸς πάντας ἀφόβως καὶ ἐκτὸς ἐννοίας τινὸς τὴν ἡμετέραν τοιαύτην ἀδικίαν, καὶ οὐδὲν παύσωνται ποιοῦντες τοῦτο, εἰ μὴ γένηται παρὰ τῆς βασιλείας μου ἐντελὴς διόρθωσις τῆς τοιαύτης ἀδικίας. καὶ κατέστη τὸ πρᾶγμα οὕτως, ὡς θαῤῥεῖ καὶ ἐλπίζει ἡ βασιλεία μου εἰς τὸ ἔλεος τοῦ θεοῦ καὶ εἰς τὴν μεσιτείαν καὶ ἀντίληψιν τῆς ὑπεραγίας θεοτόκου, ὅτι ἀπὸ τοῦ νῦν μὴ τολμήσει τὶς τῶν ἁπάντων ἀδικῆσαι καὶ πλεονεκτῆσαί τινα εἰς τὸ οἰκεῖον δίκαιον.

NOV. XLII.

Imp. Andronici iunioris de judicibus universalibus secunda[1]. (A. 1329.)

Ἕτερον πρόσταγμα.

Ἐπεὶ ἡ βασιλεία μου, πολύν τινα τὸν ἔρωτα περὶ τὸ δίκαιον ἔχουσα καὶ διὰ πολλῆς καὶ μεγάλης τῆς σπουδῆς τιθεμένη καὶ περὶ πλείστου ποιουμένη δικαιοσύνην ἐν ἅπασι πολιτεύεσθαι τοῖς ὑπ᾽ αὐτὴν, κατέστησε καθολικοὺς κριτὰς αὐτῶν, μηδὲν ποιεῖσθαι τοῦ δικαίου πρότερον ὀμόσαντας, ἀλλὰ δεύτερα τὰ πάντα τούτου τίθεσθαι καὶ τούτου πάντα τρόπον καθ᾽ ὅσον περίεστιν αὐτοῖς δυνάμεως ἐξέχεσθαι, ἤδη διὰ τοῦ παρόντος προστάγματος αὐτῆς καὶ ὡς κεφαλάδας τῶν ἐν τοῖς κάστροις τε καὶ χώραις ταύτης πάντων εἶναι διορίζεται, ἔχοντας ἔνδοσιν καὶ πᾶσαν ἄδειαν, ἵνα ἐν οἵῳ τόπῳ τῆς βασιλείας μου γένωνται ἐν χρείᾳ δεφενδεύσεως ἐφ᾽ οἷς κρίνωσί τε καὶ ἀποφαίνωνται, λέγωσι καὶ πρὸς τοὺς κεφαλαττικεύοντας ἐν τῷ τοιούτῳ τόπῳ καὶ πρὸς ἄλλον τῶν ἐκεῖ οἰκούντων ὃν ἂν βούλωνται, καὶ πείθωνται οὗτοι τούτοις καὶ ὑπακούωσι καὶ δεφενδεύωσι καὶ ἀποπληρῶσιν οὗτοι, καθὼς ἂν οὗτοι λέγωσιν, εἴτε τῶν προσγενῶν ἀνθρώπων τῆς βασιλείας μου εἰσὶν εἴτε τῶν λοιπῶν ἀρχόντων καὶ ἀρχοντοπούλων αὐτῆς εἴτε τῶν ἐκδουλευόντων ἐν τῷ ὁσπητίῳ τῆς βασιλείας μου εἴτε τῶν στρατιωτῶν εἴτε ἑτέρας τινὸς τάξεως. οἷος δὲ ἀπὸ τούτων τολμήσει καὶ ἀπειθήσει τοῖς τοιούτοις καθολικοῖς κριταῖς τῶν ῥωμαίων καὶ οὐδὲν δεφενδεύσει τὴν ἣν ἂν εἴπωσιν οὗτοι ὑπόθεσιν, κἂν οἵτινες ἄρα καὶ ὦσιν οἱ καταδικαζόμενοι παρ᾽ αὐτῶν κἂν οἵου βαθμοῦ τυγχάνωσιν ὄντες κἂν ὅσην τὴν γνησιότητα καὶ τὸν πλησιασμὸν ἔχωσιν εἰς τὴν βασιλείαν μου, εἰ μὲν εὑρίσκεται οὗτος ὁ ἀπειθήσων εἰς τοῦτο κεφαλαττικεύων εἰς τὸν τοιοῦτον τόπον ἢ καὶ ἀλλοτρόπως ἐνοχοποιούμενος, ὀφείλουσιν οἱ τοιοῦτοι καθολικοὶ κριταὶ τῶν ῥωμαίων παραστέλλειν αὐτὸν ἐκ τοῦ παραυτίκα ἀπὸ τοῦ κεφαλαττικίου αὐτοῦ, ἔτι δὲ καὶ τῆς ἐνοχῆς τοῦτον τῇ ἐμφανείᾳ τοῦ παρόντος προστάγματος· εἰ δὲ οὐδὲν εὑρίσκεται εἰς ἐνοχήν τινα ὁ τούτοις τολμήσων μὴ ὑπακοῦσαι, εἴτε τῶν προσγενῶν ἀρχόντων εἴτε καὶ λοιπῶν ἀρχόντων καὶ ἀρχοντοπούλων ἔνι τῆς βασιλείας μου εἴτε ἑτέρας τινὸς τάξεως, ἔχωσι πᾶσαν

[1] Cf. Nov. XLI not. 1.

ἄδειαν κρατεῖν τὸ ὁσπήτιον καὶ τὴν οἰκονομίαν αὐτοῦ καὶ ποιεῖν καὶ ἑτέραν παίδευσιν καὶ καταδίκην εἰς αὐτὸν οἵαν ἂν διακρίνωσιν. ὀφείλουσι δὲ οὗτοι ἵνα, καὶ ἐάν τινες ἐγκαλῶσι τοῖς εἰς κεφαλὴν εὑρισκομένοις αὐτῶν, κρίνειν καὶ τούτους καὶ ἀποκαθιστᾶν ὅσον ἂν φαίνεται αὐτοῖς δίκαιον, καθὼς καὶ περὶ τῶν ἄλλων ῥωμαίων ἁπάντων ἔχουσιν ἀνατεθειμένον καὶ ὡρισμένον παρὰ τῆς βασιλείας μου, καὶ[2] ποιῶσι καὶ διαπράττωνται. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἀπελύθη καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου. εἶχε τό· μηνὶ μαρτίῳ ἰνδ. β', δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

NOV. XLIII.

Imp. Andronici junioris de judicibus universalibus tertia[1]. (A. 1329.)

Ἕτερον πρόσταγμα.

Ἐπεὶ διωρίσατο καὶ ἔταξεν ἡ βασιλεία μου, ἵνα κρίνωνται ἅπαντες οἵ τε προσγενεῖς ἄρχοντες αὐτῆς καὶ οἱ λοιποὶ ἄρχοντες καὶ τὰ ἀρχοντόπουλα τῆς βασιλείας μου καὶ ὅσοι ἄλλοι εἰσὶν ὑποτεταγμένοι τῇ βασιλείᾳ μου εἰς τοὺς καθολικοὺς κριτὰς τῶν ῥωμαίων ἐφ' αἷς ἂν ἔχωσιν ὑποθέσεσι, καὶ λαμβάνωσι τὴν ἐπὶ ταύταις ἀποκατάστασιν καθὼς ἂν διακρίνωσιν οὗτοι καὶ ἀποφαίνωνται, διορίζεται ἡ βασιλεία μου διὰ τοῦ παρόντος προστάγματος, ἵνα ἐκ τῶν τοιούτων ἀρχόντων αὐτῆς οἵτινες μετὰ τοὺς φοροῦντας σκαράνικα κρίνωνται παρὰ τῶν τοιούτων καθολικῶν κριτῶν τῶν ῥωμαίων διηγούμενοι τὰ τῶν ὑποθέσεων αἰτῶν ἑστῶτες. εἶχε τό· μηνὶ μαρτίῳ ἰνδ. β', δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

---

[2] Legerim: ὀφείλουσι δὲ ουτοι καὶ ἐάν τινες — ἵνα ποιῶσι καὶ διαπρ.
[1] Cf. Nov. XLI not. 1.

NOV. XLIV.

Imp. Andronici junioris de possessionibus monasterii in insula Patmo siti[1]. (A. 1331.)

Ἐπεὶ οἱ μοναχοὶ τῆς κατὰ τὴν νῆσον τῆς πάτμου διακειμένης σεβασμίας μονῆς τῆς βασιλείας μου, τῆς εἰς ὄνομα τιμωμένης τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου παρθένου ἐπιστηθίου ἠγαπημένου καὶ εὐαγγελιστοῦ ἰωάννου τοῦ θεολόγου, ἐζήτησαν καὶ παρεκάλεσαν τῇ βασιλείᾳ μου, ἵνα ἐπὶ τοῖς κτήμασι καὶ μετοχίοις καὶ ἀναστήμασιν αὐτῶν, ἅτινα κέκτηνται διὰ χρυσοβούλλων διαφόρων καὶ προσταγμάτων καὶ ἀπογραφικῶν ἀποκαταστάσεων καὶ ἑτέρων δικαιωμάτων, πορίσωνται καὶ χρυσόβουλλον τῆς βασιλείας μου, καὶ κατέχωσι ταῦτα καὶ εἰς τὸ ἑξῆς ἀβαρῶς πάντη καὶ ἀτελῶς, καθὼς κατέχουσι ταῦτα μέχρι τοῦ νῦν· — (ἤγουν τὸ ἐν τῇ νήσῳ λήμνῳ μετόχιον τὸ εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μεγαλομάρτυρος γεωργίου τοῦ μυροβλύτου, καὶ διακείμενον ἐν τῇ τοποθεσίᾳ τῆς ἁγίας εἰρήνης μετὰ τῶν προσόντων αὐτῷ πάντων ἀμπελίων καὶ χωραφίων· τὸ ἕτερον μετόχιον τὸ εἰς ὄνομα τιμώμενον τοῦ τιμίου ταξιάρχου τῶν ἄνω δυνάμεων μιχαὴλ καὶ ἐπικεκλημένον τὴν πτέριν μετὰ τῶν ὄντων ἐκεῖσε ἕνδεκα προσκαθημένων, ἀλλὰ δὴ τῶν ἀμπέλων καὶ χωραφίων καὶ τοῦ περιβολίου τοῦ διδυμαρίου μετὰ τοῦ χειμερινοῦ ὑδρομύλωνος καὶ τοῦ λιμένος τοῦ ἀπὸ τῶν κρημνῶν ἕως τοῦ χυβαδίου καλουμένου διήκοντος· τὸν σεβάσμιον καὶ θεῖον ναὸν τὸν εἰς ὄνομα τιμώμενον τῆς ὑπεράγνου δεσποίνης καὶ θεοτόκου τῆς ὁδηγητρίας μετὰ τῶν προσόντων αὐτῷ χωραφίων· τοὺς ἐν τῇ αὐτῇ νήσῳ ἐν διαφόροις χωρίοις εὑρισκομένους παροίκους, ἐφ' ὧν τοὺς μὲν κατεῖχον, τοὺς δὲ ἀνεδέξαντο πρὸ ὀλίγου δι' ἀπογραφικῆς ἀποκαταστάσεως, ὁμοίως καὶ τὰ παραδοθέντα αὐτοῖς χωράφια τὰ βουνάρια λεγόμενα, τὰς τροχαλέας καὶ τὰ λιβάδια· ὀνομάζονται δὲ οἱ τοιοῦτοι πάροικοι ὅ τε νικόλαος, ὁ μαυρολέων, γεώργιος ὁ κουρούπης· θεόδωρος ὁ λαχανᾶς, ὁ ἰατρόπουλος ὁ θεοδωράκης μετὰ τοῦ γαμβροῦ αὐτοῦ, ἄννα ἡ λέχεινα, γεώργιος τῆς τζαγγαρίης, οἱ δύο υἱοὶ τοῦ βραχνοῦ, μιχαὴλ ὁ λωράδων, δημήτριος τῆς καλάννας, ἡ βαβύλια, εὐστράτιος ὁ δαλασινὸς, ὁ ἀργυ-

[1] Habetur in Vind. hist. gr. 66 fol. 67 (cf. Nov. XXIV not. 1). Inde nuperrime edidit J. Müller Sitzungsber. d. k. k. Akad. d. Wiss. to. IX (1853) p. 411.

ρὸς, νικόλαος ὁ γουλιμῆς, ἰωάννης ὁ μουρτατόπουλος, ὁ κολυβᾶς, ξένος ὁ ζακέτης, δημήτριος ὁ πενταφουστάνης, ὁ σταμάτας, τοῦ συμεὼν οἱ παῖδες, θεόδωρος ὁ σκυριώτης, ἡ κονίδαινα, ἡρίνη ἡ καστελλιανὴ, ὁ γαμβρὸς τοῦ λαχανᾶ, θεόδωρος ὁ καρυώτας, ὁ υἱὸς τοῦ μακρηνικολάου· ὀνομάζονται δὲ ὁμοίως καὶ οἱ ἄνωθεν δηλωθέντες ἕνδεκα προκαθήμενοι καὶ αὐλῖται τοῦ εἰρημένου μετοχίου τῆς πτέριν ὁ ντζιανὴς, ὁ μπονοφάτζος μετὰ τοῦ προγόνου αὐτοῦ, ὁ σιλιγκόπουλος μετὰ τοῦ γαμβροῦ αὐτοῦ, ἰωάννης ὁ βίγλης, δημήτριος τῆς καλογραίας, ὁ ἀρχαγγελεινὸς, κώνστας ὁ νιάννης, μανουὴλ ὁ γαμβρὸς τοῦ ἀρβάζου, ὁ κατζαρὸς, ἰωάννης ὁ μουντᾶς, ἰωάννης ὁ ντζακέτης· τὰ περὶ τὸν αὐτὸν τόπον ἐσωπερίβολα τῆς εἰρήνης, τοῦ χηναδίτου καὶ τῆς ἀδελφῆς αὐτῆς σοφίας· τὰ ἐν τῇ τοποθεσίᾳ τῆς πυλάδος χωράφια μετὰ τῶν ἐν αὐτῇ τριῶν συκαμινέων καὶ τῶν ἑτέρων χωραφίων τοῦ σκαλομήνη· ἔτι γε μὴν καὶ τὰ ἕτερα χωράφια τοῦ δράκοντος λεγόμενα μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτῶν· πρὸς τούτοις καὶ τὰ ἐν τῇ νήσῳ ὠλέρῳ διακείμενα μονύδρια, τό τε τοῦ παρθενίου καὶ τοῦ μενίου ἐπιλεγόμενα, μετὰ τῶν προσόντων αὐτοῖς παροίκων, ἅτινα κέκτηνται διὰ τῶν εἰρημένων καὶ προσόντων αὐτοῖς χρυσοβούλλων· ὡσαύτως καὶ τὰ ἐν τῇ νήσῳ κῷ τρία μετόχια, τό τε τοῦ ἀσποντίου ἐπιλεγόμενον, τὸ εἰς ὄνομα τιμώμενον τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ, καὶ τὸ ἄλσος, μετὰ τῶν προσόντων αὐτοῖς ὑδρομυλώνων καὶ χωραφίων καὶ τοῦ ποταμοῦ, σὺν τῷ τοπίῳ τῷ ἐν τῷ κάστρῳ πυλίῳ, ἐφ᾽ ᾧ ἀμετόχως καὶ παρὰ γνώμην τῶν ἀπὸ τῆς τοιαύτης σεβασμίας μονῆς μοναχῶν ἀνήγειρεν οἰκήματα ὁ ἱερώτατος ἀρχιεπίσκοπος τῆς αὐτῆς νήσου κῶ· πρὸς τούτοις περ καὶ τὸν εἰς τὸ χωρίον τὸ ῥεπανίδιον πάροικον νικόλαον τὸν μαυρολέοντα·) —

α΄. Τὴν τοιαύτην αὐτῶν ζήτησιν καὶ παράκλησιν προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον ἐπικρατεῖ καὶ ἐπιβραβεύει αὐτοῖς, δι᾽ οὗ προστάσσει καὶ διορίζεται, ὡς ἂν τὰ τοιαῦτα ἅπαντα καὶ κατὰ μέρος ἄνωθεν δηλωθέντα μετόχια καὶ κτήματα καὶ λοιπὰ ἀναστήματα, μετὰ τῶν ἐν αὐτοῖς παροίκων καὶ προσκαθημένων καὶ τῶν ἀπ᾽ αὐτῶν ὀφειλομένων τελεσμάτων καὶ ἑτέρων παροικικῶν δικαίων, κατέχῃ καὶ νέμηται ἡ τοιαύτη σεβασμία μονὴ ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι δὲ ἀναφαιρέτως καὶ ἀναποσπάστως, καὶ τὴν

ἐξ αὐτῶν πᾶσαν καὶ παντοίαν ἀποφέρεται[2] καὶ ἀποκερδαίνει πρόσοδον, καὶ οὔτε παρὰ τοῦ μέρους τῶν κεφαλαττικευόντων[3] κατὰ καιροὺς ἐν ταῖς τοιαύταις νήσοις οὔτε παρὰ τῶν τὰ τοῦ δημοσίου διενεργούντων ἢ τοπικῶν ἐκεῖσε οὔτε μὴν παρά τινος ἑτέρου τῶν ἁπάντων εὑρίσκει ἐπὶ τούτοις τὴν οἱανδήτινα ἐπήρειαν ἢ διενόχλησιν, ἀλλὰ διατηρῶνται ταῦτα πάντα τὰ προστάγματα τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ, ἔτι δὲ οἱ ἐν αὐτοῖς πάροικοι καὶ προσκαθήμενοι ἀνώτεροι πάσης ἡστινοσοῦν[4] ἀδικίας καὶ περιφρονήσεως καὶ κατατριβῆς, ὡσαύτως καὶ ἀπὸ τῶν ἀπαιτουμένων ἐκεῖσε τοπικῶς συνήθων ἀπαιτήσεων, τοῦ τε κεφαλαίου, τῆς σιταρκίας, τοῦ ἀέρος, τοῦ ἀβιωτικίου, τῆς παρθενοφθορίας, τοῦ ξενοτέλους λεγομένου, τοῦ μηνιατικοῦ, τοῦ ἁλατοτέλους, τοῦ ζευγαρατικίου, καὶ τῶν ἄλλων τῶν τοιούτων δημοσιακῶν ζητημάτων καὶ ἀπαιτουμένων. ἐπεὶ δὲ ἀνέφερον οἱ τοιοῦτοι μοναχοὶ καὶ ὅτι οἱ ἱερώτατοι ἀρχιεπίσκοποι, ὅ τε λήμνου καὶ ὁ κῶ, πειρῶνται ἀπαιτεῖν ἀπὸ τῶν τοιούτων μετοχίων τὸ λεγόμενον κανονικὸν, τὸ μνημόσυνον καὶ ἄλλα τινὰ, ἅπερ οὐδὲν εἶχεν δίκαιον ἀποδιδόναι πρὸς αὐτοὺς, καὶ παρεκάλεσαν καὶ περὶ τούτου, διορίζεται καὶ περὶ τούτου ἡ βασιλεία μου, ἵνα διαμένωσι καὶ παρὰ τῶν τοιούτων ἀρχιερέων ὑπὲρ τῶν δηλωθέντων ἀπαιτημάτων ἀνενόχλητοι καὶ ἀδιάσειστοι. ὅθεν τῇ ἰσχύει καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου οὐδὲ οἱ μέλλοντες ποιῆσαι ἀπογραφικὴν ἀναθεώρησιν καὶ ἀποκατάστασιν ἐν ταῖς δηλωθείσαις νήσοις, ἔνθα εὑρίσκονται τὰ προσόντα τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ μετόχιά τε καὶ λοιπὰ κτήματα, ἕξουσιν ἄδειαν εἰσελθεῖν καὶ ποιῆσαι ἐν αὐτοῖς τὴν τυχοῦσαν ἀναθεώρησιν ἢ ἀποκατάστασιν, ἀλλὰ καθέξει καὶ νεμηθήσεται ταῦτα πάντα ἀνενόχλητα καὶ ἀδιάσειστα, ἔτι γε μὴν ἀναφαίρετα καὶ ἀναπόσπαστα, καὶ ἀνώτερα πάσης καὶ παντοίας κατατριβῆς καὶ περιφρονήσεως καὶ ἀδικίας. ἐπὶ τούτῳ γὰρ γέγονε καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου κατὰ μῆνα ἰούνιον τῆς ἐνισταμένης ιδ′ ἰνδ. τοῦ ,ϛω′ τριακοστοῦ[5] ἐννάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ἀνδρόνικος ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ ῥωμαίων ὁ παλαιολόγος.

---

[2] Cod. ἀποφαίρεται. [3] Cod. κεφαλατικεβόντων οἱ. [4] Cod. ἡστοισοῦν.
[5] Cod. τριακοσιοστοῦ.

NOV. XLV.

Imp. Andronici junioris pactio cum Venetis[1]. (A. 1332.)

NOV. XLVI.

Imp. Andronici junioris de privilegiis mercatorum Narbonensium[1]. (Inter 1328—1341.)

Universis et singulis praesentem paginam inspecturis Nos Hugo Arnaudi Domicellus Dominus de Monterotundo Vicarius, et Guillelmus Chauserii Baccalarius in Legibus, Judex ordinarius Curiae Narbonensis egregii et potentis viri Domini Aymerici Dei gratia Vicecomitis et Domini Narbonae, notum facimus per praesentes, quod nos vidimus, legimus et de verbo ad verbum inspeximus quoddam privilegium Imperatoris Constantinopolitani[2] litteris Graecis et Latinis scriptum, bullatum cum bulla aurea in filis ciricis vinculatis non filatis[3] pendenti, subscriptum litteris Graecis rubeis in fine[4] cujuslibet tenoris dicti privilegii, ut praemittitur, praedictis literis separatim scripti, non vitiatum, non cancellatum in aliqua sui parte, sed omni suspicione carens. Cujus quidem privilegii tenor in litteris Graecis scriptum[5], cum litterae Graecae in partibus istis legi non possint, tenor sequitur sub hac forma:

Cum de habitatoribus civitatis Narbonae subjectis excellentissimo Regi Francorum venerint pro parte communis eorum et deprecaverint ipsis concedi privilegium aurea bulla munitum Imperii nostri, ut cum pervenerint ex ipsis aliqui tam in Deo magnificatam et Deo glorificatam et Deo custoditam civitatem Constantinopolitanam, quam in aliis terris et castris Imperii nostri, cum mercatoribus suis habere debeant alomationem et solutionem commergii: et quod si contigerit exire ligna piratica de terris ipsorum sive de

---

[1] Continetur Libro III Pactorum, cujus Index: „1332. Treugua cum Andronico Palaeologo Imperatore Graecorum ad terminum sex annorum cum confirmatione antiquarum treuguarum et pactorum et conventionum in eisdem insertarum etc. cart. 360". Et: „Instrumentum Syndicatus sive Procuratorii Oratorum praedicti dom. Imperatoris pro treugua praedicta etc. cart. 368". Propediem prodibit in collectione Tafelii et Thomae, de qua Nov. VII not. 1.

[1] Descripsit Stephanus Baluzius ex archivis ecclesiae Narbonensis et communicavit Ducangio, a quo edita est in Famil. Byzantin. ed. Paris. p. 237. [2] Andronicum juniorem intelligendum esse patet tum ex die, qua hoc instrumentum conscriptum est, tum ex Nov. LVI infra. [3] Ducange: filati in pend. [4] Id. infixa. [5] Haec mendosa esse apparet. Graeca, utpote quae legi non potuerint, omittuntur: Latina sola exhibentur.

aliis vicinantibus ipsis, et fecerint aliqua contra aliquos de parte Imperii nostri, non debeant propterea sustinere illi, qui tunc inventi fuerint mercatores ex dicta civitate, offensionem aliquam sive damnum in suis mercationibus: ipsorum. deprecationem admittens Imperium praesens privilegium munitum aurea bulla Imperii nostri ipsis concedit, per quod mandat, ut illi, qui accesserint de dicta civitate et pro tempore venerint tam in dictam civitatem Constantinopolitanam quam in aliis terris et castris Imperii nostri, solvere debeant pro mercationibus, quas portaverint, de introitu et exitu insimul quantitatem Yperperorum centum secundum primam[6] consuetudinem Yperpera quatuor, et postea ab ipsis non requiratur solutio alia aliquo modo.

Similiter mandat Imperium nostrum, quod si exiverint de terra ipsorum sive ab aliis vicinantibus ligna piratica, et fecerint damnum aliquod contra aliquos de parte Imperii nostri, illi, qui tunc invenirentur mercatores in partibus istis sive in aliis terris et castris Imperii nostri, non invenirent propterea offensionem sive damnum aliquod in personis et mercationibus suis, sed expedientur omnimode indemnes absque ulla offensione.

Item si contigerit naufragium pati in mari aliquod lignum ipsorum ex contingenti tempestate, et in terram ceciderint ex aliqua parte Imperii nostri, teneantur ipsius partis habitatores et alii, qui illuc invenirentur, non usurpare seu rapere aliquid de rebus ipsorum, quae essent projectae in terram, sed ipsos dimittere ipsas colligere res absque ullo impedimento, et quod facere possint de ipsis ad voluntatem et placitum eorum. Nam si aliqui voluerint damnum inferre dictis naufragis mercatoribus et auferre aliqua de rebus evasis, non tantum restituere tenebuntur et satisfacere integre de toto illo, quod ab ipsis acceperint, sed etiam ut descriptores praesentis privilegii nostri aurea bulla muniti judicabuntur et indignationem nostram consequentur.

Item cum ipsi praefati requisierint et ...... ut cum pervenerint in partibus nostris possint constituere et ordinare Consulem, ut per ipsum ordinentur inter ipsos habitae quaestiones, et quod possint habere logeam et placerium unum .... aceres, concedit etiam Imperium nostrum hoc, et mandat ut hoc etiam fiat, prout requisiverint ut dictum est ab Imperio nostro. Non possit tamen dictus Consul, qui est et pro tempore fuerit, facere justitiam sanguinis.

---

[6] Haec obscuriora sunt. Forte: *pro quantitate* — *priorem*.

Hujus etenim rei gratia robore et virtute praesentis privilegii Imperii nostri aurea bulla muniti conservabuntur post solutionem praedictam commergii omnes illi, qui de dicta civitate fuerint mercatores sine omnimoda laesione, nec sustinebunt ab aliquo, qui de parte fuerint Imperii nostri, injuriam aliquam s...... aliquam laesionem. Verumtamen teneantur et ipsi praefati non introducere in propriis mercationibus alienas mercationes, pro quibus debetur magis commergium, aut quod ...... quas apportant mercationes ipsorum, sed ipsas omnes manifestare in commercio teneantur. Item teneantur, quodsi sciverint quod lignum sive ligna piratica de .... ut praedictum est, armarentur in offensionem sive laesionem partis Imperii nostri, non caelare hoc, sed quantocius poterunt hoc manifestare Imperio nostro, et nullo modo ipsis praestare occulte seu manifeste adjutorium vel favorem in damnum partis Imperii nostri, imo ipsos inimicos habere. Super hoc etenim expositum est praesens privilegium Imperii nostri aurea bulla munitum, et concessum est illis de dicta civitate Narbonensi mercatoribus in firmitatem roboris, defensionem et omnimodam securitatem ipsorum.

In cujus visionis et inspectionis testimonium etc. Actum et datum Narbonae etc. XXI mens. April. anno Dom. MCCCXL sexto.

NOV. XLVII.

Imp. Andronici junioris aureae bullae de metropoli Zichnarum et aliis[1].

NOV. XLVIII.

Imp. Joannis Palaeologi pactum cum Venetis[1]. (A. 1342.)

---

[1] Laudantur in Cod. Paris. 1356 ad Disposit. thronorum his verbis: *Παρὰ δὲ τοῦ ἀοιδίμου βασιλέως κυροῦ ἀνδρονίκου τοῦ παλαιολόγου τοῦ νέου ἐτιμήθησαν εἰς μητροπόλεις· αἱ ζίχναι κτλ.*

[1] Extat in Pactorum libro III, cujus Index haec habet: „1342. Pactum sive instrumentum treugue septem annorum cum Imperatore Constantinopolis Palaeologo. cart. 257". Et: „1342. Treugua cum Imperatore Constantinopolis ad septem annos cum diversis capitibus super mercatoribus, mercibus et datiis etc. cart. 397". Propediem prodibit in Tafelii et Thomae libro, de quo ad Nov. VII not. 1.

NOV. XLIX.
Imp. Joannis Cantacuzeni
confirmans tomum excommunicationis Patriarchae Joannis Calecae[1].
(A. 1347.)

Πρόσταγμα.

Εὐνούστατοι καὶ πιστότατοι τῇ βασιλείᾳ μου οἰκήτορες ἅπαντες τῆς θεοδοξάστου, θεοφυλάκτου καὶ θεομεγαλύντου κωνσταντινουπόλεως, οἵ τε κληρικοὶ, μονάζοντες, καὶ ὅσοι τῆς πολιτείας, καὶ ὁ κοινὸς ἅπας λαός! Τὰ κινηθέντα παρὰ τοῦ βαρλαὰμ ἐκείνου κατὰ τῆς εὐσεβείας, καὶ ὅπως ἐξηλέγχθησαν παρὰ τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις κυροῦ γρηγορίου τοῦ παλαμᾶ, καὶ κατεδικάσθη συνοδικῶς παρούσης καὶ τῆς βασιλείας μου, καὶ ὡς ὁ ἀκίνδυνος μετὰ μικρὸν τὰ ἐκείνου φρονῶν ἐξελεγχθεὶς συνοδικῶς καὶ αὐτὸς προκαθημένης ἐν τῇ συνόδῳ τηνικαῦτα καὶ τῆς βασιλείας μου τῇ αὐτῇ καταδίκῃ δικαίως ὑπεβλήθη, καὶ τόμος συνοδικὸς ἐπὶ τούτοις προέβη, συμπεριληπτικῶς ἀποτέμνων τῆς τοῦ χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ παντὸς τοῦ τῶν ὀρθοδόξων πληρώματος, εἴ τίς τι τῶν ὑπὸ τοῦ βαρλαὰμ κατὰ τῶν μοναχῶν, τοῦ τε δηλονότι κυροῦ γρηγορίου τοῦ παλαμᾶ καὶ τῶν σὺν αὐτῷ, λαληθέντων ἢ συγγραφέντων φανείη πάλιν τῶν αὐτῶν κατηγορῶν, οὐδένα τῶν ἁπάντων ἀγνοεῖν οἶμαι. ἀλλὰ μετὰ μικρὸν ὑπὸ πονηρᾶς καὶ φιλάρχου γνώμης κατὰ τῆς βασιλείας μου πλασαμένων τινῶν ἃ καὶ ὑμεῖς ἴστε, κἀντεῦθεν χαλεπῆς συγχύσεως καταλαβούσης τὴν τῶν ῥωμαίων ἀρχὴν, ὁ ἀκίνδυνος ὡς ἑρμαίῳ τῇ τοιαύτῃ τοῦ καιροῦ μοχθηρίᾳ χρησάμενος, καὶ πολλοὺς ἀπατήσας καὶ προσεταιρισάμενος, μεθ' ὧν καὶ τὸν χρηματίσαντα πατριάρχην, στάσιν ἤγειρε κατὰ τῆς ἐκκλησίας δεινὴν τῆς κατὰ τὴν πολιτείαν μηδὲν ἀποδέουσαν, ἐπεκδικῶν μὲν τὰς τοῦ βαρλαὰμ ἐκείνας κακοδοξίας, τὸ ὄνομα δὲ μόνον ἐκείνου καὶ αὐτὸς πρὸς ἀπάτην ἀποκηρύττων, εἰ καὶ τῶν συνετῶς ἀκουόντων οὐδένα διέλαθεν. ἐπεὶ δὲ βεβαιωτὴς καὶ προστάτης ἀκινδύνου καὶ τῶν κατ' αὐτὸν ὁ χρηματίσας πατριάρχης γενόμενος αὐτόν τε τὸν ἀκίνδυνον χειροτονίας ἠξίωσε καί τινας τῶν ὁμοφρονούντων αὐτῷ εἰς τὰς ἐκκλησιαστικὰς προῆγεν

---

[1] Ex Cod. Vind. jurid. gr. 6 fol. 213. De argumento hujus Novellae cf. Jo. Cantacuz. hist. IV, 3.

ἀρχάς, ἅμα καὶ πρὸς τὴν ὑψηλοτάτην δέσποιναν τῶν ῥωμαίων καὶ ἐρασμιωτάτην ἀδελφὴν τῆς βασιλείας μου ἐπὶ τοῖς τοιούτοις δόγμασι παῤῥησιαζόμενος καὶ κατὰ τῶν δικαιωθέντων ἐπ' εὐσεβείᾳ μοναχῶν αὖθις χωρῶν, καταλαβοῦσα ἐντεῦθεν αὕτη τὰς ὑπὲρ εὐσεβείας συνοδικὰς ἐκείνας διαγνώσεις καὶ ἀποφάσεις ἀκυρουμένας, καὶ τὸν ἐπ' αὐταῖς συνοδικὸν τόμον τελείως ὑπ' αὐτοῦ ἀθετούμενον καὶ καταλυόμενον, πολλάκις πρότερον μετὰ τῶν ἱερωτάτων ἀρχιερέων τὰ περὶ τούτων ἐξετάσασα, εἶτα καὶ σύνοδον συγκροτεῖ, καθ' ἣν ἐξετάσεως καὶ διαγνώσεως ἀκριβοῦς γενομένης καθαιρέσει κοινῇ πάντες τοῦτον καθυποβάλλουσι, κἂν[2] εἰ μὴ μεταμεληθείη καὶ τὸν ἀκίνδυνον καὶ τοὺς κατ' αὐτὸν ἀποβάλλοιτο, καὶ τῆς μοίρας τῶν ὀρθοδόξων ἐκτέμνουσι. τούτου δὲ τοῦ θεαρέστου τελεσθέντος ἔργου (ἐπαινετὸν γὰρ κατὰ τὸν εἰπόντα καὶ ἡ τῆς κακίας κόλασις), λύει τὴν ἐμφύλιον στάσιν ὁ κύριος καὶ βραβεύει τὴν εἰρήνην τῇ βασιλείᾳ ῥωμαίων. καὶ οὕτως εἰσελθοῦσα ἡ βασιλεία μου θεοῦ εὐδοκοῦντος εἰς τὴν μεγαλόπολιν ταύτην αὐτὸν μὲν εὗρε καθῃρημένον, ἀκίνδυνον δὲ καὶ τοὺς σὺν αὐτῷ ἀποκεκηρυγμένον πάλιν συνοδικῶς· ὃ μὴ μόνον ἐνταῦθα κατὰ τὴν σύνοδον ταύτην οἱ συνελθόντες ἔπραξαν, ἀλλὰ καὶ οἱ ἐν τοῖς ἰδίοις κελλίοις σχολάζοντες ἱερώτατοι μητροπολῖται ἐγγράφως συνεψηφίσαντο, προστιθέντες οὗτοι μετὰ τῆς ἐν τοῖς δόγμασι παραφορᾶς καὶ τὰς ἄλλας ἀθέσμους κατὰ τῆς ἐκκλησίας καὶ τῆς βασιλείας γεγενημένας πράξεις αὐτοῦ, ὃ καὶ οἱ ἐκτὸς συνόντες τῇ βασιλείᾳ μου, ὅ τε ἱεροσολύμων ἁγιώτατος πατριάρχης καὶ οἱ λοιποὶ πάντες ἱερώτατοι μητροπολῖται, σύνοδον καὶ αὐτοὶ συγκροτήσαντες ἀπεφήναντο, πρὸς τοῖς ἄλλοις καὶ τῆς τοῦ ἀκινδύνου κοινωνίας χάριν πάσης ἱερωσύνης τοῦτον ἀπογυμνώσαντες· εἰ γὰρ καὶ τόπῳ καὶ σώματι διῃρημένοι ἦσαν, ἀλλ' ὡς ἑνὸς πνεύματος ἐν αὐτοῖς λαλοῦντος καὶ ἐνεργοῦντος τὸ αὐτὸ πάντες συναπεφήναντο. ὃ καὶ ἡ βασιλεία μου χριστοῦ χάριτι στέργει καὶ στηρίζει καὶ νῦν καὶ πρότερον. μετὰ μέντοι τὴν τῆς βασιλείας μου ἐπιδημίαν, καίτοι δι' ἐγγράφου τόμου πεμφθείσης αὐτῷ παρὰ τῶν ἀρχιερέων τῆς καταδίκης, ἐπειδήπερ ἔμαθον προφασιζόμενον αὐτὸν καὶ ἐνιστάμενον ἔτι ὡς ἀπόντα καταδικασθέντα, καὶ ἕτοιμον εἶναι παρεῖναι καὶ ἀπολογεῖσθαι λέγοντα, προκαθίσας μετὰ τοῦ ὑψηλοτάτου βασιλέως τῶν ῥωμαίων καὶ ἐρασμιωτάτου υἱοῦ τῆς βασιλείας μου καὶ μετὰ τῶν ἱερωτάτων

---

[2] Malim: καί.

ἀρχιερέων καὶ τῆς συγκλήτου διεμηνυσάμεθα τοῦτον εἰς τὴν σύνοδον ἀπαντῆσαι. ὁ δὲ ἐφάνη μάτην τὴν ἀπουσίαν προφασιζόμενος· οὐ γὰρ ἐθάῤῥησεν ἀπαντῆσαι καὶ ὅλως εἰς λόγους ἐλθεῖν, καίτοι καὶ τρὶς καὶ τετράκις εἰς τὴν σύνοδον προσκληθείς.

α΄. Διὰ τοῦτο ταῖς αὐταῖς αἷς καὶ πρότερον καταδίκαις καθυποβάλλεται συνευδοκούσης δικαίως καὶ τῆς βασιλείας μου, ὃ καὶ διὰ τοῦ παρόντος δεικνῦσα καὶ βεβαιοῦσα προστάγματος διορίζεται πᾶσι στέργειν μὲν τὰς τοιαύτας ἐνθέσμους καὶ συνοδικὰς διαγνώσεις καὶ ἀποφάσεις, ἀποτρέπεσθαι δὲ τοὺς τὰ τοῦ ἀκινδύνου φρονοῦντας καὶ πάντας τοὺς κατὰ τοῦ εἰρημένου ὁσιωτάτου ἱερομονάχου κυροῦ γρηγορίου τοῦ παλαμᾶ καὶ τῶν σὺν αὐτῷ μοναχῶν αὖθις χωροῦντας, ὡς ἀπατεῶνας ὄντας καὶ τὴν ἐκκλησίαν αὖθις ταράσσοντας. τούτου γὰρ χάριν καὶ τῆς κατ᾽ εὐσέβειαν εἰρήνης καὶ ἀσφαλείας καὶ τὸ παρὸν ἀπελύθη τῆς βασιλείας μου πρόσταγμα.

Εἶχε καὶ τό· μηνὶ μαρτίῳ ἰνδ. ιε΄, δι᾽ ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

NOV. L.

Imp. Joannis Cantacuzeni de metropoli Cygebi[1]. (A. 1347.)

Ἐπεὶ αἱ κατὰ τὸν τόπον τῆς μικρᾶς ῥωσίας τὸν ἐπικεκλημένον βολούνιον εὑρισκόμεναι ἁγιώταται ἐκκλησίαι, ἥ τε γάλλιτζα, τὸ βολοδίμηρον, τὸ χόλμιν, τὸ περέμισθλιν, τὸ λουτζικὸν καὶ τὸ τούροβον, ὑπέκειντο ἀφότου τὸ τῶν ῥώσων ἔθνος χριστοῦ χάριτι τὴν θεογνωσίαν ἐδέξατο εἰς τὴν ἁγιωτάτην μητρόπολιν κυγέβου, ἣν διέπει ἀρτίως ὁ κατ᾽ αὐτὴν ἱερώτατος μητροπολίτης, ὑπέρτιμος καὶ ἔξαρχος πάσης ῥωσίας, κῦρις θεόγνωστος, ὡς καὶ αἱ τῆς μεγάλης ῥωσίας ἁγιώταται ἐπισκοπαί· κατὰ τὸν πρὸ ὀλίγου δὲ γεγονότα καιρὸν τῆς συγχύσεως, σύνδρομον τὸν τοιοῦτον εὑρόντες καιρὸν, οἵ τε τὰ τῆς βασιλείας πράγματα διοικοῦντες, ἀλλὰ δὴ καὶ ὁ τῆς ἐκκλησίας παρὰ τὸ εἰκὸς προϊστάμενος, μηδὲν ἕτερον σπου-

---

[1] Extat in Vind. hist. gr. 65 fol. 134. (Cf. Nov. XXIV not. 1.) Praemittuntur ibi epistolae de eodem argumento ab imperatore missae ad metropolitam Cygebi, altera ad magnum regem universae Russiae Symeonem, tertia ad regem Volodimiri Demetrium Lumporte.

δάζοντες ἢ τὸ τὰς οἰκείας ὀρέξεις πληροῦν, καὶ διὰ ταύτας τὴν τῶν κοινῶν καὶ ἐκκλησιαστικῶν πραγμάτων κατάστασιν εἰς ἀταξίαν μετασκευάσαντες καὶ πάντα σχεδὸν ἀνατρέψαντες καὶ συγχέαντες καὶ ταῖς τῶν χριστιανῶν ψυχαῖς τε καὶ σώμασι πᾶσαν καὶ παντοίαν βλάβην προξενήσαντες καὶ ζημίαν, καινοτομίαν κἀν τούτῳ ποιούμενοι ἀπέσπασαν ἀπὸ ταύτης δὴ τῆς ἁγιωτάτης μητροπόλεως κυγέβου τὰς ῥηθείσας τῆς μικρᾶς ῥωσίας ἐπισκοπὰς καὶ ὑπὸ τὸν ἀρχιερέα γαλίτζης ὑποκεῖσθαι, προβιβάσαντες αὐτὸν ἀπὸ ἐπισκόπου εἰς μητροπολίτην[2]· ὃ δὴ καὶ γέγονε μὲν εἰς κατάλυσιν τῶν ἐκ παλαιοῦ νενομισμένων ἐθίμων εἰς τὴν τοιαύτην χώραν τῆς πάσης ῥωσίας, ἔδοξε δὲ βαρὺ καὶ ἐπαχθὲς καὶ εἰς τοὺς ἐν αὐτῇ πάντας χριστιανούς, μὴ ἀνασχομένους ὑπὸ δυσὶ μητροπολίταις ποιμαίνεσθαι, ἀλλὰ βουλομένους ἀσάλευτον καὶ ἀμετακίνητον μένειν τὴν ἣν εἶχον ἐκ παλαιοῦ συνήθειαν ὡς δεδήλωται, καὶ πάντα τρόπον κενοῦντας εἰς τὴν τῆς τοιαύτης καινοτομίας κατάλυσιν· καθὼς καὶ ἐν ἄλλοις καιροῖς ἐπεχειρήθη μὲν ἡ τοιαύτη καινοτομία γενέσθαι, κατελύθη δὲ καὶ ἀνετράπη ἅμα τῷ γεγονέναι, μὴ ἀνασχομένων ὡς εἴρηται τῶν ἐκεῖσε χριστιανῶν τὸ τοιοῦτον αὐτῶν ἔτος ἀθετηθῆναι· ἀνηνέχθη δὲ τὰ περὶ τούτου ἀρτίως εἰς τὴν βασιλείαν μου παρὰ τοῦ εὐγενεστάτου μεγάλου ῥηγὸς ῥωσίας καὶ περιποθήτου ἀνεψιοῦ τῆς βασιλείας μου κυροῦ συμεών, καὶ ἐζητήθη μετὰ παρακλήσεως αὐτοῦ τε καὶ τῶν ἄλλων ἐκεῖσε ῥηγῶν, ὥστε ἀποκαταστῆναι καὶ αὖθις διὰ χρυσοβούλλου τῆς βασιλείας μου τὰς τοιαύτας ἐπισκοπὰς ὑπὸ τὴν ῥηθεῖσαν ἁγιωτάτην μητρόπολιν κυγέβου ὡς καὶ τὸ πρότερον·

α΄. Ἡ βασιλεία μου, τὴν ταύτην αὐτοῦ ζήτησιν δικαίαν καὶ εὔλογον κρίνουσα διά τε τὸ ῥηθὲν καὶ ἄνωθεν μέχρι νῦν κρατῆσαν ἐκκλησιαστικὸν ἔθος, ἔτι δὲ καὶ διὰ τὸ περιὸν τῆς ἀρετῆς τε καὶ θεαρέστου πολιτείας αὐτοῦ δὴ τοῦ διαληφθέντος ἱερωτάτου μητροπολίτου κυγέβου, ὑπερτίμου καὶ ἐξάρχου πάσης ῥωσίας,

---

[2] In Cod. Paris. 1356 fol 294 haec leguntur: *Ἦσαν τῇ μεγάλῃ ῥωσίᾳ ἐπισκοπαὶ ιθ΄· νῦν δὲ ἐναπελείφθησαν αὐτῇ ιβ΄. ὕστερον γὰρ τιμηθείσης τῆς γαλίτζης τῆς μικρᾶς ῥωσίας εἰς μητρόπολιν παρὰ τοῦ εὐσεβεστάτου βασιλέως κυροῦ ἀνδρονίκου τοῦ παλαιολόγου ἐπὶ τοῦ πατριάρχου κυροῦ ἀθανασίου διά τε χρυσοβούλλων λόγων καὶ πατριαρχικῶν ἐπικυρωμάτων, προσετέθησαν καὶ αὐτῇ τῇ μητροπόλει γαλίτζης αἱ τοιαῦται ἐπισκοπαί· ἡ βλαντιμοίρη, ἡ περεμίσλη, ἡ λουτζέσκα, ἡ τουρόβη, ἡ χόλμη.* Cf. etiam Coll. can. ed. Rhalli et Potli V p. 494 not. 1. Acta synodalia ad ecclesiam Serbicam spectantia annorum 1368 et 1371 ex Cod. Vind. hist. gr. 65 (Nesselio 47) nuper edidit J. Müller in Sitzungsb. d. k. k. Akad. d. Wiss. to. IX (1853) p. 403.

τὸν παρόντα χρυσόβουλλον λόγον ἀπολύουσα εὐδοκεῖ καὶ προστάσσει καὶ διορίζεται, ὑποκεῖσθαι καὶ αὖθις τῇ ῥηθείσῃ ἁγιωτάτῃ μητροπόλει κυγέβου τὰς κατὰ τὴν εἰρημένην μικρὰν ῥωσίαν ἁγιωτάτας ἐπισκοπάς, τήν τε γάλλιτζαν, τὸ βολοδίμηρον, τὸ χόλμιν, τὸ περεμίσθλιν, τὸ λουτζικὸν καὶ τὸ τούροβον, αἵτινες παρὰ τὸ εἰκὸς τῷ γαλλίτζης ἐδόθησαν ὡς δεδήλωται κατὰ τὸν ῥηθέντα καιρὸν τῆς συγχύσεως, καὶ τὸν ἐν αὐτῇ τῇ ἁγιωτάτῃ μητροπόλει κυγέβου ἀρχιερατικῶς διαπρέποντα ποιεῖν ἐν αὐταῖς, ὅσα καὶ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες τοὺς μητροπολίτας ἐν ταῖς ὑπ' αὐτοὺς ἐπισκοπαῖς ποιεῖν ἐγκελεύονται, καὶ ὅσα δὴ καὶ πρότερον ἐν αὐταῖς οἱ προγεγονότες μητροπολῖται καὶ αὐτὸς οὗτος ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτης κυγέβου ἐτέλει, χειροτονῶν καὶ ἐγκαθιστῶν ἐν αὐταῖς ἐπισκόπους καὶ τὰ κατ' αὐτοὺς ἀνακρίνων, καὶ ἐξετάζων ἐπί τισιν ἐκκλησιαστικοῖς εἰ δέοι ζητήμασι, καὶ τἄλλα ποιῶν ὅσα τοῖς θείοις καὶ ἱεροῖς κανόσι νενόμισται· ὀφειλόντων καὶ τῶν κατὰ τὰς τοιαύτας ἁγιωτάτας ἐπισκοπὰς θεοφιλεστάτων ἐπισκόπων ἔχειν εἰς αὐτὸν δὴ τὸν ἱερώτατον μητροπολίτην κυγέβου, ὑπέρτιμον καὶ ἔξαρχον πάσης ῥωσίας, κῦρον θεόγνωστον, καὶ τοὺς μετ' αὐτὸν κατὰ καιροὺς ἐν αὐτῇ ἀρχιερατικῶς διαπρέψοντας τὴν προσήκουσαν εὐπείθειαν ὅσα καὶ εἰς πρῶτον ἀρχιερέα τούτων, καὶ ὑπακούειν αὐτῷ ἐφ' οἷς ἂν ἔχοι λέγειν καὶ εἰσηγεῖσθαι αὐτοῖς ἀφορῶσιν[3] εἰς καταρτισμὸν τῶν ἐκεῖσε χριστιανῶν καὶ εἰς ἑτέραν ἐκκλησιαστικὴν καὶ κανονικὴν πολιτείαν καὶ κατάστασιν. ὅθεν καὶ τῇ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου ὑποκείσονται μὲν καὶ εἰς τὸ ἑξῆς αὗται δὴ αἱ ῥηθεῖσαι ἁγιώταται ἐπισκοπαὶ τῆς μικρᾶς ῥωσίας τῇ διαληφθείσῃ ἁγιωτάτῃ μητροπόλει κυγέβου καὶ τῷ ταύτην ἀρχιερατικῶς διέποντι κατὰ τὸ παρὸν ἱερωτάτῳ μητροπολίτῃ, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης ῥωσίας, κυρῷ θεογνώστῳ, καὶ ὑπ' αὐτοῦ τὰ κατ' αὐτὰς ἐκκλησιαστικὰ ζητήματα ὡς ἀνωτέρω δεδήλωται ἀνακριθήσονταί τε καὶ ἐξετασθήσονται καὶ τῆς προσηκούσης διορθώσεως ἐπιτεύξονται, καὶ τὰ ἐν αὐταῖς ὀφειλόμενα πάντα καὶ νενομισμένα τελεῖσθαι διαπραχθήσονται· μετ' αὐτὸν δὲ καὶ τοῖς κατὰ καιροὺς ἐν αὐτῇ ἀρχιερατικῶς διαπρέψουσι· καὶ ἡ τοιαύτη κατάστασις ἐσαεὶ διατηρηθήσεται, ὡς καὶ ἦν ἐξ ἔθους ἐκ παλαιοῦ, καθάπερ δεδήλωται, τὰς κατ' αὐτοὺς ἁγιωτάτας ἐπισκοπὰς

[3] Legerim: ἀφορῶντα.

ὑφ᾽ ἕνα μητροπολίτην εὑρίσκεσθαι. ἐπὶ τούτῳ γὰρ καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐγένετο καὶ ἐπεχορηγήθη τῷ μέρει τῆς ῥηθείσης ἁγιωτάτης μητροπόλεως κυγέβου εἰς τὴν περὶ τούτου ἀσφάλειαν, ἀπολυθεὶς κατὰ μῆνα αὔγουστον τῆς νῦν τρεχούσης ιε´ ἰνδ. τοῦ ͵ϛωνε´ ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

NOV. LI.

Imp. Joannis Cantacuzeni aurea bulla de monasterio Megaspilaeo[1]. (A. 1348.)

Ὁ χρυσόβουλλος λόγος τοῦ ἀοιδίμου αὐτοκράτορος ἰωάννου τοῦ κατακουζηνοῦ.

Ἐπεὶ ὁ τιμιώτατος καθηγούμενος τῆς κατὰ τὴν πελοπόννησον σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς εἰς ὄνομα τιμωμένης τῆς παννυπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης μεγασπηλαιωτίσσης τῆς παρὰ τοῦ ἱερωτάτου ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ λουκᾶ ἱστορηθείσης, ἀρχιμανδρίτης τε καὶ πρωτοσύγκελλος ἱερομόναχος κύριος μάρκος, ἀνέφερεν, ὡς ἡ κατ᾽ αὐτὸν τοιαύτη σεβασμία μονὴ κέκτηται διὰ χρυσοβούλλων καὶ προσταγμάτων τοῦ τε αὐθέντου μου τοῦ βασιλέως τοῦ πάππου τῆς βασιλείας μου, καὶ τοῦ θειοτάτου μου δεσπότου καὶ βασιλέως τοῦ ἀδελφοῦ τῆς βασιλείας μου, τῶν ἀοιδίμων καὶ μακαριτῶν, ἀλλὰ καὶ δι᾽ ἀπογραφικῶν ἀποκαταστάσεων καὶ ἑτέρων εὐλόγων δικαιωμάτων μετόχια καὶ λοιπὰ κτήματά τε καὶ ὑποστατικὰ ἐν διαφόροις τοποθεσίαις· — ἃ δὴ καὶ κατὰ μέρος ἔχουσιν οὕτως· εἰς τὴν λαπάταν μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἀντωνίου τοῦ μεγάλου μετὰ τῶν αὐτῷ παροίκων, προσκαθημένων τε καὶ ἐξαλειμματικῶν ὑποστάσεων· ἕτερον μετόχιον περὶ τὴν βοστίτζαν εἰς ὄνομα τῆς παννυπεράγνου τιμώμενον δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τῆς πεφανερωμένης· περὶ τὸν δρόγκον ἕτερον μετόχιον εἰς ὄνομα τιμώμενον καὶ αὐτὸ τῆς παννυπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τῆς συνοβηριωτίσσης μετὰ τῶν ἐν αὐτῷ παροίκων, προσκα-

---

[1] Hanc edidit Oeconomus in libro *Κτιτορικὸν ἤτοι προσκυνητάριον τοῦ Μεγάλου σπηλαίου* Athenis 1840 p. 90 sq.

θημένων καὶ λοιπῶν δικαίων αὐτοῦ· περὶ τὸ μονοδένδριον γῆν μοδίων τριακοσίων· εἰς τὸ χωρίον τὸ βραχνὶ πάροικοι, ὅτε δημήτριος καὶ κωνσταντῖνος οἱ πρεσβύτεροι καὶ γεώργιος ὁ βάρδας· εἰς τὸ χωρίον τῆς ζαχλοροῦς προσκαθήμενοί τινες· εἰς χωρίον τὴν δουμενᾶν πάροικοι καὶ ἐξαλειμματικαὶ ὑποστάσεις, ἃς προκατεῖχε· περὶ τὸ καστέλλιον τὸν ἅγιον ἰωάννην χειμάδιον τὸ καλούμενον ἡ λάμεια· καὶ ἕτερον εἰς τὴν βλογοκίτζαν μετὰ τοῦ πλησιάζοντος ἐκεῖσε χωραφίου τοῦ καλουμένου τῆς προυσσαίνης· ἡ ἡμίσεια μερὶς ἡ λατινικὴ τοῦ χωρίου τῆς ἀβυσσαίνης (ὡς τῆς λοιπῆς ἡμισείας μερίδος κατεχομένης παρά τινων διαφόρων ῥωμαίων καὶ ὑπὸ χεῖρα τῆς βασιλείας μου), καὶ αἱ ἐκεῖσε πλησιάζουσαι ἐξαλειμματικαὶ ὑποστάσεις τοῦ τε καρβώνη καὶ τοῦ νήφωνος· ἀλλὰ δὴ καὶ τὸ ἐν αὐτῇ μυλοτόπιον σὺν τῷ ἐκεῖσε εὑρισκομένῳ παλαιῷ ναῷ τοῦ ἁγίου ἀποστόλου ἀνδρέου τοῦ πρωτοκλήτου· ἃ δὴ κατέχει καὶ νέμεται τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς ἀνενοχλήτως καὶ ἀδιασείστως μέχρι τοῦ νῦν· παρεκάλεσε δὲ ἀρτίως ὁ ῥηθεὶς τιμιώτατος ἀρχιμανδρίτης καὶ πρωτοσύγκελλος, ἵνα πορίσηται ἐπὶ τούτοις καὶ χρυσόβουλλον τῆς βασιλείας μου, τὴν τούτου δέησιν εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ κατ' αὐτὸν τοιαύτῃ σεβασμίᾳ μονῇ·

α'. Δι' οὗ προστάσσει, καὶ διορίζεται εἶναι μὲν καὶ εὑρίσκεσθαι τὸν αὐτὸν τιμιώτατον πρωτοσύγκελλον εἰς τὴν ἡγουμενείαν καὶ προστασίαν τῆς δηλωθείσης μονῆς ἐφ' ὅρῳ τῆς αὐτοῦ ζωῆς· κατέχειν δὲ καὶ τὴν τοιαύτην σεβασμίαν μονὴν καὶ νέμεσθαι καὶ εἰς τὸ ἑξῆς τὰ ἀνωτέρω κατὰ μέρος εἰρημένα μετόχια καὶ λοιπὰ ὑποστατικά, κτήματά τε καὶ βελτιώματα, ἀνενοχλήτως παντάπασι καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως, κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ ὡς εἴρηται χρυσοβούλλων τε καὶ προσταγμάτων καὶ λοιπῶν εὐλόγων δικαιωμάτων, καὶ ὡς εὑρίσκεται κατέχουσα ταῦτα καὶ μέχρι τοῦ νῦν, ὀφείλοντα διατηρεῖσθαι ἀνώτερα πάσης καὶ παντοίας καταδυναστείας καὶ ἐπηρείας καὶ κατατριβῆς καὶ διενοχλήσεως ἀδίκου καὶ πλεονεκτικῆς. τῇ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου διατηρηθήσεται μὲν ὁ διαληφθεὶς τιμιώτατος ἱερομόναχος ἀρχιμανδρίτης καὶ πρωτοσύγκελλος κύριος μάρκος εἰς τὴν ἡγουμενείαν καὶ προστασίαν τῆς τοιαύτης σεβασμίας μονῆς ἐφ' ὅρῳ τῆς ἑαυτοῦ ζωῆς, ὡς δεδήλωται· καθέξει δὲ καὶ νεμηθήσεται καὶ ἡ αὐτὴ σεβασμία μονὴ

τα προσόντα ταύτῃ καθὼς εἴρηται κτήματά τε καὶ ὑποστατικὰ μετὰ τῆς περιοχῆς καὶ τῶν δικαίων αὐτῶν καὶ τῶν ἐν τούτοις βελτιωμάτων, κατὰ τὰς περιλήψεις τῶν ἀναγεγραμμένων χρυσοβούλλων, προσταγμάτων τε καὶ λοιπῶν εὐλόγων δικαιωμάτων, ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως, ἀναφαιρέτως τε καὶ ἀναποσπάστως, καθὼς κατέχει καὶ νέμεται ταῦτα καὶ μέχρι τοῦ νῦν, μηδεμίαν παρὰ μηδενὸς τῶν ἁπάντων ὑφισταμένη ἐπὶ τῇ τούτων κατοχῇ καταδυναστείαν, ἢ ἐπήρειάν τινα καὶ κατατριβήν.

Ἐπειδὴ καὶ τούτου ἕνεκεν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, καὶ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τῷ ῥηθέντι τιμιωτάτῳ καθηγουμένῳ ἀρχιμανδρίτῃ καὶ πρωτοσυγκέλλῳ καὶ τῇ κατ' αὐτὸν τοιαύτῃ σεβασμίᾳ μονῇ δι' ἀσφάλειαν, ἀπολυθεὶς κατὰ μῆνα ἀπρίλιον τῆς ἐνεστώσης[2] ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ ἕκτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ἰωάννης ἐν χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ ῥωμαίων ὁ κατακουζηνός.

NOV. LII.

Imp. Joannis Cantacuzeni pactiones cum Venetis[1]. (A. 1350.)

---

[2] Adde α'.

[1] Reperiuntur in Pactorum lib. V, de quo Index: „1349. 10. Novembris. Juramentum treuguarum initarum cum dom. Imperatore Constantinopolitano. fol. 258." Et: „1350. Constantinopolis. Exemplum treugue firmatae cum dom. Imperatore Constantinopolitano. fol. 267." Vide Nov. VII not. 1.

NOV. LIII.

Imp. Joannis Cantacuzeni aurea bulla pro Genuensibus[1]. (A. 1352.)

In nomine Domini amen.

Johannes in Christo Deo fidelis Imperator et moderator Romeorum Catacosinos.

Cum inter Imperium nostrum ex una parte et commune Janue ex altera intervenerint scandala, propter que mota est guerra inter nos et ipsum commune, et tandem pluribus colloquiis habitis inter Imperium nostrum et nobiles viros, dominos Obertum Gatuluxium, Raffum Ermireum, syndicos illustris domini Ducis et communis Janue, etiam Fredericum del Orto et dominum Lanfranchum de Podio, nomine et parte nobilis viri Paganini de Auria, Ammirati communis Janue, nec non syndici et syndicario nomine dicti domini Ducis et communis Janue, prout apparet instrumento publico scripto manu Conradi de Credencia notarii 1350 die tertia Junii, per quod instrumentum apparet dominum Ducem et ejus consilium promisisse habere et tenere rata grata et firma omnia et singula que per ipsum dominum Ammiratum et substituendos ab eo facta gesta et prommissa et recepta fuerint cum quibuscumque dominis quocumque titulo dignitatis existant: et qui Obertus, Raffus, Fredericus, et Lanfrancus sunt substituti actores et procuratores dicti domini Ammirati, cum tota potestate, quam ipse habet pro supradictis, tenore instrumenti pubblici scripti manu Thome Octonis notarii anno presenti die trigesima Aprilis; igitur nostrum Imperium cum predictis nobilibus venit ad infrascriptam pacem ut infra.

Primo videlicet quod firmamus conventiones novas et veteres, que sunt inter Imperium et commune Janue, cum reservatione tamen, quod pax et ea pacta, gesta per dominum Ammiratum cum Orcanibei Ammirati, sint firma non obstantibus conventionibus predictis.

Item per pactum Imperium nostrum de gratia donationem facit communi Janue de Gallata cum terreno, prout fossatum tendit usque ad castrum sancte Crucis, et ultra dictum fossatum cubitorum centum, infra quod non possit hedificium Latinum vel Grecum nec aliqua alia novitas fieri. Itaque cubitus centum isti sint in facie in-

---

[1] Ex archio privato Spinolae edidit Sauli della col. dei Genov. in Galata II p. 216.

cipiendo a capite Gallata usque ad castrum sancte Crucis recta linea, et a castro sancte Crucis usque ad turrem Traverii.

Item extitit per pactum et promissum per Imperium nostrum, quod galeis aliquibus Catalanorum et Venetorum, que venirent in Constantinopoli, non debeat istum Imperium nostrum seu Greci dare aliquod refrigerium nec receptum, nec dimittere eos ponere stallam, nec in aliis forensibus castris sive patenciam[2] dictorum castrorum: ita tamen, quod in illis castris in quibus non est potencia deffendi se ab illis galeis, si ille galee ibi refrescamentum acciperent, non intelligatur propter ea destructio pacis vel contrafecisse nostrum Imperium juramento nostro. Hec autem habeant locum durante guerra inter Catalanos, Venetos et Januenses.

Item extitit per pactum et prommissum per Imperium nostrum, quod si casus adveniret, quod in nostro Imperio vel in aliqua parte ipsius vel etiam in Constantinopoli quod aliqua briga vel rixa vel offensiones fierent inter Catalanos [et] Venetos cum Januensibus, et Januenses cum Catalanis et Venetis, quod Greci ipsius Imperii non debeant aliqualiter de dicta rixa vel briga se impedire: et si quis dictorum Grecorum se impediret de predictis, banniatur ab Imperio nostro vel puniatur per nostrum Imperium. Tamen debent capitanei nostri in illis locis imperii ubi se invenirent, quibus esset briga vel rixa inter predictos Januenses, Venetos et Catalanos, tenere eos qui facerent brigam et mittere Januenses quidem ad Potestatem Peire, Venetos autem ad Baiullum Venetorum.

Item extitit per pactum, quod si galea Catalanorum vel Venetorum veniret in Constantinopoli durante dicta guerra cum Baiullo Venetorum vel aliquo ambaxiatore, quod eo casu si tunc[3] poneret stallam, non intelligatur contrafecisse pacem.

